ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

31

ΟΜΙΛΙΑΙ

1. ΚΑΤΗΧΗΤΙΚΑΙ ΚΑΙ ΗΘΙΚΑΙ Β΄
2. ΠΕΡΙΣΤΑΤΙΚΑΙ Α΄

ΕΙΣΑΓΩΓΑΙ
ΚΕΙΜΕΝΟΝ — ΜΕΤΑΦΡΑΣΙΣ — ΣΧΟΛΙΑ


Ὑπὸ
ΝΙΚΗΤΑ ΤΣΙΟΜΕΣΙΔΟΥ
Θεολόγου

Ἐπόπται

ΠΑΝ. Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου
ΘΕΟΔ. Ν. ΖΗΣΗΣ, Ὑφηγητὴς Πανεπιστημίου

Ἐπιμεληταὶ

ΒΑΣ. Δ. ΦΑΝΟΥΡΓΑΚΗΣ, π. Θεολογίας
ΕΛΕΥΘ. Γ. ΜΕΡΕΤΑΚΗΣ, π. Θεολογίας



ΕΠΕ

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1979

ΟΜΙΛΙΑΙ
ΚΑΤΗΧΗΤΙΚΑΙ ΚΑΙ ΗΘΙΚΑΙ Β΄

ΟΜΙΛΙΑΙ
ΚΑΤΗΧΗΤΙΚΑΙ ΚΑΙ ΗΘΙΚΑΙ Β΄

ΕΙΣΑΓΩΓΑΙ

ΠΡΟΣ ΤΟΥΣ ΛΕΓΟΝΤΑΣ ΟΤΙ ΔΑΙΜΟΝΕΣ ΔΙΟΙΚΟΥΣΙ ΤΑ ΑΝΘΡΩΠΙΝΑ

Ἡ ὁμιλία «Πρὸς τοὺς λέγοντας ὅτι δαίμονες τὰ ἀνθρώπινα διοικοῦσι, καὶ δυσχεραίνοντας ἐπὶ τοῖς τοῦ Θεοῦ κολάσεσι, καὶ σκανδαλιζομένους ἐπὶ ταῖς τῶν φαύλων εὐημερίαις, καὶ δυσπραγίαις τῶν δικαίων» ἐξεφωνήθη εἰς τὴν Ἀντιόχειαν περὶ τὸ 388.

Ἡ ὁμιλία αὐτὴ πραγματεύεται τὸ θέμα τῆς δυνάμεως τὴν ὁποίαν διαθέτουν οἱ δαίμονες εἰς τὸν παρόντα κόσμον. Ὑπάρχουν μερικοί, οἱ ὁποῖοι, ἀδυνατοῦντες νὰ δώσουν μίαν ἐξήγησιν εἰς τὰς διαφόρους δοκιμασίας τῆς ζωῆς, σκανδαλίζονται καὶ ὑποστηρίζουν ὅτι αὐταὶ προέρχονται ἀπὸ τοὺς δαίμονας, οἱ ὁποῖοι κυβερνοῦν τὸν κόσμον· Ἐπίσης τὸ γεγονὸς ὅτι πολλάκις οἱ φαῦλοι καὶ οἱ ἁμαρτωλοὶ εὐημεροῦν, ἐνῶ οἱ δίκαιοι δυστυχοῦν, ἀποτελεῖ ἄλλον λόγον σκανδαλισμοῦ. Ἐπάνω εἰς αὐτὰ τὰ δύο θέματα ἀπαντᾷ ἡ ὁμιλία τοῦ ἱεροῦ πατρός.

ΠΡΟΣ ΤΟΥΣ ΕΓΚΑΛΟΥΝΤΑΣ ΤΙΝΟΣ ΕΝΕΚΕΝ ΟΥΚ ΕΚ ΜΕΣΟΥ ΓΕΓΟΝΕΝ Ο ΔΙΑΒΟΛΟΣ

Εἰς τὴν ὁμιλίαν «Πρὸς τοὺς ἐγκαλοῦντας τίνος ἕνεκεν οὐκ ἐκ μέσου γέγονεν ὁ διάβολος καὶ ὅτι οὐδὲν βλάπτει ἡμᾶς ἡ τούτου πονηρία ἐὰν προσέχωμεν, καὶ περὶ μετανοίας» ὁ ἱερὸς Χρυσόστομος δίδει ἀπάντησιν εἰς ἐκείνους οἱ ὁποῖοι κατηγοροῦν τὸν Θεὸν ἐπειδὴ δὲν ἐξαφανίζει τὸν διάβολον τελείως, ὥστε νὰ μὴ παρασύρωνται οἱ ἄνθρωποι ἀπὸ αὐτὸν εἰς τὴν ἁμαρτίαν.

Μεταξὺ ἄλλων διὰ τὸ ἀνωτέρω θέμα λέγει καὶ τὰ ἑξῆς: Ἡ δύναμις τοῦ διαβόλου εἶναι μεγάλη, ἀλλὰ ὄχι τόσον μεγάλη ὥστε νὰ ἠμπορῇ νὰ ἐπιβάλλεται εἰς τοὺς ἀνθρώπους διὰ τῆς βίας καὶ κατὰ συνέπειαν ἡ πτῶσις μας νὰ θεωρῆται ἀναπόφευκτος. Ὁ ἄνθρωπος ἠμπορεῖ νὰ ἀποφύγῃ τὰ ποικίλα τεχνάσμα-

τα καὶ τὰς παγίδας τοῦ διαβόλου. Ἐν συνεχείᾳ ἀναφέρει ὅτι ἡ ὁλοκληρωτικὴ ἐξαφάνισις τοῦ διαβόλου θὰ στερήσῃ ἀπὸ τοὺς ἀγωνιστὰς καὶ ἐνθέρμους πιστοὺς ἕναν ἀντίπαλον ἰσχυρόν, καὶ κατ' αὐτὸν τὸν τρόπον θὰ χάσουν τὴν ἀγωνιστικότητά των, οἱ δὲ ψυχροὶ καὶ ἀδιάφοροι, ποὺ αἰτιῶνται τὸν Θεόν, δὲν θὰ ὠφεληθοῦν καὶ θὰ ἐπηρεάσουν μάλιστα δυσμενῶς καὶ τοὺς πιστούς. Συνεπῶς, καταλήγει ὁ ἱερὸς πατήρ, ἀπαιτεῖται ἐκ μέρους μας ἐγρήγορσις, προσπάθεια καὶ προσοχὴ διὰ νὰ τεθῇ ὁ διάβολος ἐκτὸς μάχης, ὅπως συνέβη μὲ πολλοὺς ἁγίους ἄνδρας, παραδείγματα τῶν ὁποίων ἀναφέρει.

Ἐν συνεχείᾳ ὁμιλεῖ διὰ τὴν μετάνοιαν, ὅπου χαρακτηριστικὰ ἀναφέρει ὅτι ὅλοι ἔχομεν ἀνάγκην μετανοίας, καὶ δὲν πρέπει ἡ ἡλικία νὰ μᾶς παρασύρῃ εἰς ἀναβολὴν τοῦ χρόνου μετανοίας, διότι ἡ ἡμέρα τοῦ θανάτου μας εἶναι ἄγνωστος. Ὑποδεικνύει πέντε ὁδοὺς μετανοίας ὅπως εἶναι ἡ αὐτογνωσία καὶ ἡ καταδίκη τῶν ἁμαρτιῶν μας, ἡ συγχώρησις τῶν συνανθρώπων μας, ἡ θερμὴ προσευχή, ἡ ἐλεημοσύνη καὶ ἡ ταπεινοφροσύνη.

ΟΤΙ ΕΚ ΡΑΘΥΜΙΑΣ Η ΚΑΚΙΑ ΚΑΙ ΑΠΟ ΣΠΟΥΔΗΣ Η ΑΡΕΤΗ

Ἡ ὁμιλία «Ὅτι ἐκ ῥαθυμίας ἡ κακία, καὶ ἀπὸ σπουδῆς ἡ ἀρετή, καὶ οὐδὲν οὔτε οἱ ἄνθρωποι πονηροί, οὔτε αὐτὸς ὁ διάβολος τὸν νήφοντα παραβλάψαι δύναται, καὶ ἡ ἀπόδειξις ἄλλοθέν τε πολλαχόθεν, καὶ ἐκ τῶν κατὰ τὸν Ἀδὰμ καὶ τὸν Ἰὼβ» δίδει ἀπάντησιν πρὸς ἐκείνους ποὺ ἐπιρρίπτουν τὴν εὐθύνην τῆς ἁμαρτωλότητός των εἰς τὸν Θεόν, ἐπειδὴ ἀφήνει τὸν διάβολον νὰ ὑπάρχῃ εἰς τὸν κόσμον νὰ πειράζῃ τοὺς ἀνθρώπους καὶ νὰ τοὺς παρασύρῃ εἰς τὸ κακόν· Ἡ ἀπάντησις εἶναι ὅτι αἴτιος δὲν εἶναι ὁ διάβολος, ἀλλὰ ἡ ἰδική μας ἀδιαφορία καὶ χλιαρότης·

Ἐξεφωνήθη εἰς τὴν Ἀντιόχειαν περὶ τὸ 388.

ΟΤΙ ΧΡΗΣΙΜΟΝ ΤΟ ΚΑΤΗΓΟΡΕΙΝ ΤΩΝ ΟΙΚΕΙΩΝ ΑΜΑΡΤΗΜΑΤΩΝ

Εἰς τὴν ὑπὸ τὸν τίτλον ὁμιλίαν «Ὅτι ἐπικίνδυνον καὶ τοῖς λέγουσι καὶ τοῖς ἀκούουσιν τὸ πρὸς χάριν δημηγορεῖν, καὶ ὅτι χρήσιμον καὶ δικαιοσύνη μεγίστη τὸ κατηγορεῖν τῶν οἰκείων ἁμαρτημάτων», ὁ ἱερὸς πατὴρ τονίζει ὅτι εἶναι δύσκολη ἡ θέσις τοῦ ὁμιλητοῦ, διότι εἶναι ἀναγκασμένος πολλάκις νὰ λέγῃ ὄχι μόνον ὅσα εἶναι ἀρεστὰ καὶ εὐχάριστα εἰς τοὺς ἀκροατάς, ἀλλὰ καὶ ὅσα προκαλοῦν λύπην καὶ στενοχώριαν.

Ἐπειδὴ εἰς προηγουμένην ὁμιλίαν ἔγινεν ἔλεγχος τῶν ἀκροατῶν καὶ προεκλήθη εἰς τὸ ἀκροατήριον θλῖψις, μὲ τὴν παροῦσαν ὁμιλίαν ἐπιχειρεῖ ὁ Ἰωάννης Χρυσόστομος νὰ ἁπαλύνῃ κάπως τὸν πόνον τῶν ἀκροατῶν του. Ἐπειδὴ ὑπάρχει κίνδυνος ὅταν γίνεται κάποιος ἔλεγχος ἀπὸ τοὺς διδασκάλους νὰ νομίσουν οἱ ἀκροαταὶ ὅτι τὰ ἐπιτίμια εἶναι πολὺ βαριά, ὑπενθυμίζει εἰς τοὺς ἀκροατὰς ὅτι καὶ οἱ ἴδιοι εἶναι ἄνθρωποι μὲ ὅλας τὰς ἀνθρωπίνας ἀδυναμίας καὶ ὅτι ἀκριβῶς διὰ τοῦτο ὁ Θεὸς δὲν ὥρισε τοὺς ἀγγέλους νὰ ἐπιβάλλουν τὰς τιμωρίας εἰς τοὺς ἀνθρώπους, διὰ νὰ μὴ εἶναι αὐστηραί, ἀλλὰ ἀνθρώπους, οἱ ὁποῖοι ἔχουν ἐπίγνωσιν τῶν ἀδυναμιῶν των καὶ ὡς ἐκ τούτου δὲν πρέπει νὰ δυσανασχετοῦν οἱ ἀκροαταί. Ἄλλωστε εἶναι οἱ ἴδιοι οἱ διδάσκοντες ὑπεύθυνοι ἀπέναντι τοῦ Θεοῦ ἂν ἀποκρύψουν κάτι ἀπὸ τὰ θεϊκὰ παραγγέλματα καὶ λέγουν εἰς αὐτοὺς μόνον ὅσα εὐχαριστοῦν, διότι προκαλοῦν μεγάλην ζημίαν εἰς τὰς ψυχὰς τῶν ἀκροατῶν. Οἱ διδάσκαλοι καὶ πνευματικοὶ πατέρες ὡς ἄλλοι σκοποὶ ὀφείλουν νὰ προειδοποιοῦν καὶ νὰ προαναγγέλλουν τοὺς κινδύνους ὅπως ἀκριβῶς κάμνουν οἱ σκοποὶ εἰς τὰ στρατόπεδα. Ἡ παράλειψις αὐτοῦ τοῦ καθήκοντος εἶναι σοβαρὸν παράπτωμα διότι ὁ Θεὸς θὰ ζητήσῃ εὐθύνας ἀπὸ αὐτοὺς διὰ τὰς ἀπωλεσθείσας ψυχάς. Ἄρα ἡ σιωπὴ δὲν συμφέρει καὶ εἰς τοὺς δύο, διότι καὶ οἱ δύο θὰ ζημιωθοῦν. Εἶναι προτιμότερον νὰ λυπηθοῦμε καὶ νὰ στενοχωρηθοῦμε ἐδῶ δεχόμενοι τοὺς ἐλέγχους καὶ νὰ μετανοήσωμεν, παρὰ νὰ θρηνήσωμεν ματαίως εἰς τὴν ἄλλην ζωήν.

Δὲν πρέπει νὰ ἐντρεπώμεθα νὰ ὁμολογοῦμεν τὰ ἁμαρτή-

ματά μας· αὐτὸ δὲν εἶναι ἐντροπή· νὰ ἐντρεπώμεθα νὰ τὰ διαπράττωμεν. Ἄλλωστε ἡ ὁμολογία τῶν ἁμαρτημάτων δὲν παραμένει χωρὶς καμμίαν ὠφέλειαν, ἡ ὠφέλεια ἀπὸ αὐτὴν εἶναι ἡ ἀμοιβή, ἡ συγχώρησις. Καὶ ἐνῷ εἰς τὰ κοσμικὰ δικαστήρια μετὰ τὴν ὁμολογίαν τῆς ἐνοχῆς ἐπέρχεται ἡ τιμωρία, ἐδῶ μετὰ τὴν ὁμολογίαν ἐπέρχεται ἡ ἀμοιβή. Διὰ τοῦτο δὲν πρέπει νὰ μνημονεύωμεν τὰ κατορθώματά μας, ἀλλὰ τὰ ἁμαρτήματά μας, διότι ἡ μνημόνευσις τῶν κατορθωμάτων ἐπιφέρει βλάβην ἐνῷ ἡ μνημόνευσις τῶν ἁμαρτημάτων ἐπιφέρει τὴν παρρησίαν καὶ τὴν συγγνώμην, ὅπως ἀκριβῶς συνέβη μὲ τὸν τελώνην καὶ τὸν Φαρισαῖον.

ΕΙΣ ΤΟ «ΠΑΝ ΑΜΑΡΤΗΜΑ...»

Εἰς τὴν ὁμιλίαν ὅτι «Πᾶν ἁμάρτημα ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν», ὁ ἱερὸς Χρυσόστομος ἀναπτύσσει τὸ χωρίον τοῦ ἀποστόλου Παύλου Α΄ Κορ. 6, 18.

Εἰς ὅλας τὰς διαπραττομένας ἁμαρτίας, κλοπάς, φθόνους, συκοφαντίς, φόνους καὶ ἄλλας, συμβαίνει τὸ ἑξῆς: ἡ πλευρὰ τῶν ἀδικούντων νὰ εἶναι ἡ κερδισμένη, ἡ δὲ πλευρὰ τῶν ἀδικουμένων ἡ ζημιουμένη. Εἰς τὴν πορνείαν ὅμως δὲν συμβαίνει ἔτσι καὶ οὔτε χωρίζεται ἡ πρᾶξις τοῦ παθόντος ἀπὸ τὴν τοῦ δράστου, ἀλλὰ αὐτὴ καταστρέφει τὸν ἴδιον τὸν δράστην, διότι αὐτὸς κυλίεται εἰς τὴν λάσπην τῶν ἡδονῶν, ἀσωτεύει εἰς τὴν αἰσχρότητα καὶ τὸ σῶμα του δὲν διαφέρει εἰς τίποτε ἀπὸ τὸ ῥάκος. Ἐπειδὴ ὅπως εἰς τὰς διαφόρους στρατιωτικὰς μάχας, ἀναλόγως τῶν συνθηκῶν ποὺ ἐπικρατοῦν, οἱ στρατιῶται ἄλλοτε ἐπιτίθενται καὶ ἄλλοτε ὑποχωροῦν, ἔτσι καὶ ἐδῶ ὁ Ἀπόστολος Παῦλος, λέγει ὁ ἱερὸς πατήρ, ὡς ἄριστος στρατηγός, συνιστᾶ τὴν νικητήριον φυγήν, διότι βλέπει τὴν πορνείαν ὡς μητέρα πλήθους κακῶν. Εἶναι προτιμοτέρα ἡ διὰ τῆς φυγῆς ὑπερίσχυσις, ὅπως συνέβη εἰς τὴν περίπτωσιν τοῦ νεαροῦ Ἰωσὴφ εἰς τὴν Αἴγυπτον, παρὰ ἡ μετωπικὴ σύγκρουσις μὲ αὐτὴν καὶ ἡ ὑποταγὴ καὶ ὑποδούλωσίς μας εἰς αὐτήν.

ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ

Εἰς τὰς δύο ὁμιλίας «Περὶ προσευχῆς» τονίζεται ἡ ἀξία τῆς προσευχῆς διὰ τὸν ἄνθρωπον. Εἶναι ὑψίστη ἐκδήλωσις τῆς φιλανθρωπίας τοῦ Θεοῦ ἡ τιμὴ ποὺ ἐγένετο εἰς τὸν ἄνθρωπον νὰ ἠμπορῇ νὰ συνομιλῇ μὲ τὸν Θεόν, τιμὴ μοναδικὴ ἐξ ὅλων τῶν δημιουργημάτων. Μὲ τὴν προσευχὴν ἐπιτυγχάνομεν τὰ πάντα· καθαρίζομεν τὰ ἁμαρτήματά μας, καθ' ὅσον αὕτη εἶναι ἀντιφάρμακον διὰ τὰς νοσούσας ψυχάς, δι' αὐτῆς κατορθώνομεν νὰ ἀποκρούωμεν τοὺς μεγάλους κινδύνους, ὅπως συνέβη μὲ πολλοὺς ἄνδρας τῆς Ἁγίας Γραφῆς, αὐτὴ ἀποδεικνύεται ἀκαταμάχητον ὅπλον ἐναντίον τῶν δαιμόνων. Ἡ προσευχὴ εἶναι ἡ ρίζα, τὸ θεμέλιον καὶ ἡ τροφὴ ὅλων τῶν ψυχῶν. Χωρὶς τὰς προσευχὰς γινόμεθα εὐάλωτοι εἰς τοὺς πονηροὺς δαίμονας ποὺ συνεχῶς μᾶς περιτριγυρίζουν καὶ καιροφυλκτοῦν νὰ εὕρουν κάποιον ἀπὸ ἡμᾶς μὴ προσευχόμενον διὰ νὰ τὸν ἁρπάσουν ἀμέσως. Μὲ τὴν προασευχὴν ὅμως περιφράσσομεν τοὺς ἑυτούς μας καὶ οἱ δαίμονες ἀπομακρύνονται ἀπὸ τὸν προσευχόμενον ἄνθρωπον, ὅπως ἀπομακρύνονται οἱ λησταὶ καὶ οἱ κακοῦργοι ὅταν βλέπουν τὸ ξίφος πλησίον τῆς κεφαλῆς τοῦ στρατιώτου.

Τέλος, ἐπειδὴ διὰ τῆς προσευχῆς ἠμποροῦμεν νὰ ἐπιτύνωμεν τὰ πάντα, ὅπως συνέβη μὲ πολλὰ πρόσωπα τῆς ἁγίας Γραφῆς, μᾶς προτρέπει ὁ ἱερὸς πατὴρ μὲ αὐτὴν νὰ θωρακίσωμεν τοὺς ἑαυτούς μας, νὰ τὴν στερεώσωμεν εἰς τὴν ψυχήν μας ὡς βάσιν καὶ θεμέλιον καὶ ἐπάνω εἰς αὐτὴν νὰ οἰκοδομοῦμεν καὶ τὰς ἄλλας ἀρετάς, διὰ νὰ ἀξιωθῶμεν τῆς ἐπουρανίου βασιλείας.

Εἰς τὴν PG κατατάσσονται εἰς τὰ ἀμφιβαλλόμενα.

ΠΕΡΙ ΕΥΧΗΣ

Εἰς τὴν ἐπίσης μικρὰν ὁμιλίαν «Περὶ εὐχῆς» τονίζεται ἡ μεγάλη δύναμις αὐτῆς καὶ ἡ ὠφέλεια ποὺ ἐπέρχεται εἰς τοὺς προσευχομένους. Εἶναι ἡ μεγαλυτέρα ὅλων τῶν ἐντολῶν καὶ ὁ συντονιστὴς αὐτῶν καὶ θέτει εἰς ἀχρηστίαν ὅλα τὰ παραγγέλματα τοῦ Θεοῦ πρὸς ἡμᾶς. Προσευχὴ βέβαια ποὺ δὲν γίνεται φαινομενικά, ἀλλὰ ἀπὸ τὰ βάθη τῆς ψυχῆς. Μὲ αὐτὴν τὴν

προσευχὴν ἠμποροῦμε νὰ ἐπιτύχωμεν τὰ πάντα, ὅπως συνέβη τοῦτο μὲ πολλὰ πρόσωπα τῆς Ἁγίας Γραφῆς.

ΠΕΡΙ ΤΗΣ ΑΠΟΛΑΥΣΕΩΣ ΤΩΝ ΜΕΛΛΟΝΤΩΝ ΑΓΑΘΩΝ

Ἡ σύγκρισις τῶν ἀγαθῶν τῆς παρούσης ζωῆς πρὸς τὰ ἀγαθὰ τῆς ἄλλης εἶναι τὸ θέμα τῆς ὁμιλίας αὐτῆς τοῦ παρόντος τόμου. Ὁ Χρυσόστομος ἐπαινεῖ αὐτοὺς ποὺ ἦλθαν διὰ νὰ τὸν ἀκούσουν ἀψηφοῦντες τὸν ὑπερβολικὸν καύσωνα καὶ τὰς ἀντιξόους καιρικὰς συνθήκας.

Τὰ ἀγαθὰ τοῦ παρόντος κόσμου εἶναι φθαρτά, ἐφήμερα καὶ παροδικά, καὶ χάνονται ὅταν ἀποθνήσκωμεν, πολλὲς φορὲς δὲ καὶ ἐνῷ ἀκόμη εὑρισκόμεθα εἰς τὴν ζωὴν μᾶς ἐγκαταλείπουν. Ἀντιθέτως, τὰ ἀγαθὰ τῆς ἄλλης ζωῆς εἶναι μόνιμα καὶ ἀσυγκρίτως ἀνώτερα ἀπὸ τὰ τοῦ κόσμου τούτου. Ἐπὶ πλέον δὲ εἶναι πολὺ εὔκολος ἡ ἀπόκτησίς των, καθόσον παρέχονται δωρεὰν εἰς αὐτοὺς ποὺ τὰ ἐπιδιώκουν. Χρειάζεται καθημερινὸς ἀγὼν ἐναντίον τοῦ διαβόλου διὰ τὴν τελικὴν νίκην. Ὁ Χριστὸς ἔθεσε τὰ προστάγματα, ἔθεσεν ὅμως καὶ τὰ ἔπαθλα, διὰ νὰ καταστήσῃ εὐκολώτερον τὸν ἀγῶνα. Διὰ τῶν χωρίων τῆς Κ. Διαθήκης ποὺ ἀναφέρει, ἀποδεικνύει ὅτι ὁ Χριστὸς ὡς ἄνθρωπος ἐτήρησεν ὅλα τὰ προστάγματα, ἑπομένως καὶ ἐμεῖς ἠμποροῦμε νὰ τὰ τηρήσωμεν, ὅπως χαρακτηριστικὰ ἀναφέρει ὅτι εὐκολώτερα ἠμπορεῖ νὰ βαδίσῃ κανεὶς ἕνα δύσβατον δρόμον, ἐὰν ἰδῇ προηγουμένως κάποιον ἄλλον νὰ ἔχῃ βαδίσει αὐτόν. Αὐτὸ συνέβη μὲ τὸν Χριστόν.

Προφανῶς ἡ ὁμιλία ἐλέχθη εἰς κάποιο προάστειον ἔξω ἀπὸ τὴν Ἀντιόχειαν, κατὰ τὴν ἐποχὴν τοῦ θέρους, ὅπως φαίνεται ἀπὸ τὴν ἀρχὴν τῆς ὁμιλίας, ὅπου ἐπαινεῖ τὸν ζῆλον τῶν ἀκροατῶν του τοὺς ὁποίους θεωρεῖ καλυτέρους ἀπὸ αὐτοὺς ποὺ κατοικοῦν εἰς τὴν πόλιν. Τὸ ἔτος τῆς ἐκφωνήσεως εἶναι δύσκολον νὰ καθορισθῇ·

ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΗΜΟΣΙΕΥΕΙΝ ΤΑ ΑΜΑΡΤΗΜΑΤΑ... ΠΕΡΙ ΤΟΥ ΜΗ ΑΠΟΓΙΝΩΣΚΕΙΝ ΤΙΝΑΣ ΕΑΥΤΟΝ ΜΗΔΕ ΚΑΤΕΥΧΕΣΘΑΙ...

Αἱ δύο αὗται ὁμιλίαι «Περὶ τοῦ μὴ δημοσιεύειν τὰ ἁμαρτήματα τῶν ἀδελφῶν μηδὲ κατεύχεσθαι τῶν ἐχθρῶν», καὶ «Περὶ τοῦ μὴ ἀπογινώσκειν τινὰς ἑαυτῶν, μηδὲ κατεύχεσθαι τῶν ἐχθρῶν, μηδὲ ἀπαγορεύειν ἐν τῷ μὴ λαμβάνειν αἰτοῦντας· καὶ πρὸς ἄνδρας περὶ τῆς πρὸς τὰς γυναῖκας εἰρήνης» ἐξεφωνήθησαν εἰς τὴν Ἀντιόχειαν τὸ ἔτος 386, μετὰ τὴν ἐκφώνησιν τοῦ πέμπτου Λόγου κατὰ Ἀνομοίων.

Ἡ δημοσίευσις τῶν ἁμαρτημάτων τῶν ἀνθρώπων ἀπὸ τοὺς ἄλλους τοὺς κάνει θρασυτέρους καὶ ἀναισχυντοτέρους, καὶ ὡς ἐκ τούτου γίνεται δυσκολωτέρα ἡ διόρθωσις καὶ ἡ θεραπεία των· διὰ τοῦτο δὲν πρέπει νὰ γνωστοποιοῦνται τὰ ἁμαρτήματα διὰ νὰ θεραπεύωνται εὐκολώτερα.

Ἐπειδὴ ὁ διάβολος γνωρίζει ὅτι, ὅταν προσευχώμεθα, ὠφελούμεθα πάρα πολύ, διὰ τοῦτο τότε ἀκριβῶς παραμονεύει καὶ στήνει τὰς παγίδας του, ὥστε καὶ κατὰ τὴν ὥραν τῆς προσευχῆς νὰ μᾶς ἐπιτεθῇ. Πῶς καὶ μὲ ποῖον τρόπον; Μὲ τὸ νὰ ἐμβάλλῃ εἰς ἐμᾶς κακοὺς λογισμούς, καὶ τὸ χειρότερον ὅλων μὲ τὸ νὰ μᾶς παρακινῇ νὰ προσευχώμεθα ἐναντίον τῶν ἐχθρῶν μας. Αὐτὸ ποὺ πράττουν ὡρισμένοι, προσευχόμενοι ἐναντίον τῶν ἐχθρῶν των, εἶναι ὕβρις πρὸς τὸν Θεόν, λέει ὁ ἱερὸς πατήρ.

Ἀφοῦ ἀποτρέπει τοὺς πιστοὺς ἀπὸ αὐτὸ στρέφει τὴν προσοχὴν τῶν ἀκροατῶν του εἰς ἕνα ἄλλο σημεῖον ἐξ ἴσου σπουδαῖον. Ἡ προσευχή μας πρέπει νὰ εἶναι ἐπίμονος καὶ διαρκής, καὶ δὲν πρέπει νὰ ἀπογοητευώμεθα ὅταν δὲν εἰσακουώμεθα ἀμέσως· ὁ Θεὸς ἄλλων τὰς προσευχὰς εἰσακούει ἀμέσως καὶ ἄλλων μετὰ παρέλευσιν χρόνου, ἀκριβῶς διὰ νὰ διδάξῃ καὶ μὲ τοὺς μὲν καὶ μὲ τοὺς δέ.

ΠΡΟΣ ΤΟΥΣ ΚΑΤΑΛΕΙΨΑΝΤΑΣ ΤΗΝ ΕΚΚΛΗΣΙΑΝ

Ἡ ἐνθρόνισις τοῦ Χρυσοστόμου εἰς τὸν ἀρχιεπισκοπικὸν

θρόνον κατὰ τὸ ἔτος 398 ἐσήμανε δι' αὐτόν, πλὴν τῶν ἄλλων, καὶ τὴν εἴσοδον καὶ τὴν γνωριμίαν μὲ ἕνα περιβάλλον διαφορετικὸν ἀπὸ ἐκεῖνο ποὺ ἔζησεν εἰς τὴν 'Αντιόχειαν. Μέσα εἰς τὸ πλῆθος τῶν νέων του καθηκόντων δὲν παρέλειψε καὶ τὸ διδακτικόν του ἔργον.

'Ο ἱππόδρομος καὶ τὰ θέατρα τῆς Κων)πόλεως ἀσκοῦσαν μίαν φθοροποιὸν ἐπίδρασιν ἐπάνω εἰς τοὺς Χριστιανούς. Δι' αὐτὸ πολλαὶ ὁμιλίαι του στρέφονται περὶ τὸ θέμα αὐτό, πρᾶγμα ποὺ ἀποδεικνύει πόσην μεγάλην σημασίαν ἔδιδεν εἰς τὸ θέμα αὐτό.

Μία ἀπὸ τὰς ὁμιλίας αὐτὰς εἶναι καὶ ἡ ὁμιλία ποὺ συμπεριλαμβάνεται εἰς τὸν παρόντα τόμον καὶ ἀπευθύνεται «Πρὸς τοὺς καταλείψαντας τὴν ἐκκλησίαν καὶ αὐτομολήσαντας πρὸς τὰς ἱπποδρομίας καὶ τὰ θέατρα», εἰς τὴν ὁποίαν τονίζει τὰς καταστρεπτικὰς συνεπείας ποὺ ἔχει διὰ τὸν χριστιανὸν ἡ φοίτησίς του εἰς τὰ θέατρα, διότι τὰ τελούμενα ἐκεῖ ἐντυπώνονται εἰς τὴν ψυχήν του, τὰ μεταφέρει μαζί του καὶ ἐπηρεάζουν τὴν ἀτομικήν, οἰκογενειακὴν καὶ κοινωνικήν του ζωήν· Κυρίως αἱ γυναῖκες τοῦ θεάτρου γίνονται φορεῖς κάθε κακοῦ καὶ παρωθοῦν εἰς τὴν ἐκτέλεσιν τῆς μοιχείας, ἔστω καὶ διὰ τῆς πονηρᾶς ἐπιθυμίας σύμφωνα μὲ τὴν εὐαγγελικὴν ρῆσιν (Ματθ. 5, 28).

Διὰ νὰ προφυλάξῃ τοὺς πιστοὺς ἀπὸ τὴν μόλυνσιν τῆς ἁμαρτίας καὶ νὰ τοὺς κάμῃ νὰ συναισθανθοῦν τὴν κατάστασιν εἰς τὴν ὁποίαν εὑρίσκονται ὥστε νὰ ἐπιστρέψουν εἰς τὴν ἐκκλησίαν, ἀπειλεῖ ὅσους παραμείνουν ἀμετανόητοι καὶ δὲν ἀποβάλλουν τὰς κακὰς συνηθείας των νὰ τοὺς ἀποκόψῃ ἀπὸ τὸ σῶμα τῆς 'Εκκλησίας.

'Η ὁμιλία ἐλέχθη πρὸς τοὺς χριστιανοὺς τῆς Κωνσταντινουπόλεως κατὰ τὸ ἔτος 399 ὅπως προκύπτει ἀπὸ ὅσα ὁ ἴδιος λέγει, ὅτι ἐπὶ ἕνα ἔτος ἀφ' ὅτου ἔγινεν ἡ ἐνθρόνισίς του δὲν ἔπαυσε νὰ ἐπαναλαμβάνῃ τὰς ἰδίας συμβουλάς. Δεδομένου ὅτι ὁ Χρυσόστομος ἀφίχθη εἰς τὴν Κωνσταντινούπολιν τὸν Φεβρουάριον τοῦ 398 συμπεραίνομεν ὅτι ἡ ὁμιλία ἐλέχθη κατὰ τὴν ἄνοιξιν τοῦ ἔτους 399.

ΠΕΡΙ ΤΕΛΕΙΑΣ ΑΓΑΠΗΣ

Ἡ ἀγάπη εἶναι ἡ μεγλυτέρα ἐξ ὅλων τῶν ἀρετῶν· αὐτὴν διδασκόμεθα ἀπὸ τὸν ἴδιον τὸν Θεὸν καὶ ὄχι μόνον μὲ λόγια, ἀλλὰ καὶ ἀπὸ διάφορα γεγονότα. Αὐτὸ τονίζεται εἰς τὴν ὁμιλίαν «Περὶ τελείας ἀγάπης καὶ κατανύξεως...». Καὶ πρῶτα πρῶτα διδασκόμεθα τὴν ἀγάπην ἀπὸ αὐτὴν ταύτην τὴν δημιουργίαν μας, ἔπειτα ἀπὸ τὰς διαφόρους ἀνταλλαγὰς ποὺ κάμνομεν οἱ ἄνθρωποι μεταξύ μας, καὶ ἀπὸ τὴν κατανομὴν τῶν πνευματικῶν καὶ ἄλλων ἀγαθῶν· μὲ τὸ νὰ αἰσθανώμεθα ὅτι δὲν εἴμεθα τέλειοι καὶ μὲ τὸ νὰ γνωρίζωμεν ὅτι ἔχομεν ἀνάγκην ὁ ἕνας ἀπὸ τὸν ἄλλον εἴμεθα ἀναγκασμένοι νὰ ἀγαπῶμεν ὁ ἕνας τὸν ἄλλον. Μεγίστη δὲ ἐκδήλωσις ἀγάπης τοῦ Θεοῦ εἶναι ἡ ἔλευσίς του πρὸς ἡμᾶς.

Ὅταν ὁ ἄνθρωπος ἐμφορῆται ἀπὸ τὴν ἀγάπην, τότε βλέπει τὸν πλησίον του ὅπως τὸν ἑαυτόν του καὶ ἡ ἀγάπη τῶν ἀνθρώπων γίνεται ἕνα μεγάλο συμπαγὲς τεῖχος ἀπόρθητον εἰς τὰς ἐφόδους τῶν ἐχθρῶν.

Εἰς τὴν συνέχειαν τῆς ὁμιλίας τονίζεται ὅτι ὑπεύθυνοι διὰ τὰς πράξεις μας εἴμεθα ἐμεῖς οἱ ἴδιοι, διότι εἴμεθα ἐλεύθεροι νὰ ἐξουσιάζωμεν τῆς βουλήσεώς μας καὶ τοῦτο τὸ ἀποδεικνύει διὰ πολλῶν πειστικῶν ἐπιχειρημάτων. Συνέπεια τούτου εἶναι ἡ τιμωρία μας ἢ ἡ ἀμοιβή μας εἰς τὴν μέλλουσαν κρίσιν. Ὅμως καὶ ἐδῶ ὁ διάβολος προσπαθεῖ νὰ μᾶς βλάψῃ λέγοντας ὅτι ὁ Θεὸς εἶναι φιλάνθρωπος καὶ δὲν θὰ μᾶς τιμωρήσῃ, προσπαθῶν μὲ τὸν τρόπον αὐτὸν νὰ μᾶς κάμῃ ῥαθύμους καὶ νὰ ἐκδιώξῃ ἀπὸ ἡμᾶς τὸν φόβον τῆς τιμωρίας. Ἐδῶ ἠμποροῦμεν νὰ ἀντιτάξωμεν, λέγει ὁ ἱερὸς πατήρ, παραδείγματα ἀπὸ τὴν Γραφὴν ὅπου ἐπραγματοποιήθη ἡ ἀπειλὴ τῆς τιμωρίας τοῦ Θεοῦ, ὅπως εἰς τὴν περίπτωσιν τοῦ κατακλυσμοῦ, τῆς καταστροφῆς τῶν Σοδόμων καὶ Γομόρρων, τῆς τιμωρίας τοῦ Φαραώ. Ὅπως τότε ἐπραγματοποιήθησαν αἱ ἀπειλαὶ τοῦ Θεοῦ, ἔτσι καὶ αἱ τιμωρίαι τῆς μελλούσης κολάσεως θὰ πραγματοποιηθοῦν. Ἄλλη ἀπόδειξις περὶ τοῦ ὅτι θὰ ὑπάρξῃ τιμωρία εἶναι καὶ τὸ γεγονὸς ὅτι πολλοὶ ἁμαρτωλοὶ πεθαίνουν χωρὶς νὰ ὑποστοῦν ἐδῶ

ἔστω τὴν παραμικρὰν τιμωρίαν, ἂν λοιπὸν δὲν ὑπάρχῃ μέλλουσα τιμωρία, ποῦ θὰ ὑποστοῦν αὐτοὶ τὴν τιμωρίαν ποὺ τοὺς ἁρμόζει; Ἄλλωστε τὴν ἀλήθειν αὐτὴν περὶ ἀνταποδώσεως τῶν πράξεών μας τὴν ἐπιβεβαιώνουν καὶ οἱ φιλόσοφοι, καὶ ἑπομένως ἂς μὴ ἀπιστοῦμεν καὶ ἀμφιβάλωμεν διὰ τὴν γέενναν τοῦ πυρός, ἀλλὰ νὰ τὴν ἐνθυμούμεθα διότι ἡ ἐνθύμησις αὕτη ὡς φάρμακον ἠμπορεῖ νὰ δράσῃ καὶ νὰ καθαρίσῃ τὰς ψυχάς μας ὥστε νὰ ἀξιωθῶμεν τῆς ἀπολαύσεως τῶν μελλόντων ἀγαθῶν.

«ΠΡΟΣ ΤΟΥΣ ΤΑ ΜΕΓΑΛΑ ΤΑ ΠΑΡΟΝΤΑ ΝΟΜΙΖΟΝΤΑΣ»

Εἰς τὴν μικρὰν ὁμιλίαν «Πρὸς τοὺς τὰ μεγάλα τὰ παρόντα νομίζοντας καὶ περὶ τὰ τοῦ βίου λαμπρὰ μάτην ἐπτοημένους» τονίζεται πρὸς αὐτοὺς ποὺ δίδουν μεγάλην ἀξίαν εἰς τὰ παρόντα ἀγαθὰ ὅτι αὐτὰ δὲν εἶναι μόνιμα, οὔτε ὁ πλοῦτος ταυτίζεται μὲ τὴν εὐτυχίαν, οὔτε αἱ κοσμικαὶ ἐξουσίαι, οὔτε ἡ ὑγεία· ὅλα αὐτὰ χάνονται. Ὅλα τὰ ἀνθρώπινα ἔχουν ἀκμὴν καὶ παρακμήν. Τίποτε δὲν εἶναι μόνιμον ἀγαθόν·τὰ ἐπίγεια ἀγαθὰ εἶναι ἐφόδια διὰ τὸν δύσκολον δρόμον τῆς ζωῆς καὶ ἔτσι πρέπει νὰ τὰ ἀντιμετωπίζῃ ὁ ἄνθρωπος. Ἄλλωστε ἐὰν ἐξετάσωμεν λεπτομερῶς τὰ διάφορα ἀγαθὰ τῆς ζωῆς θὰ διαπιστώσωμεν ὅτι τίποτε δὲν προέρχεται ἀπὸ ἡμᾶς τοὺς ἰδίους καὶ ἑπομένως δὲν πρέπει νὰ καυχώμεθα διὰ κάτι ποὺ δὲν εἶναι ἰδικόν μας. Ἐκεῖνο τὸ ὁποῖον εἶναι ἀπόλυτον κτῆμα μας καὶ πρέπει νὰ τὸ ἐπιδιώκωμεν εἶναι ἡ εὐσέβεια· ὅλα τὰ ἄλλα ὑπόκεινται εἰς τὴν φθορὰν καὶ τελικῶς τὸν θάνατον.

ΟΤΙ ΠΑΝΤΩΝ Η ΚΑΤΑ ΨΥΧΗΝ ΑΡΕΤΗ ΠΡΟΤΙΜΟΤΕΡΑ

Ἡ ὡραιότης τῆς ψυχῆς εἶναι τὸ μεγαλύτερον ἐξ ὅλων τῶν ἀγαθῶν τῆς κτίσεως, ἀπὸ τὰ ὁποῖα αὕτη εἶναι πλήρης καὶ τὰ παρέχει ἀναρίθμητα εἰς ἡμᾶς. Τὴν ἀλήθειαν αὐτὴν διαπραγματεύεται ὁ Ἰωάννης Χρυσόστομος εἰς τὴν ὁμιλίαν «Ὅτι πάντων ἡ κατὰ ψυχὴν ἀρετὴ προτιμοτέρα».

Ἡ ἀνωτερότης πού ἔχει ὁ ἄνθρωπος ἔναντι ὅλων τῶν ἄλλων δημιουργημάτων καταφαίνεται, ἐκτὸς τῶν ἄλλων, καὶ ἀπὸ τὸ γεγονὸς τῆς δημιουργίας του· ἐνῷ δηλαδὴ τὰ πάντα ἐδημιουργήθησαν μὲ μόνον τὸν λόγον τοῦ Θεοῦ, ὁ ἄνθρωπος ἐδημιουργήθη δι' ἰδιαιτέρας ἐνεργείας τοῦ Θεοῦ «κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν Θεοῦ». Ἀκριβῶς δι' αὐτὸν τὸν λόγον πρέπει νὰ φροντίζῃ διὰ τὰ μόνιμα ἀγαθὰ καὶ ὄχι δι' ἐκεῖνα πού καταστρέφονται καὶ χάνονται, διότι τέλος τῆς ὀλιγοχρονίου ζωῆς μας εἶναι ὁ τάφος καὶ ἀπὸ ὅλα τὰ ἀγαθὰ τῆς παρούσης ζωῆς τίποτε δὲν θὰ μᾶς συνοδεύσῃ εἰς τὴν ἄλλην ζωήν· ἑπομένως εἶναι μάταιον καὶ νὰ τὰ συγκεντρώνωμεν εἰς τὴν παροῦσαν ζωήν. Ἀντὶ ὅλων τούτων πρέπει νὰ συγκεντρώνωμεν εὐσέβειαν, διότι αὐτὴ θὰ μᾶς δώσῃ παρρησίαν ἐνώπιον τοῦ Θεοῦ καὶ θὰ μᾶς κάμῃ νὰ καταταχθοῦμε μαζὶ μὲ ἐκείνους πού θὰ ἀκούσουν τὸν Δεσπότην Χριστὸν νὰ λέγῃ· «Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν».

ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ

Ἡ ἀφορμὴ διὰ τὴν ἐκφώνησιν τῆς ὁμιλίας «Περὶ ἐλεημοσύνης» ἐδόθη ἀπὸ τὸ θέαμα πού ἀντίκρυσεν ὁ ἱερὸς Χρυσόστομος ὅταν ἐπήγαινε διὰ νὰ ὁμιλήσῃ εἰς τὴν συγκέντρωσιν τῶν Χριστιανῶν. Διερχόμενος δηλαδὴ τὴν ἀγορὰν καὶ τοὺς στενοὺς δρόμους εἶδε πλῆθος πτωχῶν καὶ ἀναπήρων ἀνθρώπων νὰ ὑποφέρουν ἀφ' ἑνὸς μὲν ἀπὸ τὰ διάφορα τραύματά των καὶ ἀφ' ἑτέρου ἀπὸ τὸ δριμὺ ψῦχος, καὶ παίρνων ἀφορμὴν ἀπὸ τὴν ἀθλίαν κατάστασιν πού ἀντίκρυσε, καὶ τὴν ὁποίαν ἐπεδείνωνον περισσότερον αἱ καιρικαὶ συνθῆκαι ὡμίλησε περὶ τῆς ἐλεημοσύνης.

Προβάλλων τὸ παράδειγμα τοῦ ἀποστόλου Παύλου καὶ τὸ ἐνδιαφέρον του διὰ τοὺς πτωχοὺς προσπαθεῖ νὰ ὑποδείξῃ εἰς τοὺς ἀκροατάς του τὴν σημασίαν τῆς ἐλεημοσύνης καὶ ἐν συνεχείᾳ πρακτικοὺς τρόπους συγκεντρώσεως χρημάτων καὶ ἐνισχύσεως τῶν πτωχῶν. Μεταξὺ ἄλλων προτείνει καὶ τὴν ὀλίγον κατ' ὀλίγον ἀποταμίευσιν χρημάτων, κατὰ τὴν ἡμέραν τῆς Κυ-

ριακῆς, εἰς τὸ εἰδικὸν πρὸς τοῦτο ταμεῖον εἰς τὸ σπίτι μας, ὥστε νὰ εἴμεθα ἀνὰ πᾶσαν στιγμὴν ἕτοιμοι νὰ προσφέρωμεν τὴν βοήθειάν μας ὁσάκις θὰ χρειασθῇ. Καὶ διὰ νὰ μὴ νομισθῇ ὅτι ἀπευθύνεται μόνον εἰς τοὺς πλουσίους τονίζει ὅλως ἰδιαιτέρως ὅτι κανεὶς δὲν ἀπαλλάσσεται ἀπὸ αὐτὸ τὸ λειτούργημα, διότι ἀκόμα καὶ ἡ πενία δὲν ἠμπορεῖ νὰ γίνῃ ἐμπόδιον εἰς αὐτὴν τὴν εἰσφορὰν ὅπως δὲν ἔγινεν εἰς τὴν πτωχὴν χήραν.

Ἐν συνεχείᾳ τονίζεται ὅτι εἰς τὰς ἐλεημοσύνας ἔχει μεγάλην ἀξίαν ἡ πρόθεσις τοῦ ἐλεοῦντος καὶ ὄχι τὸ ποσόν· ἄλλωστε ὅταν δίδωμεν μὲ χαρὰν ἡ προκύπτουσα ὠφέλεια εἶναι διπλῆ· ὠφελούμεθα καὶ ἡμεῖς, ἀλλὰ ὠφελοῦμεν καὶ τοὺς πτωχούς, τοὺς ὁποίους πρέπει νὰ βοηθοῦμεν ἀδιακρίτως, καὶ νὰ μὴ φερώμεθα μὲ σκληρότητα πρὸς αὐτούς. Καὶ εἰς αὐτὸ τὸ σημεῖον ἔχομεν ὡς πρότυπον καὶ παράδειγμα τὸν Θεὸν ὁ ὁποῖος ἀδιακρίτως ἀνατέλλει τὸν ἥλιον καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους· ἄλλως ἡ σκληρότης ἡ ἰδική μας πρὸς τοὺς πτωχοὺς θὰ ἐπισύρῃ τὴν σκληρότητα τοῦ Θεοῦ ἐναντίον μας καὶ τὴν στέρησιν τῆς ἐπουρανίου βασιλείας.

ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΟΝ ΑΝΑΘΕΜΑΤΙΖΕΙΝ

Εἰς τὴν παροῦσαν ὁμιλίαν «Περὶ τοῦ μὴ δέον ἀναθεματίζειν» ἐπιχειρεῖται νὰ δειχθῇ εἰς τοὺς ἀκροατὰς πόσον μεγάλην δύναμιν ἔχει αὐτὸ ποὺ θεωρεῖται ὅτι δὲν εἶναι φορεὺς κανενὸς κακοῦ, τὸ ἀνάθεμα, καὶ νὰ παύσωμεν νὰ κάμωμεν χρῆσιν αὐτοῦ. Εἶναι μεγάλο ἁμάρτημα νὰ ἀναθεματίζωμεν τὸν πλησίον μας· ἀντὶ νὰ δαγκώνωμεν καὶ νὰ τρώγωμεν ὁ ἕνας τὸν ἄλλον ὁ Χριστὸς παραγγέλλει νὰ ἀγαπῶμεν καὶ νὰ πεθαίνωμεν διὰ τὸν πλησίον μας.

Μὲ τὸ νὰ ἀναθεματίζωμεν ἰδιοποιούμεθα ἐξουσίαν ξένην, ἐξουσίαν ποὺ ἐδόθη εἰς τοὺς ἀποστόλους, καὶ οἱ ὁποῖοι ἦσαν φειδωλοὶ εἰς τὴν χρῆσιν αὐτῆς τῆς ἐξουσίας των, διότι ὁσάκις παρίστατο ἀνάγκη νὰ ἀποκόψουν ἀπὸ τὸ σῶμα τῆς Ἐκκλησίας τοὺς αἱρετικούς, τὸ ἔκαμαν μὲ μεγάλον πόνον. Πῶς λοιπὸν ἐμεῖς θὰ πράξωμεν ἀντίθετα ἀπὸ τὸν σκοπὸν τῆς σταυρικῆς

θυσίας τοῦ Χριστοῦ καὶ θὰ προκαταλάβωμεν τὴν κρίσιν τοῦ Χριστοῦ; Καὶ ἐὰν ἀκόμα κανεὶς πράττῃ ἀντίθετα ἀπὸ τὰ παραγγέλματα τοῦ Χριστοῦ καὶ παρασύρῃ καὶ ἄλλους πρέπει ἐμεῖς νὰ τὸν ἐλέγχωμεν μὲ ἐπιείκειαν καὶ ἀγάπην, ἔχοντες εἰς τὸν νοῦν μας συνεχῶς τὰ λόγια καὶ τὸ παράδειγμα τοῦ ἀποστόλου Παύλου.

ΕΙΣ ΤΑΣ ΚΑΛΑΝΔΑΣ

Ἡ λέξις «Καλάνδαι» ἢ «Καλένδαι» προερχομένη ἀπὸ τὴν λατινικὴν calendae σημαίνει τὴν πρώτην ἡμέραν τῶν ρωμαϊκῶν μηνῶν. Κατὰ τὰς ἡμέρας αὐτὰς ἐγίνοντο ἑορταὶ καὶ πανηγύρεις ἀπὸ τοὺς ἐθνικούς, οἱ ὁποῖοι ἐξαρτοῦσαν τὸ ἂν θὰ περάσουν καλὰ ἢ ὄχι ὅλον τὸν μῆνα ἀπὸ τὸ ἐὰν θὰ περάσουν καλὰ ἢ ὄχι τὴν πρώτην αὐτὴν ἡμέραν. Διὰ τοῦτο κατὰ τὰς ἡμέρας αὐτὰς ἐπεδίδοντο εἰς παντὸς εἴδους γλέντια καὶ φαγοπότια γιὰ νὰ περάσουν ὅσο τὸ δυνατὸν εὐχάριστα. Σπουδαιότεραι μεταξὺ τῶν καλανδῶν ἦσαν ἐκεῖναι τοῦ Ἰανουαρίου· Τὰ γλέντια καὶ αἱ διασκεδάσεις κατ᾽ αὐτὰς ἦσαν μεγαλύτεραι καὶ ἐκτὸς ἀπὸ τὰ φαγοπότια καὶ τὰς ἄλλας διασκεδάσεις παρεξετρέποντο καὶ εἰς ἄλλας ἀσχημίας.

Πολλαὶ ἀπὸ τὰς ἑορτὰς αὐτὰς διετηρήθησαν καὶ ἀπὸ τοὺς χριστιανοὺς ὑπὸ διάφορα ἄλλα ὀνόματα. Ἡ ἐκκλησία κατέβαλε μεγάλας προσπαθείας διὰ νὰ ἐκριζώσῃ τὰ διάφορα αὐτὰ ἔθιμα. Ἡ ΣΤ′ Οἰκουμενικὴ Σύνοδος κατεδίκασε τὰς ἑορτὰς αὐτὰς μὲ τὸν 62 κανόνα της διότι τὸ περιεχόμενόν των ἦτο τελείως ἀντίθετον πρὸς τὸ χριστιανικὸν ἦθος.

Ἡ ὁμιλία τοῦ Χρυσοστόμου τοποθετεῖται ἀκριβῶς εἰς τὰ πλαίσια τοῦ ἀγῶνος τῆς Ἐκκλησίας Ἀντιοχείας κατὰ τῶν εἰδωλολατρικῶν αὐτῶν ἐθίμων. Ἡ ὁμιλία ἐξεφωνήθη κατὰ τὴν ἡμέραν ποὺ ἐγίνοντο αἱ ἑορταὶ αὐταὶ τὸ ἔτος 387, δεύτερον ἔτος μετὰ τὴν χειροτονίαν τοῦ Χρυσοστόμου εἰς πρεσβύτερον· Ὅπως φαίνεται καὶ ἀπὸ τὸ περιεχόμενον τῆς ὁμιλίας εἰς τὴν συγκέντρωσιν αὐτὴν κατὰ τὴν ὁποίαν ὡμίλησεν ὁ Χρυσόστομος δὲν ἦτο παρὼν ὁ ἐπίσκοπος τῆς πόλεως Φλαβιανός, ὁ ὁποῖος

εἶχε χειροτονήσει τὸν Ἰωάννην εἰς πρεσβύτερον. Φαίνεται ὅτι αἱ ἀσχημίαι ποὺ ἐγένοντο κατὰ τὴν ἡμέραν αὐτὴν ἠνάγκασαν τὸν ἐπίσκοπον Φλαβιανὸν νὰ μὴ ἐξέλθῃ ἀπὸ τὴν οἰκίαν του, διὰ νὰ μὴ διέλθῃ ἀνάμεσα ἀπὸ τὸ πλῆθος ποὺ ἔξαλλα διεσκέδαζεν εἰς τὰς ὁδοὺς τῆς πόλεως. Ὁ Ἰωάννης, μὲ τὰς εὐχὰς καὶ τὰς εὐλογίας τοῦ ἐπισκόπου του ὡμίλησε καὶ κατηγόρησε αὐτοὺς ποὺ διοργανώνουν τοὺς χοροὺς καὶ τὰς διασκεδάσεις εἰς τὴν πόλιν καὶ αὐτοὺς οἱ ὁποῖοι συμμετέχουν εἰς αὐτάς.

Εἶναι πολὺ κακὸν καὶ πολὺ ἀνόητον νὰ ἐξαρτᾷ ὁ ἄνθρωπος τὴν ζωήν του ἀπὸ τὰς νουμηνίας, τονίζει εἰς τὴν ὁμιλίαν του ὁ Χρυσόστομος καὶ προτρέπει τοὺς ἀκροατάς του νὰ κάμουν συνεχῆ πνευματικὴν ἑορτὴν διὰ τῆς ἐφαρμογῆς τῆς ἀρετῆς εἰς ὅλους τοὺς τομεῖς τῆς ζωῆς. Ἐν συνεχείᾳ δίδει τὸ πραγματικὸν νόημα τῆς ἑορτῆς τῶν Καλανδῶν, ἡ ὁποία πρέπει νὰ τελῆται πρὸς δόξαν Θεοῦ, ὅπως πρέπει καὶ τὰ πάντα νὰ γίνωνται πρὸς δόξαν Θεοῦ· Διὰ τὸν καλὸν Χριστιανὸν ὅλα εἶναι δυνατὸν νὰ γίνωνται εἰς δόξαν Θεοῦ ἀκόμη καὶ ἐκεῖνα ποὺ φαίνονται ἀσήμαντα, ὡς καὶ τὰ πλέον ἀντίθετα πράγματα, ἀκόμη καὶ αὐτὸς ὁ φόνος.

ΠΡΟΣ ΤΟΥΣ ΑΝΔΡΙΑΝΤΑΣ

Τὰ ἀπὸ κάθε ἄποψιν ἀριστουργήματα, αἱ ὁμιλίαι εἰς Ἀνδριάντας, ἐξεφωνήθησαν εἰς τὴν Ἀντιόχειαν κατὰ τὴν Μ. Τεσσαρακοστὴν τοῦ ἔτους 387. Κατὰ τὰς ἀρχὰς τοῦ ἔτους αὐτοῦ ἐξερράγη μεγάλη στάσις εἰς Ἀντιόχειαν, λόγῳ ἐπιβολῆς ὑπὸ τοῦ αὐτοκράτορος Θεοδοσίου νέων φόρων εἰς τοὺς Ἀντιοχεῖς, οἱ ὁποῖοι ἀγανακτήσαντες καὶ παροτρυνόμενοι ὑπὸ ἀνθρώπων ξένων καὶ διεφθαρμένων ἀνέτρεψαν κατ' ἀρχὰς τοὺς αὐτοκρατορικοὺς ἀνδριάντας, τοὺς ἔσυραν εἰς τὰς ὁδοὺς τῆς πόλεως καὶ τέλος τοὺς κατέστρεψαν. Οἱ ἀνδριάντες αὐτοὶ ἦσαν τοῦ αὐτοκράτορος Θεοδοσίου, τοῦ πατρός του, τῶν τέκνων του καὶ τῆς συζύγου του. Γρήγορα ὅμως ἡ φρίκη καὶ ἡ ἀπόγνωσις ἀντικατέστησαν τὴν μανιώδη λύσσαν τῶν Ἀντιοχέων. Ἡ τιμωρία ἡ ὁποία ἀνεμένετο νὰ τοὺς ἐπιβληθῇ ἦτο βαρεῖα.

Ἐν τῷ μεταξὺ ὁ ἐπίσκοπος Φλαβιανὸς ἀνέλαβε τὸ βαρὺ ἔργον νὰ μεσιτεύσῃ προσωπικὰ ἐνώπιον τοῦ αὐτοκράτορος. Πρὸς τὸν σκοπὸν δὲ αὐτὸν ἀνεχώρησεν ἐσπευσμένως διὰ τὴν Κωνσταντινούπολιν. Καθ' ὃν χρόνον δὲ ἀνεμένοντο εἰδήσεις ἐκ τῆς μεταβάσεως τοῦ ἐπισκόπου Φλαβιανοῦ εἰς τὴν Κων)πολιν ὁ Χρυσόστομος ἀνέλαβε τὸ ἔργον τῆς παρηγορίας καὶ τῆς ἐνθαρρύνσεως τῶν κινδυνευόντων κατοίκων τῆς πόλεως.

Ὁ Χρυσόστομος ἀφοῦ ἐσίγησεν ἐπὶ μίαν ἑβδομάδα, μόλις τότε ἀνέρχεται εἰς τὸν ἄμβωνα καὶ ἀρχίζει τὰς τόσον διδακτικὰς ὁμιλίας αὐτοῦ εἰς τοὺς Ἀντιοχεῖς διὰ τῶν ἑξῆς: «Τί εἴπω καὶ τί λαλήσω; δακρύων ὁ παρὼν καιρός, οὐχὶ ῥημάτων· θρήνων οὐχὶ λόγων· εὐχῆς οὐ δημηγορίας· τοιοῦτον τῶν τετολμημένων τὸ μέγεθος, οὕτως ἀνίατον τὸ ἕλκος, οὕτω μέγα τὸ τραῦμα, καὶ πάσης ἰατρείας μεῖζον, καὶ τῆς ἄνωθεν δεόμενον βοηθείας...».

Ἐπωφελούμενος ἐκ τῆς ἐναγωνίου καταστάσεως τοῦ λαοῦ προσπαθεῖ καθ' ὅλον τὸ χρονικὸν διάστημα τῆς ἀπουσίας τοῦ ἐπισκόπου νὰ κάμῃ τὸν λαὸν σεμνότερον καὶ νομοταγῆ εἰς τὸ μέλλον, ἄλλοτε μὲν προτρέπων εἰς τὴν μετάνοιαν καὶ τὴν νηστείαν, τὴν καρτερίαν καὶ τὴν ὑπομονήν, ἄλλοτε δὲ παραπέμπων εἰς τὴν ἀγαθότητα τοῦ προσβληθέντος αὐτοκράτορος, καὶ ἄλλοτε διεγείρων οὐρανίους πόθους εἰς τοὺς ὁποίους καὶ μόνον αἱ ψυχαὶ ἠμποροῦν νὰ τύχουν βεβαίας ἀναπαύσεως, πρὸ πάντων δὲ παραινῶν αὐτοὺς νὰ ἀποβάλουν τὴν ὁρκωμοσίαν, τὴν ἀπληστίαν καὶ τὴν πολυτέλειαν, τὴν ὑποκρισίαν καὶ τὴν ἀνηθικότητα, τὴν σκληρότητα καὶ τὴν δεισιδαιμονίαν, ἐπικυρῶν τὰ λεγόμενα διὰ παραδειγμάτων ἐκ τῆς Ἁγίας Γραφῆς.

Μετ' ὀλίγας ἡμέρας, ἀφ' ὅτου ἤρχισαν αἱ ὁμιλίαι, ἡ φήμη ἡ ὁποία ἐκυκλοφόρησε μεταξὺ τῶν κατοίκων περὶ τῆς δεινῆς τοῦ αὐτοκράτορος ὀργῆς κατεφόβισε πάρα πολὺ πάλιν τὸν λαόν· Ὁ αὐτοκράτωρ ἠπείλησεν ὅτι θὰ μεταβάλῃ τὴν Ἀντιόχειαν εἰς κωμόπολιν, θὰ φονεύσῃ τοὺς στασιαστάς, μάλιστα δὲ ἔστειλε ἐκεῖ ὑπαλλήλους διὰ νὰ κάμουν αὐστηροτάτην ἀνάκρισιν. Πολλοὶ ἤθελαν νὰ ἐγκαταλείψουν τὴν πόλιν. Ὁ Χρυσόστομος ἀνῆλθεν εἰς τὸν ἄμβωνα, ἀφοῦ προηγουμένως ὁ ἔπαρχος εἰσῆλθεν εἰς τὸν ναὸν διὰ νὰ καθησυχάσῃ τὸν λαόν, καὶ ἐπετίμησε

τὸν λαὸν διὰ τὴν ὀλιγοπιστίαν του λέγων «ὑπὲρ ὑμῶν ἠσχύνθην καὶ ἠρυθρίασα ὅτι, τῆς ἔξωθεν ἐδεήθητε παρακλήσεως μετὰ τοὺς πολλοὺς καὶ μακροὺς λόγους ἐκείνους. Ηὐξάμην διαστῆναί μοι τὴν γῆν καὶ καταδῦναι, ὅτε ἤκουον αὐτοῦ (τοῦ ἐπάρχου) πρὸς ὑμᾶς διαλεγομένου καὶ νῦν μὲν παραμυθουμένου, νῦν δὲ αἰτιωμένου τὴν ἄκαιρον ταύτην καὶ ἄλογον δειλίαν. Οὐ γὰρ ὑμᾶς παρ' ἐκείνου διδάσκεσθαι ἔδει, ἀλλ' ὑμᾶς τοῖς ἀπίστοις ἅπασι γίνεσθαι διδασκάλους»[1].

Ἡ ἡμέρα τῆς δίκης προσεγγίζει, ἡ ἀγωνία ἐντείνεται, ἡ πόλις νεκροῦται. Χάρις εἰς τὴν σωτηριώδη ἐπέμβασιν τῶν μοναχῶν διεκόπη ἡ ἀρξαμένη δίκη. Οὗτοι «ἐπειδὴ τοσοῦτον νέφος εἶδον τὴν πόλιν περιιστάμενον, καταλιπόντες αὐτῶν τὰς σκηνὰς καὶ τὰ σπήλαια, πάντοθεν συνέρρευσαν, καθάπερ ἐξ οὐρανοῦ τινες ἄγγελοι παραγενόμενοι»[2] περιεκύκλωσαν τὸ δικαστήριον καὶ ἐζητοῦσαν νὰ ἀναβληθῇ ἡ δίκη, ἢ νὰ καταδικασθοῦν αὐτοὶ ἀντὶ ἐκείνων· τὴν ἰδίαν παράκλησιν ὑπέβαλε καὶ τὸ ἐκεῖ συνηθροισμένον πλῆθος τῶν οἰκείων τῶν κρατουμένων καὶ τὸ ἱερατεῖον τῆς πόλεως. Μάλιστα ἕνας ἀπὸ τοὺς μοναχούς, Μακεδόνιος ὀνόματι, τόσον δυνατὰ ἔσεισε τὸν αὐτοκρατορικὸν ἐπίτροπον ὥστε παρ' ὀλίγον νὰ τὸν ρίψῃ ἀπὸ τὸν ἵππον του[3]. Κατόπιν τούτων οἱ δικασταὶ ἀπεφάσισαν «μὴ τὴν καταδικάζουσαν ἐξενεγκεῖν ψῆφον, ἀλλ' εἰς τὴν τοῦ βασιλέως γνώμην ἀναβαλέσθαι τὸ τέλος»[4].

Τοιουτοτρόπως χάρις εἰς τὴν ἐπέμβασιν, παρρησίαν καὶ αὐτοθυσίαν τῶν μοναχῶν καὶ τῶν ἱερέων τῆς Ἀντιοχείας ἀνεβλήθη ἡ δίκη καὶ οἱ ἀπέλπιδες Ἀντιοχεῖς ἀνεκουφίσθησαν. Δικαίως ἐκαυχᾶτο ὁ Χρυσόστομος λέγων· «τὰ ἐνταῦθα γεγενημένα ἀκούσεται μὲν ὁ βασιλεύς, ἀκούσεται δὲ πᾶσα οἰκουμένη, ὅτι τοιοῦτοι τὴν Ἀντιοχέων πόλιν οἰκοῦσι μοναχοί, ὡς ἀποστολικὴν ἐπιδειξάμενοι παρρησίαν»[5].

Ὅταν ἡ ταραχὴ εἰς τὰς ψυχὰς τῶν Ἀντιοχέων ἤρχισε νὰ

---

1. PG 49, 161.
2. PG 49, 173.
3. Χρυσοστόμου Παπαδοπούλου, Ἱστορία Ἐκκλησίας Ἀντιοχείας, σ. 303.
4. PG 49, 174.
5. PG 49, 175.

καταστέλλεται καὶ ὁ ἄμεσος κίνδυνος ἀπεμακρύνθη ὁ Χρυσόστομος ἤρχισεν ἄλλοτε μὲν νὰ παραινῇ νὰ ἀπέχουν ἀπὸ τοὺς ὅρκους, ἄλλοτε δὲ ἐδίδασκε τὴν ἀληθινὴν νηστείαν καὶ τὰς ἀγαθοεργίας[6].

Ὁ γέρων ἐπίσκοπος Φλαβιανὸς φθάσας εἰς Κων)πολιν ἐνεφανίσθη μετὰ σπουδῆς ἐνώπιον τοῦ αὐτοκράτορος, περιστοιχουμένου ὑπὸ τῶν αὐλικῶν καὶ τῶν ἀρχηγῶν τῆς φρουρᾶς. Ὁ αὐτοκράτωρ ὠργισμένος κατηγόρησε τὴν ἀγνωμοσύνην τῶν Ἀντιοχέων καὶ ὑπενθύμησε τὰς ἐνεργείας ποὺ ἐπεδαψίλευσεν εἰς αὐτούς· Ὁ Φλαβιανὸς συγκινηθεὶς ὑπὸ τῶν δικαίων μομφῶν ὡμολόγησε καὶ αὐτὸς τὰς ἐνεργείας τοῦ Θεοδοσίου καὶ κατέκρινε τὴν παραφορὰν τοῦ λαοῦ τῆς Ἀντιοχείας καὶ μὲ δεξιότητα καὶ πειστικὰ ἐκ τῆς Γραφῆς καὶ τῆς Ἱστορίας ἐπιχειρήματα παρεκάλεσε τὸν αὐτοκράτορα νὰ συγχωρήσῃ τοὺς πταίσαντας ἀφοῦ ἤδη οὗτοι «φθάσαντες μυρίων θανάτων χαλεπώτερα διέθηκαν»[7]. Ἡ ἔκκλησις τοῦ ἐπισκόπου ἐπέφερε τὸ ποθούμενον. Ὁ αὐτοκράτωρ συγκινηθεὶς μέχρι δακρύων ἐκ τῶν λόγων τοῦ ἐπισκόπου συνεχώρησε τοὺς Ἀντιοχεῖς καὶ προέτρεψε τὸν ἐπίσκοπον νὰ σπεύσῃ νὰ ἀναγγείλῃ τὴν ἀπόφασίν του αὐτὴν εἰς τοὺς Ἀντιοχεῖς κατὰ τὴν ἡμέραν τοῦ Πάσχα διὰ νὰ ἑορτάσουν χαρμοσύνως τὴν ἡμέραν αὐτὴν λέγων: «Κὰν τί θαυμαστὸν καὶ μέγα εἰ τοῖς ὑβρικόσιν ἀφήσομεν τὴν ὀργὴν ἀνθρώποις οὖσιν, ἄνθρωποι καὶ αὐτοὶ τυγχάνοντες, ὅπου γε ὁ τῆς οἰκουμένης Δεσπότης ἐπὶ γῆς ἐλθὼν καὶ δι' ἡμᾶς γενόμενος δοῦλος καὶ παρὰ τῶν εὐεργετηθέντων σταυρωθεὶς ὑπὲρ τῶν σταυρωσάντων αὐτὸν παρεκάλει τὸν Πατέρα λέγων 'ἄφες αὐτοῖς οὐ γὰρ οἴδασι τί ποιοῦσιν'; Τί τοίνυν θαυμαστόν, εἰ τοῖς ὁμοδούλοις καὶ ἡμεῖς ἀφήσομεν;».

Ἡ περὶ σωτηρίας εἴδησις ἐγκαίρως γνωσθεῖσα ἐχαροποίησε πολὺ τὸν λαὸν καὶ ἐδημιούργησε τόσον ἐνθουσιασμὸν ὥστε οὗτος

6. Εἰς τὴν ιη' ὁμιλίαν ἡ ὁποία ἐλέχθη μετὰ τὴν ιζ' λέγει· «πολλοὺς εἶδον χαίροντας καὶ πρὸς ἀλλήλους λέγοντας, ἐνικήσαμεν, ἐκρατήσαμεν, ἐδαπανήθη τῆς νηστείας τὸ ἥμισυ. Τοὺς δὲ τοιούτους παρακαλῶ μὴ διὰ τοῦτο χαίρειν, ὅτι ἐδαπανήθη τῆς νηστείας τὸ ἥμισυ, ἀλλ' ἐκεῖνο σκοπεῖν, εἰ τῶν ἁμαρτημάτων ἐδαπανήθη τὸ ἥμισυ, καὶ τότε ἀγάλλεσθαι».

7. PG 49, 215.

ἐφωταγώγησε τὴν πόλιν καὶ ἐπανηγύρισεν.

Ὁ Χρυσόστομος ἀνελθὼν εἰς τὸν ἄμβωνα κατὰ τὴν ἡμέραν τοῦ Πάσχα ἐκθέτει περιληπτικῶς τὰ διαμειφθέντα μεταξὺ αὐτοκράτορος καὶ ἐπισκόπου καὶ ἀναγινώσκει καὶ τὴν ἔγγραφον ἀπαλλακτικὴν διαταγὴν τοῦ αὐτοκράτορος, καὶ δίδει τὰς δεούσας παραινέσεις καὶ συνιστᾷ νὰ διατηρήσουν ζωηρῶς εἰς τὴν μνήμην των τὰ γενόμενα λέγων «οὐ μόνον ἡμᾶς, ἀλλὰ καὶ τοὺς μεθ' ἡμῶν γενομένους τὰ μέγιστα τῶν συμβάντων ἡμῖν ἡ ἱστορία ὠφελῆσαι δυνήσεται»[8].

Ἔτσι ἔληξεν ἡ μεγάλη αὐτὴ δοκιμασία τῆς Ἀντιοχείας ἡ ὁποία περίπου ἐπὶ ἕνα δίμηνον συνετάραξε τὴν πολυάνθρωπον καὶ χριστιανικὴν αὐτὴν πόλιν καὶ κατέδειξε τὴν μεγάλην δύναμιν τῆς Ἐκκλησίας καὶ τὴν ἰσχυρὰν ἐπίδρασιν ἐπὶ τοῦ λαοῦ τοῦ μεγάλου πατρὸς τῆς ἐκκλησίας.

Κατὰ τὰ τραγικὰ αὐτὰ γεγονότα ὁ Χρυσόστομος ἐξεφώνησε τὰς περιφήμους «Εἰς τοὺς Ἀνδριάντας» ὁμιλίας διὰ τῶν ὁποίων ἐπωφελούμενος καὶ ἐκ τῆς ψυχολογικῆς καταστάσεως τῶν ἀκροατῶν του, ὄχι μόνον τοὺς παραμυθεῖ, ἀλλὰ καὶ μὲ μεγάλην δεξιοτεχνίαν καὶ εὐστροφίαν πνεύματος καταπολεμεῖ διαφόρους κακίας τῶν Ἀντιοχέων κυρίως τὴν εἰς τοὺς ὅρκους ῥοπήν· δι' αὐτὴν κάμνει λόγον σχεδὸν εἰς ὅλας τὰς ὁμιλίας του, μάλιστα δὲ ηὐτύχησε νὰ ἰδῇ τοὺς κόπους του στεφθέντας ὑπὸ ἐπιτυχίας, διὰ τοῦτο καὶ εἶπεν «ὑμῖν μὲν γὰρ εὖ οἶδα ὅτι ὁ νόμος οὗτος περὶ ὅρκου κατώρθωται»[9].

Αἱ ὁμιλίαι Εἰς τοὺς Ἀνδριάντας ἀνέρχονται εἰς εἴκοσι μίαν, εὑρίσκονται εἰς τὴν Ἑλληνικὴν Πατρολογίαν τοῦ Migne, τόμος 49, 16-221 καὶ εἰς τὴν ἔκδοσιν τοῦ B. Monfacon τόμος 2ος, σ. 1-264. Δὲν ἀναφέρονται ὅλαι εἰς τὰ γεγονότα τῆς πίστεως, ἀλλὰ μόνον αἱ δέκα ἐννέα (ἡ πρώτη καὶ ἡ δεκάτη ἐνάτη εἶναι ἐκτὸς σειρᾶς) διότι ἡ μὲν πρώτη, ἡ ὁποία ἐξεφωνήθη πέντε ἡμέρας πρὸ τῆς θραύσεως τῶν ἀνδριάντων[10] μετὰ τὴν ἑρμηνείαν τῆς ἀποστολικῆς ῥήσεως «οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας», διασαφηνίζει ἐκτὸς τῶν ἄλλων

8. PG 49, 220.
9. PG 49, 210.

ζητημάτων ποῖαι εἶναι αἱ αἰτίαι τῆς θλίψεως καὶ τῶν συμφορῶν τῶν ἁγίων ἀνδρῶν, ἡ δὲ δεκάτη ἐνάτη τὴν πρὸ τῆς Ἀναλήψεως Κυριακήν, ἑβδόμην ἀπὸ τοῦ Πάσχα.

ΟΤΙ ΤΟΝ ΕΑΥΤΟΝ ΜΗ ΑΔΙΚΟΥΝΤΑ ΟΥΔΕΙΣ ΠΑΡΑΒΛΑΨΑΙ ΔΥΝΑΤΑΙ

Εἰς τὴν πραγματείαν «Ὅτι τὸν ἑαυτὸν μὴ ἀδικοῦντα οὐδεὶς παραβλάψαι δύναται» ὁ Χρυσόστομος ἀναφέρει ὅτι ἡ εὐτυχία ἢ ἡ δυστυχία, ἡ ζημία ἢ ἡ ὠφέλεια εἰς τὸν ἄνθρωπον δὲν. ἐξαρτῶνται ἀπὸ τὰς συνθήκας τοῦ περιβάλλοντος οὔτε ἀπὸ τοὺς πέριξ ἀνθρώπους, ἀλλὰ εἶναι καταστάσεις ἐντελῶς ὑποκειμενικαί. Ἡ εὐτυχία ἢ ἡ δυστυχία τοῦ ἀνθρώπου ἐξαρτῶνται ἀπ' αὐτὸν τὸν ἴδιον, καὶ τοῦτο ἐπιτυγχάνεται ὅταν ὁ ἄνθρωπος συμμορφώνεται πρὸς τὸ θέλημα τοῦ Θεοῦ. Πολλὰ παραδείγματα ἀπὸ τὴν Π· Διαθήκην ἐπιβεβαιώνουν τοὺς λόγους του αὐτούς, καὶ ἰδίως ὁ Ἰώβ, ὁ ὁποῖος ἂν καὶ ὑπέστη μεγάλας συμφορὰς δὲν ἐπηρεάσθη ἀπὸ αὐτάς, δὲν ἔχασε τὸ θάρρος καὶ τὴν πίστιν του εἰς τὸν Θεόν, ἀλλὰ συνεμορφοῦτο συνεχῶς πρὸς τὸ θέλημα τοῦ Θεοῦ.

Παράλληλα καὶ ἐν σχέσει πάντοτε πρὸς τὴν προαναφερθεῖσαν θέσιν του ὁμιλεῖ περὶ τῶν θλίψεων τῆς παρούσης ζωῆς, περὶ τῶν πιέσεων ποὺ ἀσκοῦνται ἀπὸ τοὺς ἄρχοντας, περὶ πίστεως, περὶ τοῦ πλούτου καὶ τῆς πενίας, περὶ τῶν τριῶν παίδων, τῶν προφητῶν καὶ τῶν ἄλλων δικαίων τῆς Π. Διαθήκης καὶ περὶ τῆς στάσεώς των ἔναντι τῶν διαφόρων ἀσκηθεισῶν πιέσεων. Ὅλα αὐτὰ τὰ στοιχεῖα τῆς πραγματείας τὴν καθιστοῦν εὐχάριστον καὶ συναρπαστικήν.

Ἡ πραγματεία προέρχεται ἀπὸ τὴν ἐποχὴν τῆς δευτέρας ἐξορίας του (404—407) καὶ πιθανῶς νὰ ἐγράφη εἰς τὴν Κουκουσὸν τῆς Ἀρμενίας τὸ ἔτος 406.

---

10. Δ. Μπαλάνου, Πατρολογία, Ἀθῆναι 1930, σ. 368 ὑποσ. 1.

1

ΠΡΟΣ ΤΟΥΣ ΛΕΓΟΝΤΑΣ

ὅτι δαίμονες τὰ ἀνθρώπινα διοικοῦσι, καὶ δυσχεραίνοντας ἐπὶ τοῖς τοῦ Θεοῦ κολάσεσι, καὶ σκανδαλιζομένους ἐπὶ ταῖς τῶν φαύλων εὐημερίαις, καὶ δυσπραγίαις τῶν δικαίων.

1. Ἐγὼ μὲν ἤλπιζον τῇ συνεχείᾳ τῆς διαλέξεως κόρον ὑμᾶς λήψεσθαι τῶν ἡμετέρων λόγων· ὁρῶ δὲ τὸ ἐναντίον ἐκβαῖνον, οὐ κόρον ὑμῖν ἀπὸ τῆς συνεχείας γινόμενον, ἀλλὰ πόθον αὐξανόμενον, οὐ πλησμονήν, ἀλλ' ἡδονὴν προσγινομένην· καὶ ταὐτὸν συμβαῖνον, ὅπερ ἐπὶ τῶν ἔξωθεν συμποσίων οἱ φίλοινοι πάσχουσι. Καὶ γὰρ ἐκεῖνοι, ὅσῳπερ ἂν πλείω τὸν ἄκρατον ἐκχέωσι, τοσούτῳ μᾶλλον τὸ δίψος ἐξάπτουσι· καὶ ὑμῖν, ὅσῳπερ ἂν τὴν διδασκαλίαν ἐνηχήσωμεν, τοσούτῳ μᾶλλον ἀνάπτομεν τὴν ἐπιθυμίαν, πλείω ποιοῦμεν τὴν ὄρεξιν, σφοδρότερον τὸν ἔρωτα. Διὰ τοῦτο, καίτοι πενίαν ἐσχάτην ἐμαυτῷ συνειδώς, οὐ παύομαι τοὺς φιλοτίμους τῶν ἑστιατόρων μιμούμενος, καὶ συνεχῆ παρατιθεὶς ὑμῖν τὴν τράπεζαν, καὶ πλήρη τὸν κρατῆρα τῆς διδασκαλίας ἱστάς. Ὁρῶ γὰρ ὅτι μετὰ τὸ πάντα αὐτὸν ἐκπιεῖν, πάλιν διψῶντες ἀναχωρεῖτε. Καὶ τοῦτο δῆλον μὲν καὶ ἐκ τοῦ παντὸς ἐγένετο χρόνου, μάλιστα δὲ ἐκ τῆς παρελθούσης Κυριακῆς.

Ὅτι γὰρ ἀκορέστως ὑμεῖς μετέχετε τῶν θείων λογίων, ἐκείνη μάλιστα ἔδειξεν ἡ ἡμέρα, ἐν ᾗ περὶ τοῦ μὴ δεῖν κακῶς λέγειν ἀλλήλους διελεγόμην, ὅτε καὶ ὑπόθεσιν ὑμῖν κατηγορίας παρεῖχον ἀσφαλεστάτην, παραινῶν τὰ οἰκεῖα ἁμαρτήματα λέγειν κακῶς, ἀλλὰ μὴ τὰ ἀλλότρια περιεργάζεσθαι· ὅτε τοὺς ἁγίους παρήγαγον ἑαυτῶν μὲν κατηγοροῦντας, τῶν δὲ ἀλ-

1
ΠΡΟΣ ΤΟΥΣ ΛΕΓΟΝΤΑΣ
ὅτι οἱ δαίμονες διοικοῦν τὰ ἀνθρώπινα καὶ δυσανασχετοῦν διὰ τὰς τιμωρίας τοῦ Θεοῦ καὶ σκανδαλίζονται διὰ τὴν εὐημερίαν τῶν φαύλων καὶ τὴν ἀτυχίαν τῶν δικαίων.

1. Ἐγὼ λοιπὸν ἐπίστευα ὅτι ἐξ αἰτίας τῆς παρατεταμένης ὁμιλίας μου θὰ εἴχατε κορεσθῆ ἀπὸ τοὺς λόγους μου· βλέπω ὅμως νὰ συμβαίνῃ τὸ ἀντίθετον, ὅτι ὄχι μόνον δὲν αἰσθάνεσθε χορτασμόν, ἀλλὰ αὐξάνεται ὁ πόθος τῆς ἀκροάσεως, ὄχι μόνον δὲν αἰσθάνεσθε χορτασμὸν ἀλλὰ ἀπόλαυσιν· καὶ συμβαίνει αὐτὸ ποὺ παθαίνουν οἱ οἰνοπόται εἰς τὰ συμπόσια. Καθόσον ἐκεῖνοι ὅσον περισσότερον ἄκρατον οἶνον πίνουν, τόσον περισσότερον ἐξάπτουν τὴν δίψαν· καὶ εἰς ἐσᾶς ὅσον περισσότερον ἡ διδασκαλία ἀντηχεῖ εἰς τὰ αὐτιά σας, τόσον περισσότερον θερμαίνομεν τὴν ἐπιθυμίαν, καθιστῶμεν μεγαλυτέραν τὴν ὄρεξιν καὶ σφοδρότερον τὸν ἔρωτα τῆς ἀκροάσεως. Διὰ τοῦτο, ἂν καὶ γνωρίζω ὅτι ἔχω μεγάλο αἴσθημα πτωχείας, δὲν παύω νὰ μιμοῦμαι τοὺς γενναιοδώρους ἐκείνους ἑστιάτορας καὶ νὰ παραθέτω συνεχῶς εἰς ἐσᾶς τὴν τράπεζαν καὶ νὰ διατηρῶ γεμᾶτον τὸ ποτήριον τῆς διδασκαλίας. Διότι βλέπω ὅτι ἀφοῦ τὸ ἀδιάσετε ἀναχωρεῖτε πάλιν διψασμένοι. Καὶ τοῦτο ἔγινε φανερὸν ἀπὸ ὅλας τὰς περιστάσεις, κυρίως ὅμως ἀπὸ τὴν παρελθοῦσαν Κυριακήν.

Ὅτι πράγματι ἀκοῦτε σεῖς τὰ θεῖα λόγια, τὸ ἀπέδειξε κυρίως ἐκείνη ἡ ἡμέρα κατὰ τὴν ὁποίαν ἔλεγα ὅτι δὲν πρέπει νὰ κακολογῇ ὁ ἕνας τὸν ἄλλον, ὁπότε σᾶς προσέφερα μίαν ἀσφαλεστάτην εὐκαιρίαν κατηγορίας, ὅταν σᾶς συνεβούλευσα νὰ κατακρίνετε τὰ ἁμαρτήματά σας καὶ νὰ μὴ ἀσχολῆσθε μὲ τὰ ξένα· τότε σᾶς ἔφερα ὡς παράδειγμα τοὺς ἁγίους, οἱ ὁποῖοι κατηγοροῦσαν τὸν ἑαυτόν τους καὶ ἦσαν

λων φειδομένους· τὸν Παῦλον λέγοντα, «ὅτι ἁμαρτωλῶν πρῶτός εἰμι ἐγώ, καὶ ὅτι βλάσφημον ὄντα, καὶ διώκτην, καὶ ὑβριστὴν ὁ Θεὸς ἐλέησε, καὶ ἔκτρωμα ἑαυτὸν καλοῦντα, καὶ οὐδὲ τῆς τῶν ἀποστόλων προσηγορίας ἄξιον εἶναι νομίζοντα· τὸν Πέτρον λέγοντα, «Ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι»· τὸν Ματθαῖον τελώνην ἑαυτὸν προσαγορεύοντα καὶ ἐν τῷ καιρῷ τῆς ἀποστολῆς· τὸν Δαυὶδ βοῶντα καὶ λέγοντα, «Αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου· ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ»· καὶ τὸν Ἠσαΐαν ἀποδυρόμενον καὶ θρηνοῦντα, ὅτι «Ἀκάθαρτός εἰμι, καὶ ἀκάθαρτα χείλη ἔχω»· τοὺς τρεῖς παῖδας ἐν τῇ καμίνῳ πυρὸς ἐξομολογουμένους καὶ λέγοντας, ὅτι ἥμαρτον καὶ ἠνόμησαν καὶ τὰ προστάγματα τοῦ Θεοῦ οὐκ ἐφυλάξαντο· τὸν Δανιὴλ τὸ αὐτὸ τοῦτο πάλιν ἀποδυρόμενον.

Ὅτε μετὰ τὸν τῶν ἁγίων κατάλογον τούτων, καὶ μυίας ἐκάλεσα τοὺς κατηγόρους, καὶ τοῦ παραδείγματος δικαίαν ἐπήγαγον τὴν αἰτίαν, λέγων, ὅτι καθάπερ ἐκεῖναι τοῖς τραύμασιν ἐγκαθέζονται ἀλλοτρίοις, οὕτω καὶ οἱ κατήγοροι τὰ ἀλλότρια δάκνουσιν ἁμαρτήματα, νόσον ἐκεῖθεν τοῖς συγγινομένοις συλλέγοντες· καὶ τοὺς τἀναντία δὲ ποιοῦντας μελίττας προσηγόρευον, οὐχὶ νοσήματα συναγούσας, ἀλλὰ κηρία πηγνυμένας εὐλαβείας μεγίστης, καὶ οὕτω τῷ λειμῶνι τῆς ἀρετῆς τῶν ἁγίων ἐφιπταμένας· τότε δή, τότε τὸν ἀκόρεστον ὑμῶν ἐδείξατε ἔρωτα. Ἐπειδὴ γὰρ εἰς μῆκος ἡμῖν ὁ λόγος ἐξετάθη, καὶ μῆκος ἄπειρον, καὶ ὅσον οὐδέποτε, πολλοὶ μὲν προσεδόκων τῷ πλήθει τῶν λεγομένων τὴν προθυμίαν ὑμῖν σβεσθήσεσθαι, ἐγίνετο δὲ τοὐναντίον· μᾶλλον γὰρ ὑμῖν ἡ καρδία διεθερμαίνετο, μᾶλλον ἐξήπτετο ὁ πόθος. Καὶ πόθεν δῆλον; Οἱ γοῦν πρὸς τῷ τέλει γενόμενοι κρότοι μείζους ἦσαν, καὶ λαμπρότεραι αἱ βοαί· καὶ ταὐτὸν συνέβαινεν, οἷον ἐπὶ τῶν καμίνων. Καθάπερ γὰρ ἐκεῖ παρὰ μὲν τὴν ἀρχὴν οὐ σφόδρα λαμπρόν ἐστι τοῦ πυρὸς τὸ φῶς, ἐπει-

---

1. Α' Τιμ. 15 καὶ 13.
2. Πρβλ. Α' Κορ. 15, 9.
3. Λουκᾶ 5, 8.
4. Ματθ. 10, 3.
5. Ψαλμ. 37, 5.
6. Ἠσ. 6,5.

φειδωλοὶ ἔναντι τῶν ἄλλων· τὸν Παῦλον ὁ ὁποῖος ἔλεγε «ὅτι εἶμαι πρῶτος ἐκ τῶν ἁμαρτωλῶν καὶ ὅτι ἐνῷ ἤμουν βλάσφημος καὶ διώκτης καὶ ὑβριστὴς ὁ Θεὸς μὲ ἐλυπήθη»[1], ἀπεκάλει τὸν ἑαυτόν του ἔκτρωμα καὶ ἐπίστευε ὅτι δὲν εἶναι ἄξιος νὰ ὀνομάζεται ἀπόστολος[2]· τὸν Πέτρον ὁ ὁποῖος ἔλεγε· «ἔξελθε ἀπὸ ἐμὲ διότι εἶμαι ἄνθρωπος ἁμαρτωλός[3]· τὸν Ματθαῖον ὁ ὁποῖος ἀπεκάλει τὸν ἑαυτόν του τελώνην καὶ μάλιστα κατὰ τὸν καιρὸν τῆς ἀποστολῆς[4]· τὸν Δαυὶδ ὁ ὁποῖος ἐφώναζε καὶ ἔλεγε «αἱ ἀνομίαι μου ὑπερυψώθησαν τῆς κεφαλῆς μου· ὡσὰν βαρὺ φορτίον βαρύνουν ἐπάνω μου»[5] καὶ τὸν Ἠσαΐαν ὁ ὁποῖος ὠδύρετο καὶ ἔκλαιε λέγων «εἶμαι ἀκάθαρτος καὶ ἔχω ἀκάθαρτα χείλη»[6]· τοὺς τρεῖς παῖδας μέσα εἰς τὴν κάμινον τοῦ πυρὸς νὰ ἐξομολογοῦνται καὶ νὰ λέγουν ὅτι ἡμάρτησαν καὶ παρενόμησαν καὶ δὲν ἐφύλαξαν τὰ προστάγματα τοῦ Θεοῦ· τὸν Δανιὴλ νὰ θρηνῇ καὶ αὐτὸς διὰ τὸν ἴδιον λόγον.

Ὅταν μετὰ τὸν κατάλογον τῶν ἁγίων αὐτῶν ἐκάλεσα καὶ μυίγας τοὺς κατηγόρους καὶ ἐδικαιολόγησα τὴν παρομοίωσιν λέγων ὅτι ὅπως ἐκεῖναι ἐπικάθονται εἰς τὰ ξένα τραύματα, ἔτσι καὶ οἱ φιλοκατήγοροι δαγκώνουν τὰ ξένα ἁμαρτήματα καὶ ἀποκομίζουν ἀρρώστιαν μὲ τὴν πρὸς ἐκείνους συναναστροφήν· καὶ τοὺς ἄλλους οἱ ὁποῖοι πράττουν τὰ ἀντίθετα τοὺς ὠνόμαζα μελίσσας, αὐτὰ δὲν προκαλοῦν νοσήματα, ἀλλὰ παρασκευάζουν κηρία μεγίστου σεβασμοῦ καὶ ἔτσι πετοῦν εἰς τὸ λιβάδι τῆς ἀρετῆς τῶν ἁγίων· τότε λοιπόν, τότε ἐδείξατε τὴν ἄσβεστον δίψαν τῆς ἀκροάσεως. Διότι ἐπειδὴ ὁ λόγος ἐπεξετάθη εἰς μῆκος πολὺ μεγάλο, ὅσον οὐδέποτε, πολλοὶ ἐφοβοῦντο μήπως ἐκλείψῃ ἡ προθυμία σας ἐξ αἰτίας τοῦ πλήθους τῶν λεγομένων, συνέβαινε ὅμως τὸ ἀντίθετον· διότι περισσότερον ἐθερμαίνετο ἡ καρδία σας καὶ περισσότερον ηὔξανεν ὁ πόθος. Ἀπὸ ποῦ ἐφάνη αὐτό; Τὰ κατὰ τὸ τέλος τῆς ὁμιλίας χειροκροτήματα ἦσαν δυνατώτερα καὶ ἐντονώτεραι αἱ φωναί σας· καὶ συνέβαινε τὸ ἴδιον ποὺ συμβαίνει μὲ τὰς καμίνους. Ὅπως δηλαδὴ ἐκεῖ κατὰ τὴν ἀρχὴν δὲν εἶναι πολὺ φωτεινὴ ἡ λάμψις τῆς φω-

δὰν δὲ ἁπάντων ἐπιλάβηται τῶν ἐπικειμένων ξύλων ἡ φλόξ, εἰς ὕψος αἴρεται μέγα· οὕτω δὴ καὶ ἐπὶ τῆς ἡμέρας τότε ἐκείνης τοῦτο συνέβη. Παρὰ μὲν τὴν ἀρχὴν οὐ σφόδρα μοι ὁ σύλλογος οὗτος ἐκεκίνητο· ἐπειδὴ δὲ ὁ λόγος εἰς μῆκος ἐξετάθη, καὶ πάντων ἐπελάβετο τῶν ὑποκειμένων, καὶ πλείων ἡ διδασκαλία κατεβλήθη, τότε δή, τότε ὑμῖν ἐξεκαίετο τῆς ἀκροάσεως ἡ ἐπιθυμία, καὶ σφοδρότερος ὁ κρότος ἐξερρήγνυτο. Διὰ τοῦτο, καίτοι ἐλάττω τῶν εἰρημένων παρεσκευασμένος εἰπεῖν, ὑπερέβην τότε τὴν συμμετρίαν· μᾶλλον δὲ οὐδέποτε τὴν συμμετρίαν ὑπερέβην ἐγώ· τὴν γὰρ ποσότητα τῆς διδασκαλίας οὐ τῷ πλήθει τῶν λεγομένων, ἀλλὰ τῇ διαθέσει τῶν ἀκροωμένων μετρεῖν ἂν πέφυκα.

Ὁ μὲν γὰρ ναυτιῶντας λαβὼν ἀκροατάς, κἂν συστείλῃ τὴν διδασκαλίαν, παρενοχλεῖν δοκεῖ· ὁ δὲ θερμοὺς καὶ διεγηγερμένους καὶ νήφοντας, κἂν ἐκτείνῃ πρὸς μῆκος, οὐδὲ οὕτω τὴν ἐπιθυμίαν ἐμπίμπλησιν. Ἀλλ᾽ ἐπειδὴ συμβαίνει εἶναί τινας καὶ ἀσθενεῖς ἐν δήμῳ τοσούτῳ, ἀδυνατοῦντας παρακολουθῆσαι τῷ μήκει τοῦ λόγου, ἐκεῖνο αὐτοὺς παραινέσαι βούλομαι, ἀκούσαντας ὅσα δύνανται δέξασθαι, καὶ τὰ ἀρκοῦντα λαβόντας ἀναχωρῆσαι· οὐδεὶς ὁ κωλύων, οὐδὲ βιαζόμενος πέρα τῆς οἰκείας μένειν δυνάμεως τὸν μέν τοι λόγον μὴ ἀναγκαζέτωσαν πρὸ τοῦ καιροῦ καὶ τῆς οἰκείας ὥρας συστέλλεσθαι. Ἐνεπλήσθης γὰρ σύ, ἀλλ᾽ ὁ ἀδελφός σου ἔτι πενᾷ· καὶ σὺ μεθύεις τῷ πλήθει τῶν εἰρημένων, ἀλλ᾽ ὁ ἀδελφός σου ἔτι διψᾷ. Μήτε ἐκεῖνος συντριβέτω σου τὴν ἀσθένειαν, ἀναγκάζων πλείω τῆς οἰκείας δέξασθαι δυνάμεως, μήτε σὺ ἐπηρέαζε τῇ ἐκείνου ἐπιθυμίᾳ κωλύων ἅπαν, ὅσον δύναται δέξασθαι, λαβεῖν.

2. Τοῦτο καὶ ἐπὶ τῶν ἔξωθεν γίνεται τραπεζῶν· οἱ μὲν θᾶττον, οἱ δὲ βραδύτερον ἐμπίπλανται, καὶ οὔτε οὗτοι ἐγκα-

τιᾶς ὅταν ὅμως ἁπλωθῇ εἰς ὅλα τὰ ξύλα ποὺ εἶναι μαζεμένα στὴ φωτιά, ἡ λάμψις ὑψώνεται εἰς μέγα ὕψος· ἔτσι ἀκριβῶς συνέβη καὶ τότε κατὰ τὴν ἡμέραν ἐκείνην. Εἰς τὴν ἀρχὴν μοῦ ἐφαίνετο ὅτι ἡ συνάθροισις αὐτὴ δὲν εἶχε συγκινηθῇ πολύ· ὅταν ὅμως ὁ λόγος παρετάθη καὶ ἀνεφέρθη εἰς ὅλα τὰ θέματα καὶ ἔγινε ἡ διδασκαλία ἐκτενεστέρα, τότε λοιπόν, τότε ἄρχισε νὰ αὐξάνῃ ἡ ἐπιθυμία τῆς ἀκροάσεως καὶ ἐγίνοντο τὰ χειροκροτήματα δυνατώτερα. Διὰ τοῦτο, καίτοι εἶχα προετοιμασθῇ νὰ εἰπῶ ὀλιγώτερα ἀπ' ὅσα ἀνέπτυξα, τότε ὑπερέβην τὸ μέτρον· μᾶλλον δὲ ἐγὼ οὐδέποτε ὑπερέβην τὸ μέτρον· διότι συνηθίζω νὰ μετρῶ τὴν ποσότητα τῆς διδασκαλίας ὄχι ἀπὸ τὸ πλῆθος τῶν λόγων, ἀλλὰ ἀπὸ τὴν διάθεσιν τῶν ἀκροατῶν.

Ὅταν κανεὶς ἔχῃ ἀκροατὰς κατεχομένους ἀπὸ ναυτίαν, καὶ ἂν ἀκόμα περιορίσῃ τὴν διδασκαλίαν φαίνεται ἐνοχλητικός· ἐκεῖνος ὅμως ποὺ ἀπευθύνεται σὲ ἀκροατὰς ἐνθέρμους καὶ ποὺ ἔχει διεγερθῆ τὸ ἐνδιαφέρον τους καὶ εἶναι προσηλωμένοι εἰς τὸν ὁμιλητήν, καὶ ἂν ἀκόμη παρατείνῃ τὴν ὁμιλίαν οὔτε τότε χορταίνει τὴν ἐπιθυμίαν των. Ἐπειδὴ ὅμως συμβαίνει μέσα εἰς τόσον πλῆθος νὰ εἶναι καὶ μερικοὶ ἀδύνατοι, ποὺ δὲν ἠμποροῦν νὰ παρακολουθοῦν τὸν μεγάλον αὐτὸν λόγον, θέλω νὰ τοὺς συμβουλεύσω τὸ ἑξῆς, ἀφοῦ ἀκούσουν ὅσα εἶναι εἰς θέσιν νὰ δεχθοῦν καὶ λάβουν αὐτὰ ποὺ δι' αὐτοὺς εἶναι ἀρκετὰ νὰ ἀποχωρήσουν· κανεὶς δὲν τοὺς ἐμποδίζει οὔτε τοὺς ὑποχρεώνει κανεὶς νὰ παραμένουν πέραν τῆς ἀντοχῆς των· καὶ ἂς μὴ μᾶς ἀναγκάζουν νὰ τελειώνωμεν τὸν λόγον πρὶν ἀπὸ τὴν κατάλληλον στιγμὴν καὶ τὸν ἀπαιτούμενον χρόνον. Σὺ ἐχόρτασες ἀλλὰ ὁ ἀδελφός σου πεινᾷ ἀκόμη· καὶ σὺ μὲν ἐμέθυσες ἀπὸ τὸ πλῆθος τῆς διδασκαλίας, ὁ ἀδελφός σου ὅμως διψᾷ ἀκόμη. Οὔτε ἐκεῖνος νὰ καταπιέζῃ τὴν ἀδυναμίαν σου μὲ τὸ νὰ σὲ ἀναγκάζῃ νὰ ἀκοῦς περισσότερα ἀπὸ ὅσα ἠμπορεῖς, οὔτε σὺ νὰ ἐπηρεάζῃς τὴν ἐπιθυμίαν ἐκείνου, ἐμποδίζων αὐτὸν νὰ λάβῃ ὅλα ὅσα ἠμπορεῖ νὰ δεχθῇ.

2. Τὸ ἴδιον συμβαίνει καὶ μὲ τὰ κοσμικὰ συμπόσια· ἄλλοι χορταίνουν ἐνωρίτερον καὶ ἄλλοι ἀργότερον καὶ οὔτε

λοῦσιν ἐκείνοις, οὔτε οὗτοι τούτων καταγινώσκουσιν· ἀλλ' ἐκεῖ μὲν τὸ ταχύτερον ἀποστῆναι, ἐγκώμιον, ἐνταῦθα δὲ τὸ ταχύτερον ἀποστῆναι, οὐχὶ ἐγκώμιον, ἀλλὰ συγγνώμης ἄξιον· ἐκεῖ τὸ βραδύτερον παύσασθαι, κατηγορία καὶ μέμψις, ἐνταῦθα τὸ βραδύτερον ἀποστῆναι, ἔπαινος καὶ εὐφημία μεγίστη. Τί δήποτε; Ὅτι ἐκεῖ μὲν ἐξ ἀδηφαγίας ἡ βραδύτης γίνεται, ἐνταῦθα δὲ ἐξ ἐπιθυμίας πνευματικῆς καὶ θείας ὀρέξεως ἡ παραμονὴ καὶ ἡ καρτερία συνίσταται. Ἀλλὰ τῶν μὲν προοιμίων ἅλις· ἡμεῖς δὲ λοιπὸν ἐπὶ τὸ χρέος ἐκεῖνο βαδιούμεθα, ὅπερ ἐξ ἐκείνης ἡμῖν ὑπελείφθη τῆς ἡμέρας.

Τί οὖν τὸ λεγόμενον τότε ἦν; Ὅτι μία φωνὴ πᾶσιν ἀνθρώποις ἦν, καθάπερ καὶ φύσις μία, καὶ οὐδεὶς ἑτερόφωνος, ἢ ἑτερόγλωσσος ἦν. Πόθεν οὖν ἡ τοσαύτη διαφωνία; Ἀπὸ τῆς ῥᾳθυμίας τῶν λαβόντων τὸ δῶρον· ἅπερ ἀμφότερα τότε εἰρήκαμεν, καὶ διὰ τῆς ὁμοφωνίας τὴν τοῦ Δεσπότου φιλανθρωπίαν δεικνύντες, καὶ διὰ τῆς διαφωνίας τὴν ἀγνωμοσύνην τῶν οἰκετῶν. Ὁ μὲν γὰρ καὶ προειδώς, ὅτι ἀπολοῦμεν τὸ δῶρον, ὅμως ἔδωκεν· οἱ δὲ ἐμπιστευθέντες, κακοὶ περὶ τὴν παρακαταθήκην ἐγένοντο. Εἷς μὲν οὖν ἀπολογίας οὗτος ὁ τρόπος, ὅτι οὐχ ὁ Θεὸς ἐξέβαλε τῆς δωρεᾶς, ἀλλ' ἡμεῖς ἀπωλέσαμεν τὰ δοθέντα· δεύτερος δὲ μετ' ἐκεῖνον, ὅτι μείζονα τῶν ἀπολωλότων τὰ δοθέντα ὕστερον ἐλάβομεν. Ἀντὶ πόνων προσκαίρων ἐτίμησεν αἰωνίῳ ζωῇ, ἀντὶ ἀκανθῶν καὶ τριβόλων τὸν καρπὸν τοῦ Πνεύματος ἐν ταῖς ψυχαῖς ἡμῶν βλαστῆσαι παρεσκεύασεν. Οὐδὲν ἦν εὐτελέστερον ἀνθρώπου, καὶ οὐδὲν γέγονε τιμιώτερον ἀνθρώπου. Τὸ ἔσχατον μέρος τῆς λογικῆς κτίσεως οὗτος ἦν· ἀλλ' οἱ πόδες ἐγένοντο κεφαλή, καὶ εἰς τὸν θρόνον ἀνηνέχθησαν τὸν βασιλικὸν διὰ τῆς ἀπαρχῆς. Καθάπερ γὰρ ἄνθρωπός τις

αὐτοὶ κατηγοροῦν ἐκείνους οὔτε ἐκεῖνοι καταδικάζουν τοὺς ἄλλους· ἀλλὰ εἰς τὴν περίπτωσιν τῶν συμποσίων εἶναι ἐπαινετὸν νὰ ἀποσυρθῇ κανεὶς τὸ ταχύτερον, εἰς τὴν περίπτωσίν μας ὅμως τὸ νὰ ἀποσυρθῇ κανεὶς τὸ ταχύτερον δὲν εἶναι ἐπαινετὸν ἀλλὰ ἄξιον συγγνώμης· ἐκεῖ τὸ νὰ ἀποσυρθῇ κανεὶς ἀργότερον ἐπισύρει κατηγορίαν καὶ μομφήν, ἐδῶ τὸ νὰ ἀποχωρήσῃ κανεὶς βραδύτερον ἀποσπᾷ τὸν ἔπαινον καὶ τὴν μεγίστην ἐπιδοκιμασίαν. Διατί αὐτό; Διότι ἐκεῖ μὲν ἡ βραδύτης προέρχεται ἐκ πολυφαγίας, ἐνῷ ἐδῶ ἡ παραμονὴ καὶ ἡ καρτερία πηγάζει ἀπὸ πνευματικὴν ἐπιθυμίαν καὶ θείαν ὄρεξιν. Ἀλλὰ ἀρκετὰ αὐτὰ ὡς προοίμιον· ἐμεῖς θὰ προχωρήσωμε τώρα εἰς τὴν ἐκπλήρωσιν τοῦ χρέους ἐκείνου, τὸ ὁποῖον ἔμεινεν ἀνεκτέλεστον ἀπὸ ἐκείνην τὴν ἡμέραν.

Τί ἐλέγαμεν λοιπὸν τότε; Ὅτι ὅλοι οἱ ἄνθρωποι εἶχαν μίαν γλῶσσαν, ὅπως εἶναι μία καὶ ἡ φύσις, καὶ δὲν ὑπῆρχε κανεὶς ἑτερόφωνος ἢ ἑτερόγλωσσος. Ἀπὸ ποῦ λοιπὸν προῆλθεν ἡ τόση ποικιλία τῶν γλωσσῶν; Ἀπὸ τὴν ἀδιαφορίαν τῶν ἀνθρώπων ποὺ ἔλαβαν τὸ δῶρον· καὶ ὡμιλήσαμεν τότε καὶ διὰ τὰ δύο, καὶ ἀπεδείξαμεν διὰ τῆς ὁμογλωσσίας τὴν φιλανθρωπίαν τοῦ Κυρίου καὶ διὰ τῆς πολυγλωσσίας τὴν ἀνοησίαν τῶν δούλων. Διότι ἐκεῖνος, ἂν καὶ ἐγνώριζεν ἐκ τῶν προτέρων ὅτι θὰ χάσωμεν τὸ δῶρον, ἐν τούτοις τὸ ἔδωκεν· ἐκεῖνοι δὲ εἰς τοὺς ὁποίους τὸ ἐνεπιστεύθη ἐφάνησαν κακοὶ εἰς τὴν διαφύλαξιν τῆς παρακαταθήκης. Αὐτὸς λοιπὸν εἶναι ἕνας τρόπος ἀπολογίας, ὅτι δηλαδὴ δὲν μᾶς ἐστέρησεν ὁ Θεὸς ἀπὸ τὸ δῶρον ἐκεῖνο, ἀλλὰ ἐμεῖς μόνοι ἐχάσαμε τὰ ὅσα μᾶς ἐδόθησαν· δεύτερος δὲ τρόπος ἀπολογίας, μετὰ ἀπ' αὐτὸν εἶναι ὁ ἑξῆς: ὅτι αὐτὰ ποὺ μᾶς ἐδόθησαν ὕστερα καὶ ποὺ τὰ ἐλάβαμε εἶναι μεγαλύτερα ἀπὸ ἐκεῖνα ποὺ ἐχάσαμε. Ἀντὶ προσκαίρων μόχθων μᾶς ἐτίμησε μὲ αἰώνιον ζωήν, ἀντὶ ἀκανθῶν καὶ τριβόλων ἔκαμε νὰ βλαστήσῃ εἰς τὰς ψυχάς μας ὁ καρπὸς τοῦ πνεύματος. Τίποτε δὲν ἦτο εὐτελέστερον τοῦ ἀνθρώπου, καὶ τίποτε δὲν ἔγινε ἐνδοξότερον ἀπὸ αὐτόν. Ἦταν τὸ τελευταῖον κατὰ σειρὰν δημιούργημα· ἀλλὰ οἱ πόδες ἔγιναν κεφαλὴ καὶ ὑψώθησαν εἰς τὸν βασιλικὸν θρόνον διὰ τῆς ἀπαρχῆς (τοῦ Χριστοῦ). Διότι ὅπως ἕνας ἄνθρωπος γεν-

φιλότιμος καὶ μεγαλόδωρος ἰδών τινα ἐκ ναυαγίου διαφυγόντα, καὶ τὸ σῶμα γυμνὸν ἀπὸ τῶν κυμάτων διασῶσαι δυνηθέντα μόνον, δεξάμενος ὑπτίαις ταῖς χερσί, λαμπρὰν περιβάλοι στολήν, καὶ πρὸς τιμὴν ἀγάγοι τὴν ἀνωτάτω· οὕτω καὶ ὁ Θεὸς ἐπὶ τῆς φύσεως τῆς ἡμετέρας ἐποίησε. Πάντα ἀπέβαλεν, ὅσα εἶχεν, ὁ ἄνθρωπος, τὴν παρρησίαν, τὴν πρὸς Θεὸν ὁμιλίαν, τὴν ἐν τῷ παραδείσῳ διαγωγήν, τὸν ἀταλαίπωρον βίον, καὶ καθάπερ ἐκ ναυαγίου, γυμνὸς ἐκεῖθεν ἐξῆλθεν· ἀλλ' ὁ Θεὸς αὐτὸν δεξάμενος περιέστειλεν εὐθέως, καὶ κατὰ μικρὸν χειραγωγῶν πρὸς τὸν οὐρανὸν ἀνήγαγε· καίτοι οὐκ ἦν συγγνώμης τὸ ναυάγιον ἄξιον. Οὐ γὰρ παρὰ τὴν τῶν πνευμάτων βίαν, ἀλλὰ παρὰ τὴν τοῦ πλέοντος ῥαθυμίαν ἅπαν συνέβη τὸ κλυδώνιον τοῦτο. Ἀλλ' οὐ πρὸς τοῦτο εἶδεν ὁ Θεός, ἀλλὰ τὸ μέγεθος τῆς συμφορᾶς κατηλέησε, καὶ τὸν ἐν λιμένι παθόντα ναυάγιον, καθάπερ ἐν μέσῳ τῷ πελάγει τοῦτο ὑπομείναντα, οὕτω φιλοφρόνως ἐδέξατο· τὸ γὰρ ἐν παραδείσῳ πεσεῖν, ἐν λιμένι ναυάγιόν ἐστιν ὑπομεῖναι.

Τί δήποτε; Ὅτι οὐδέπω λύπης, οὐδέπω φροντίδος, οὐδὲ πόνων, οὐδὲ μόχθων, οὐδὲ τῶν μυρίων τῆς ἐπιθυμίας κυμάτων ἐπικωμαζόντων τῇ φύσει τῇ ἡμετέρᾳ, ὑπεσκελίσθη καὶ κατέπεσε. Καὶ καθάπρ οἱ τὴν θάλατταν πλέοντες κακοῦργοι, μικρῷ σιδήρῳ πολλάκις τὴν ναῦν διατρήσαντες, ἅπασαν ἐνεισάγουσι κάτωθεν τῷ πλοίῳ τὴν θάλατταν· οὕτω δὴ καὶ τότε ἰδὼν τὸ πλοῖον τοῦ Ἀδὰμ ὁ διάβολος, τουτέστι τὴν ψυχὴν πολλῶν γέμουσαν ἀγαθῶν, ὥσπερ τινὶ σιδήρῳ μικρῷ, τῇ ψιλῇ φωνῇ προσελθὼν καὶ διατρήσας, ἅπαντα ἐκένωσεν ἐκείνου τὸν πλοῦτον, καὶ τὸ σκάφος αὐτὸ κατέδυσεν. Ἀλλ' ὁ Θεὸς μείζω τῆς ζημίας τὴν ἐμπορίαν ἐποιήσατο, καὶ πρὸς τὸν θρόνον τὸν βασιλικὸν τὴν φύσιν ἀνήγαγε τὴν ἡμετέραν. Διὸ καὶ Παῦλος βοᾷ, λέγων· «Συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν δεξιᾷ αὐτοῦ ἐν τοῖς ἐπουρανίοις, ἵνα

ναιόδωρος καὶ μεγαλόκαρδος, ποὺ εἶδε κάποιον, ὁ ὁποῖος διέφυγε τὸ ναυάγιον, καὶ ἠμπόρεσε νὰ σώσῃ ἀπὸ τὰ κύματα μόνον τὸ γυμνὸν σῶμά του τὸν ὑποδέχεται μὲ ἁπλωμένα χέρια καὶ θὰ τὸν ἐνδύσῃ μὲ λαμπρὰν στολὴν καὶ θὰ τὸν περιβάλλῃ μὲ ὑψίστην τιμήν, τὸ ἴδιον ἔκαμε καὶ ὁ Θεὸς εἰς τὴν ἰδικήν μας φύσιν. Ὅλα τὰ ἔχασεν ὅσα εἶχεν ὁ ἄνθρωπος, τὸ θάρρος, τὴν ἐπικοινωνίαν μὲ τὸν Θεόν, τὴν διαμονὴν εἰς τὸν Παράδεισον, τὸν ἀταλαίπωρον βίον, καὶ ὡσὰν νὰ προήρχετο ἀπὸ ναυάγιον ἐξῆλθε γυμνὸς ἀπὸ ἐκεῖ· ἀλλὰ ὁ Θεὸς ἀφοῦ τὸν ἐδέχθη ἀμέσως τὸν ἐφρόντισε καὶ σιγὰ - σιγὰ κρατῶντας τον ἀπὸ τὸ χέρι τὸν ὡδήγησε πρὸς τὸν οὐρανόν· καίτοι τὸ ναυάγιον ἐκεῖνο δὲν ἦταν ἄξιον συγγνώμης. Διότι ὅλος αὐτὸς ὁ κλυδωνισμὸς δὲν προῆλθεν ἀπὸ τὴν ἰσχυρὰν πνοὴν τῶν ἀνέμων, ἀλλὰ ἀπὸ τὴν ἀδιαφορίαν τοῦ ἰδίου τοῦ πλέοντος. Ἀλλὰ δὲν ἐστάθη εἰς αὐτὸ τὸ σημεῖον ὁ Θεός, ἀλλὰ τὸν ἐλυπήθη διὰ τὸ μέγεθος τῆς συμφορᾶς καὶ αὐτὸν ποὺ ἐναυάγησε μέσα εἰς τὸν λιμένα τὸν ὑπεδέχθη ὁ Θεὸς μὲ τόσην φιλοφροσύνην, ὡσὰν νὰ εἶχε ναυαγήσει μέσα εἰς τὸ πέλαγος· διότι τὸ νὰ ὀλισθήσῃ καὶ νὰ πέσῃ εἰς τὸν παράδεισον, εἶναι ὡσὰν νὰ ναυαγήσῃ μέσα εἰς λιμένα.

Διατί λοιπόν; Διότι, ἐνῷ οὔτε ἡ θλῖψις ἀκόμη, οὔτε ἡ φροντίς, οὔτε οἱ πόνοι καὶ οἱ μόχθοι, οὔτε τὰ ἀμέτρητα κύματα τῆς ἐπιθυμίας δὲν εἶχαν ἐφαρμόσει ἀκόμη ἐναντίον τῆς ἰδικῆς μας φύσεως, καὶ αὐτὸς ὑπεσκελίσθη καὶ κατέπεσε. Καὶ ὅπως οἱ λησταὶ τῆς θαλάσσης πολλὲς φορὲς μὲ μικρὸν τεμάχιον σιδήρου διατρυποῦν τὸ πλοῖον καὶ κάνουν νὰ εἰσβάλῃ διὰ τῆς ὀπῆς μέσα εἰς τὸ πλοῖον ἡ θάλασσα, ἔτσι καὶ τότε ὁ διάβολος, ὅταν εἶδε τὸ πλοῖον τοῦ Ἀδάμ, δηλαδὴ τὴν ψυχήν του γεμάτην ἀπὸ πολλὰ ἀγαθά, ἐπλησίασε καὶ μὲ γυμνὴν τὴν φωνήν, ὡσὰν μὲ μικρὸν σίδηρον, τὸ ἐτρύπησε καὶ ἄδειασε ὅλον τὸν πλοῦτον του καὶ ἐβύθισε καὶ τὸ ἴδιον τὸ σκάφος. Ἀλλὰ ὁ Θεὸς ἔκαμε ὥστε τὸ κέρδος νὰ εἶναι μεγαλύτερον ἀπὸ τὴν ζημίαν καὶ ἀνύψωσε τὴν φύσιν μας εἰς τὸν βασιλικὸν θρόνον. Δι᾽ αὐτὸ καὶ ὁ Παῦλος διακηρύττει καὶ λέγει· «μᾶς ἀνέστησε μαζὶ καὶ μᾶς ἐκάθισε μαζὶ εἰς τὰ δεξιά του ἐπάνω εἰς τὸν οὐρανόν, διὰ νὰ δείξῃ εἰς τοὺς ἐπερ-

ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος αὐτοῦ ἐν χρηστότητι ἐφ' ἡμᾶς».

Τί λέγεις; Ἤδη τὸ πρᾶγμα γέγονε καὶ τέλος ἔχει, καὶ λέγεις· «Ἵνα ἐν τοῖς αἰῶσιν ἐνδείξηται τοῖς ἐπερχομένοις»; Οὐ γὰρ ἐνεδείξατο; Ἐνεδείξατο μὲν ἤδη, ἀλλ' οὐχὶ πᾶσιν ἀνθρώποις, ἀλλ' ἐμοὶ τῷ πιστῷ· ὁ δὲ ἄπιστος οὐδέπω τὸ θαῦμα εἶδε. Τότε δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ πᾶσα ἡ τῶν ἀνθρώπων φύσις εἰς μέσον ἐλθοῦσα θαυμάσεται τὸ γεγενημένον, ἄλλως τε καὶ ἡμῖν τότε φανερώτερον ἔσται. Πιστεύομεν γὰρ καὶ νῦν, ἀλλ' οὐχ ὁμοίως τὸ θαῦμα παρίστησιν ἀκοὴ καὶ ὄψις. Ἀλλ' ὥσπερ ἐπὶ τῶν βασιλέων ἀκούοντες τὴν ἁλουργίδα καὶ τὸ διάδημα καὶ τὰ χρυσᾶ ἱμάτια καὶ τὸν θρόνον τὸν βασιλικόν, θαυμάζομεν μέν, μειζόνως δὲ τοῦτο πάσχομεν, ὅταν τῶν παραπετασμάτων συνελκυσθέντων ἴδωμεν αὐτὸν ἐφ' ὑψηλοῦ τοῦ βήματος προκαθήμενον· οὕτω καὶ ἐπὶ τοῦ μονογενοῦς· ὅταν ἴδωμεν τὰ παραπετάσματα τῶν οὐρανῶν συνελκυσθέντα, καὶ καταβαίνοντα τὸν βασιλέα τῶν ἀγγέλων ἐκεῖθεν καὶ δορυφορούμενον ὑπὸ τῶν οὐρανίων δήμων, τότε μεῖζον ἀπὸ τῆς ὄψεως τὸ θαῦμα δεχόμεθα. Ἐννόησον γάρ μοι, οἷόν ἐστιν ἰδεῖν τὴν φύσιν τὴν ἡμετέραν ἐπὶ τῶν Χερουβὶμ ὀχουμένην, καὶ πᾶσαν αὐτῇ τὴν ἀγγελικὴν περικεχυμένην δύναμιν.

3. Σκόπει δέ μοι καὶ τὴν Παύλου σοφίαν, πόσα ὀνόματα ἐπιζητεῖ, ὥστε παραστῆσαι τοῦ Θεοῦ τὴν φιλανθρωπίαν. Οὐ γὰρ εἶπεν ἁπλῶς «τὴν χάριν», οὐδὲ τὸν «πλοῦτον» ἁπλῶς, ἀλλὰ τί; «Τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος ἐν χρηστότητι». Ἀλλ' ὅμως καὶ οὕτως ἠτόνησε. Καὶ καθάπερ τὰ ὀλισθηρὰ τῶν σωμάτων μυρίαις κατεχόμενα χερσί, διαφεύγει τὰς λαβὰς ἡμῶν, καὶ διολισθαίνει ρᾳδίως· οὕτω καὶ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ὅσοις ἂν αὐτὴν κατάσχωμεν ὀνόμασιν, οὐδὲ οὕτω δυνάμεθα περιλαβεῖν, ἀλλὰ νικᾷ τὸ μέγεθος αὐτῆς ἐκ πολλῆς περιουσίας τῶν ἡμετέρων ρημάτων τὴν ἀτονίαν. Ὅπερ οὖν καὶ Παῦλος παθών, καὶ ἰδὼν ἡττωμένην τῶν ρημάτων τὴν δύναμιν τοῦ μεγέθους αὐτῆς, ἓν

---

7. Ἐφεσ. 2, 6-7. 8. Ἐφεσ. 2, 7.

χομένους αἰῶνας τὸν ὑπερβολικὸν πλοῦτον τῆς χάριτός του, ποὺ ἐκδηλώνεται μὲ τὴν καλωσύνην του πρὸς ἡμᾶς»[7].

Ἀλλὰ τί λέγεις; Αὐτὸ τὸ πρᾶγμα ἔγινε καὶ ἔλαβε τέλος καὶ σὺ λέγεις «διὰ νὰ δείξῃ εἰς τοὺς ἐπερχομένους αἰῶνας»; Δηλαδὴ δὲν τὸ ἔδειξε; Βεβαίως τὸ ἔδειξεν ἤδη, ἀλλ᾽ ὄχι εἰς ὅλους τοὺς ἀνθρώπους, ἀλλὰ μόνον εἰς ἐμὲ τὸν πιστόν· ὁ δὲ ἄπιστος δὲν εἶδε ἀκόμη τὸ θαῦμα. Τότε δέ, κατ᾽ ἐκείνην τὴν ἡμέραν, ὅλη ἡ ἀνθρωπότης θὰ ἔλθῃ εἰς τὸ μέσον καὶ θὰ θαυμάσῃ τὸ γεγονός, ἐξ ἄλλου καὶ εἰς ἡμᾶς τότε θὰ γίνῃ φανερώτερον τὸ πρᾶγμα. Πιστεύομεν βέβαια καὶ τώρα, ἀλλὰ δὲν ἐκφράζει τὸ θαῦμα κατὰ τὸν ἴδιον τρόπον ἡ ἀκοὴ καὶ ἡ ὅρασις. Ἀλλὰ ὅμως διὰ τοὺς βασιλεῖς, ὅταν ἀκούωμεν ὅτι φοροῦν τὴν βασιλικὴν πορφύραν καὶ τὸ στέμμα καὶ τὰ χρυσᾶ ἱμάτια καὶ κάθονται ἐπάνω εἰς τὸν βασιλικὸν θρόνον, θαυμάζομεν βέβαια, ὅμως θαυμάζομεν περισσότερον ὅταν ἀνοίξῃ ἡ αὐλαία καὶ τὸν ἴδωμεν νὰ κάθηται ἐπὶ τοῦ ὑψηλοῦ βήματος· τὸ ἴδιον συμβαίνει καὶ μὲ τὸν Μονογενῆ· ὅταν ἴδωμεν νὰ σύρωνται τὰ παραπετάσματα τῶν οὐρανῶν καὶ νὰ κατεβαίνῃ ὁ βασιλεὺς τῶν ἀγγέλων ἀπὸ ἐκεῖ ἀκολουθούμενος ἀπὸ τὰς οὐρανίους δυνάμεις, τότε τὸ θαῦμα ἐμφανίζεται σαφέστερον πρὸ τῶν ὀφθαλμῶν μας. Σκέψου λοιπὸν νὰ ἰδῇς τὴν ἰδικήν μας φύσιν νὰ φέρεται ἐπάνω εἰς τὰ Χερουβὶμ καὶ νὰ περιβάλλεται μὲ ὅλην τὴν ἀγγελικὴν δύναμιν.

3. Σκέψου ἐπίσης καὶ τὴν σοφίαν τοῦ Παύλου, πόσα ὀνόματα χρησιμοποιεῖ διὰ νὰ παραστήσῃ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ. Διότι δὲν εἶπεν ἁπλῶς «τὴν χάριν τοῦ Θεοῦ», οὔτε ἁπλῶς «τὸν πλοῦτον», ἀλλὰ τί εἶπε; «τὸν ὑπερβολικὸν πλοῦτον τῆς χάριτος ποὺ ἐκδηλώνεται μὲ τὴν καλωσύνην του»[8]. Ὅμως καὶ πάλιν ὑπελήφθη τῆς πραγματικότητος. Καὶ ὅπως τὰ ὀλισθηρὰ σώματα, ἂν καὶ κρατοῦνται ἀπὸ ἀμέτρητα χέρια, διαφεύγουν τὴν λαβὴν καὶ διολισθαίνουν εὔκολα, τὸ ἴδιον καὶ ἡ φιλανθρωπία τοῦ Θεοῦ, μὲ ὅσα ὀνόματα καὶ ἂν τὴν παραστήσωμεν, δὲν ἠμποροῦμε νὰ τὴν περιλάβωμεν, ἀλλὰ πάντοτε τὸ μέγεθος αὐτῆς ὑπερβαίνει τὴν ἀδυναμίαν τῶν λέξεων ποὺ χρησιμοποιοῦμε. Πρᾶγμα ποὺ ἔπαθε καὶ ὁ Παῦλος, βλέπων ὅτι ἡ δύναμις τῶν λόγων ἦταν πάντοτε

εἰπὼν ῥῆμα ἀπέστη. Ποῖον δὲ τοῦτο; Χάρις δὲ τῷ Θεῷ ἐπὶ τῇ «ἀνεκδιηγήτῳ» αὐτοῦ δωρεᾷ. Οὔτε γὰρ λόγος, οὔτε νοῦς οὐδεὶς παραστῆσαι δυνήσεται τοῦ Θεοῦ τὴν κηδεμονίαν. Διὰ τοῦτο ἐνταῦθα μὲν «ἀνεκδιήγητον» αὐτὴν εἶναί φησιν, ἀλλαχοῦ δέ, καὶ τὸν νοῦν ἡμῶν ὑπερβαίνειν, οὑτωσὶ λέγων· «Ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν».

Ἀλλ' ὅπερ ἔλεγον, δύο μὲν οὗτοι τέως ἀπολογίας εὕρηνται τρόποι, εἷς μέν, ὅτι οὐχ ὁ Θεὸς ἐξέβαλεν, ἀλλ' ἡμεῖς ἀπωλέσαμεν, δεύτερος δέ, ὅτι πλείω τῶν ἀπολωλότων καὶ μείζονα τὰ δοθέντα ἡμῖν ἀγαθά. Βούλομαι δὲ καὶ τρίτον εἰπεῖν. Τίς οὖν ἐστιν ὁ τρίτος; Ὅτι εἰ καὶ μὴ ἔδωκε μείζω τῶν ἀπολωλότων τὰ μετὰ ταῦτα, ἀλλ' ἀφείλετο μόνον τὰ δοθέντα ἡμῖν, ἡμῶν παρεχόντων τὴν αἰτίαν, (τοῦτο γὰρ προσκείσθω) καὶ τοῦτο ἱκανὸν καθ' ἑαυτὸ δεῖξαι τὴν κηδεμονίαν αὐτοῦ τὴν εἰς ἡμᾶς. Οὐ γὰρ τὸ δοῦναι μόνον, ἀλλὰ καὶ τὸ ἀφελέσθαι τὰ δοθέντα, μεγίστης φιλανθρωπίας ἐστί· καί, εἰ βούλεσθε, ἐπὶ τοῦ παραδείσου τὸν λόγον γυμνάσωμεν.

Ἔδωκε τὸν παράδεισον· τοῦτο τῆς αὐτοῦ κηδεμονίας· ἀνάξιοι τῆς δωρεᾶς ὤφθημεν· τοῦτο τῆς ἡμετέρας ἀγνωμοσύνης· ἀφείλετο τὴν δωρεὰν ἀναξίοις γινομένοις· τοῦτο τῆς αὐτοῦ γέγονεν ἀγαθότητος. Καὶ ποία ἀγαθότης, φησί, τὸ ἀφελέσθαι τὴν δωρεάν; Ἀνάμεινον, καὶ ἀκούσῃ πάντως. Ἐννόησον γὰρ τίς ἔμελλεν ὁ Κάϊν ἔσεσθαι, ἐν παραδείσῳ διατρίβων μετὰ τὴν μιαιφονίαν. Εἰ γὰρ καὶ ἐκπεσὼν ἐκείνης τῆς διαίτης, εἰ μόχθῳ καὶ πόνῳ καταδικασθείς, καὶ τοῦ θανάτου τὴν ἀπειλὴν ἐπηρτημένην ὁρῶν, εἰ τοῦ πατρὸς πρὸ τῶν ὀφθαλμῶν βλέπων τὴν συμφοράν, καὶ ἐν χερσὶν ἔχων

---

9. Β' Κορ. 9, 15.
10. Φιλιπ. 4, 7.

κατωτέρα αὐτῆς, ἀπεμακρύνθη ἀφοῦ εἶπε μόνον μίαν λέξιν. Ποία εἶναι αὐτή; Χάρις εἰς τὸν Θεὸν διὰ τὴν «ἀνεκδιήγητον»[9] αὐτοῦ δωρεάν. Διότι κανεὶς λόγος καὶ κανεὶς νοῦς δὲν ἠμπορεῖ νὰ παραστήσῃ τὴν πρόνοιαν τοῦ Θεοῦ. Διὰ τοῦτο ἐδῶ λέγει ὅτι αὐτὴ εἶναι «ἀνεκδιήγητος», ἀλλοῦ δὲ ὅτι ὑπερβαίνει τὸν νοῦν μας, λέγων τὰ ἑξῆς: «Ἡ εἰρήνη τοῦ Θεοῦ, ποὺ ὑπερέχει πᾶσαν διάνοιαν, θὰ φρουρήσῃ τὰς καρδίας σας»[10].

Ἀλλ' ὅπως ἔλεγα ἔχουν εὑρεθῆ δύο τρόποι ἀπαντήσεως ἕως τώρα, ὁ ἕνας εἶναι ὅτι δὲν μᾶς ἔδιωξε ὁ Θεός, ἀλλὰ ἐμεῖς ἐχάσαμε τὸν παράδεισον, ὁ δεύτερος δὲ ὅτι τὰ ἀγαθὰ ποὺ μᾶς ἐδόθησαν εἶναι περισσότερα καὶ καλύτερα ἀπὸ ἐκεῖνα ποὺ ἐχάσαμε. Θέλω νὰ ἀναφέρω καὶ τρίτον. Ποῖος εἶναι λοιπὸν ὁ τρίτος; Ὅτι δηλαδὴ καὶ ἂν ἀκόμη ὅσα μᾶς ἔδωσε κατόπιν δὲν ἦσαν μεγαλύτερα ἀπὸ ὅσα ἐχάσαμε, ἀλλὰ ἀφαιροῦσε μόνον ὅσα μᾶς ἔδωσε κατόπιν δὲν ἦσαν μεγαλύτερα ἀπὸ ὅσα ἐχάσαμε, ἀλλὰ ἀφαιροῦσε μόνον ὅσα μᾶς εἶχε δώσει προηγουμένως, ἐμεῖς ἐδώσαμεν αὐτὴν τὴν αἰτίαν, (διότι αὐτὸ πρέπει νὰ προστεθῇ), καὶ μόνον τοῦτο εἶναι ἱκανὸν νὰ φανερώσῃ τὴν πρόνοιάν του πρὸς ἡμᾶς. Διότι ὄχι μόνον τὸ γεγονὸς ὅτι μᾶς ἔδωσε, ἀλλὰ καὶ τὸ γεγονὸς ὅτι μᾶς ἀφήρεσε αὐτὰ ποὺ μᾶς ἔδωσε, εἶναι δεῖγμα μεγίστης φιλανθρωπίας· καὶ ἐὰν θέλετε νὰ τὸ ἀποδείξωμεν ἂς φέρωμεν τὸν λόγον εἰς ὅσα εἰς τὸν παράδεισον συνέβησαν.

Μᾶς ἐχάρισεν ὁ Θεὸς τὸν παράδεισον· τοῦτο εἶναι ἔργον τῆς προνοίας του δι' ἡμᾶς· ἐμεῖς ἐφανήκαμε ἀνάξιοι αὐτῆς τῆς δωρεᾶς· αὐτὸ εἶναι ἔργον τῆς ἰδικῆς μας ἀχαριστίας· καὶ μᾶς ἀφήρεσε τὴν δωρεάν, ἀφοῦ ὑπήρξαμεν ἀνάξιοι· τοῦτο ὑπῆρξεν ἔργον τῆς ἀγαθότητός του. Καὶ τί ἀγαθότης εἶναι αὐτή, θὰ εἰπῇ κάποιος, τὸ νὰ σοῦ ἀφαιρέσουν τὴν δωρεάν; Περίμενε καὶ θὰ τὸ ἀκούσῃς. Σκέψου τί ἐπρόκειτο νὰ γίνῃ ὁ Κάϊν, ἂν παρέμενεν εἰς τὸν παράδεισον μετὰ τὸν μισητὸν φόνον. Διότι, ἂν καὶ μετὰ τὴν ἔκπτωσιν ἀπὸ τὸν παράδεισον, καίτοι εἶχε καταδικασθῆ εἰς τὸν πόνον καὶ τὸν μόχθον καὶ ἔβλεπε τὴν ἀπειλὴν τοῦ θανάτου νὰ ἐπικρέμεται ἐναντίον του, ἂν λοιπὸν ἐνῷ εἶχε πρὸ ὀφθαλμῶν τὴν συμφο-

ἔτι τῆς ὀργῆς τοῦ Θεοῦ τὰ ἴχνη, καὶ τοσούτοις περιεστοιχισμένος δεινοῖς, εἰς τοσοῦτον ἐξελάκτισε πονηρίας, ὥστ' ἀγνοῆσαι τὴν φύσιν, καὶ ἐπιλαθέσθαι τῆς κοινωνίας τῶν ὠδίνων, καὶ τὸν οὐδὲν ἠδικηκότα σφάξαι, καὶ ἀδελφικοῦ σώματος ἅψασθαι, καὶ αἱμάξαι τὴν δεξιάν, καὶ τοῦ Θεοῦ παραινοῦντος ἡσυχάζειν μὴ ἀνέχεσθαι, ἀλλ' ὑβρίσαι τὸν πεποιηκότα, ἀτιμάσαι τοὺς γεγεννηκότας, εἰ ἐν παραδείσῳ διέτριβεν οὗτος, σκόπει πρὸς ὅσην ἂν ἤλασε κακίαν. Εἰ γὰρ τοσούτων ἐπικειμένων τῶν χαλινῶν, θανάσιμα ἐσκίρτησε σκιρτήματα, εἰ καὶ τὰ τειχία ταῦτα ἀνῄρητο, ποῦ οὐκ ἂν ἑαυτὸν κατεκρήμνισε;

Βούλει καὶ ἀπὸ τῆς τούτου μητρὸς μαθεῖν, ὅσον ἀγαθὸν γέγονε τὸ τῆς τοῦ παραδείσου διαίτης ἐκπεσεῖν; Ἐξέτασον τίς ἦν ἡ Εὔα πρὸ τούτου, καὶ τίς ἐγένετο μετὰ ταῦτα. Πρὸ τούτου μὲν τὸν ἀπατεῶνα διάβολον, τὸν πονηρὸν δαίμονα ἐκεῖνον ἀξιοπιστότερον εἶναι ἐνόμισε τῶν τοῦ Θεοῦ προσταγμάτων, καὶ ἀπὸ ψιλῆς ὄψεως τοῦ δένδρου κατεπάτησε τὸν παρ' αὐτοῦ τεθέντα νόμον· ἐπειδὴ δὲ ἐξέπεσε τοῦ παραδείσου, σκόπει πῶς βελτίων ἐγένετο καὶ σωφρονεστέρα· τεκοῦσα γὰρ υἱόν φησιν· «Ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ». Ἐπὶ τὸν Δεσπότην εὐθέως κατέφυγεν ἡ τοῦ Δεσπότου πρὸ τούτου καταφρονήσασα, καὶ οὐχὶ τῇ φύσει τὸ πρᾶγμα λογίζεται, οὐδὲ νόμῳ γάμου τὸν τόκον ἀνατίθησιν· ἀλλ' οἶδε τὸν τῆς φύσεως Δεσπότην, κἀκείνῳ χάριτας ὑπὲρ τῆς τοῦ παιδίου γεννήσεως ὁμολογεῖ. Καὶ ἡ πρὸ τούτου τὸν ἄνδρα ἀπατήσασα, ὕστερον καὶ τὸ παιδίον ἐπαίδευσε, καὶ ὄνομα ἐπιτίθησιν αὐτῷ τὸ δυνάμενον αὐτὸ εἰς ὑπόμνησιν ἄγειν τῆς τοῦ Θεοῦ δωρεᾶς· καὶ πάλιν ἕτερον τεκοῦσα, φησίν· «Ἐξανέστησέ μοι ὁ Θεὸς σπέρμα ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάιν». Μέμνηται τῆς συμφορᾶς, καὶ οὐκ ἀποδυσπετεῖ τὸ γύναιον, ἀλλ' εὐχαριστεῖ τῷ Θεῷ πάλιν, καὶ τὸ παιδίον ἀπὸ τῆς δωρεᾶς καλεῖ, διηνεκῆ παρέχουσα αὐτῷ διδασκαλίας ὑπόθεσιν. Οὕτω

11. Γεν. 4, 1.
12. Γεν. 4, 25.

ρὰν τοῦ πατρὸς καὶ ἐκράτει ἀκόμη εἰς τὰς χεῖρας του τὰ ἴχνη τῆς ὀργῆς καὶ ἐνῷ περιεστοιχίζετο ἀπὸ τόσα κακά, παρ' ὅλα αὐτὰ ἔφθασεν εἰς τοιοῦτον σημεῖον κακίας, ὥστε νὰ ἀγνοήσῃ τὴν φύσιν, νὰ λησμονήσῃ τὰς κοινὰς ὠδίνας ποὺ ἐγέννησαν αὐτὸν καὶ τὸν ἀδελφόν του καὶ νὰ σφάξῃ ἐκεῖνον ὁ ὁποῖος εἰς τίποτε δὲν τὸν ἠδίκησε, νὰ χύσῃ ἀδελφικὸν αἷμα καὶ νὰ μολύνῃ τὴν δεξιάν του καί, ἐνῷ ὁ Θεὸς τὸν προέτρεπε νὰ μὴ ἀνέχεται νὰ ἡσυχάζῃ, αὐτὸς νὰ ὑβρίσῃ τὸν δημιουργὸν καὶ νὰ ἀτιμάσῃ τοὺς γονεῖς του, σκέψου εἰς ποίαν κακίαν θὰ εἶχε προχωρήσει ἂν ἔμενεν εἰς τὸν παράδεισον. Διότι ἂν μὲ τόσους περιορισμοὺς ἐτόλμησε θανασίμους ἐπαναστάσεις, ἂν εἶχαν γκρεμισθῆ καὶ οἱ φραγμοὶ αὐτοὶ ποὺ δὲν θὰ ἐκρήμνιζε τὸν ἑαυτόν του;

Θέλεις νὰ μάθῃς πόσον ἀγαθὸν ὑπῆρξεν ἡ ἐκδίωξις ἀπὸ τὸν παράδεισον καὶ ἀπὸ τὴν μητέρα του; Ἐξέτασε ποία ἦταν ἡ Εὔα πρὸ τῆς πτώσεως καὶ ποία ἔγινε μετὰ τὴν πτῶσιν. Πρὸ τῆς πτώσεως λοιπὸν ἐνόμισε ὅτι ὁ ἀπατεὼν διάβολος, ὁ πονηρὸς ἐκεῖνος δαίμων, ἦτο ἀξιοπιστότερος ἀπὸ τὰς προσταγὰς τοῦ Θεοῦ καὶ κατεπάτησε τὸν νόμον τοῦ Θεοῦ ἀπὸ τὴν ἁπλῆν θέαν τοῦ δένδρου· ὅταν δὲ ἐξεδιώχθη ἀπὸ τὸν παράδεισον, παρατήρησε νὰ ἰδῇς πῶς ἔγινε καλυτέρα καὶ φρονεστέρα· διότι ὅταν ἐγέννησε τὸν υἱὸν λέγει· «Ἀπέκτησα ἄνθρωπον διὰ τοῦ Θεοῦ»[11]. Κατέφυγεν ἀμέσως εἰς τὸν Δεσπότην αὐτὴ ἡ ὁποία πρὶν περιεφρόνησε τὸν Δεσπότην, καὶ δὲν ἀποδίδει τὸ γεγονὸς εἰς τὴν φύσιν, οὔτε ἑρμηνεύει τὸν τοκετὸν ὡς νόμιμον καρπὸν τοῦ γάμου· ἀλλὰ γνωρίζει τὸν Κύριον τῆς φύσεως καὶ ἀναγνωρίζει χάριτας εἰς αὐτὸν διὰ τὴν γέννησιν τοῦ παιδίου. Καὶ αὐτὴ ποὺ προηγουμένως εἶχεν ἀπατήσει τὸν ἄνδρα, κατόπιν ἐμόρφωσε καὶ τὸ παιδίον καὶ τοῦ ἔθεσεν ὄνομα τέτοιον ποὺ νὰ ἠμπορῇ νὰ τὸν ἐνθυμίζῃ τὴν δωρεὰν τοῦ Θεοῦ· καὶ πάλιν ὅταν ἐγέννησε ἄλλο παιδὶ λέγει· «Μοῦ ἐχάρισεν ὁ Θεὸς σπέρμα ἀντὶ τοῦ Ἄβελ, τὸν ὁποῖον ὁ Κάιν ἐφόνευσε»[12]. Ἐνθυμεῖται τὴν συμφορὰν καὶ δὲν ἀγανακτεῖ ἡ γυναῖκα, ἀλλὰ εὐχαριστεῖ πάλιν τὸν Θεόν, καὶ δίδει εἰς τὸ παιδίον ὄνομα ποὺ ἐνθυμίζει τὴν δωρεὰν τοῦ Θεοῦ καὶ παρέχει εἰς αὐτὸ διαρκῶς εὐκαιρίας διδαχῆς. Κατ'

καὶ ἐν αὐτῷ τῷ ἀφελέσθαι μείζονα ἐχαρίσατο ὁ Θεὸς ἀγαθά· ἐξέπεσε τοῦ παραδείσου ἡ γυνή, ἀλλὰ πρὸς θεογνωσίαν ἐχειραγωγήθη διὰ τῆς ἐκβολῆς, ὥστε μεῖζον εὗρεν, ἢ ἀπώλεσεν.

Καὶ εἰ χρήσιμον ἦν, φησί, τὸ ἐκπεσεῖν τοῦ παραδείσου, τίνος ἕνεκεν ἐδίδου παρὰ τὴν ἀρχὴν τὸν παράδεισον ὁ Θεός; Χρησίμως τοῦτο διὰ τὴν ῥᾳθυμίαν, ἄνθρωπε, ἐγένετο τὴν ἡμετέραν· ὡς εἴγε προσεῖχον ἑαυτοῖς ἐκεῖνοι, καὶ τὸν Δεσπότην ἐπεγίνωσκον, καὶ σωφρονεῖν ἠπίσταντο καὶ μετριάζειν, ἔμειναν ἂν ἐπὶ τῆς τιμῆς· ἐπειδὴ δὲ ἐξύβρισαν εἰς τὴν δοθεῖσαν δωρεάν, τηνικαῦτα χρήσιμον ἐγένετο τὸ ἐκβληθῆναι. Τίνος οὖν ἕνεκεν παρὰ τὴν ἀρχὴν ἔδωκεν ὁ Θεός; Ἵνα τὴν οἰκείαν ἐπιδείξηται φιλανθρωπίαν, καὶ ὅτι αὐτὸς μὲν παρεσκευάσατο πρὸς μείζονα τιμὴν ἄγειν ἡμᾶς ἀεί· ἡμεῖς δὲ αἴτιοι πανταχοῦ τῶν κολάσεων καὶ τῶν τιμωριῶν, ἐκβαλόντες ἑαυτοὺς διὰ ῥᾳθυμίας τῶν δεδομένων ἡμῖν ἀγαθῶν.

Καθάπερ οὖν πατὴρ φιλόστοργος παρὰ μὲν τὴν ἀρχὴν ἀφίησιν ἐπὶ τῆς οἰκίας τὸν παῖδα τὸν ἑαυτοῦ διατρίβειν, καὶ τῶν πατρῴων ἀπολαύειν ἁπάντων· ἐπειδὰν δὲ ἴδῃ φαῦλον τῇ τιμῇ γεγενημένον, ἀπάγει τῆς τραπέζης, καὶ πόρρωθεν τῆς οἰκείας ὄψεως καθίστησι, πολλάκις δὲ καὶ αὐτῆς ἐκβάλλει τῆς πατρῴας οἰκίας, ἵνα ἐκπεσὼν ἐκεῖνος, καὶ βελτίων γενόμενος ταῖς ὕβρεσι ταύταις καὶ ταῖς ἀτιμίαις, ἄξιον ἑαυτὸν ἀποφήνῃ τῆς ἐπανόδου πάλιν, καὶ τὸν πατρῷον διαδέξηται κλῆρον· οὕτω καὶ ὁ Θεὸς ἐποίησεν. Ἔδωκε τῷ ἀνθρώπῳ τὸν παράδεισον· ἀνάξιον φανέντα ἐξέβαλεν, ἵνα διὰ τῆς ἔξω διατριβῆς καὶ τῆς ἀτιμίας βελτίων γενόμενος καὶ σωφρονέστερος, ἄξιος φανῇ τῆς ἐπανόδου πάλιν. Ἐπειδὴ τοίνυν μετὰ ταῦτα βελτίων ἐγένετο, ἐπανάγει πάλιν αὐτόν, καί φησι· «Σήμερον μετ᾽ ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ». Ὁ-

αὐτὸν τὸν τρόπον ὁ Θεὸς καὶ μὲ αὐτὴν τὴν ἀφαίρεσιν ἐχάρισε περισσότερα ἀγαθά· ἐξεδιώχθη ἀπὸ τὸν παράδεισον ἡ γυναῖκα, ἀλλὰ διὰ τῆς τιμωρίας αὐτῆς ἐβοηθήθη νὰ ὁδηγηθῇ εἰς τὴν θεογνωσίαν, ὥστε ὠφελήθη περισσότερον ἀπὸ αὐτὸ ποὺ ἔχασε.

Ἀλλὰ ἠμπορεῖ νὰ εἰπῇ κανεὶς ἐὰν ἦτο χρήσιμος ἡ ἐκδίωξις ἀπὸ τὸν παράδεισον, τότε διὰ ποῖον λόγον ἔδωσεν ὁ Θεὸς τὸν παράδεισον εἰς τὴν ἀρχήν; Πρὸς τὸ καλόν μας ἔγινε τοῦτο, ἄνθρωπε, διὰ τὴν ἰδικήν μας ὀκνηρίαν· διότι ἐὰν ἐκεῖνοι ἦσαν προσεκτικοὶ καὶ ἐνθυμοῦντο διαρκῶς τὸν Κύριον καὶ ἐγνώριζον νὰ εἶναι σώφρονες καὶ μετριόφρονες θὰ διετήρουν τὴν τιμὴν ἐκείνην. Ἐπειδὴ ὅμως ἐφάνησαν ἀνάξιοι τῆς δωρεᾶς ἐκείνης, τότε ἦτο πλέον χρήσιμον νὰ ἐκδιωχθοῦν. Διὰ ποῖον λόγον ἔδωκεν ὁ Θεὸς εἰς αὐτοὺς τὴν δωρεὰν ἐκείνην; Διὰ νὰ δείξῃ τὴν φιλανθρωπίαν του καὶ διὰ νὰ δείξῃ ἀκόμη ὅτι ὁ ἴδιος ἐσκόπευε νὰ μᾶς ἐξυψώνῃ ὁλοένα καὶ εἰς μεγαλυτέραν τιμήν. Ἐμεῖς ὑπήρξαμεν αἴτιοι τῶν τιμωριῶν καὶ τῶν κολασμῶν εἰς ὅλας τὰς περιπτώσεις ἀποξενωθέντες ἐξ αἰτίας τῆς ἀδιαφορίας μας ἀπὸ τὰ ἀγαθὰ ποὺ μᾶς ἐδόθησαν.

Ὅπως ἀκριβῶς λοιπὸν ἕνας φιλόστοργος πατέρας εἰς τὴν ἀρχὴν μὲν ἀφήνει τὸν υἱόν του νὰ διαμένῃ εἰς τὴν οἰκίαν καὶ νὰ ἀπολαμβάνῃ ὅλα τὰ πατρικὰ ἀγαθά· ὅταν ὅμως ἰδῇ ὅτι μὲ τὴν τιμὴν αὐτὴν νὰ γίνεται κακὸς τὸν ἀπομακρύνει ἀπὸ τὴν τράπεζαν, καὶ δὲν θέλει πλέον νὰ τὸν ἀντικρύζῃ, πολλάκις δὲ τὸν ἐκδιώκει καὶ ἀπὸ αὐτὴν τὴν πατρικὴν οἰκίαν, ὥστε ἀφοῦ ἐκπέσῃ τῆς πατρικῆς ἀγάπης καὶ γίνῃ καλύτερος μὲ αὐτὰς τὰς ὕβρεις καὶ τὰς προσβολάς, νὰ κατασταθῇ ἄξιος νὰ ἐπανέλθῃ εἰς τὴν οἰκίαν καὶ νὰ κληρονομήσῃ τὴν πατρικὴν κληρονομίαν· τὸ ἴδιον ἔπραξε καὶ ὁ Θεός. Ἐχάρισεν εἰς τὸν ἄνθρωπον τὸν παράδεισον· ὅταν ἀπεδείχθη ἀνάξιος τὸν ἐξεδίωξε διὰ νὰ βελτιωθῇ διὰ τῆς ἔξω τοῦ παραδείσου ζωῆς καὶ τῆς ἀτιμίας καὶ νὰ γίνῃ σωφρονέστερος καὶ νὰ καταστῇ ἄξιος τῆς ἐπανόδου πάλιν. Ἐπειδὴ λοιπὸν ὕστερα ἀπὸ ὅλα αὐτὰ ἔγινε καλύτερος, τὸν ἐπαναφέρει πάλιν καὶ τοῦ λέγει· «σήμερον θὰ εἶσαι μαζί μου εἰς τὸν παράδει-

ρᾶς ὅτι οὐ τὸ δοῦναι τὸν παράδεισον, ἀλλὰ καὶ τὸ ἐκβαλεῖν τοῦ παραδείσου, τῆς μεγίστης κηδεμονίας ἦν; Εἰ μὴ γὰρ ἐξέπεσε τοῦ παραδείσου, οὐκ ἂν ἐφάνη τοῦ παραδείσου πάλιν ἄξιος.

4. Τοῦτον τοίνυν διαπαντὸς τηρῶμεν τὸν λόγον, τοῦτον καὶ ἐπὶ τῆς προκειμένης, εἰ βούλεσθε, γυμνάσωμεν ὑποθέσεως. Ἔδωκε φωνὴν κοινὴν ἅπασι· τοῦτο τῆς αὐτοῦ φιλανθρωπίας. Οὐκ ἐχρήσαντο εἰς δέον ἐκεῖνοι τῷ δώρῳ, ἀλλὰ πρὸς ἄνοιαν ἐξέκλιναν ἐσχάτην· ἀφείλετο τὸ δοθὲν πάλιν. Εἰ γὰρ ἐπειδὴ γλῶσσαν εἶχον μίαν, εἰς τοσαύτην ἐξέπεσον ἄνοιαν, ὡς βουληθῆναι πύργον ἕως τοῦ οὐρανοῦ οἰκοδομῆσαι, εἰ μὴ παραχρῆμα ἐκολάσθησαν, ἆρα οὐκ ἂν ἐπεθύμησαν καὶ αὐτῆς τοῦ οὐρανοῦ τῆς κορυφῆς ἐπιλαβέσθαι; Τί γάρ; Εἰ καὶ ἀδύνατον ἦν ἐκείνοις, ἀλλ' ὅμως ἐκ τῆς προθέσεως τὰ τῆς ἀσεβείας αὐτοῖς ἀπηρτίζετο. Ἅπερ ἅπαντα προορῶν ὁ Θεός, ἐπειδὴ εἰς δέον οὐκ ἐχρήσαντο τῇ ὁμοφωνίᾳ, εἰς δέον αὐτοὺς διαιρεῖ τῇ διαφωνίᾳ. Καὶ σκόπει μοι τὴν φιλανθρωπίαν αὐτοῦ. «Ἰδού», φησί, «φωνὴ μία πᾶσι, καὶ τοῦτο ἤρξαντο ποιῆσαι». Τίνος ἕνεκεν οὐκ εὐθέως ἦλθεν ἐπὶ τὸ διατεθεῖν τὴν γλῶτταν, ἀλλὰ πρότερον ἀπολογεῖται, καθάπερ ἐν δικαστηρίῳ κρίνεσθαι μέλλων; Καίτοι γε οὐδεὶς αὐτῷ ἐρεῖ, «τί ἐποίησας;» ἀλλὰ κύριός ἐστι πάντα ποιεῖν ὅσα βούλεται. Ἀλλ' ὅμως καθάπερ μέλλων εὐθύνας ὑπέχειν, οὕτως ἀπολογίας τίθησιν, ἡμᾶς διδάσκων ἡμέρους εἶναι καὶ φιλανθρώπους. Εἰ γὰρ ὁ Δεσπότης τοῖς δούλοις ἀπολογεῖται, καὶ ταῦτα ἠδικηκόσι, πολλῷ μᾶλλον ἡμᾶς ἀλλήλοις ἀπολογεῖσθαι χρή, κἂν τὰ μέγιστα ὦμεν ἠδικημένοι. Ὅρα γοῦν πῶς ἀπολογεῖται· «Ἰδοὺ χεῖλος ἕν, καὶ φωνὴ μία πᾶσι», φησί, «καὶ τοῦτο ἤρξαντο ποιῆσαι». Ὡσανεὶ ἔλεγε· μηδεὶς ἐγκαλείτω μοι ταῦτα τὴν γλῶτταν διατεμνομένην ὁρῶν, μηδεὶς ἐξ ἀρχῆς νομιζέτω τὴν διαφωνίαν ταύτην τοῖς ἀνθρώποις

13. Λουκᾶ 23, 43.
14. Γεν. 11, 6.
15. Γεν. 11, 6.

σον»[13]. Βλέπεις ὅτι ὄχι ἡ δωρεὰ τοῦ παραδείσου, ἀλλὰ καὶ ἡ ἐκδίωξις ἀπὸ αὐτὸν ἦτο ἔργον τῆς μεγίστης προνοίας τοῦ Θεοῦ; Διότι ἐὰν δὲν ἐξεδιώκετο ἀπὸ τὸν παράδεισον, δὲν θὰ ἀνεδεικνύετο πάλιν ἄξιος τοῦ παραδείσου.

4. Αὐτὴν τὴν συλλογιστικὴν ἂς τὴν ἔχωμεν πάντοτε εἰς τὸν νοῦν μας καί, ἂν θέλετε, ἂς ἀναφέρωμεν τὸν λόγον εἰς τὸ θέμα μας. Ἔδωσε λοιπὸν ὁ Θεὸς εἰς ὅλους κοινὴν γλῶσσαν· τοῦτο ὑπῆρξεν ἔργον τῆς φιλανθρωπίας του. Ἐκεῖνοι δὲν ἔκαμαν τὴν πρέπουσαν χρῆσιν τοῦ δώρου αὐτοῦ, ἀλλὰ ἐξετράπησαν εἰς μεγάλην ἀνοησίαν· καὶ ἀφῄρεσε πάλιν τὸ δῶρον ὁ Θεός. Ἐὰν λοιπόν, ἐπειδὴ εἶχαν μίαν γλῶσσαν, ἐξέπεσαν εἰς τοιαύτην ἀνοησίαν, ὥστε νὰ θελήσουν νὰ οἰκοδομήσουν καὶ πύργον ποὺ νὰ φθάνῃ ἕως τὸν οὐρανόν, ἐὰν δὲν ἐτιμωροῦντο ἀμέσως, ἆρά γε δὲν θὰ ἐπεθύμουν νὰ φθάσουν καὶ εἰς αὐτὴν τὴν κορυφὴν τοῦ οὐρανοῦ; Ἀλλὰ πῶς; Ἂν καὶ τὸ πρᾶγμα ἦτο ἀδύνατον εἰς ἐκείνους, ὅμως ἡ ἀσέβειά των ἐξεδηλώθη ἤδη μὲ τὴν πρόθεσίν των. Αὐτὰ ὅλα προβλέπων ὁ Θεός, ἐπειδὴ δὲν ἐχρησιμοποίησαν τὴν ὁμογλωσσίαν πρεπόντως, τοὺς διῄρεσε μὲ τὴν πολυγλωσσίαν. Καὶ πρόσεχε, σὲ παρακαλῶ, νὰ ἰδῇς τὴν φιλανθρωπίαν αὐτῆς τῆς ἐνεργείας». «Ἰδού», λέγει, «μία γλῶσσα δι' ὅλους καὶ ἤρχισαν νὰ τὸ ἐφαρμόζουν»[14]. Διὰ ποῖον λόγον δὲν ἐπροχώρησεν ἀμέσως εἰς τὸν χωρισμὸν τῆς γλώσσης, ἀλλὰ πρῶτα ἀπολογεῖται, ὡσὰν νὰ ἐπρόκειτο νὰ κριθῇ εἰς δικαστήριον; Ἂν καὶ οὐδεὶς θὰ τοῦ εἰπῇ «τί ἔκαμες;» διότι ἔχει ἐξουσίαν νὰ κάμῃ ὅλα ὅσα θέλει. Ἀλλὰ ὅμως, ὡσὰν νὰ ἐπρόκειτο νὰ λογοδοτήσῃ, ἀπολογεῖται διδάσκων κατ' αὐτὸν τὸν τρόπον ἡμᾶς νὰ εἴμεθα ἥμεροι καὶ φιλάνθρωποι. Διότι ἂν ὁ Κύριος ἀπολογῆται εἰς τοὺς δούλους, καὶ εἰς δούλους ποὺ ἔχουν τόσον ἀδικήσει, πολὺ περισσότερον πρέπει ἐμεῖς νὰ ἀπολογούμεθα μεταξύ μας, ἀκόμη καὶ ἂν ἔχωμεν ἀδικηθῆ πολύ. Βλέπε λοιπὸν πῶς ἀπολογεῖται· «Ἰδοὺ χεῖλος ἓν καὶ μία γλῶσσα δι' ὅλους» εἶπε «καὶ αὐτὸ ἤρχισαν νὰ τὸ ἐφαρμόζουν»[15]. Ὡσὰν νὰ ἔλεγε: Κανεὶς ἂς μὴ μὲ κατηγορήσῃ βλέπων ὅτι ἡ γλῶσσα ἔχει διαιρεθῆ, κανεὶς ἂς μὴ νομίσῃ ὅτι αὐτὴ ἡ πολυγλωσσία εἶχεν ἐξ ἀρχῆς καθιερωθῆ εἰς

συγκαταβεβλῆσθαι. «Ἰδοὺ χεῖλος ἓν καὶ μία φωνὴ πᾶσιν». ἀλλ' οὐκ ἐχρήσαντο εἰς δέον τῇ δωρεᾷ. Καὶ ἵνα μάθῃς ὅτι οὐ τὸ γινόμενον κολάζει τοσοῦτον, ὅσον τὸ μέλλον προδιορθοῦται, ἄκουσον τῆς ἐπαγωγῆς· «Καὶ νῦν οὐ μὴ ἐκλείψῃ ἐξ αὐτῶν πάντα, ὅσα ἂν ἐπιθῶνται ποιῆσαι». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐὰν μὴ δῶσι δίκην νῦν, καὶ ἀπὸ τῆς ῥίζης αὐτῆς τῶν ἁμαρτημάτων ἀναχαιτισθῶσιν, οὐ στήσονται τῆς πονηρίας οὐδαμοῦ· τοῦτο γάρ ἐστιν; «Οὐ μὴ ἐκλείψῃ ἐξ αὐτῶν πάντα, ὅσα ἂν ἐπιθῶνται ποιῆσαι»· ὡσανεὶ ἔλεγε, καὶ ἕτερα προσθήσουσι μείζονα ἀτοπήματα. Τοιοῦτον γὰρ ἡ πονηρία· ὅταν ἀρχὴν λαβοῦσα μὴ κωλυθῇ, καθάπερ πῦρ ὕλης ἐπιλαβόμενον, οὕτω πρὸς ὕψος ἀνίησιν ἄφατον. Ὁρᾷς ὅτι καὶ τὸ ἀφελέσθαι τὴν ὁμοφωνίαν φιλανθρωπίας ἐγένετο πολλῆς; Ἐνέβαλε γὰρ αὐτοὺς εἰς διαφωνίαν, ἵνα μὴ ἐκπέσωσιν εἰς πονηρίαν μείζονα. Τοῦτον δή μοι διατηρεῖται τὸν λόγον, καὶ πεπηγὼς ἀεὶ παρ' ὑμῖν ἔστω καὶ ἀκίνητος, ὅτι οὐκ εὐεργετῶν μόνον, ἀλλὰ καὶ κολάζων, ἀγαθός ἐστι καὶ φιλάνθρωπος ὁ Θεός· καὶ γὰρ αἱ κολάσεις αὐτοῦ καὶ αἱ τιμωρίαι μέγιστον εὐεργεσίας μέρος, μέγιστον προνοίας εἶδός εἰσιν.

Ὅταν οὖν ἴδῃς λιμοὺς γενομένους, καὶ λοιμούς, καὶ αὐχμούς, καὶ ἐπομβρίας, καὶ ἀέρων ἀνωμαλίας, ἢ ἄλλο τι τῶν τοιούτων τῶν κολαζόντων τὴν ἀνθρωπίνην φύσιν, μὴ δυσχεράνῃς, μηδὲ ἀποδυσπετήσῃς, ἀλλὰ προσκύνησον τὸν ποιοῦντα, θαύμασον αὐτὸν τῆς κηδεμονίας. Ἐκεῖνος γάρ ἐστιν ὁ ταῦτα ποιῶν, καὶ τὸ σῶμα κολάζων, ἵνα τὴν ψυχὴν σωφρονίσῃ. Καὶ ὁ Θεὸς ταῦτα ποιεῖ, φησίν; Ὁ Θεὸς ταῦτα ποιεῖ· κἂν ἡ πόλις παρῇ πᾶσα, κἂν ἡ οἰκουμένη πᾶσα, οὐκ ὀκνήσω τοῦτο εἰπεῖν. Εἴθε μοι καὶ σάλπιγγος ἦν φωνὴ λαμπροτέρα, καὶ ἐν ὑψηλῷ στῆναι χωρίῳ δυνατὸν ἦν, καὶ πᾶσι βοῆσαι καὶ διαμαρτύρασθαι, ὅτι ὁ Θεὸς ταῦτα ποιεῖ. Οὐκ ἐξ απο-

---

16. Ἐνθ' ἀνωτ.

τοὺς ἀνθρώπους. «Ἰδοὺ χεῖλος ἓν καὶ μία γλῶσσα δι' ὅλους»· ὅμως δὲν ἔκαμαν σωστὴν χρῆσιν αὐτῆς τῆς δωρεᾶς. Καὶ διὰ νὰ μάθῃς ὅτι δὲν τιμωρεῖ τόσον αὐτὸ ποὺ ἔγινε, ὅσον προσπαθεῖ νὰ διορθώσῃ αὐτὸ ποὺ ἐπρόκειτο νὰ γίνῃ, ἄκουσε τὴν συνέχειαν· «Καὶ τώρα δὲν θὰ λείψουν ἀπ' αὐτοὺς ὅλα ὅσα ἐπιχειρήσουν νὰ κάμουν»[16]. Καὶ αὐτὸ ποὺ λέγει ἔχει τὴν ἑξῆς σημασίαν· ἐὰν δὲν τιμωρηθοῦν τώρα καὶ δὲν ἀναχαιτισθοῦν ἀπὸ αὐτὴν τὴν ρίζαν τῶν ἁμαρτιῶν, δὲν θὰ σταματήσουν πουθενὰ τὴν κακίαν του· διότι αὐτὸ σημαίνει τὸ «δὲν θὰ λείψουν ἀπὸ αὐτοὺς ὅλα ὅσα ἐπιχειρήσουν νὰ κάμουν»· ὡσὰν νὰ ἔλεγε ὅτι θὰ προσθέσουν καὶ ἄλλα μεγαλύτερα ἀτοπήματα. Διότι τέτοια εἶναι ἡ πονηρία· ὅταν ἀρχίσῃ νὰ ἐκδηλώνεται χωρὶς νὰ ἐμποδισθῇ, ὅπως ἡ φωτιὰ ποὺ κατακαίει κάποιο ὑλικό, ἔτσι ἀνέρχεται εἰς ὕψος ἀπερίγραπτον. Βλέπεις ὅτι καὶ ἡ ἀφαίρεσις τῆς ὁμογλωσσίας ὑπῆρξεν ἔργον μεγάλης φιλανθρωπίας; Διότι τοὺς ἔδωσε τὴν πολυγλωσσίαν, διὰ νὰ μὴ ἐκπέσουν εἰς μεγαλυτέραν ἁμαρτίαν. Αὐτὸν τὸν λόγον νὰ τὸν διατηρῆτε εἰς τὴν μνήμην σας καὶ νὰ εἶναι καρφωμένος καὶ ἀμετάθετος πάντοτε μέσα σας, ὅτι δηλαδὴ ὁ Θεὸς εἶναι ἀγαθὸς καὶ φιλάνθρωπος ὄχι μόνον ὅταν μᾶς εὐεργετῇ, ἀλλὰ καὶ ὅταν μᾶς τιμωρῇ· καθόσον οἱ κολασμοὶ καὶ αἱ τιμωρίαι αὐτοῦ εἶναι μέγιστον μέρος τῆς εὐεργεσίας, μέγιστον εἶδος προνοίας.

Ὅταν λοιπὸν ἴδῃς νὰ ἐμφανίζωνται πεῖνα, καὶ ἀσθένειαι καὶ ξηρασίαι, καὶ πλημμύραι, καὶ ἀσυνήθιστος πνοὴ ἀνέμων, ἢ κάτι ἄλλο ἀπὸ αὐτὰ ποὺ τιμωροῦν τὴν ἀνθρωπίνην φύσιν, νὰ μὴ δυσανασχετήσῃς, οὔτε νὰ ἀπογοητευθῇς, ἀλλὰ προσκύνησε αὐτὸν ποὺ τὰ προκαλεῖ, θαύμασε αὐτὸν διὰ τὴν πρόνοιάν του. Διότι εἶναι ἐκεῖνος ποὺ τὰ κάμει αὐτὰ καὶ τιμωρεῖ τὸ σῶμα διὰ νὰ σωφρονίσῃ τὴν ψυχήν. Καὶ θὰ εἰπῇ κανείς, κάμει αὐτὰ τὰ πράγματα ὁ Θεός; Ναί, ὁ Θεὸς τὰ κάμει· καὶ ἂν εἶναι παροῦσα ὁλόκληρος ἡ πόλις καὶ ἡ οἰκουμένη ὁλόκληρος, δὲν θὰ διστάσω νὰ τὸ εἰπῶ. Μακάρι ἡ φωνή μου νὰ ἦταν ἰσχυροτέρα ἀπὸ τὴν σάλπιγγα καὶ νὰ ἠμποροῦσα νὰ σταθῶ εἰς ἕνα ὑψηλὸν τόπον καὶ νὰ φωνάξω εἰς ὅλους καὶ νὰ διακηρύξω ὅτι αὐτὰ τὰ κάμει ὁ Θεός. Δὲν

νοίας ταῦτα λέγω, ἀλλ' ἔχω παρεστῶτα τὸν προφήτην μετ' ἐμοῦ βοῶντα καὶ λέγοντα, ὅτι «Οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε»· κακία δὲ ὁμώνυμόν ἐστιν ὄνομα· καὶ τῆς προσηγορίας ἑκατέρας βούλομαι τὴν ἀκριβῆ μαθεῖν ὑμᾶς σημασίαν, ἵνα μὴ διὰ τὴν ὁμωνυμίαν τῶν πραγμάτων συγχέοντες τὴν φύσιν, εἰς βλασφημίαν ἐμπέσητε.

5. Ἔστι τοίνυν κακία ἡ ὄντως κακία, πορνεία, μοιχεία, πλεονεξία, καὶ τὰ μυρία δεινὰ τὰ τῶν ἐσχάτων ὄντα ἐγκλημάτων ἄξια καὶ τιμωριῶν. Πάλιν ἐστὶ κακία, μᾶλλον δὲ οὐκ ἔστιν, ἀλλὰ λέγεται, λιμός, λοιμός, θάνατος, νόσος καὶ ὅσα τοιαῦτα· ταῦτα γὰρ οὐκ ἂν εἴη κακά· διὰ τοῦτο εἶπον, λέγεται μόνον. Τί δήποτε; Ὅτι εἰ κακὰ ἦν, οὐκ ἂν ἀγαθῶν ἡμῖν αἴτια ἐγεγόνει, σωφρονίζοντα τὴν ἀπόνοιαν, ἐγκόπτοντα τὴν ῥαθυμίαν, καὶ πρὸς σπουδὴν ἐπανάγοντα, προσεκτικωτέρους ποιοῦντα. «Ὅτε γάρ», φησίν, «ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν, καὶ ἐπέστρεφον, καὶ ὤρθριζον πρὸς τὸν Θεόν».

Κακίαν οὖν ταύτην φησὶ τὴν σωφρονίζουσαν, τὴν λαμπροὺς ποιοῦσαν, τὴν σπουδαιοτέρους ἐργαζομένην, τὴν πρὸς φιλοσοφίαν ἐπανάγουσαν, οὐκ ἐκείνην τὴν διαβεβλημένην, καὶ ἐγκλημάτων ἀξίαν· ἐκείνη γὰρ οὐ Θεοῦ ἔργον, ἀλλὰ τῆς ἡμετέρας προαιρέσεως εὕρεμα, αὕτη δὲ πρὸς τὴν ἐκείνης ἀναίρεσιν γίνεται. Κακίαν οὖν ταύτην καλεῖ τὴν κάκωσιν, τὴν ἐκ τῶν τιμωριῶν γινομένην ἡμῖν, οὐ κατὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ κατὰ τὴν ὑπόνοιαν τῶν ἀνθρώπων, οὕτως αὐτὴν ὀνομάζων. Ἐπειδὴ γὰρ κακίαν καλεῖν εἰώθαμεν, οὐ τὰς κλοπὰς καὶ τὰς μοιχείας μόνον, ἀλλὰ καὶ τὰς συμφοράς, ἀπὸ τῆς τῶν ἀνθρώπων ψήφου οὕτω τὸ πρᾶγμα ἐκάλεσε. Τοῦτο οὖν ἐστιν ὅ φησιν ὁ προφήτης, ὅτι «Οὐκ ἔστι κακία ἐν πόλει,

---

17. Ἀμὼς 3, 6.
18. Ψαλμ. 77, 34.
19. Ἀμὼς 3, 6.

τὰ λέγω αὐτὰ ἀπὸ ὑπερηφάνειαν, ἀλλὰ ἔχω συμπαραστάτην τὸν προφήτην, ὁ ὁποῖος μαζί μου φωνάζει καὶ λέγει ὅτι «δὲν ὑπάρχει κακία εἰς τὴν πόλιν, τὴν ὁποίαν δὲν ἔκαμε ὁ Κύριος»[17]. Εἶναι βέβαια ἡ «κακία» ὁμόηχον ὄνομα· καὶ τὴν ἀκριβῆ σημασίαν κάθε μιᾶς ἀπὸ τὰς δύο ὁμωνύμους ἐννοίας τῆς «κακίας» θέλω νὰ μάθετε, διὰ νὰ μὴ συγχέετε τὴν φύσιν τῶν πραγμάτων ἐξ αἰτίας τῆς ὁμωνυμίας καὶ καταλήξετε εἰς βλασφημίαν κατὰ τοῦ Θεοῦ.

5. Εἶναι λοιπὸν κακία ἡ πραγματικὴ κακία, ἡ πορνεία, ἡ μοιχεία, ἡ πλεονεξία καὶ τὰ ἀναρίθμητα δεινὰ ποὺ εἶναι ἄξια μεγίστης κατακρίσεως καὶ τιμωρίας. Εἶναι πάλιν κακία, μᾶλλον δὲ δὲν εἶναι, ἀλλὰ λέγεται, ἡ πεῖνα, ἡ ἐπιδημία, ὁ θάνατος, ἡ ἀσθένεια καὶ τὰ παρόμοια· αὐτὰ ἠμπορεῖ νὰ μὴ εἶναι κακά· διὰ τοῦτο εἶπα ὅτι λέγονται μόνον κακά. Τί λοιπόν; Ἂν ἦσαν κακὰ δὲν θὰ ἐγίνοντο αἴτια ἀγαθῶν δι' ἡμᾶς, ὅταν σωφρονίζουν τὴν ἀλαζονείαν, ἐκριζώνουν τὴν ἀδιαφορίαν καὶ μᾶς ἐπαναφέρουν εἰς τὴν ἀνήσυχον φροντίδα καὶ μᾶς καθιστοῦν περισσότερον προσεκτικούς. «Διότι ὅταν», λέγει, «τοὺς ἐφόνευε, τότε τὸν ἀναζητοῦσαν καὶ ἐπέστρεφον καὶ ἤρχοντο ἀπὸ βαθέος ὄρθρου πρὸς τὸν Θεόν»[18].

Κακίαν λοιπὸν αὐτὴν ἐννοεῖ, αὐτὴν ποὺ μᾶς σωφρονίζει, μᾶς καθιστᾷ λαμπρούς, αὐτὴν ποὺ μᾶς ὑποχρεώνει νὰ γινώμεθα ἐπιμελέστεροι, αὐτὴν ποὺ μᾶς ἐπαναφέρει εἰς τὸν χριστιανικὸν τρόπον ζωῆς, δὲν ἐννοεῖ τὴν ἄλλην τὴν διαβλητὴν καὶ τὴν ἀξίαν κατακρίσεως· διότι ἐκείνη δὲν εἶναι ἔργον τοῦ Θεοῦ, ἀλλὰ εὕρημα τῆς θελήσεώς μας, αὐτὴ δὲ γίνεται πρὸς ἀναίρεσιν ἐκείνης. Κακίαν λοιπὸν καλεῖ αὐτὴν τὴν κάκωσιν, τὴν ὁποίαν ὑφιστάμεθα ἀπὸ τὰς τιμωρίας, καὶ τὴν ὀνομάζει ἔτσι ὄχι ἀπὸ τὸν χαρακτῆρα της, ἀλλὰ ἀπὸ τὴν γνώμην τῶν ἀνθρώπων. Διότι ἐπειδὴ συνηθίζομεν νὰ ὀνομάζωμεν κακίαν ὄχι μόνον τὰς κλοπὰς καὶ τὰς μοιχείας, ἀλλὰ καὶ τὰς συμφοράς, ὠνόμασε τὸ πρᾶγμα μὲ τὸ ὄνομα αὐτό, ἀπὸ τὴν ἐκτίμησιν ποὺ κάνουν οἱ ἄνθρωποι. Αὐτὸ σημαίνει ἐκεῖνο ποὺ λέγει ὁ προφήτης ὅτι «δὲν ὑπάρχει κακία εἰς τὴν πόλιν, τὴν ὁποίαν δὲν ἐπροκάλεσεν ὁ Κύριος»[19].

ἣν Κύριος οὐκ ἐποίησε». Τοῦτο καὶ διὰ Ἠσαΐου παρεδήλωσεν ὁ Θεὸς εἰπών· «Ἐγὼ Θεὸς ποιῶν εἰρήνην, καὶ κτίζων κακά»· κακὰ πάλιν, τὰς συμφορὰς ὀνομάζων. Ταύτην καὶ Χριστὸς τὴν κακίαν ἐν τοῖς εὐαγγελίοις αἰνίττεται, οὕτω λέγων τοῖς μαθηταῖς. «Ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς», τουτέστιν, ἡ κάκωσις, ἡ ταλαιπωρία. Πανταχόθεν οὖν δῆλον, ὅτι κακίαν ἐνταῦθα τὰς τιμωρίας καλεῖ, καὶ ταύτας ἡμῖν αὐτὸς ἐπάγει, μέγιστον προνοίας εἶδος παρεχόμενος.

Καὶ γὰρ ὁ ἰατρός, οὐχ ὅταν εἰς παραδείσους καὶ λειμῶνας ἐξαγάγῃ τὸν κάμνοντα, θαυμαστός ἐστι μόνον, οὐδ' ὅταν εἰς βαλανεῖα καὶ κολυμβήθρας ὑδάτων, οὐδ' ὅταν τράπεζαν παρατιθῇ πλουσίαν, ἀλλὰ καὶ ὅταν ἄσιτον κελεύῃ διαμένειν, καὶ ὅταν ἄγχῃ λιμῷ, καὶ δίψῃ κατατείνῃ, τῇ κλίνῃ προσηλῶν, καὶ τὴν οἰκίαν δεσμωτήριον ποιούμενος, καὶ αὐτοῦ τοῦ φωτὸς ἀποστερῶν καὶ συσκιάζων πανταχόθεν τὸ δωμάτιον παραπετάσμασι, καὶ ὅταν τέμῃ, καὶ ὅταν καίῃ, καὶ ὅταν πικρὰ προσάγῃ φάρμακα, ἰατρός ἐστιν ὁμοίως. Πῶς οὖν οὐκ ἄτοπον ἐκεῖνον μὲν τοσαῦτα ἐργαζόμενον κακὰ ἰατρὸν καλεῖν, τὸν δὲ Θεόν, εἴ ποτε ἓν τούτων ποιήσειεν, οἷον ἢ λοιμὸν ἢ θάνατον ἐπαγάγοι, βλασφημεῖν, καὶ τῆς τοῦ παντὸς ἐκβάλλειν προνοίας; Καίτοι γε ὁ ἀληθὴς ἰατρὸς οὗτος μόνος ἐστὶ καὶ ψυχῶν καὶ σωμάτων.

Διὰ τοῦτο πολλάκις τὴν φύσιν τὴν ἡμετέραν παραλαβὼν ἐξ εὐθηνίας σκιρτῶσαν, καὶ πυρετὸν ἁμαρτημάτων ὠδίνουσαν, ἐνδείᾳ καὶ λιμῷ καὶ θανάτῳ καὶ συμφοραῖς ἑτέραις, καὶ τοῖς ἄλλοις, οἷς αὐτὸς οἶδε, φαρμάκοις ἀπαλλάττει τῶν νοσημάτων. Ἀλλ' οἱ πένητες αἰσθάνονται μόνοι τοῦ λιμοῦ, φησίν. Ἀλλ' οὐχὶ μόνῳ λιμῷ κολάζει, ἀλλὰ καὶ ἑτέροις μυρίοις· τὸν ἐν πενίᾳ μὲν ὄντα λιμῷ πολλάκις ἐσωφρόνισε, τὸν πλουτοῦντα δὲ καὶ εὐπορίας ἀπολαύοντα κινδύνοις, νοσήμασι, θανάτοις ἀώροις· εὐμήχανος γάρ ἐστι, καὶ ποικίλα ἔχει

---

20. Ἠσ. 45, 7.
21. Ματθ. 6, 34.

Τοῦτο ἐφανέρωσεν ὁ Θεὸς καὶ διὰ τοῦ Ἡσαΐου ὅταν εἶπε· «Ἐγὼ εἶμαι ὁ Θεὸς ποὺ κάμω εἰρήνην καὶ κτίζω κακά»[20]· κακὰ πάλιν ἐδῶ ἀποκαλεῖ τὰς συμφοράς. Αὐτὴν τὴν κακίαν ὑπαινίσσεται καὶ ὁ Χριστὸς εἰς τὰ Εὐαγγέλια ὅταν λέγῃ εἰς τοὺς μαθητὰς «Ἀρκεῖ διὰ τὴν ἡμέραν ἡ κακία αὐτῆς»[21]· δηλαδὴ ἡ κάκωσις, ἡ ταλαιπωρία. Ἀπὸ παντοῦ λοιπὸν γίνεται φανερὸν ὅτι κακίαν ἐδῶ ὀνομάζει τὰς τιμωρίας, τὰς ὁποίας ἐκφέρει ἐναντίον μας ὡς μεγίστην ἐκδήλωσιν προνοίας.

Καὶ πράγματι ὁ ἰατρὸς δὲν εἶναι ἄξιος θαυμασμοῦ τότε μόνον ὅταν φέρῃ τὸν ἀσθενῆ εἰς κήπους καὶ λιβάδια, οὔτε ὅταν τὸν φέρῃ εἰς λουτρὰ καὶ κολυμβήθρας, οὔτε ὅταν τοῦ παραθέτῃ πλουσίαν τράπεζαν, ἀλλὰ εἶναι καὶ τότε ἀξιοθαύμαστος ὅταν τὸν προστάζῃ νὰ μένῃ νηστικός, καὶ νὰ ὑποφέρῃ ἀπὸ τὴν πεῖναν, καὶ βασανίζεται ἀπὸ τὴν δίψαν, ὅταν τὸν καθηλώνῃ εἰς τὴν κλίνην καὶ μετατρέπῃ κατὰ κάποιον τρόπον τὴν οἰκίαν του εἰς φυλακὴν καὶ τὸν ἀποστερῇ καὶ ἀπὸ αὐτὸ τὸ φῶς καὶ ὅταν συσκοτίζῃ ἀπὸ παντοῦ τὸ δωμάτιον μὲ διάφορα παραπετάσματα, καὶ ὅταν κάμῃ χειρουργικὴν ἐπέμβασιν, καὶ ὅταν καυτηριάζῃ καὶ ὅταν τοῦ προσφέρῃ πικρὰ φάρμακα. Πῶς λοιπὸν δὲν εἶναι παράλογον ἐκεῖνον ποὺ προκαλεῖ τόσα κακὰ νὰ τὸν ὀνομάζωμεν ἰατρόν, τὸν δὲ Θεόν, ἂν καμμίαν φορὰν προκαλέσῃ ἕνα ἀπὸ αὐτά, ὅπως ἐπιδημίαν ἢ θάνατον, νὰ τὸν βλασφημοῦμε καὶ νὰ ἀρνούμεθα τὴν πρόνοιάν του διὰ τὸ σύμπαν; Καὶ ὅμως μόνον αὐτὸς εἶναι ὁ ἀληθὴς ἰατρός, ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων.

Διὰ τοῦτο πολλὰς φορὰς παραλαμβάνει τὸν ἄνθρωπον, ὅταν σκιρτᾷ ἀπὸ εὐημερίαν, καὶ προκαλεῖ πυρετῶν ἁμαρτημάτων, μὲ τὴν ἔνδειαν καὶ τὴν πεῖναν καὶ μὲ τὸν θάνατον καὶ τὰς ἄλλας συμφορὰς καὶ μὲ ἄλλα φάρμακα, ποὺ αὐτὸς γνωρίζει, τὸν θεραπεύει ἀπὸ τὰ νοσήματα. Ἀλλὰ μόνον οἱ πτωχοὶ αἰσθάνονται τὴν πεῖναν, θὰ εἰπῇ κανείς. Ὅμως ὁ Θεὸς δὲν τιμωρεῖ μόνον μὲ τὴν πεῖναν, ἀλλὰ καὶ μὲ ἄλλα ἀναρίθμητα μέσα· τὸν πτωχὸν πολλὲς φορὲς τὸν ἐσωφρόνισε μὲ πεῖναν, τὸν πλούσιον καὶ εὔπορον μὲ τοὺς κινδύνους, μὲ τὰ νοσήματα, μὲ προώρους θανάτους· διότι εἶναι ἐπινοη-

τῆς σωτηρίας ἡμῶν τὰ φάρμακα. Οὕτω κὶ δικασταὶ ποιοῦσιν· οὐ τιμῶσι μόνον, οὐδὲ στεφανοῦσι τοὺς τὰς πόλεις οἰκοῦντας, οὐδὲ δωρεὰς παρέχουσι μόνον, ἀλλὰ καὶ κολάζουσι πολλάκις. Διὰ τοῦτο καὶ ξίφος αὐτοῖς ἠκόνηται, καὶ βάραθρα παρεσκεύασται, καὶ τροχός, καὶ ξύλα, καὶ δήμιοι, καὶ ἕτερα μυρία κολάσεων εἴδη. Ὅπερ οὖν ἐπὶ τῶν δικαστῶν ὁ δήμιος, τοῦτο ἐπὶ τοῦ Θεοῦ λιμός, καθάπερ δήμιος, σωφρονίζων ἡμᾶς καὶ τῆς κακίας ἀπάγων. Οὕτω καὶ ἐπὶ τῶν γεωργῶν ἐστιν ἰδεῖν. Οὐ γὰρ δὴ μόνον περιστέλλουσι τὴν ρίζαν τῆς ἀμπέλου, οὐδὲ περιφράττουσιν, ἀλλὰ καὶ περικόπτουσι, καὶ πολλὰ τῶν κλημάτων ἀποτέμνουσι· διὰ τοῦτο οὐχὶ σκαπάνη μόνον ἐκείνοις, ἀλλὰ καὶ δρέπανα πρὸς τομὴν ἐπιτήδεια. Ἀλλ' ὅμως οὐκ ἐγκαλοῦμεν οὐδὲ τούτοις· ἀλλὰ καὶ τότε μάλιστα αὐτοὺς θαυμάζομεν, ὅταν ἴδωμεν πολλὰ τῶν ἀχρήστων ἐκκόπτοντας, ὥστε τῇ τῶν περιττῶν ἀποβολῇ τοῖς μένουσι πολλὴν παρασκευάσαι τὴν σωτηρίαν. Πῶς οὖν οὐκ ἄτοπον, πατέρα μέν, καὶ ἰατρόν, καὶ δικαστήν, καὶ γεωργὸν οὕτω δοκιμάζειν, καὶ μήτε ἐκεῖνον ἐκβάλλοντα τὸν υἱὸν τῆς οἰκίας, μήτε τὸν ἰατρὸν ἐκτείνοντα τὸν κάμνοντα, μήτε τὸν δικαστὴν κολάζοντα, μήτε τὸν γεωργὸν κόπτοντα μέμφεσθαι καὶ αἰτιᾶσθαι, τὸν δὲ Θεόν, εἴ ποτε βουληθείη καθάπερ καρηβαροῦντας ἡμᾶς ἀπὸ τῆς πολλῆς ἀναστῆσαι μέθης τῆς κατὰ τὴν πονηρίαν, μέμφεσθαι καὶ μυρίαις βάλλειν κατηγορίαις; Πόσης οὐκ ἂν εἴη μανίας, μηδὲ τῆς αὐτῆς τῷ Δεσπότῃ μεταδιδόναι δικαιολογίας, ὅσης μεταδίδομεν τοῖς συνδούλοις;

6. Ταῦτα ὑπὲρ αὐτῶν τῶν ἐγκαλούντων δεδοικὼς λέγω νῦν, ἵνα μὴ πρὸς κέντρα λακτίζοντες, τοὺς πόδας αἱμάσσωσιν, ἵνα μὴ εἰς οὐρανὸν τοὺς λίθους βάλλοντες, τῇ κεφαλῇ τὰ τραύματα δέξωνται. Ἐγὼ δὲ καὶ ἑτέραν ὑπερβολὴν ἔχω

τικὸς καὶ ἔχει ποικίλα φάρμακα διὰ τὴν σωτηρίαν μας. Τὸ ἴδιον κάμουν καὶ οἱ δικασταί· δὲν τιμοῦν μόνον, οὔτε στεφανώνουν αὐτοὺς ποὺ κατοικοῦν εἰς τὰς πόλεις, οὔτε δίδουν μόνον δῶρα, ἀλλὰ καὶ τιμωροῦν πολλὰς φοράς. Διὰ τοῦτο ἀκονίζεται δι' αὐτοὺς καὶ ξίφος, καὶ βάραθρα ἔχουν ἑτοιμασθῆ, καὶ τροχός, καὶ πάσσαλοι, καὶ δήμιοι, καὶ ἀναρίθμητα ἄλλα εἴδη τιμωρίας. Αὐτὸ ποὺ εἶναι εἰς τὴν περίπτωσιν τῶν δικαστῶν ὁ δήμιος, αὐτὸ εἰς τὴν περίπτωσιν τοῦ Θεοῦ εἶναι, ὁ λιμός, ὁ ὁποῖος ὡς ἄλλος δήμιος, μᾶς σωφρονίζει καὶ μᾶς ἀπομακρύνει ἀπὸ τὴν κακίαν. Τὸ ἴδιον ἠμποροῦμε νὰ ἴδωμεν ὅτι συμβαίνει καὶ εἰς τοὺς γεωργούς. Διότι δὲν περιποιοῦνται μόνον τὴν ρίζαν τῆς ἀμπέλου, οὔτε τὴν περιφράσσουν μόνον, ἀλλὰ καὶ τὴν περικόπτουν καὶ κόπτουν πολλοὺς ἀπὸ τοὺς βλαστούς· διὰ τοῦτο δὲν ἔχουν μόνον ἀξίνην, ἀλλὰ καὶ δρέπανα κατάλληλα διὰ νὰ κόβουν. Καὶ ὅμως δὲν κατηγοροῦμεν οὔτε αὐτούς· ἀλλὰ τότε περισσότερον τοὺς θαυμάζομεν, ὅταν τοὺς βλέπωμεν νὰ κόβουν καὶ νὰ πετοῦν πολλὰ ἄχρηστα, ὥστε μὲ τὴν ἀπομάκρυνσιν τῶν περιττῶν νὰ ἐξασφαλισθῇ ἡ σωτηρία τῶν ἄλλων. Πῶς λοιπὸν δὲν εἶναι παράλογον τὸν μὲν πατέρα καὶ τὸν ἰατρὸν καὶ τὸν δικαστὴν καὶ τὸν γεωργὸν νὰ τοὺς ἐπιδοκιμάζωμεν, καὶ οὔτε ἐκεῖνον (τὸν πατέρα) ὅταν ἀπομακρύνῃ τὸν υἱόν του ἀπὸ τὴν οἰκίαν, οὔτε τὸν ἰατρόν, ὅταν βασανίζῃ τὸν ἀσθενῆ, οὔτε τὸν δικαστήν, ὅταν τιμωρῇ, οὔτε τὸν γεωργόν, ὅταν κλαδεύῃ, νὰ ἐπικρίνωμεν καὶ νὰ κατηγοροῦμεν, τὸν δὲ Θεόν, ἂν θελήσῃ καμμία φορά, ποὺ εἴμεθα μὲ βαρὺ κεφάλι ἐξ αἰτίας τῆς οἰνοποσίας νὰ μᾶς κάνῃ νὰ συνέλθωμεν ἀπὸ τὴν πολλὴν μέθην, νὰ τὸν ἐπικρίνωμεν καὶ νὰ βάλλωμεν ἐναντίον του, μὲ ἀναριθμήτους κατηγορίας; Πόσον μεγάλο γνώρισμα ἀνοησίας εἶναι, τὸ νὰ μὴ δίδωμεν εἰς τὸν Κύριον ἴσην δικαιολογίαν πρὸς ἐκείνην ποὺ ἀναγνωρίζομεν εἰς τοὺς συνδούλους μας;

6. Αὐτὰ τὰ λέγω ἀπὸ πρόνοιαν διὰ τοὺς ἰδίους τοὺς κατηγόρους, διὰ νὰ μὴ αἱματτώνουν τὰ πόδια τους λακτίζοντες εἰς καρφιά, διὰ νὰ μὴ δεχθοῦν τραύματα εἰς τὴν κεφαλήν των, ρίποντες λίθους πρὸς τὸν οὐρανόν. Ἔχω νὰ ἀνα-

πλείω ταύτης εἰπεῖν. Ἀνελὼν γὰρ τὸ ζητεῖν (κατὰ συγχώρησιν λέγω) εἰ χρησίμως ἔλαβε παρ' ἡμῶν ὁ Θεός, ἐκεῖνο λέγω μόνον, ὅτι εἰ ἔλαβε τὰ δοθέντα, οὐδὲ οὕτως ἐγκαλεῖν τις εἶχεν αὐτῷ· καὶ γὰρ κύριος ἦν τῶν αὐτοῦ. Ἐν ἀνθρώποις μέν, ὅταν παρακαταθῶνται χρήματα, καὶ δανείζωσιν ἀργύριον, χάριν ὁμολογοῦμεν τοῦ χρόνου, καθ' ὃν δὴ ἐδάνεισαν, οὐκ ἀγανακτοῦμεν δὲ ὑπὲρ τοῦ χρόνου, καθ' ὃν ἀφαιροῦνται τὰ ἴδια· τῷ Θεῷ δὲ τὰ αὐτοῦ βουλομένῳ λαβεῖν ἐγκαλέσωμεν, εἰπέ μοι; Καὶ πῶς οὐκ ἐσχάτης ταῦτα ἀνοίας; Ἀλλ' οὐχ ὁ μέγας καὶ γενναῖος Ἰὼβ οὕτως ἐποίησεν· οὐδὲ ἡνίκα ἐλάμβανε μόνον, ἀλλὰ καὶ ἡνίκα ἀφήρητο, χάριν ὡμολόγει μεγίστην, οὑτωσὶ λέγων· «Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας». Εἰ δὲ ὑπὲρ ἀμφοτέρων τούτων εὐχαριστεῖν δεῖ καὶ καθ' ἑαυτό, καὶ τῆς δόσεως ἡ ἀφαίρεσις οὐκ ἔλαττον ἢ χρησιμωτέρα, ποίαν ἂν σχοίημεν συγγνώμην, εἰπέ μοι, τὸν οὕτως ἥμερον καὶ φιλάνθρωπον, καὶ κηδεμόνα, καὶ παντὸς ἰατροῦ σοφώτερον, καὶ παντὸς πατρὸς φιλοστοργότερον, καὶ παντὸς δικαστοῦ δικαιότερον, καὶ γεωργοῦ παντὸς ἐπιμελέστερον τὰς ἡμετέρας θεραπεύοντα ψυχὰς τοῖς ἐναντίοις ἀμειβόμενοι, καὶ ὃν προσκυνεῖν δέον, ἀποδυσπετοῦντες;

Ἆρα γένοιτ' ἄν τι μανικώτερον καὶ ἀναισθητότερον τῶν ἐν εὐταξίᾳ τοσαύτῃ λεγόντων ἀποστερεῖσθαι τῆς τοῦ Θεοῦ προνοίας ἡμᾶς; Ὥσπερ γὰρ εἴ τις φιλονεικοίη τὸν ἥλιον εἶναι ζοφερὸν καὶ ψυχρόν, ἐσχάτης παραφροσύνης ἐκφέρει δεῖγμα τῇ ψήφῳ· οὕτως εἴ τις ἀμφιβάλλοι περὶ τῆς τοῦ Θεοῦ προνοίας, πολλῷ μᾶλλον **μανίας ἐγκλήμασίν** ἐστιν ὑπεύθυνος. Οὐχ οὕτως ἥλιος φανός, ὡς ἡ τοῦ Θεοῦ πρόνοια σαφής· ἀλλ' ὅμως τολμῶσί τινες λέγειν, ὅτι δαίμονες τὰ καθ'

22. Ἰὼβ 1, 21.

φέρω ἀκόμη καὶ ἄλλο βαρύτερον. Ἄς παραλείψω νὰ ἐξετάσω (συμβατικῶς τὸ λέγω) ἂν πρὸς ἰδικήν μας ὠφέλειαν ἀφῄρεσε ἀπὸ ἡμᾶς ὁ Θεὸς τὰ δοθέντα, λέγω μόνον ἐκεῖνο, ὅτι ἐὰν ἔλαβε αὐτὰ ποὺ μᾶς ἔδωσε, δὲν θὰ ἠμποροῦσε κανεὶς νὰ τὸν ἐπικρίνῃ δι' αὐτό· διότι ἦταν κύριος τῶν ἰδικῶν του. Μεταξὺ τῶν ἀνθρώπων, ὅταν δίδουν χρήματα ὡς παρακαταθήκην ἢ δανείζουν, χρεωστοῦν εὐγνωμοσύνην οἱ λαβόντες διὰ τὸν χρόνον ποὺ ἐκράτησαν τὰ δανεικά, καὶ δὲν ἀγανακτοῦν ὅταν ἔρχεται ἡ ὥρα νὰ τὰ στερηθοῦν· ὅταν ὅμως ὁ Θεὸς θέλῃ νὰ λάβῃ πίσω τὰ ἰδικά του, εἰπέ μου, θὰ τὸν κατηγορήσωμεν; Καὶ πῶς κάτι τέτοιο δὲν θὰ εἶναι μεγάλη ἀνοησία; Ὅμως ὁ μέγας καὶ γενναῖος Ἰὼβ δὲν ἔκαμε ἔτσι· ὄχι μόνον ὅταν ἐλάμβανε, ἀλλὰ καὶ ὅταν ἀπεστερεῖτο, ἀνεγνώριζε μεγάλην χάριν καὶ ἔλεγε τὰ ἑξῆς: «Ὁ Κύριος τὰ ἔδωσε, ὁ Κύριος πάλιν τὰ ἀφῄρεσε· ἂς εἶναι τὸ ὄνομά του εὐλογημένον εἰς τοὺς αἰῶνας»[22]. Ἂν τώρα καὶ διὰ τὰ δύο αὐτὰ πρέπει νὰ εὐχαριστοῦμε τὸν Θεὸν καὶ διὰ τὸ καθένα χωριστά, καὶ ἂν ἡ ἀφαίρεσις δὲν εἶναι ὀλιγώτερον ὠφέλιμος ἀπὸ τὴν χορήγησιν, ποίαν συγχώρησιν θὰ ἔχωμεν, εἰπέ μου, ἂν αὐτὸν τὸν τόσον ἐπιεικῆ καὶ φιλάνθρωπον καὶ κηδεμόνα μας, τὸν σοφώτερον ἀπὸ κάθε ἰατρόν, τὸν φιλοστοργότερον ἀπὸ κάθε πατέρα, τὸν δικαιότερον ἀπὸ κάθε δικαστήν, αὐτὸν ποὺ φροντίζει διὰ τὰς ψυχάς μας μὲ μεγαλυτέραν ἐπιμέλειαν ἀπὸ κάθε γεωργὸν ποὺ φροντίζει διὰ τοὺς ἀγρούς του, αὐτὸν ποὺ πρέπει νὰ προσκυνοῦμεν, τὸν ἀνταμείβωμεν μὲ τὰ ἀντίθετα καὶ δυσανασχετοῦμεν ἐναντίον του;

Ἆρά γε θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ μεγαλύτερη ἀπερισκεψία καὶ ἀνοησία ἀπὸ ἐκείνην ποὺ λέγουν μερικοί, ὅτι δηλαδὴ μέσα εἰς τόσην τάξιν καὶ ἁρμονίαν ἐμεῖς στερούμεθα τῆς προνοίας τοῦ Θεοῦ; Διότι ὅπως, ἐὰν κανεὶς ὑποστηρίζῃ ὅτι ὁ ἥλιος εἶναι σκοτεινὸς καὶ ψυχρός, μὲ τὴν γνώμην του αὐτὴν δείχνει δεῖγμα μεγάλης ἀνοησίας, ἔτσι καὶ ἂν κανεὶς ἀμφιβάλλῃ περὶ τῆς προνοίας τοῦ Θεοῦ φανερώνει πολὺ μεγαλυτέραν ἀνοησίαν μὲ τὰς ἐπικρίσεις του. Οὔτε ὁ ἥλιος δὲν εἶναι τόσον φωτεινὸς ὅσον σαφὴς εἶναι ἡ πρόνοια τοῦ Θεοῦ· καὶ ὅμως τολμοῦν μερικοὶ νὰ ὑποστηρί-

ἡμᾶς διοικοῦσι. Τί πάθω; Φιλάνθρωπον ἔχεις Δεσπότην· αἱρεῖται μᾶλλον βλασφημεῖσθαι ὑπὸ σοῦ διὰ τῶν ῥημάτων τούτων, ἢ τοῖς δαίμοσιν ἐπιτρέψας τὰ σὰ πεῖσαί σε διὰ τῶν πραγμάτων, πῶς δαίμονες διοικοῦσι. Τότε γὰρ ἂν ἔγνως καλῶς τὴν ἐκίνων πονηρίαν διὰ τῆς πείρας αὐτῆς· μᾶλλον δὲ καὶ νῦν δυνατὸν ὑμῖν παραστῆσαι, ὡς ἐν μικρῷ τινι παραδείγματι.

Ἀπήντησαν τῷ Χριστῷ δαιμονιζόμενοί τινες ἐκ τῶν μνημείων ἐξερχόμενοι, καὶ παρεκάλουν αὐτὸν οἱ δαίμονες ἐπιτρέψαι αὐτοῖς εἰς τὴν ἀγέλην τῶν χοίρων εἰσελθεῖν· καὶ ἐπέτρεψε, καὶ ἀπῆλθον, καὶ κατεκρήμνισαν αὐτοὺς εὐθέως ἅπαντας· οὕτω δαίμονες διοικοῦσι. Καίτοι πρὸς τοὺς χοίρους οὐδεὶς ἦν αὐτοῖς λόγος, πρὸς δὲ σὲ ἀεὶ πόλεμος ἄσπονδος, καὶ ἀκήρυκτός ἐστι μάχη, καὶ ἔχθρα ἀθάνατος. Εἰ δὲ ἐκείνων, πρὸς οὓς οὐδὲν ἦν αὐτοῖς κοινόν, οὐδὲ μικρὰν καιροῦ ῥοπὴν ἀνασχέσθαι ὑπέμειναν, εἰ τοὺς πολεμίους αὐτοῖς καὶ διηνεκῶς αὐτοὺς δάκνοντας ὑποχειρίους ἔλαβον ἡμᾶς, τί οὐκ ἂν εἰργάσαντο; Τί δὲ οὐκ ἂν τῶν ἀνηκέστων διέθηκαν; Διὰ γὰρ τοῦτο καὶ ὁ Θεὸς ἀφῆκεν αὐτοὺς ἐμπεσεῖν τῇ τῶν χοίρων ἀγέλῃ, ἵνα ἐν τοῖς τῶν ἀλόγων σώμασι μάθῃς αὐτῶν καὶ τὴν πονηρίαν. Καὶ ὅτι τοὺς δαιμονιζομένους ἐκείνους ταῦτα ἂν ἐποίησαν, ἃ καὶ τοὺς χοίρους, εἰ μὴ καὶ ἐν αὐτῇ τῇ μανίᾳ πολλῆς ἀπήλαυον οἱ δαιμονῶντες τῆς τοῦ Θεοῦ προνοίας, δῆλον ἅπασι. Καὶ νῦν οὖν, ὅταν ἴδῃς ἄνθρωπον ὑπὸ δαίμονος κινούμενον, προσκύνησον τὸν Δεσπότην, μάθε τῶν δαιμόνων τὴν πονηρίαν· ἀμφότερα γάρ ἐστιν ἰδεῖν ἐπὶ τῶν δαιμονώντων τούτων, καὶ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ τὴν τῶν δαιμόνων κακίαν· τὴν μὲν τῶν δαιμόνων κακίαν, ὅταν ταράττωσι καὶ θορυβῶσι τὴν ψυχὴν τοῦ παραπαίοντος· τὴν δὲ τοῦ Θεοῦ φιλανθρωπίαν, ὅταν οὕτως ἄγριον δαίμονα, ἔνοικον ὄντα, καὶ ἐπιθυμοῦντα κατακρημνίσαι τὸν ἄνθρωπον, κατέχῃ καὶ κωλύῃ, μὴ συγχωρῶν

ζουν ὅτι τὰ ἀνθρώπινα τὰ διοικοῦν οἱ δαίμονες. Τί νὰ κάμω; Ἔχεις φιλάνθρωπον Κύριον· διότι προτιμᾷ μᾶλλον νὰ βλασφημῆται ἀπὸ ἐσὲ μὲ αὐτὰ τὰ λόγια, παρὰ νὰ σὲ παραδώσῃ εἰς τοὺς δαίμονας καὶ νὰ σὲ πείσῃ ἐμπράκτως πῶς κυβερνοῦν οἱ δαίμονες. Διότι τότε θὰ ἐγνώριζες καλὰ τὴν πονηρίαν ἐκείνων μὲ τὴν πεῖραν αὐτήν· μᾶλλον δὲ καὶ τώρα εἶναι δυνατὸν νὰ σᾶς τὴν παραστήσω μὲ ἕνα μικρὸ παράδειγμα.

Συνάντησαν τὸν Χριστὸν μερικοὶ δαιμονιζόμενοι, ἐξερχόμενοι ἀπὸ τοὺς τάφους καὶ τὸν παρακαλοῦσαν νὰ ἐπιτρέψῃ εἰς αὐτοὺς νὰ εἰσέλθουν εἰς τὴν ἀγέλην τῶν χοίρων· καὶ τοὺς ἐπέτρεψε, καὶ εἰσῆλθαν, καὶ τοὺς ἔρριξαν ἀμέσως εἰς τὸν γκρεμόν· ἔτσι κυβερνοῦν οἱ δαίμονες. Καίτοι μὲ τοὺς χοίρους δὲν εἶχαν κανένα ἰδιαίτερον λόγον, ἐνῷ πρὸς ἐσὲ ὑπάρχει πάντοτε ἄσπονδος πόλεμος καὶ ἀσυμφιλίωτη μάχη καὶ ἔχθρα ἀθάνατος. Ἂν δὲ ἐκείνους (τοὺς χοίρους), μὲ τοὺς ὁποίους δὲν εἶχον τίποτε κοινόν, δὲν τοὺς ἠνέχθησαν οὔτε μίαν ἐλαχίστην στιγμὴν τοῦ χρόνου, τί δὲν θὰ ἔκαναν ἐὰν εἶχαν εἰς τὴν ἐξουσίαν των ἐμᾶς, ποὺ εἴμεθα ἐχθροί των καὶ συνεχῶς τοὺς δαγκώνομεν; Διὰ τοῦτο καὶ ὁ Θεὸς τοὺς ἄφησε νὰ ἐφορμήσουν εἰς τὴν ἀγέλην τῶν χοίρων, διὰ νὰ γνωρίσῃς τὴν κακίαν των εἰς τὰ σώματα τῶν ἀλόγων ζώων. Καὶ εἶναι εἰς ὅλους φανερόν, ὅτι τὰ ἴδια θὰ εἶχαν κάνει καὶ εἰς τοὺς δαιμονιζομένους ἐκείνους, αὐτὰ ποὺ ἔκαμαν καὶ εἰς τοὺς χοίρους, ἂν οἱ δαιμονιζόμενοι καὶ μέσα εἰς τὴν τρέλλαν των δὲν ἦσαν ἀντικείμενον μεγάλης προνοίας ἀπὸ μέρους τοῦ Θεοῦ. Καὶ τώρα λοιπὸν ἂν ἰδῇς κάποιον ἄνθρωπον νὰ ταράσσεται ἀπὸ δαίμονα, προσκύνησε τὸν Κύριον καὶ μάθε τὴν κακίαν τῶν δαιμόνων ἠμπορεῖς νὰ ἰδῇς καὶ τὰ δύο εἰς τὴν περίπτωσιν τῶν δαιμονιζομένων αὐτῶν, καὶ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, καὶ τὴν κακίαν τῶν δαιμόνων· τὴν μὲν κακίαν τῶν δαιμόνων τὴν βλέπεις ὅταν ταράσσουν καὶ ἀναστατώνουν τὴν ψυχὴν τοῦ δαιμονιζομένου· τὴν δὲ φιλανθρωπίαν τοῦ Θεοῦ τὴν βλέπεις ὅταν ἕνα τόσον ἄγριον δαίμονα ποὺ κατοικεῖ μέσα σου, καὶ ἐπιθυμεῖ νὰ σὲ κατακρημνίσῃ, τὸν συγκρατεῖ καὶ τὸν ἐμποδίζει καὶ δὲν τοῦ ἐπιτρέπει νὰ χρησιμοποιήσῃ ὅλην του τὴν δύναμιν, ἀλλὰ

εἰς ἅπαν τῇ οἰκείᾳ χρήσασθαι δυνάμει, ἀλλὰ τοσοῦτον ἐπιτρέπων ἐνδείξασθαι τὴν ἰσχύν, ὅσον καὶ τὸν ἄνθρωπον σωφρονίσαι, καὶ τὴν οἰκείαν ἐκφανῆ ποιῆσαι πονηρίαν.

Βούλει καὶ ἐφ' ἑτέρου παραδείγματος πάλιν ἰδεῖν πῶς διοικεῖ δαίμων, ὅταν ὁ Θεὸς αὐτῷ συγχωρῇ τῇ οἰκείᾳ κεχρῆσθαι δυνάμει; Ἐννόησον τὰ βουκόλια, τὰ ποίμνια τοῦ Ἰώβ, πῶς ἐν μιᾷ καιροῦ ῥοπῇ πάντα κατανάλωσε, τὸν ἐλεεινὸν τῶν παίδων αὐτοῦ θάνατον, τὴν κατὰ τοῦ σώματος αὐτοῦ πληγὴν ἐνεχθεῖσαν· καὶ ὄψει τὸ ὠμὸν καὶ ἀπάνθρωπον καὶ ἀφειδὲς τῆς τῶν δαιμόνων πονηρίας, καὶ ἀπὸ τούτων εἴσῃ σαφῶς, ὅτι εἰ καὶ τόδε τὸ πᾶν ἐπέτρεψεν αὐτῶν τῇ ἐξουσίᾳ ὁ Θεός, πάντα ἂν συνέχεαν, καὶ συνετάραξαν, καὶ τὰ τῶν χοίρων ἡμᾶς διέθηκαν, καὶ τὰ τῶν βουκολίων ἐκείνων, ὡς οὐδὲ μικρὰν καιροῦ ῥοπὴν φείσασθαι τῆς ἡμετέρας ἂν ἠνέσχοντο σωτηρίας.

Εἰ δαίμονες διῴκουν, οὐδὲν τῶν δαιμονώντων ἀνθρώπων ἄμεινον διεκείμεθα, μᾶλλον δὲ κἀκείνων χείρους ἂν ἦμεν. Οὔτε γὰρ ἐκείνους καθόλου τῇ τυραννίδι τῶν δαιμόνων ἐξέδωκεν ὁ Θεός, ἐπεὶ πολλῷ τούτων χαλεπώτερα ἂν ἔπαθον, ὧν πάσχουσι νῦν. Ἐγὼ δὲ κἀκεῖνο ἂν ἐπυθόμην τῶν ταῦτα λεγόντων, ποίαν δὴ ἀταξίαν ἐν τοῖς παροῦσιν ὁρῶντες, δαιμόνων διοικήσει τὰ καθ' ἡμᾶς ἀνατιθέασι πάντα; Καίτοι γε ἥλιον ὁρῶμεν ἐπὶ τοσούτους ἔτεσιν εὔτακτα καθ' ἑκάστην βαδίζοντα τὴν ἡμέραν, ποικίλον ἀστέρων χορὸν τὴν οἰκείαν διατηροῦντα τάξιν, σελήνης δρόμους ἀπαρεμποδίστους, νυκτὸς καὶ ἡμέρας διαδοχὴν ἀκριβῆ, πάντα, καὶ τὰ ἄνω, καὶ τὰ κάτω, ὥσπερ ἐν ἁρμονίῳ τινὶ χορείᾳ, μᾶλλον δὲ καὶ πολλῷ πλέον καὶ ἀκριβέστερον, τὴν οἰκείαν ἕκαστον χώραν διαφυλάττον, καὶ οὐκ ἐξιστάμενον τῆς τάξεως, ἧς παρὰ τὴν ἀρχὴν αὐτὰ ποιῶν ἔταξεν ὁ Θεός.

7. Καὶ τί τούτων ὄφελος, φησίν, ὅταν οὐρανὸς μέν, καὶ ἥλιος, καὶ σελήνη, καὶ ἀστέρων χορός, καὶ τὰ ἄλλα πάντα πολλὴν ἔχῃ τὴν εὐταξίαν, τὰ δὲ ἡμέτερα συγχύσεως ᾖ πεπλη-

τοῦ ἐπιτρέπει νὰ δείξῃ τὴν δύναμίν του τόσον μόνον, ὅσον ἀρκεῖ διὰ νὰ σωφρονίσῃ τὸν ἄνθρωπον, καὶ νὰ καταστήσῃ φανερὰν τὴν ἰδικήν του κακίαν.

Θέλεις πάλιν καὶ μὲ ἕνα ἄλλο παράδειγμα νὰ ἰδῇς πῶς κυβερνᾷ ὁ δαίμων, ὅταν ὁ Θεὸς τοῦ ἐπιτρέπει νὰ χρησιμοποιήσῃ τὴν δύναμίν του; Σκέψου τὰ κοπάδια βοῶν, τὰ ποίμνια τοῦ Ἰώβ, πῶς τὰ κατέστρεψε εἰς μίαν μόνον στιγμήν, τὸν θλιβερὸν θάνατον τῶν παιδιῶν του καὶ τὰς πληγὰς ποὺ τοῦ ἐπροξένησεν εἰς τὸ σῶμα του· καὶ θὰ ἰδῇς τότε τὴν ὠμότητα καὶ τὴν ἀπανθρωπίαν καὶ τὴν σκληρότητα τῆς κακίας τῶν δαιμόνων, καὶ ἀπὸ αὐτὰ θὰ γνωρίσῃς καλῶς ὅτι, ἐὰν ἄφηνε ὁ Θεὸς τὸ πᾶν εἰς τὴν ἐξουσίαν των, τὰ πάντα θὰ συνέχεαν καὶ θὰ συνετάραζαν καὶ θὰ ἔκαναν εἰς ἐμᾶς αὐτὰ ποὺ ἔκαναν εἰς τοὺς χοίρους καὶ τὰ κοπάδια ἐκεῖνα, καὶ οὐδόλως θὰ ὑπελόγιζαν τὴν ἰδικήν μας σωτηρίαν.

Ἂν ἐκυβερνοῦσαν οἱ δαίμονες δὲν θὰ εἴμεθα καλύτεροι ἀπὸ τοὺς δαιμονιζομένους, μᾶλλον δὲ θὰ εἴμεθα χειρότεροι ἀπὸ ἐκείνους. Διότι καὶ ἐκείνους δὲν τοὺς ἐγκατέλειψεν ὁ Θεὸς εἰς τὴν ἀπόλυτον τυραννίαν τῶν δαιμόνων, διότι τότε θὰ ἔπασχον πολὺ περισσότερα ἀπὸ ὅσα πάσχουν τώρα. Ἐγὼ δὲ θὰ ἤθελα νὰ μάθω καὶ τοῦτο ἀπὸ αὐτοὺς ποὺ λέγουν αὐτὰ (ὅτι δηλαδὴ κυβερνοῦν οἱ δαίμονες), ποίαν δηλαδὴ ἀταξίαν βλέπουν εἰς τὰ παρόντα, ὥστε νὰ ἀναθέτουν τὰ πάντα εἰς τὴν διοίκησιν τῶν δαιμόνων; Καίτοι βλέπομεν τὸν ἥλιον ἐπὶ τόσα ἔτη νὰ διαγράφῃ μὲ τάξιν τὴν τροχιάν του καθημερινῶς, τὸν ποικίλον χορὸν τῶν ἀστέρων νὰ διατηρῇ τὴν ἰδικήν του τάξιν, τὴν τροχιὰν τῆς σελήνης ἀπαρεμπόδιστον, τὴν ἀκριβῆ διαδοχὴν τῆς νυκτὸς καὶ τῆς ἡμέρας, ὅλα, καὶ τὰ ἄνω, καὶ τὰ κάτω, νὰ κινοῦνται ὡσὰν ἕνας ἁρμονικὸς χορός, μᾶλλον δὲ περισσότερον καὶ ἀκριβέστερον ἀπὸ χορόν, νὰ διατηρῇ τὸ κάθε ἕνα τὴν ἰδικήν του θέσιν καὶ δὲν ἐκτρέπεται ἀπὸ τὴν γενικὴν τάξιν, τὴν ὁποίαν ἀπὸ τὴν ἀρχὴν καθώρισεν ὁ Θεός, ὁ ὁποῖος τὰ ἐδημιούργησε.

7. Καὶ ποῖο εἶναι τὸ ὄφελος, θὰ εἰπῇ κάποιος, ὅταν ὁ οὐρανὸς μὲν καὶ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ὁ χορὸς τῶν ἀστέρων καὶ ὅλα τὰ ἄλλα ἔχουν πολλὴν τάξιν καὶ ἁρμονίαν, τὰ

ρωμένα καὶ ἀταξίας; Ποίας συγχύσεως, ἄνθρωπε, καὶ ἀταξίας; Ὁ δεῖνα πλουτεῖ, φησί, καὶ βιάζεται, ἁρπάζει, καὶ πλεονεκτεῖ, τὰς τῶν πενήτων οὐσίας καταπίνει καθ' ἑκάστην ἡμέραν, καὶ οὐδὲν πάσχει δεινόν· ἕτερος ἐν ἐπιεικείᾳ ζῇ, σωφροσύνῃ καὶ δικαιοσύνῃ καὶ τοῖς ἄλλοις ἅπασιν ἀγαθοῖς κεκοσμημένος, καὶ πενίᾳ καὶ νόσοις καὶ τοῖς ἐσχάτοις κολάζεται δεινοῖς. Ταῦτ' οὖν ἐστι τὰ σκανδαλίζοντά σε; Ταῦτα, φησίν. Ἐὰν οὖν ἴδῃς καὶ τῶν ἁρπαζόντων πολλοὺς κολαζομένους, καὶ τῶν ἐν ἀρετῇ ζώντων ἐνίους, ἢ καὶ μυρίους ἀπολαύοντας ἀγαθῶν, διὰ τί μὴ λύεις ταύτην τὴν ψῆφον, μηδὲ ἀποδέχῃ τὸν Δεσπότην; Ὅτι αὐτὸ τοῦτό ἐστι τὸ σκανδαλίζον με πλέον. Διὰ τί γὰρ δύο ὄντων τῶν πονηρῶν, ὁ μὲν κολάζεται, ὁ δὲ διαφυγὼν ἀπέρχεται, καὶ δύο ὄντων ἀγαθῶν, ὁ μὲν τιμᾶται, ὁ δὲ τιμωρούμενος διατελεῖ;

Καὶ τοῦτο αὐτὸ τῆς τοῦ Θεοῦ προνοίας μέγιστον ἔργον ἐστίν. Εἰ γὰρ πάντας ἐνταῦθα ἐκόλαζε τοὺς πονηρούς, καὶ πάντας ἐνταῦθα ἐτίμα τοὺς ἀγαθούς, περιττὴ ἡ τῆς κρίσεως ἦν ἡμέρα. Πάλιν, εἰ μηδένα ἐκόλαζε πονηρόν, μηδὲ ἐτίμα τινὰ τῶν ἀγαθῶν, καὶ οἱ φαῦλοι φαυλότεροι καὶ κακίους ἂν ἐγένοντο, ὡς πολλῷ τῶν χρηστῶν ῥᾳθυμότεροι· καὶ μειζόνως οἱ βουλόμενοι βλασφημεῖν, κατηγόρησαν ἂν τοῦ Θεοῦ, καὶ ὁλοσχερῶς ἂν εἶπον ἀποστερεῖσθαι προνοίας τὰ καθ' ἡμᾶς. Εἰ γὰρ καὶ νῦν κολαζομένων τινῶν πονηρῶν, καὶ τιμωμένων ἀγαθῶν, ὁμοίως φασὶν ἀπρονόητα εἶναι τὰ τῶν ἀνθρώπων πράγματα, εἰ μηδὲ τοῦτο ἐγίνετο, τί οὐκ ἂν εἶπον; Ποῖα δὲ οὐκ ἂν ἐξέβαλον ῥήματα; Διὰ τοῦτο τοὺς μὲν κολάζει, τοὺς δὲ οὐ κολάζει τῶν πονηρῶν, καὶ τοὺς μὲν τιμᾷ, τοὺς δὲ οὐ τιμᾷ τῶν ἀγαθῶν. Οὐ κολάζει μὲν ἅπαντας, ἵνα σε πείσῃ, ὅτι ἐστὶν ἀνάστασις· κολάζει δέ τινας, ἵνα τοὺς ῥᾳθυμοτέρους τῷ φόβῳ διὰ τῆς τῶν ἑτέρων τιμωρίας ποιήσῃ σπουδαιοτέ-

δὲ ἀνθρώπινα εἶναι γεμᾶτα σύγχυσιν καὶ ἀταξίαν; Ποίαν σύγχυσιν καὶ ἀταξίαν, ἄνθρωπε; Ὁ τάδε πλουτίζει, λέγει, καὶ χρησιμοποιεῖ βίαν, ἁρπάζει καὶ εἶναι πλεονέκτης, καταπίνει καθημερινῶς τὰς περιουσίας τῶν πτωχῶν, καὶ δὲν παθαίνει κανένα κακόν· ἄλλος ποὺ ζῇ μετριοπαθῶς, ποὺ εἶναι γεμᾶτος μὲ σωφροσύνην καὶ δικαιοσύνην καὶ μὲ ὅλα τὰ ἄλλα ἀγαθά, ὑποφέρει ἀπὸ τὴν πτωχείαν καὶ τὰς ἀσθενείας καὶ τὰ χειρότερα δεινά. Αὐτὰ εἶναι λοιπὸν ποὺ σὲ σκανδαλίζουν; Αὐτὰ εἶναι, λέγει. Ἂν λοιπὸν ἰδῇς καὶ πολλοὺς ἀπὸ τοὺς ἅρπαγας νὰ τιμωροῦνται, καὶ μερικοὺς ἐναρέτους ἢ καὶ ἀναριθμήτους νὰ ἀπολαμβάνουν τὰ ἀγαθά, διατί τότε δὲν ἐγκαταλείπεις αὐτὴν τὴν γνώμην καὶ δὲν ἀποδέχεσαι τὸν Κύριον; Διότι αὐτὸ εἶναι ποὺ μὲ σκανδαλίζει περισσότερον. Διατί μεταξὺ δύο πονηρῶν ὁ μὲν ἕνας τιμωρεῖται, ὁ δὲ ἄλλος ἀπέρχεται ἀπὸ τὸν κόσμον τοῦτον ἀφοῦ διαφύγῃ τὴν τιμωρίαν, καὶ μεταξὺ δύο ἀγαθῶν, ὁ μὲν τιμᾶται, ὁ δὲ ἄλλος τιμωρεῖται εἰς ὅλην του τὴν ζωήν;

Ἀλλὰ καὶ αὐτὸ εἶναι ἔργον μέγιστον τῆς προνοίας τοῦ Θεοῦ. Διότι ἂν ὅλους τοὺς κακοὺς τοὺς ἐτιμωροῦσε ἐδῶ, καὶ ὅλους τοὺς ἀγαθοὺς τοὺς ἐτιμοῦσε ἐδῶ, τότε θὰ ἦτο περιττὴ ἡ ἡμέρα τῆς κρίσεως. Καὶ πάλιν, ἐὰν δὲν ἐτιμωροῦσε κανένα κακὸν καὶ δὲν ἤμειβε κανένα καλόν, τότε καὶ οἱ φαῦλοι θὰ ἐγίνοντο φαυλότεροι καὶ χειρότεροι καθὼς καὶ περισσότερον ἀδιάφοροι ἀπὸ τοὺς καλούς· καὶ αὐτοὶ ποὺ ἔχουν τάσιν νὰ βλασφημοῦν, θὰ κατηγοροῦσαν περισσότερον τὸν Θεὸν καὶ θὰ ἔλεγαν ὅτι τὰ ἀνθρώπινα στεροῦνται παντελῶς τῆς προνοίας τοῦ Θεοῦ. Διότι ἀφοῦ τώρα, ποὺ τιμωροῦνται μερικοὶ πονηροί, καὶ ἀμείβονται μερικοὶ ἀγαθοί, ἰσχυρίζονται ὅτι τὰ ἀνθρώπινα εὑρίσκονται ἔξω ἀπὸ τὴν πρόνοιαν τοῦ Θεοῦ, ἂν δὲν ἐγίνετο οὔτε τοῦτο, τί δὲν θὰ ἔλεγαν; Καὶ τί δὲν θὰ ἐξεστόμιζον; Διὰ τοῦτο ἄλλους μὲν ἀπὸ τοὺς πονηροὺς τιμωρεῖ ἄλλους δὲ δὲν τοὺς τιμωρεῖ, καὶ ἄλλους ἀπὸ τοὺς ἀγαθοὺς ἀμείβει, ἄλλους δὲ ὄχι. Δὲν τιμωρεῖ βέβαια ὅλους διὰ νὰ σὲ πείσῃ ὅτι ὑπάρχει ἀνάστασις· τιμωρεῖ δὲ μερικοὺς διὰ νὰ καταστήσῃ πιὸ προσεκτικοὺς τοὺς ἀμελεῖς μὲ τὸν φόβον, μὲ τὴν τιμωρίαν δηλαδὴ τῶν ἄλλων. Ἀμείβει

ρους. Πάλιν τιμᾷ μέν τινας τῶν ἀγαθῶν, ἵνα ἑτέρους ἐπισπάσηται ταῖς τιμαῖς πρὸς τὸν τῆς ἀρετῆς ζῆλον· οὐ τιμᾷ δὲ πάντας, ἵνα μάθῃς, ὅτι ἐστὶν ἕτερος καιρὸς ἀποδιδοὺς ἅπασι τὰς ἀμοιβάς.

Εἰ μὲν γὰρ ἅπαντες ἐνταῦθα ἀπελάμβανον τὰ κατ' ἀξίαν, ἠπίστησαν ἂν τῷ τῆς ἀναστάσεως λόγῳ· εἰ δὲ μηδεὶς ἀπελάμβανε τὰ κατ' ἀξίαν, οἱ πλείους ἂν ἐγένοντο ῥαθυμότεροι. Διὰ τοῦτο τοὺς μὲν κολάζει, τοὺς δὲ οὐ κολάζει, καὶ τοὺς κολαζομένους, καὶ τοὺς μὴ κολαζομένους ὠφελῶν· ἐκείνων μὲν γὰρ ἐκκόπτει τὴν κακίαν, τοὺς δὲ ἑτέρους τῇ τούτων τιμωρίᾳ σωφρονεστέρους ποιεῖ. Καὶ τοῦτο ἐξ ὧν αὐτὸς εἶπεν ὁ Χριστὸς δῆλον. Ἐπειδὴ γὰρ ἀνήγγειλαν αὐτῷ, ὅτι πύργος κατενεχθεὶς ἀνθρώπους τινὰς κατέχωσε, φησὶ πρὸς αὐτούς· «Τί νομίζετε, ὅτι ἐκεῖνοι ἁμαρτωλοὶ ἦσαν μόνον; Οὔ, λέγω ὑμῖν· ἀλλ' ἐὰν μὴ μετανοήσητε, καὶ ὑμεῖς τὰ αὐτὰ πείσεσθε». Εἶδες πῶς κἀκεῖνοι δι' ἁμαρτίας ἀπώλοντο, καὶ οἱ λοιποὶ οὐ διὰ δικαιοσύνην διέφυγον, ἀλλ' ἵνα ταῖς ἐκείνων τιμωρίαις βελτίους γένωνται; Οὐκοῦν ἠδίκηνται, φησίν, οἱ κολαζόμενοι· ἐδύναντο γὰρ μὴ κολασθέντες ταῖς ἑτέρων τιμωρίαις αὐτοὶ γενέσθαι βελτίους. Ἀλλ' εἰ ᾔδει βελτίους ἐσομένους ἐκ μετανοίας, οὐκ ἂν ἐκόλασεν ὁ Θεός. Εἰ γὰρ πολλοὺς προειδὼς οὐδὲν ἀπὸ τῆς μακροθυμίας αὐτοῦ κερδανοῦντας, ὅμως φέρει μετὰ πολλῆς τῆς ἀνεξικακίας, τὸ αὐτοῦ πληρῶν καὶ παρέχων αὐτοῖς ἀνανῆψαί ποτε ἐκ τῆς οἰκείας ἀνοίας· πῶς ἂν τοὺς μέλλοντας βελτίους ἀπὸ τῆς ἑτέρων γενέσθαι τιμωρίας, ἀπεστέρησεν ἂν τοῦ τῆς μετανοίας κέρδους; Ὥστε οὐδὲν οὗτοι ἠδίκηνται, καὶ τῆς κακίας αὐτοῖς ἐκκοπείσης τῇ τιμωρίᾳ, καὶ τῆς ἐκεῖ κολάσεως κουφοτέρας ἐσομένης, διὰ τὸ προλαβόντας ἐνταῦθα παθεῖν κακῶς.

23. Λουκᾶ 13, 4.

πάλιν μερικοὺς ἀπὸ τοὺς ἀγαθοὺς ὥστε μὲ τὰς ἀμοιβὰς νὰ προσελκύσῃ καὶ ἄλλους εἰς τὸν ζῆλον τῆς ἀρετῆς· δὲν τοὺς ἀμείβει ὅλους, διὰ νὰ μάθῃς, ὅτι ὑπάρχει ἄλλος χρόνος κατὰ τὸν ὁποῖον ὅλοι θὰ λάβουν τὸν μισθὸν τῶν ἔργων τους.

Διότι ἂν ὅλοι ἀπελάμβανον ἐδῶ ὅλα ὅσα ἤξιζον, δὲν θὰ ἐπίστευαν εἰς τὴν διδασκαλίαν τῆς ἀναστάσεως· ἂν πάλι κανεὶς δὲν ἀπελάμβανε σύμφωνα πρὸς τὴν ἀξίαν του, οἱ περισσότεροι θὰ ἐγίνοντο ἀδιάφοροι. Διὰ τοῦτο ἄλλους μὲν τιμωρεῖ, ἄλλους δὲ δὲν τιμωρεῖ, ὠφελῶν κατ' αὐτὸν τὸν τρόπον καὶ τοὺς τιμωρουμένους καὶ τοὺς μὴ τιμωρουμένους· διότι ἀπὸ ἐκείνους μὲν ἐκριζώνει τὴν κακίαν, ἐνῷ τοὺς ἄλλους τοὺς καθιστᾷ σωφρονεστέρους μὲ τὴν τιμωρίαν τῶν ἄλλων. Καὶ τοῦτο γίνεται φανερὸν ἀπὸ ὅσα εἶπεν ὁ Χριστός. Ὅταν δηλαδὴ τοῦ ἀνήγγειλαν ὅτι ἕνας πύργος ποὺ κατέπεσε κατεπλάκωσε μερικοὺς ἀνθρώπους, εἶπε πρὸς αὐτούς· «Τί νομίζετε ὅτι μόνον ἐκεῖνοι ἦσαν ἁμαρτωλοί; Ὄχι, σᾶς λέγω· ἀλλὰ ἐὰν δὲν μετανοήσετε, καὶ σεῖς θὰ πάθετε τὰ ἴδια[23]. Εἶδες πῶς ἐχάθησαν καὶ ἐκεῖνοι διὰ τὰς ἁμαρτίας των, ἀλλὰ καὶ ὅσοι διέφυγαν δὲν διέφυγαν ἐπειδὴ ἦσαν δίκαιοι, ἀλλὰ διὰ νὰ γίνουν καλύτεροι διδασκόμενοι ἀπὸ τὰς τιμωρίας ἐκείνων; Ἀλλὰ ἀδικοῦνται οἱ τιμωρούμενοι, θὰ εἰπῇ κάποιος· διότι ἠμποροῦσαν χωρὶς νὰ τιμωρηθοῦν νὰ γίνουν καλύτεροι αὐτοὶ ἀπὸ τὰς τιμωρίας τῶν ἄλλων. Ἀλλὰ ἂν ἐγνώριζεν ὁ Θεὸς ὅτι θὰ ἐγίνοντο καλύτεροι μὲ τὴν μετάνοιαν, δὲν θὰ τοὺς ἐτιμωροῦσε. Διότι ἐάν, ἐνῷ γνωρίζει ἐκ τῶν προτέρων ὅτι πολλοὶ δὲν θὰ ἐπωφεληθοῦν ἀπὸ τὴν μακροθυμίαν του, ἐν τούτοις δεικνύει μεγάλην ἀνεξικακίαν καὶ ἐκπληρώνει τὸ χρέος του καὶ τοὺς παρέχει τὴν εὐκαιρίαν νὰ ἀνανήψουν καὶ νὰ συνέλθουν ἀπὸ τὴν ἀνοησίαν των, πῶς θὰ ἀποστεροῦσε ἀπὸ τὸ κέρδος τῆς μετανοίας ὅσους ἐπρόκειτο νὰ γίνουν καλύτεροι ἀπὸ τὴν τιμωρίαν τῶν ἄλλων; Ὥστε λοιπὸν δὲν ἀδικοῦνται αὐτοί, διότι καὶ ἡ κακία των ἐκριζώνεται μὲ τὴν τιμωρίαν καὶ ἡ κόλασις εἰς τὸν ἄλλον κόσμον θὰ εἶναι ἐλαφροτέρα, διότι ἐδῶ ἐπρόλαβαν καὶ ἔπαθαν πολλά.

Πάλιν οἱ μὴ κολασθέντες οὐδὲν ἠδίκηνται. Ἐξῆν γὰρ αὐτοῖς, εἴπερ ἐβούλοντο, τῇ μακροθυμίᾳ τοῦ Θεοῦ πρὸς μεταβολὴν ἀρίστην χρήσασθαι, καὶ θαυμάσαντας τὸ ἀνεξίκακον αἰδεσθῆναι τῆς ἀνοχῆς τὴν ὑπερβολήν, καὶ μεταστῆναί ποτε πρὸς ἀρετήν, καὶ ταῖς ἑτέρων τιμωρίαις τὴν οἰκείαν κερδᾶναι σωτηρίαν. Εἰ δὲ ἐπιμένουσι τῇ πονηρίᾳ, οὐχ ὁ Θεὸς αἴτιος, ὁ διὰ τοῦτο μακροθυμῶν, ἵνα αὐτοὺς ἀνακτήσηται, ἀλλ' ἐκεῖνοι συγγνώμης ἀνάξιοι, οἱ μὴ χρησάμενοι εἰς δέον τῇ τοῦ Θεοῦ μακροθυμίᾳ. Οὐ τοῦτον δὲ τὸν λόγον μόνον ἐστὶν εἰπεῖν, δι' ὃν οὐ κολάζονται πάντες ἐνταῦθα οἱ πονηροί, ἀλλὰ καὶ ἕτερον οὐκ ἐλάττονα τούτου. Ποῖον δὴ τοῦτον; Ὅτι εἰ πᾶσι παρ' αὐτὰ τὰ ἁμαρτήματα τὰς κολάσεις ἐπήγαγεν ὁ Θεός, προανηρπάσθη ἂν τὸ γένος ἡμῶν, καὶ οὐκ ἂν ἔφθασεν εἰς διαδοχὴν ἐλθεῖν. Καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν ἀληθές, ἄκουσον τοῦ προφήτου λέγοντος· «Ἐὰν ἀνομίας παρατηρήσῃ, Κύριε, τίς ὑποστήσεται;». Εἰ δὲ δοκεῖ καὶ βασανίσαι τὴν ῥῆσιν· τὸν ἑκάστου βίον ἀφέντες μετὰ ἀκριβείας ἐξετάζειν (οὐδὲ γὰρ δυνατὸν ἡμῖν εἰδέναι τὰ ἑκάστῳ βεβαιωμένα), ἅπερ ἀναντιρρήτως ἅπαντες ἁμαρτάνομεν, ταῦτα εἰς μέσον ἀγάγωμεν, καὶ ἐκ τούτου δῆλον ἡμῖν ἔσται καὶ φανερόν, ὅτι εἰ καθ' ἕκαστον ἐκολαζόμεθα τῶν ἁμαρτημάτων, πάλαι ἂν ἀπολώλειμεν.

Ὁ καλέσας τὸν ἀδελφὸν μωρόν, ἔνοχός ἐστιν εἰς τὴν γέενναν τοῦ πυρός, φησίν. Ἔστιν οὖν τις ἡμῶν, ὃς οὐχ ἥμαρτε τὴν ἁμαρτίαν ταύτην; τί οὖν, εὐθέως ἀναρπασθεῖναι ἔδει; Οὐκοῦν πάντες ἀνηρπάσθημέν τε καὶ ἠφανίσθημεν ἂν πάλαι καὶ πρόπαλαι. Πάλιν ὁ ὀμνύων, φησί, κἂν εὐορκῇ, τὰ ἐκ τοῦ πονηροῦ ποιεῖ πράγματα. Τίς οὖν ἐστιν, ὃς οὐκ ὤμοσε; μᾶλλον δὲ τίς ἐστιν, ὃς οὐκ ἐπιώρκησε πώποτε; Ὁ πρὸς γυναῖκα ἰδών, φησίν, ἀκολάστοις ὀφθαλμοῖς, ἀπηρτισμένος ἐστὶ μοιχός. Καὶ ταύτης δὲ τῆς ἁμαρτίας πολλοὺς εὕροι τις ἂν

---

24. Ψαλμ. 129, 3.
25. Ματθ. 5, 22.
26. Ματθ. 5, 37.
27. Ματθ. 5, 28.

Ἀπὸ τὸ ἄλλο μέρος πάλιν ὅσοι δὲν ἐτιμωρήθησαν ἐδῶ δὲν ἀδικοῦνται εἰς τίποτε. Διότι ἠμποροῦσαν, ἂν βέβαια ἤθελαν, νὰ ἐπωφεληθοῦν ἀπὸ τὴν μακροθυμίαν τοῦ Θεοῦ, διὰ νὰ στραφοῦν πρὸς τὴν ἀρετήν, καὶ ἀφοῦ θαυμάσουν τὴν ἀνεξικακίαν νὰ σεβασθοῦν τὴν ὑπερβολικὴν ἀνοχὴν καὶ νὰ μεταστραφοῦν κάποτε πρὸς τὴν ἀρετὴν καὶ νὰ κερδίσουν αὐτοὶ τὴν σωτηρίαν των ἀπὸ τὰς τιμωρίας τῶν ἄλλων. Ἂν ὅμως ἐπιμένουν εἰς τὴν πονηρίαν των, δὲν εἶναι αἴτιος ὁ Θεός, ὁ ὁποῖος μακροθυμεῖ ἀκριβῶς διὰ τοῦτο, διὰ νὰ τοὺς ἀνακτήσῃ, ἀλλὰ ἐκεῖνοι εἶναι ἀνάξιοι συγγνώμης, διότι δὲν ἐχρησιμοποίησαν ὅπως ἔπρεπε τὴν μακροθυμίαν τοῦ Θεοῦ. Ὄχι μόνον αὐτὸν τὸν λόγον ἠμπορῶ νὰ παραθέσω, ποὺ ἐξηγεῖ διατί δὲν τιμωροῦνται ἐδῶ ὅλοι οἱ κακοί, ἀλλὰ καὶ ἄλλον ὄχι μικροτέρας ἀξίας. Ποῖος εἶναι αὐτός; Ὅτι, ἐὰν ὁ Θεὸς ἐτιμωροῦσε ὅλους δι' ὅλα τὰ ἁμαρτήματά τους, πρὸ πολλοῦ θὰ εἶχεν ἐξαφανισθῆ τὸ ἀνθρώπινον γένος, καὶ δὲν θὰ διατηροῦσε τὴν συνέχειάν του· καὶ διὰ νὰ μάθῃς ὅτι τοῦτο εἶναι ἀληθές, ἄκουσε τὸν προφήτην ποὺ λέγει· «ἐὰν λάβῃς ὑπ' ὄψιν τὰς ἀνομίας, Κύριε, ποῖος θὰ ἀντέξῃ;»[24]. Καὶ ἐὰν θέλῃς, ἂς ἐξετάσωμεν τὴν φράσιν αὐτήν· ἂν ἐξετάσωμεν μὲ ἀκρίβειαν τὴν ζωήν μας (διότι δὲν εἶναι δυνατὸν νὰ γνωρίζωμεν τὴν ζωὴν ἑκάστου) καὶ φέρωμεν εἰς τὸ μέσον τὰς ἁμαρτίας ποὺ ἀναντίρρητα πράττομεν ὅλοι, θὰ γίνῃ φανερὸν εἰς ἡμᾶς ἀπ' αὐτὸ ὅτι ἐὰν ἐτιμωρούμεθα δι' ἕνα ἕκαστον τῶν ἁμαρτημάτων μας, θὰ εἴχαμε χαθῆ πρὸ πολλοῦ.

Ὅποιος ἐκάλεσε τὸν ἀδελφόν του ἀνόητον, εἶναι ἔνοχος εἰς τὴν γέενναν τοῦ πυρός, λέγει[25]. Ὑπάρχει λοιπὸν κάποιος ἀπὸ ἐμᾶς ποὺ δὲν ὑπέπεσε εἰς αὐτὸ τὸ ἁμάρτημα; Τί λοιπὸν ἔπρεπε ἀμέσως νὰ ἀναρπασθῇ; Λοιπὸν ὅλοι θὰ εἴχαμεν ἀναρπασθῆ καὶ ἐξαφανισθῆ ἀπὸ παλαιὰ καὶ ἀκόμη πιὸ παλαιά. Πάλιν, λέγει, αὐτὸς ποὺ ὁρκίζεται, καὶ ἂν ἀληθῶς ὁρκίζεται, κάμνει πράγματα ἐκ τοῦ πονηροῦ[26]. Ποῖος ὅμως ὑπάρχει ποὺ δὲν ἔχει ὁρκισθῆ; ἢ μᾶλλον ποῖος εἶναι ἐκεῖνος ποὺ δὲν παρέβη τὸν ὅρκον του ποτέ; Ὅποιος κοιτάξῃ γυναῖκα, λέγει, μὲ ἀκολάστους ὀφθαλμούς, εἶναι ἤδη μοιχός[27]. Καὶ αὐτῆς τῆς ἁμαρτίας ἠμπορεῖ κανεὶς νὰ εὕρῃ

ὑπευθύνους. Ὅταν οὖν τὰ ὡμολογημένα τοιαῦτα ᾖ, οὕτως ἀφόρητα, καὶ τούτων ἕκαστον καθ' ἑαυτὸ κόλασιν ἀπαραίτητον ἡμῖν ἐπάγῃ, εἰ καὶ τὰ λάθρα ἡμῖν ἡμαρτημένα ἀναλογισαίμεθα, τότε ὀψόμεθα μάλιστα τὴν τοῦ Θεοῦ πρόνοιαν οὐκ ἐπάγουσαν καθ' ἕκαστον ἁμάρτημα τὴν τιμωρίαν ἡμῖν. Ὥστε ὅταν ἴδῃς τινὰ ἁρπάζοντα, πλεονεκτοῦντα, καὶ μὴ κολαζόμενον, ἀνάπτυξον καὶ σὺ τὸ σαυτοῦ συνειδός, ἀναλόγισαί σου τὴν ζωήν, ἔπελθε τὰ ἡμαρτημένα, καὶ μαθήσῃ καλῶς ὅτι σοί πρώτῳ οὐ συμφέρει καθ' ἕκαστον τῶν ἁμαρτημάτων κολάζεσθαι. Διὰ γὰρ τοῦτο ἀφειδῶς οἱ πολλοὶ φθέγγονται, ἐπειδὴ οὐ τὰ ἴδια πρὸ τῶν ἀλλοτρίων σκοποῦσιν, ἀλλὰ τὰ ἡμέτερα ἀφέντες, τὰ τῶν ἄλλων ἐξετάζομεν ἅπαντες. Ἀλλὰ μηκέτι τοῦτο ποιῶμεν, ἀλλὰ τοὐναντίον· κἂν μὲν δίκαιόν τινα κολαζόμενον ἴδῃς, ἀναμνήσθητι τοῦ Ἰώϐ. Ἄν τε γὰρ δίκαιος ᾖ τις, οὔτε δικαιότερος ἔσται ἐκείνου, οὔτε κατὰ μικρὸν ἐγγύς· ἄν τε μυρία πάσχῃ κακά, οὐδὲν οὐδέπω τοσοῦτον ἔπαθεν, ὅσον ἐκεῖνος.

8. Τοῦτο τοίνυν εἰς νοῦν λαϐών, παῦσαι κατηγορῶν τοῦ Δεσπότου, μαθὼν ὅτι οὐκ ἐγκαταλιμπάνων τὸν τοιοῦτον ὁ Θεὸς ἀφίησι πάσχειν κακῶς, ἀλλὰ στεφανῶσαι, καὶ λαμπρότερον ποιῆσαι ϐουλόμενος. Ἂν δὲ ἁμαρτωλὸν ἴδῃς τιμωρούμενον, ἀναμνήσθητι τοῦ παραλυτικοῦ τοῦ τριάκοντα ὀκτὼ ἔτη ἔχοντος ἐπὶ τῆς κλίνης. Ὅτι γὰρ κἀκεῖνος δι' ἁμαρτίας τῇ νόσῳ παρεδόθη τότε ἐκείνῃ, ἄκουσον τοῦ Χριστοῦ λέγοντος· «Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται». Ἢ γὰρ ἁμαρτημάτων τίνομεν δίκας κολαζόμενοι, ἢ στεφάνων λαμϐάνομεν ὑπόθεσιν, ἂν ἐν κατορθώμασι ζῶντες πάσχωμεν κακῶς. Ὥστε κἂν ἐν δικαιοσύνῃ, κἂν ἐν ἁμαρτίαις ζῶμεν, χρήσιμον ἡμῖν ἡ κόλασις, ὁτὲ μὲν λαμπροτέρους ποιοῦσα, ὁτὲ δὲ σωφρονεστέρους ἐργαζομένη, καὶ τὴν μέλλουσαν ἡμῖν ἐπικουφίζουσα τιμωρίαν. Ὅτι γάρ ἐστιν ἐνταῦθα κολασθέντα καὶ ἐνεγκόντα εὐχαρίστως, πρᾳοτέρας ἀ-

---

28. Ἰω. 5, 5.
29. Ἰω. 5, 14.

πολλοὺς ἐνόχους. Ὅταν λοιπὸν τὰ ἁμαρτήματα ποὺ ὁμολογοῦμεν εἶναι τοιούτου εἴδους, τόσον ἀνυπόφορα καὶ κάθε ἕνα ἀπὸ αὐτὰ ἐπιφέρει ἐναντίον μας τὴν ἀπαραίτητον τιμωρίαν, καὶ ἂν ἀναλογισθοῦμεν ὅσα κρυφὰ διεπράξαμεν τότε κατ' ἐξοχὴν θὰ ἴδωμεν τὴν πρόνοιαν τοῦ Θεοῦ, ἡ ὁποία δὲν μᾶς τιμωρεῖ διὰ κάθε ἁμάρτημα. Ὥστε ὅταν ἰδῇς κάποιον νὰ εἶναι ἅρπαξ, πλεονέκτης καὶ νὰ μὴ τιμωρῆται, διερεύνησε καὶ σὺ τὴν συνείδησίν σου, ἀναλογίσου ὅλην σου τὴν ζωήν, θυμήσου τὰς ἁμαρτίας σου, καὶ θὰ μάθῃς καλὰ ὅτι εἰς ἐσὲ πρῶτα - πρῶτα δὲν συμφέρει νὰ τιμωρηθῇς διὰ κάθε ἕνα ἀπὸ τὰ ἁμαρτήματά σου. Διὰ τοῦτο οἱ πολλοὶ φωνάζουν ἀμέτρως, ἐπειδὴ δὲν ἐξετάζουν τὰ ἰδικά τους ἁμαρτήματα πρὶν ἀπὸ τὰ ἁμαρτήματα τῶν ἄλλων, ἀλλὰ ἀφήνομεν τὰ ἰδικά μας ὅλοι καὶ ἐξετάζομεν τὰ ἁμαρτήματα τῶν ἄλλων. Ὅμως ἂς μὴ κάνωμεν αὐτό, ἀλλὰ τὸ ἀντίθετον· καὶ ἂν ἰδῇς κάποιον δίκαιον νὰ τιμωρῆται, νὰ ἐνθυμηθῇς τὸν Ἰώβ. Διότι καὶ νὰ εἶναι κάποιος δίκαιος, δὲν θὰ εἶναι δικαιότερος ἐκείνου, οὔτε κἂν θὰ τὸν πλησιάζῃ· καὶ ἂν ὑποφέρῃ ἀμέτρητα κακὰ ποτὲ δὲν εἶναι δυνατὸν νὰ ἔπαθεν ὅσα ἐκεῖνος.

8. Αὐτὸ λοιπὸν ἔχων εἰς τὸν νοῦν σου, παῦσε νὰ κατηγορῇς τὸν Κύριον, ἀφοῦ μάθῃς ὅτι ὁ Θεὸς δὲν ἀφήνει τὸν δίκαιον νὰ ὑποφέρῃ διότι τὸν ἐγκαταλείπει, ἀλλὰ διότι θέλει νὰ τὸν στεφανώσῃ καὶ νὰ τὸν καταστήσῃ ἐνδοξότερον. Ἂν πάλιν ἰδῇς ἁμαρτωλὸν νὰ τιμωρῆται ἐνθυμήσου τὸν παραλυτικὸν ποὺ ἐπὶ τριάκοντα ὀκτὼ ἔτη ἦτο κατάκοιτος εἰς τὴν κλίνην[28]. Ὅτι πράγματι καὶ ἐκεῖνος παρεδόθη τότε εἰς τὴν ἀρρώστιαν ἐκείνην διὰ τὰς ἁμαρτίας του, ἄκουσε τὸν Χριστὸν ποὺ λέγει «Ἰδοὺ ἔγινες ὑγιής, μὴ ἁμαρτάνῃς πλέον, διὰ νὰ μὴ σοῦ συμβῇ κάτι χειρότερον»[29]. Διότι ἢ πληρώνομεν τὰς ἁμαρτίας μας τιμωρούμενοι ἢ λαμβάνομεν εὐκαιρίαν διὰ στεφάνους, ἄν, καθ' ὃν χρόνον ζοῦμε ἐνάρετα, ὑποφέρωμεν. Ὥστε καὶ ἂν ζοῦμε μὲ δικαιοσύνην καὶ ἂν ζοῦμε εἰς τὰς ἁμαρτίας, ἡ τιμωρία μᾶς εἶναι ὠφέλιμος, διότι ἄλλοτε μὲν μᾶς κάνει λαμπροτέρους, ἄλλοτε σωφρονεστέρους καὶ ἐλαφρώνει τὴν μέλλουσαν τιμωρίαν. Ὅτι πράγματι, ὅταν τιμωρηθοῦμε εἰς αὐτὴν τὴν ζωὴν καὶ ὑπομείνουμε

πολαῦσαι ἐκεῖ τῆς τιμωρίας, ἄκουσον τοῦ Παύλου λέγοντος· «Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς, καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν». Ταῦτα οὖν ἅπαντα εἰδότες, καὶ τὰ τοιαῦτα φιλοσοφῶμεν περὶ τῆς τοῦ Θεοῦ προνοίας, καὶ τοὺς ἀντιλέγοντας ἐπιστομίζωμεν.

Κἂν ᾖ τι τῶν γινομένων τὴν διάνοιαν ὑπερβαῖνον τὴν ἡμετέραν, μὴ ἀπὸ τούτου τὰ καθ' ἡμᾶς ἀπρονόητα εἶναι νομίζωμεν, ἀλλ' ἐκ μέρους καταλαβόντες αὐτοῦ τὴν πρόνοιαν, ἐν τοῖς ἀκαταλήπτοις παραχωρῶμεν αὐτοῦ τῷ ἀνεξιχνιάστῳ τῆς σοφίας. Εἰ γὰρ ἀνθρώπου τέχνην οὐ δυνατὸν καταλαβεῖν τῷ ἰδιώτῃ, πολλῷ μᾶλλον τῆς τοῦ Θεοῦ προνοίας τὸ ἄπειρον ἀδύνατον συνιδεῖν ἀνθρωπίνῃ διανοίᾳ· «Ἀνεξερεύνητα γὰρ τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ». Ἀλλ' ὅμως ἀπὸ τῶν ὀλίγων καὶ περὶ τοῦ παντὸς σαφῆ καὶ δήλην λαβόντες πίστιν, ὑπὲρ ἁπάντων τῶν γινομένων εὐχαριστῶμεν αὐτῷ. Καὶ γὰρ καὶ ἕτερός ἐστι λόγος ἀναντίρρητος τοῖς βουλομένοις περὶ τῆς τοῦ Θεοῦ προνοίας φιλοσοφεῖν. Ἐρώμεθα γὰρ τοὺς ἀντιλέγοντας, ἆρα ἔστι Θεός; κἂν μὲν εἴπωσιν, ὅτι οὐκ ἔστι, μηδὲ ἀποκρινώμεθα. Ὥσπερ γὰρ τοῖς μαινομένοις οὐκ ἄξιον ἀποκρίνεσθαι, οὕτως οὐδὲ τοῖς λέγουσι μὴ εἶναι Θεόν. Εἰ γὰρ πλοῖον ὀλίγους ναύτας ἔχον καὶ ἐπιβάτας, οὐκ ἂν οὐδὲ ἓν στάδιον διασωθείη χωρὶς τῆς κυβερνώσης αὐτὸ χειρός, πολλῷ μᾶλλον κόσμος τοσοῦτος, τοσαῦτα σώματα ἔχων ἐν ἑαυτῷ ἐκ διαφόρων συγκείμενα στοιχείων, ἐπὶ τοσοῦτον χρόνον οὐκ ἂν διήρκεσεν, εἰ μὴ πρόνοια ἦν τις ἐφεστῶσα, καὶ τόδε τὸ πᾶν συγκρατοῦσα καὶ συνέχουσα διηνεκῶς. Ἂν δὲ αἰσχυνθέντες τὴν κοινὴν ἁπάντων ψῆφον καὶ τὴν ἀπὸ τῶν πραγμάτων πεῖραν, ὁμολογήσωσιν εἶναι Θεόν,

30. Α' Κορ. 11, 30-32.
31. Ρωμ. 11, 33.

εὐχαρίστως τὴν τιμωρίαν, μᾶς ἀναμένει εἰς τὴν ἄλλην ζωὴν ἐλαφροτέρα τιμωρία, ἄκουσε τὸν Παῦλον ποὺ λέγει· «Διὰ τοῦτο ὑπάρχουν μεταξύ σας πολλοὶ ἀδύνατοι καὶ ἄρρωστοι, καὶ ἀρκετοὶ νεκροί. Διότι ἐὰν ἐκρίναμεν τὸν ἑαυτόν μας, δὲν θὰ ἐκρινόμεθα. Κρινόμενοι δέ, ἀπὸ τὸν Κύριον τιμωρούμεθα, διὰ νὰ μὴ καταδικασθοῦμε μὲ τὸν κόσμον»[30]. Γνωρίζοντες λοιπὸν ὅλα αὐτὰ καὶ νὰ ἐμβαθύνωμεν γενικῶς εἰς τὸ θέμα τῆς προνοίας τοῦ Θεοῦ καὶ νὰ ἀποστομώνωμεν αὐτοὺς ποὺ ἀντιλέγουν.

Καὶ ἂν ὑπάρχῃ κάτι ποὺ ὑπερβαίνει τὴν ἰδικήν μας σκέψιν, ἂς μὴ νομίζωμεν ἀπὸ αὐτὸ ὅτι ὁ Θεὸς δὲν προνοεῖ διὰ τὰ ἀνθρώπινα, ἀλλὰ ἀφοῦ κατανοήσωμεν τὴν πρόνοιάν του ἐν μέρει, εἰς τὰ σημεῖα ποὺ παραμένουν ἀκατανόητα, ἂς ἀναλογισθοῦμε ὅτι ἡ σοφία τοῦ Θεοῦ εἶναι ἀνεξερεύνητος. Διότι ἐὰν ὁ ἀνίδεος δὲν ἠμπορῇ νὰ κατανοήσῃ τὴν τέχνην ἀνθρώπων, πολὺ περισσότερον εἶναι ἀδύνατον νὰ γνωρίζῃ ἡ ἀνθρωπίνη διάνοια τὸ ἄπειρον τῆς προνοίας τοῦ Θεοῦ· «διότι αἱ κρίσεις του εἶναι ἀνεξερεύνητοι καὶ ἀνεξιχνίαστοι οἱ δρόμοι του»[31]. Ἀλλὰ ἀπὸ τὰ ὀλίγα, ἀφοῦ λάβωμεν φανερὰν καὶ σαφῆ πίστιν, δι' ὅλα ὅσα γίνονται ἂς τὸν εὐχαριστοῦμεν. Καθ' ὅσον ὑπάρχει καὶ ἄλλος λόγος ἀναντίρρητος, δι' ὅσους θέλουν νὰ φιλοσοφήσουν εἰς τὸ θέμα τῆς θείας προνοίας. Ἂς ἐρωτήσωμεν τοὺς ἀντιλέγοντας, ὑπάρχει ἆρά γε Θεός; καὶ ἂν μὲν μᾶς εἰποῦν ὅτι δὲν ὑπάρχει, τότε ἂς μὴ τοὺς ἀπαντήσουμε. Διότι ὅπως ἀκριβῶς δὲν ἀξίζει νὰ ἀπαντοῦμε εἰς τοὺς παράφρονας, ἔτσι καὶ εἰς ἐκείνους ποὺ λέγουν ὅτι δὲν ὑπάρχει Θεός. Διότι ἂν ἕνα πλοῖον, ποὺ ἔχει ὀλίγους ναύτας καὶ ἐπιβάτας, δὲν ἠμπορεῖ νὰ διανύσῃ σῶον οὔτε ἕνα στάδιον χωρὶς τὴν χεῖρα ποὺ τὸ κυβερνάει, πολὺ περισσότερον τόσος πολὺς κόσμος ποὺ ἔχει τόσα σώματα, συγκείμενα ἀπὸ διάφορα στοιχεῖα, δὲν θὰ διεσώζετο ἐπὶ τόσον χρόνον, ἂν δὲν ὑπῆρχε κάποια πρόνοια ποὺ νὰ προΐστατο αὐτοῦ καὶ ποὺ συγκρατεῖ τὸ σύμπαν καὶ διατηρεῖ τὴν συνέχειάν του διαρκῶς. Ἂν ὅμως ἐντραποῦν τὴν κοινὴν γνώμην ὅλων καὶ τὴν πεῖραν ποὺ μᾶς προσφέρουν τὰ ἴδια τὰ πράγματα καὶ ὁμολογήσουν ὅτι ὑπάρχει Θεός, αὐτὸ νὰ

ἐκεῖνο λέγωμεν πρὸς αὐτούς, ὅτι εἰ ἔστιν ὁ Θεός, ὥσπερ οὖν καὶ ἔστιν, ἀκόλουθον εἶναι καὶ δίκαιον· εἰ γὰρ μή ἐστι δίκαιος, οὔτε Θεός ἐστι· εἰ δὲ δίκαιός ἐστι, ἑκάστῳ τὰ κατ' ἀξίαν ἀποδίδωσιν. Ἀλλ' ὁρῶμεν οὐ πάντας ἐνταῦθα κατ' ἀξίαν ἀπολαμβάνοντας· οὐκοῦν ἀνάγκη τινὰ ἐλπίσαι ἑτέραν ἀποκειμένην ἀμοιβήν, ἵνα ἑκάστου τὰ κατ' ἀξίαν ἀπολαβόντος, φανῇ τοῦ Θεοῦ τὸ δίκαιον. Οὗτος γὰρ ὁ λόγος, οὐ τὴν περὶ προνοίας μόνον, ἀλλὰ καὶ τὴν περὶ ἀναστάσεως συνεισάγει φιλοσοφίαν ἡμῖν.

Ταῦτα τοίνυν εἰδότες, καὶ αὐτοὶ μελετῶμεν τὰ περὶ προνοίας καὶ ἀναστάσεως, καὶ ἑτέρους διδάσκωμεν, καὶ σπουδὴν ποιησώμεθα ἅπασαν τοὺς κατὰ τοῦ Δεσπότου λυττῶντας ἐπιστομίζειν, καὶ αὐτοὶ δοξάσωμεν αὐτὸν ἐν πᾶσιν. Οὕτω γὰρ πλείω τὴν κηδεμονίαν αὐτοῦ ἐπισπασόμεθα, καὶ πολλῆς ἀπολαύσομεν ῥοπῆς, καὶ οὕτω δυνησόμεθα τῆς ὄντως ἀπαλλαγῆναι κακίας, καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

εἰποῦμε εἰς αὐτούς, ὅτι ἐὰν ὑπάρχῃ Θεός, ὅπως πράγματι ὑπάρχει, εἶναι ἑπόμενον νὰ εἶναι καὶ δίκαιος· διότι ἐὰν δὲν εἶναι δίκαιος, δὲν εἶναι καὶ Θεός· ἂν δὲ εἶναι δίκαιος, τότε ἀποδίδει εἰς τὸν καθένα κατὰ τὴν ἀξίαν του. Ἀλλὰ βλέπομεν ὅτι ἐδῶ δὲν ἀπολαμβάνουν ὅλοι κατὰ τὴν ἀξίαν τῶν ἔργων τους· ἑπομένως εἶναι ἀνάγκη νὰ ἐλπίσουμε ὅτι ἐπιφυλάσσεται εἰς τὸ μέλλον μία ἄλλη ἀμοιβή, διὰ νὰ ἀμειφθῇ κάθε ἕνας κατὰ τὴν ἀξίαν τῶν ἔργων του καὶ νὰ φανῇ τὸ δίκαιον τοῦ Θεοῦ. Αὐτὴ ἡ ἐπιχειρηματολογία ὄχι μόνον τὴν διδασκαλίαν περὶ προνοίας, ἀλλὰ καὶ εἰς τὴν διδασκαλίαν περὶ ἀναστάσεως μᾶς εἰσάγει.

Αὐτὰ λοιπὸν ἀφοῦ γνωρίζομεν, καὶ ἐμεῖς οἱ ἴδιοι νὰ σκεπτώμεθα τὰ περὶ προνοίας καὶ ἀναστάσεως καὶ ἄλλους νὰ διδάσκουμε καὶ νὰ καταβάλλουμε κάθε προσπάθειαν νὰ ἀποστομώνουμε τοὺς λυσσαλέους ἐχθροὺς τοῦ Κυρίου καὶ ἐμεῖς οἱ ἴδιοι νὰ τὸν δοξάσωμεν εἰς ὅλα. Διότι κατ' αὐτὸν τὸν τρόπον θὰ τύχωμεν μεγαλυτέρας κηδεμονίας του καὶ μεγάλης βοηθείας καὶ θὰ ἠμπορέσωμεν νὰ ἀπαλλαγοῦμε ἀπὸ τὴν πραγματικὴν κακίαν καὶ νὰ ἐπιτύχουμε τὰ μέλλοντα ἀγαθὰ μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἡ δόξα ἀνήκει εἰς τὸν Πατέρα, συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

2

ΠΡΟΣ ΤΟΥΣ ΕΓΚΑΛΟΥΝΤΑΣ

τίνος ἕνεκεν οὐκ ἐκ μέσου γέγονεν ὁ διάβολος· καὶ ὅτι οὐδὲν ἡμᾶς βλάπτει ἡ τούτου πονηρία ἐὰν προσέχωμεν, καὶ περὶ μετανοίας.

1. Ὁ μὲν Ἰσαὰκ ἐπιθυμήσας ποτὲ ἄριστον ἐκ τῶν χειρῶν τοῦ παιδὸς φαγεῖν, τὸν παῖδα εἰς τὴν θήραν ἐξέπεμψεν ἐκ τῆς οἰκίας· οὗτος δὲ ὁ Ἰσαὰκ ἐπιθυμήσας ἄριστον ἐκ τῶν ἡμετέρων χειρῶν λαβεῖν, οὐχ ἡμᾶς ἐξέπεμψεν ἐκ τῆς οἰκίας, ἀλλ' αὐτὸς πρὸς τὴν ἡμετέραν ἔδραμε τράπεζαν. Τί τούτου φιλοστοργότερον γένοιτ' ἄν; τί δὲ ταπεινότερον; ὃς οὕτω θερμὴν ἐπιδείξασθαι τὴν ἀγάπην κατηξίωσε, καὶ τοσοῦτον καταβῆναι ἠνέσχετο. Διά τοι τοῦτο καὶ ἡμεῖς, καὶ τὸν τόνον τῆς φωνῆς, καὶ τὴν δύναμιν τῶν ποδῶν καταβαλόντες ἀπὸ τῆς ἑωθινῆς διαλέξεως, ἰδόντες τὴν πατρικὴν ὄψιν, εὐθέως ἐπελαθόμεθα τῆς ἀσθενείας, ἀπεθέμεθα τὸν ὄκνον, ἀνεπτερώθημεν ὑπὸ τῆς ἡδονῆς, εἴδομεν τὴν λαμπρὰν πολιάν, καὶ φωτὸς ἐνεπλήσθη ἡμῶν ἡ ψυχή. Διὰ τοῦτο καὶ μετὰ προθυμίας τὴν τράπεζαν παρατιθέμεθα, ἵνα φαγὼν εὐλογήσῃ ἡμᾶς. Οὐκ ἔστιν ἐνταῦθα κλοπὴ καὶ δόλος, καθάπερ ἐκεῖ τότε· ἕτερος μὲν ἐπετάγη εἰσενεγκεῖν, ἕτερος δὲ εἰσήνεγκεν· ἀλλ' ἐγὼ καὶ ἐπετάγην εἰσενεγκεῖν, καὶ εἰσήνεγκα. Εὐλόγησον δὴ ἡμᾶς, ὦ πάτερ, εὐλογίαν πνευματικήν, καὶ ἣν πάντες εὐχόμεθα λαβεῖν ἀεί, καὶ τὴν οὐ σοὶ μόνον, ἀλλὰ καὶ ἐμοὶ καὶ τούτοις πᾶσι χρησίμην· παρακάλεσον τὸν κοινὸν ἡμῶν ἁπάντων Δεσπότην, εἰς τὸ μακρὸν γῆρας τοῦ Ἰσαὰκ τὴν ζωὴν τὴν σὴν ἐξαγαγεῖν. Τοῦτο γὰρ καὶ ἐμοὶ καὶ τούτοις τῆς δρόσου τοῦ οὐρανοῦ, καὶ τῆς πιότητος τῆς γῆς τιμιώτερον καὶ ἀναγκαιότερον.

---

1. Γεν. 27, 2ἑ.
2. Ἐννοεῖ τὸν γέροντα ἐπίσκοπον Ἀντιοχείας Φλαβιανόν. Ὁ χαρακτηρισμὸς «λαμπρὰ πολιὰ» φανερώνει τὸ προκεχωρημένον τῆς ἡλικίας τοῦ ἐπισκόπου καὶ τὴν κατὰ συνέπειαν λεύκανσιν τῆς κεφαλῆς του.

2

ΠΡΟΣ ΤΟΥΣ ΚΑΤΗΓΟΡΟΥΝΤΑΣ ΤΟΝ ΘΕΟΝ

διατί δὲν ἐξαφανίζει τὸν διάβολον· καὶ ὅτι δὲν μᾶς βλάπτει καθόλου ἡ πονηρία του ἂν προσέχωμεν, καὶ περὶ μετανοίας.

1. Ὁ Ἰσαὰκ ἐπεθύμησε κάποτε γεῦμα ἀπὸ τὰς χεῖρας τοῦ υἱοῦ του[1] καὶ τὸν ἔστειλε διὰ κυνήγιον μακρυὰ ἀπὸ τὴν οἰκίαν του· αὐτὸς ὅμως ὁ Ἰσαὰκ ὅταν ἐπεθύμησε νὰ λάβῃ γεῦμα ἀπὸ τὰς ἰδικάς μας χεῖρας, δὲν μᾶς ἔστειλεν ἔξω ἀπὸ τὴν οἰκίαν μας, ἀλλὰ ἔτρεξεν ὁ ἴδιος πρὸς τὴν ἰδικήν μας τράπεζαν. Τί φιλοστοργότερον τούτου ἠμποροῦσε νὰ γίνῃ; τί ταπεινότερον; Ἀφοῦ ἠξιώθη νὰ ἐπιδείξῃ τόσον θερμὴν ἀγάπην καὶ κατεδέχθη νὰ καταβῇ τόσον πολὺ χαμηλά. Διὰ τοῦτο ἀκριβῶς καὶ ἡμεῖς, ἂν καὶ μὲ τὴν πρωινήν μας ὁμιλίαν ἐκουράσαμεν καὶ τὸν τόνον τῆς φωνῆς μας καὶ τὴν δύναμιν τῶν ποδῶν μας, εὐθὺς ὡς ἀντικρύσαμεν τὸ πατρικὸν πρόσωπον, ἀμέσως ἐλησμονήσαμεν τὴν ἀδυναμίαν, ἀπεβάλαμεν τὸν δισταγμόν, ἀνεπτερώθημεν ἀπὸ τὴν χαράν, εἴδαμεν τὴν λαμπρὰν πολιὰν[2] καὶ ἐγέμισεν ἡ ψυχή μας ἀπὸ φῶς. Διὰ τοῦτο καὶ μὲ μεγάλην προθυμίαν παραθέτομεν τὴν τράπεζαν διὰ νὰ φάγῃ καὶ νὰ μᾶς εὐλογήσῃ. Ἐδῶ δὲν ὑπάρχει οὔτε κλοπὴ οὔτε δόλος ὅπως ἐκεῖ τότε· διότι ἐκεῖ ἄλλος διετάχθη νὰ φέρῃ γεῦμα καὶ ἄλλος ἔφερεν· ἀλλὰ ἐγὼ καὶ διετάχθην νὰ παραθέσω καὶ παρέθεσα γεῦμα. Εὐλόγησέ μας, λοιπόν, πατέρα, μὲ πνευματικὴν εὐλογίαν τὴν ὁποίαν ἄλλως τε πάντοτε εὐχόμεθα νὰ λάβωμεν, ἡ ὁποία δὲν εἶναι μόνον ὠφέλιμος εἰς σέ, ἀλλὰ καὶ εἰς ἐμὲ καὶ εἰς ὅλους τούτους. Παρακάλεσε τὸν κοινὸν Δεσπότην ὅλων μας νὰ παρατείνῃ τὴν ζωήν σου ἕως τὸ βαθὺ γῆρας τοῦ Ἰσαάκ[3]. Διότι αὐτὸ καὶ δι' ἐμὲ καὶ δι' αὐτοὺς εἶναι πολυτιμότερον καὶ ἀναγκαιότερον καὶ ἀπὸ τὴν δρόσον τοῦ οὐρανοῦ καὶ ἀπὸ τὴν γονιμότητα τῆς γῆς.

3. Πρβλ. Γεν. 35, 28.

Ἀλλὰ γὰρ ὥρα λοιπὸν παραθεῖναι τὴν τράπεζαν· τίς οὖν ἐστιν αὕτη; Τὰ λείψανα τῶν πρώην εἰρημένων πρὸς τὴν ὑμετέραν ἀγάπην· ἔτι γάρ, ἔτι τὸν περὶ τοῦ διαβόλου λόγον ἀνακινοῦμεν, ὃν πρὸ τούτων τῶν δύο ἡμερῶν ἐκινήσαμεν· ὃν καὶ ἔωθεν πρὸς τοὺς μυσταγωγουμένους εἴπαμεν, ὅτε περὶ ἀποταγῆς καὶ συνταγῆς διελεγόμεθα τούτοις. Ποιοῦμεν δὲ τοῦτο οὐκ ἐπειδὴ ἡδὺς ἡμῖν ὁ περὶ τοῦ διαβόλου λόγος, ἀλλ' ἐπειδὴ ἀσφαλὴς ἡμῖν ἡ περὶ τούτου διδασκαλία· ἐχθρὸς γάρ ἐστι καὶ πολέμιος· μεγάλη δὲ ἀσφάλεια τὰ τῶν ἐχθρῶν εἰδέναι σαφῶς. Εἰρήκαμεν πρώην, ὅτι βίᾳ οὐ κρατεῖ, οὐδὲ τυραννίδι, οὐδὲ ἀναγκάζων, οὐδὲ βιαζόμενος· ἐπεὶ εἰ τοῦτο ἦν, πάντας ἂν ἀπώλεσε. Καὶ τούτου τεκμήριον παρηγάγομεν τοὺς χοίρους, ὧν οὐκ ἠδυνήθησαν κατατολμῆσαι οἱ δαίμονες πρὸ τῆς ἐπιτροπῆς τοῦ Δεσπότου· τὰ βουκόλια τοῦ Ἰώβ, καὶ τὰ ποίμνια· οὐδὲ γὰρ ταῦτα διαφθεῖραι ἐτόλμησεν ὁ διάβολος, ἕως ἄνωθεν τὴν ἐξουσίαν ἔλαβεν. Ἓν τοίνυν τοῦτο πρῶτον ἐμάθομεν, ὅτι βίᾳ ἡμῶν οὐ κρατεῖ, οὐδὲ ἀνάγκῃ· δεύτερον μετ' ἐκεῖνο προσεθήκαμεν, ὅτι καὶ ἀπάτῃ κρατῶν, οὐδὲ οὕτω πάντων περιγίνεται· καὶ πάλιν αὐτὸν τὸν ἀθλητὴν εἰς μέσον παρηγάγομεν τὸν Ἰώβ, καθ' οὗ μυρία κινήσας μηχανήματα, οὐδὲ οὕτω περιεγένετο, ἀλλὰ καὶ ἡττηθεὶς ἀνεχώρησεν.

Ἓν ὑπολείπεται ζήτημα λοιπόν. Ποῖον δὴ τοῦτο; Ὅτι εἰ καὶ μὴ βίᾳ, φησί, κρατεῖ, ἀλλ' ἀπάτῃ· καὶ διὰ τοῦτο βέλτιον ἦν αὐτὸν ἀφανισθῆναι. Εἰ γὰρ καὶ περιεγένετο ὁ Ἰώβ, ἀλλ' ἠπατήθη ὁ Ἀδάμ, καὶ ὑπεσκελίσθη· εἰ δὲ ἀνῃρέθη ἐκ

4. Πρβλ. Ματθ. 8, 31.
5. Πρβλ. Ἰὼβ 1, 12.

Ἀλλὰ εἶναι ὥρα νὰ παραθέσωμεν τὴν τράπεζαν· ποία ὅμως εἶναι αὐτή; Τὰ ὑπόλοιπα ἀπὸ ἐκεῖνα ποὺ εἶχα εἰπεῖ προηγουμένως εἰς τὴν ἀγάπην σας. Ἀκόμη δηλαδή, ἀκόμη ὁ λόγος μας ἔχει θέμα τὸν διάβολον, διὰ τὸν ὁποῖον πρὸ δύο ἡμερῶν ἠρχίσαμε νὰ ὁμιλοῦμεν· αὐτὸν τὸν λόγον τὸν εἴπαμεν καὶ τὴν πρωίαν πρὸς τοὺς μυσταγωγουμένους, τότε ποὺ ὡμιλήσαμεν εἰς αὐτοὺς περὶ ἀποτάξεως (τοῦ σατανᾶ) καὶ συντάξεως (μὲ τὸν Χριστόν). Καὶ τὸ κάμνομεν αὐτὸ ὄχι διότι ὁ λόγος διὰ τὸν διάβολον μᾶς εἶναι εὐχάριστος, ἀλλὰ ἐπειδὴ εἶναι δι' ἡμᾶς ἀσφαλὲς ἐφόδιον ἡ διδασκαλία περὶ αὐτοῦ, διότι ὁ διάβολος εἶναι ἐχθρὸς καὶ πολέμιος. Καὶ εἶναι μεγάλη ἀσφάλεια νὰ γνωρίζῃς σαφῶς τὰ πράγματα τῶν ἐχθρῶν. Ἔχομεν εἴπει εἰς προηγουμένην ὁμιλίαν ὅτι δὲν ἐπικρατεῖ διὰ τῆς βίας, οὔτε μὲ τὴν τυραννίαν, τὸν καταναγκασμόν, ἢ τὴν ὠμὴν ἐπιβολήν. Διότι ἂν συνέβαινε τοῦτο θὰ μᾶς εἶχε καταστρέψει ὅλους. Καὶ εἰς ἀπόδειξιν τούτου ἐφέραμεν ὡς παράδειγμα τοὺς χοίρους, ἐναντίον τῶν ὁποίων δὲν ἐτόλμησαν νὰ ἐπιτεθοῦν οἱ δαίμονες πρὶν λάβουν τὴν ἄδειαν ἀπὸ τὸν Κύριον[4]. Ἐπίσης ἐφέραμεν ὡς παράδειγμα τὰ βουκόλια καὶ τὰ ποίμνια τοῦ Ἰώβ· διότι οὔτε αὐτὰ ἐτόλμησεν ὁ διάβολος νὰ τὰ καταστρέψῃ παρὰ μόνον ὅταν ἔλαβεν ἄνωθεν τὴν ἐξουσίαν[5]. Τὸ πρῶτον λοιπὸν ποὺ ἐμάθομεν εἶναι ὅτι δὲν μᾶς ἐπιβάλλεται διὰ τῆς βίας οὔτε ἀπὸ καμμίαν ἀνάγκην· μετὰ ἀπὸ αὐτὸ ἐπροσθέσαμεν ὅτι ἂν καὶ νικᾷ μὲ ἀπάτην, οὔτε ἔτσι κατορθώνει νὰ τοὺς νικήσῃ ὅλους. Καὶ πάλιν ἐφέραμεν ὡς παράδειγμα τὸν ἀγωνιστικὸν Ἰώβ, ἐναντίον τοῦ ὁποίου ἐχρησιμοποιήσαμεν ἀμέτρητα τεχνάσματα καὶ οὔτε ἔτσι κατώρθωσε νὰ τὸν νικήσῃ, ἀλλὰ ἀπεσύρθη ἡττημένος.

Ὑπολείπεται λοιπὸν ἀκόμη ἕνα ζήτημα. Ποῖο λοιπὸν εἶναι αὐτό; Ὅτι, καὶ ἂν δὲν ἐπιβάλλεται διὰ τῆς βίας, λέγει, ἀλλὰ μὲ ἀπάτην, καὶ πάλιν, ὑποστηρίζουν, ὅτι ἦταν προτιμότερον νὰ ἀφανισθῇ. Διότι, ἂν καὶ ἐνίκησε τὸν Ἰώβ, ἠπατήθη ὅμως ὁ Ἀδὰμ καὶ ἐνικήθη ἀπὸ τὸν διάβολον. Ἐὰν ὅμως εἶχεν ἐξαφανισθῆ διὰ παντὸς μίαν φοράν, οὔτε ὁ Ἀ-

μέσου καθάπαξ, οὐδὲ ὁ Ἀδὰμ ἂν ὑπεσκελίσθη ποτέ· νῦν δὲ μένων ἡττᾶται μὲν ὑφ' ἑνός, περιγίνεται δὲ πολλῶν· δέκα αὐτοῦ κρατοῦσιν, ἀλλὰ μυρίων αὐτὸς κρατεῖ καὶ καταγωνίζεται· εἰ δὲ ἀνεῖλεν αὐτὸν ἐκ τοῦ μέσου, οὐκ ἂν οὐδὲ οἱ μύριοι ἀπώλοντο. Τί οὖν πρὸς τοῦτο ἐροῦμεν; Ὅτι μάλιστα μὲν πολὺ τιμιώτεροι τῶν ἡττωμένων οἱ κρατοῦντες· κἂν οἱ μὲν πλείους, οἱ δὲ ἐλάττους ὦσι. «Κρείσσων γὰρ εἷ», φησί, «ποιῶν θέλημα Θεοῦ, ἢ μύριοι παράνομοι». Δεύτερον δὲ ὅτι ἀναιρεθέντος τοῦ ἀνταγωνιστοῦ, αὐτὸς ὁ κρατῶν ἐπηρεάζεται δι' ἐκείνου. Ἂν μὲν γὰρ ἀφῇς μένειν τὸν ἀντίπαλον, οἱ ῥαθυμότεροι οὐχὶ διὰ τοὺς σπουδαιοτέρους, ἀλλὰ διὰ τὴν ἑαυτῶν ῥαθυμίαν ἐπηρεάζονται· ἂν δὲ ἀνέλῃς τὸν ἀνταγωνιστήν, οἱ σπουδαιότεροι διὰ τοὺς ῥαθύμους ἐπεβουλεύθησαν, καὶ τὴν οἰκείαν οὐκ ἐπεδείξαντο δύναμιν, οὐδὲ τῶν στεφάνων ἐπέτυχον.

2. Τάχα οὐδέπω συνήκατε τὸ λεχθέν· οὐκοῦν ἀνάγκη σαφέστερον αὐτὸ πάλιν εἰπεῖν. Ἔστω ἀνταγωνιστὴς εἷς· ἔστωσαν δὲ καὶ ἀθληταὶ δύο πρὸς ἐκεῖνον παλαίειν μέλλοντες, καὶ τούτων τῶν δύο ἀθλητῶν ὁ μὲν ὑπὸ γαστριμαργίας ἔστω διεφθαρμένος, ἠμελημένος, ἐξησθενημένος, ἐκνενευρισμένος, ἕτερος δὲ σπουδάζων, εὐεκτῶν, ἐν παλαίστρᾳ διατρίβων, ἐν γυμνασίοις πολλοῖς, πᾶσαν τὴν ἄσκησιν τὴν περὶ τὴν ἄθλησιν ἐπιδεικνύμενος· ἂν τοίνυν ἀνέλῃς τὸν ἀνταγωνιστήν, τίνι ἐπηρέασας τούτων; Ἆρα τῷ ῥαθύμῳ καὶ ἀμελεῖ, ἢ τῷ σπουδαίῳ τῷ τοσαῦτα πεπονηκότι; Εὔδηλον ὅτι τῷ σπουδαίῳ· ὁ μὲν γὰρ διὰ τὸν ῥᾴθυμον ἠδίκηται ἀναιρεθέντος τοῦ ἀνταγωνιστοῦ· ὁ δὲ ῥᾴθυμος μένοντος τούτου, οὐκ ἔτι διὰ τὸν σπουδαῖον ἐπηρέασται· ἀπὸ γὰρ τῆς οἰκείας ῥαθυμίας κατέπεσεν.

Εἴπω καὶ ἑτέραν λύσιν τοῦ ζητήματος τούτου, ἵνα μάθῃς, ὅτι οὐχ ὁ διάβολος ἐπηρεάζει, ἀλλ' ἡ οἰκεία ῥαθυμία παντα-

6. Πρβλ. Σοφ. Σειρὰχ 16, 1-4.

δὰμ θὰ εἶχε νικηθῇ ποτέ. Καὶ τώρα παραμένων ἡττᾶται μὲν ἀπὸ ἕνα, νικᾷ ὅμως πολλούς. Δέκα τὸν νικοῦν, ἀλλὰ μυρίους αὐτὸς νικᾷ καὶ καταβάλλει. Ἐὰν ὁ Θεὸς τὸν ἠφάνιζεν ἀπὸ τὸ μέσον, οὔτε οἱ μύριοι δὲν θὰ ἐχάνοντο. Τί θὰ ἀπαντήσωμεν λοιπὸν εἰς τὸ ἐπιχείρημα αὐτό; Ὅτι αὐτοὶ ποὺ νικοῦν εἶναι πολυτιμότεροι ἀπὸ ἐκείνους ποὺ ἡττῶνται, καὶ ἂς εἶναι οἱ δεύτεροι περισσότεροι καὶ οἱ πρῶτοι ὀλιγώτεροι. Διότι λέγει, «Εἶναι καλύτερος ἕνας ποὺ κάμει τὸ θέλημα τοῦ Θεοῦ, παρὰ μύριοι ἄδικοι»[6]. Δεύτερον, θὰ ἀπαντήσωμεν, ὅτι ἂν θανατωθῇ ὁ ἀνταγωνιστής, παραβλάπτεται ὁ ἴδιος ὁ νικητὴς ἀπὸ τὴν ἐξαφάνισιν ἐκείνου. Διότι ἂν ἀφήσῃς τὸν ἀντίπαλον νὰ ὑπάρχῃ, οἱ πιὸ ὀκνηροὶ παραβλάπονται ὄχι ἀπὸ τοὺς σπουδαίους, ἀλλὰ ἀπὸ τὴν ἰδικήν των ἀδιαφορίαν· ἂν ὅμως φονεύσῃς τὸν ἀνταγωνιστήν, τότε ὑπονομεύονται ἀπὸ τοὺς ὀκνηροὺς καὶ δὲν ἐπιδεικνύουν πλέον τὴν δύναμίν των οὔτε στεφανώνονται.

2. Ἴσως δὲν ἔχετε ἐννοήσει ἀκόμη τοὺς λόγους μου, διά τοῦτο εἶναι ἀνάγκη νὰ εἰπῶ πάλιν τὸ ἴδιον σαφέστερον. Ἔστω ὅτι ἔχομεν ἕνα ἀνταγωνιστήν· ἔχομεν ἐπίσης καὶ δύο ἀθλητάς, οἱ ὁποῖοι πρόκειται νὰ παλαίψουν ἐναντίον ἐκείνου· καὶ ὁ ἕνας ἀπὸ τοὺς δύο ἀθλητὰς εἶναι διαβρωμένος ἀπὸ τὴν γαστριμαργίαν, ἔχει παραμελήσει τὸν ἑαυτόν του, εἶναι ἐξησθενημένος, ἀπονευρωμένος, ἐνῷ ὁ ἄλλος ἀσκεῖται, ἔχει εὐεξίαν, περνᾷ τὸν καιρόν του εἰς τὴν παλαίστραν καὶ εἰς τὰ γυμναστήρια, ἐπιδεικνύων τὴν ἄσκησιν ποὺ ἀπαιτεῖται διὰ τὴν ἄθλησιν· ἂν λοιπὸν φονεύσῃς τὸν ἀνταγωνιστήν, ποῖον ἔβλαψες ἀπὸ τοὺς δύο; Μήπως τὸν ὀκνηρὸν καὶ ἀμελῆ ἢ τὸν σπουδαῖον, ὁ ὁποῖος κατέβαλε τόσους κόπους; Εἶναι φανερὸν ὅτι τὸν σπουδαῖον ἔβλαψες· διότι αὐτὸς ἐξ αἰτίας τοῦ ὀκνηροῦ ζημιώνεται μετὰ τὸν φόνον τοῦ ἀνταγωνιστοῦ· ἐνῷ ὁ ὀκνηρὸς καὶ ὅταν ἀκόμη μένῃ ὁ ἀνταγωνιστής, δὲν βλάπτεται ἐξ αἰτίας τοῦ σπουδαίου, διότι συνήθως καταπίπτει ἀπὸ τὴν ἰδικήν του ραθυμίαν.

Θὰ ἀναφέρω καὶ μίαν ἄλλην ἀπάντησιν εἰς τὸ ζήτημα αὐτό, διὰ νὰ κατανοήσῃς, ὅτι δὲν εἶναι ὁ διάβολος ποὺ μᾶς

χοῦ ὑποσκελίζει τοὺς μὴ προσέχοντας.

Ἀφείσθω ὁ διάβολος ὁ σφόδρα πονηρὸς οὐ φύσει, ἀλλὰ προαιρέσει καὶ γνώμῃ· ὅτι γὰρ οὐκ ἔστι φύσει πονηρὸς ὁ διάβολος, ἀπ' αὐτῶν τῶν ὀνομάτων μάνθανε· διάβολος γὰρ ἀπὸ τοῦ διαβάλλειν εἴρηται· διέβαλε γὰρ τὸν ἄνθρωπον πρὸς τὸν Θεόν, «Οὐχὶ δωρεὰν σέβεταί σε Ἰώβ», λέγων· «ἀλλ' ἀπόστειλον τὴν χεῖρά σου, καὶ ἅψαι ὧν ἔχει· εἰ μὴ εἰς πρόσωπόν σε βλασφημήσει». Διέβαλε πάλιν τὸν Θεὸν πρὸς τὸν ἄνθρωπον, «Πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ», λέγων, «καὶ κατέφλεγε τὰ πρόβατα»· ἐσπούδαζε γὰρ αὐτὸν πεῖσαι, ὅτι ἄνωθεν ἐκ τῶν οὐρανῶν ὁ πόλεμος οὗτος ἀνερριπίσθη, καὶ συνέκρουσε τὸν οἰκέτην πρὸς τὸν Δεσπότην, καὶ τὸν Δεσπότην πρὸς τὸν δοῦλον· μᾶλλον δὲ οὐ συνέκρουσεν, ἀλλ' ἐπεχείρησε μέν, οὐκ ἴσχυσε δέ, ἵν' ὅταν ἴδῃς ἕτερον συγκρουόμενον οἰκέτην πρὸς τὸν Δεσπότην, τὸν Ἀδὰμ πρὸς τὸν Θεόν, καὶ πιστεύοντα αὐτοῦ τῇ διαβολῇ, μάθῃς, ὅτι οὐκ ἀπὸ τῆς οἰκείας δυνάμεως, ἀλλ' ἀπὸ τῆς ἐκείνου ῥαθυμίας τε καὶ ἀμελείας τὴν ἰσχὺν ἔλαβε. Διάβολος τοίνυν διὰ τοῦτο εἴρηται· τὸ διαβάλλειν δὲ καὶ μὴ διαβάλλειν οὐ φύσις ἐστίν, ἀλλὰ πρᾶγμα γιγνόμενον καὶ ἀπογιγνόμενον, συμβαῖνον καὶ ἀποσυμβαῖνον· τὰ δὲ τοιαῦτα οὐ φύσεως ἐπέχει τάξιν οὐδὲ οὐσίας. Οἶδα ὅτι πολλοῖς δυσκατάληπτος ὁ λόγος οὗτος ὁ περὶ τῆς οὐσίας, καὶ τῶν συμβεβηκότων· ἀλλ' εἰσὶν οἱ καὶ λεπτότερον ἀκούειν δυνάμενοι· διόπερ καὶ ἡμεῖς ταῦτα εἰρήκαμεν.

Βούλεσθε καὶ ἐφ' ἕτερον ὄνομα ἔλθω, καὶ ὄψεσθε κἀκεῖνο οὐ τῆς οὐσίας, οὐδὲ τῆς φύσεως ὄνομα ὄν; Πονηρὸς καλεῖται, ἡ δὲ πονηρία οὐ φύσεώς ἐστιν, ἀλλὰ προαιρέσεως·

---

7. Ἰὼβ 1, 9, 11.
8. Ἔνθ' ἀνωτ. 16.

ζημιώνει ἀλλὰ ἡ ἰδική μας ἀδιαφορία εἰς κάθε περίπτωσιν ἀνατρέπει καὶ ὑποσκελίζει ὅσους δὲν προσέχουν.

Ἂς ἀφήσωμεν τὸν διάβολον λοιπόν, ποὺ εἶναι πολὺ πονηρός, ὄχι ἐκ φύσεως, ἀλλὰ ἀπὸ τὴν ψυχικήν του διάθεσιν καὶ τὴν γνώμην· ὅτι ὁ διάβολος δὲν εἶναι ἐκ φύσεως πονηρός, ἠμπορεῖς νὰ τὸ πληροφορηθῇς ἀπὸ τὰς ἰδίας τὰς ὀνομασίας του. Ὀνομάζεται διάβολος ἀπὸ τὸ διαβάλλειν. Διότι διέβαλε τὸν ἄνθρωπος πρὸς τὸν Θεὸν λέγων· «δὲν σὲ λατρεύει δωρεὰν ὁ Ἰώβ· ἀλλὰ στεῖλε τὴν χεῖρα σου καὶ ψαῦσε αὐτὰ ποὺ ἔχει· εἰ δὲ μὴ θὰ σὲ βλασφημήσῃ κατὰ πρόσωπον»[7]. Διέβαλε πάλιν τὸν Θεὸν πρὸς τὸν ἄνθρωπον λέγων· «πῦρ ἔπεσεν ἀπὸ τὸν οὐρανὸν καὶ κατέκαυσε τὰ πρόβατα»[8]· προσπαθοῦσε νὰ πείσῃ αὐτόν, ὅτι ὁ πόλεμος αὐτὸς ἐξαπελύθη ἀπὸ ἐπάνω ἀπὸ τοὺς οὐρανούς, καὶ ἔφερεν εἰς σύγκρουσιν τὸν δοῦλον πρὸς τὸν Κύριον, καὶ τὸν Κύριον πρὸς τὸν δοῦλον· μᾶλλον δὲ δὲν τοὺς ἔκαμε νὰ συγκρουσθοῦν, ἀλλὰ ἐπεχείρησε νὰ τοὺς φέρῃ εἰς σύγκρουσιν, ὅμως δὲν ἠμπόρεσεν, ὥστε, ὅταν ἰδῇς ἄλλον δοῦλον νὰ συγκρούεται μὲ τὸν Δεσπότην, τὸν Ἀδὰμ δηλαδὴ πρὸς τὸν Θεόν, ὁ ὁποῖος Ἀδὰμ ἐπίστευσεν εἰς τὴν διαβολήν του, νὰ μάθῃς ὅτι δὲν ἤντλησε τὴν δύναμίν του ἀπὸ τὴν ἰδικήν του δύναμιν, ἀλλὰ ἀπὸ τὴν ραθυμίαν καὶ ἀδιαφορίαν ἐκείνου. Διὰ τοῦτο λοιπὸν ἔχει ὀνομασθῇ διάβολος· τὸ νὰ διαβάλλῃ ὅμως καὶ τὸ νὰ μὴ διαβάλλῃ δὲν εἶναι στοιχεῖον τῆς φύσεως, ἀλλὰ πρᾶξις ποὺ γίνεται καὶ «ἀπογίνεται», ποὺ συμβαίνει καὶ ποὺ παύει νὰ συμβαίνῃ, καὶ ὅλα αὐτὰ δὲν ἔχουν θέσιν φύσεως καὶ οὐσίας. Γνωρίζω ὅτι ἡ ἀνάλυσις αὐτὴ περὶ τῆς οὐσίας καὶ τῶν συμβεβηκότων εἶναι δυσνόητος εἰς πολλούς· ὅμως ὑπάρχουν καὶ αὐτοὶ ποὺ ἠμποροῦν νὰ παρακολουθοῦν λεπτομερεῖς ἀναλύσεις· δι᾿ αὐτὸ τὰ εἴπαμεν αὐτά.

Θέλετε τώρα νὰ ἔλθωμεν καὶ εἰς μίαν ἄλλην ὀνομασίαν καὶ θὰ ἰδῆτε ὅτι καὶ αὐτὴ ἡ ὀνομασία δὲν ἀναφέρεται εἰς τὴν οὐσίαν οὔτε εἰς τὴν φύσιν τοῦ διαβόλου; Ὀνομάζεται πονηρός, ἡ δὲ πονηρία δὲν εἶναι στοιχεῖον τῆς φύσεως,

καὶ γὰρ καὶ αὕτη ποτὲ μὲν ἐγγίνεται, ποτὲ δὲ ἀπογίνεται. Μὴ γὰρ δὴ τοῦτο μὴ εἴπῃς, ὅτι ἐπ' ἐκείνου διὰ παντὸς μένει· καὶ γὰρ καὶ ἐπ' ἐκείνου οὐκ ἐξ ἀρχῆς ἦν, ἀλλὰ μετὰ ταῦτα ἐπεγένετο, διὸ καὶ ἀποστάτης λέγεται· καί τοι πολλῶν ἀνθρώπων ὄντων πονηρῶν, μόνον ἐκεῖνος πονηρὸς κατ' ἐξοχὴν λέγεται. Τί δή ποτε οὖν οὕτω καλεῖται; Ὅτι οὐδὲν παρ' ἡμῶν ἠδικημένος, οὐ μικρόν, οὐ μέγα ἐγκαλεῖν ἔχων, ἰδὼν τιμηθέντα τὸν ἄνθρωπον εὐθέως ἐβάσκηνεν αὐτοῦ τοῖς ἀγαθοῖς. Ταύτης οὖν τῆς πονηρίας τί γένοιτ' ἂν χεῖρον, ἀλλ' ἢ ὅταν ἔχθρα καὶ πόλεμος ᾖ μηδεμίαν εὔλογον αἰτίαν ἔχων;

Ἀφείσθω τοίνυν ὁ διάβολος, καὶ παραγάγωμεν εἰς μέσον τὴν κτίσιν, ἵνα μάθῃς ὅτι οὐχ ὁ διάβολος ἡμῖν αἴτιος τῶν κακῶν, ἐὰν θέλωμεν προσέχειν· ἵνα μάθῃς, ὅτι ὁ ἀσθενὴς τὴν προαίρεσιν καὶ ἠμελημένος καὶ ῥάθυμος, καὶ διαβόλου οὐκ ὄντος καταπίπτει, καὶ εἰς βάραθρα πολλὰ κακίας ἑαυτὸν καταβάλλει. Ὁ διάβολος πονηρός ἐστιν· οἶδα, καὶ ὡμολόγηται τοῦτο παρὰ πᾶσιν, ἀλλὰ μετὰ ἀκριβείας πρόσεχε τοῖς μέλλουσι ῥηθήσεσθαι νῦν. Οὐ γὰρ τὰ τυχόντα ἐστίν· ἀλλ' ὑπὲρ ὧν πολλαχοῦ πολλοῖς πολλάκις γίνονται λόγοι· ὑπὲρ ὧν πολλὴ μάχη καὶ πόλεμος οὐχὶ πιστοῖς πρὸς ἀπίστους μόνον, ἀλλὰ καὶ πιστοῖς πρὸς πιστούς· τοῦτο γάρ ἐστι τὸ ὀδύνης γέμον.

3. Ὁ μὲν οὖν διάβολος ὡμολόγηται, καθὼς ἔφην, πονηρὸς εἶναι παρὰ πᾶσιν· τί περὶ τῆς κτίσεως ἐροῦμεν τῆς καλῆς ταύτης καὶ θαυμαστῆς; Ἦ καὶ ἡ κτίσις πονηρά; Καὶ τίς οὕτω μιαρός; τίς οὕτως ἀναίσθητος καὶ παραπλὴξ ὡς κατηγορῆσαι τῆς κτίσεως; Τί οὖν περὶ ταύτης ἐροῦμεν; Οὐ γάρ ἐστι πονηρά, ἀλλὰ καὶ καλὴ καὶ δεῖγμα τῆς τοῦ Θεοῦ σοφίας, καὶ δυνάμεως, καὶ φιλανθρωπίας ἐστίν. Ἄκουσον γοῦν πῶς αὐτὴν ὁ προφήτης θαυμάζει λέγων· «Ὡς ἐμεγα-

ἀλλὰ τῆς ψυχικῆς διαθέσεως· διότι ἄλλοτε γίνεται καὶ ἄλλοτε παύει νὰ ὑπάρχῃ. Οὔτε βέβαια νὰ μοῦ ἰσχυρισθῇς ὅτι αὐτὴ παραμένει εἰς ἐκεῖνον διὰ παντός· διότι δὲν ἦτο ἐξ ἀρχῆς εἰς ἐκεῖνον, ἀλλὰ προσετέθη ἀργότερον, δι' αὐτὸ ὀνομάζεται καὶ ἀποστάτης· καὶ ὅμως ἐνῷ πολλοὶ ἄνθρωποι εἶναι πονηροί, αὐτὸς μόνον ὀνομάζεται κατ' ἐξοχὴν πονηρός. Διατί τέλος πάντων ὀνομάζεται ἔτσι; Διότι ἐνῷ δὲν ἀδικήθηκε καθόλου ἀπὸ ἐμᾶς, ἐνῷ δὲν εἶχε οὔτε μικρὰν οὔτε μεγάλην κατηγορίαν ὅταν εἶδε νὰ τιμᾶται ὁ ἄνθρωπος, ἀμέσως τὸν ἐφθόνησε διὰ τὰ ἀγαθά. Καὶ τί χειρότερον ἀπὸ αὐτὴν τὴν πονηρίαν ἠμποροῦσε νὰ ὑπάρξῃ κατὰ τὴν ὁποίαν γεννᾶται ἔχθρα καὶ πόλεμος χωρὶς καμμίαν εὔλογον αἰτίαν;

Ἂς ἀφήσωμεν λοιπὸν κατὰ μέρος τὸν διάβολον καὶ ἂς φέρωμεν πρὸς συζήτησιν τὴν κτίσιν, διὰ νὰ μάθῃς ὅτι αἴτιος τῶν κακῶν εἰς ἡμᾶς δὲν εἶναι ὁ διάβολος, ἂν ἐμεῖς θέλωμεν νὰ προσέχωμεν. Διὰ νὰ μάθῃς ὅτι ὁ ἔχων ἀσθενῆ θέλησιν καὶ ὁ ἀμελὴς καὶ ὁ ἀδιάφορος, καὶ χωρὶς νὰ ὑπάρχῃ ὁ διάβολος, καταπίπτει καὶ κρημνίζεται εἰς μεγάλα βάραθρα κακίας. Ὁ διάβολος εἶναι πονηρός· τὸ γνωρίζω καὶ ὁμολογεῖται ἀπὸ ὅλους, ἀλλὰ πρόσεχε μὲ μεγάλην προσήλωσιν αὐτὰ ποὺ πρόκειται νὰ εἰπῶ τώρα. Δὲν εἶναι συνηθισμένα· ἀλλὰ εἶναι θέματα διὰ τὰ ὁποῖα ἀπὸ πολλοὺς πολλὰς φορὰς καὶ σὲ πολλὰ μέρη γίνονται συζητήσεις διὰ τὰ ὁποῖα διεξάγεται μεγάλη μάχη καὶ πόλεμος ὄχι μόνον μεταξὺ τῶν πιστῶν πρὸς τοὺς ἀπίστους, ἀλλὰ καὶ μεταξὺ τῶν ἰδίων τῶν πιστῶν· καὶ αὐτὸ εἶναι τὸ ὀδυνηρόν.

3. Διὰ τὸν διάβολον λοιπὸν ὅλοι συμφωνοῦν, καθὼς εἶπα, ὅτι εἶναι πονηρός· τί θὰ εἴπουμεν ὅμως διὰ τὴν δημιουργίαν, τὴν ὡραίαν καὶ θαυμαστήν; Μήπως καὶ ἡ δημιουργία εἶναι πονηρά; Καὶ ποῖος εἶναι τόσον μιαρός; Ποῖος εἶναι τόσον ἀνόητος καὶ παρανοϊκὸς ὥστε νὰ κατηγορήσῃ τὴν κτίσιν; Τί θὰ εἴπουμεν λοιπὸν δι' αὐτήν; Διότι δὲν εἶναι πονηρά, ἀλλὰ εἶναι καὶ ὡραία καὶ ἀποτελεῖ ἀπόδειξιν τῆς σοφίας τοῦ Θεοῦ καὶ τῆς δυνάμεως καὶ τῆς φιλανθρωπίας του. Ἄκουσε λοιπὸν πῶς θαυμάζει αὐτὴν ὁ προφήτης λέ-

λύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας»· οὐ καθέκαστον ἐπεξῆλθεν, ἀλλὰ παρεχώρησε τῷ ἀκαταλήπτῳ τῆς σοφίας τοῦ Θεοῦ. Ὅτι δὲ καὶ χρησίμως αὐτὴν οὕτω καλὴν καὶ μεγάλην ἐποίησεν, ἄκουσόν τινος λέγοντος, ὅτι «Ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται»· ἄκουσον τοῦ Παύλου λέγοντος· «Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται». Τούτων γὰρ ἕκαστος ᾐνίξατο δι' ὧν εἶπεν, ὅτι αὕτη πρὸς θεογνωσίαν ἡμᾶς χειραγωγεῖ· ὅτι αὕτη ποιεῖ ἐπιγινώσκειν τὸν Δεσπότην.

Τί οὖν ἐὰν ἴδωμεν τὴν καλὴν ταύτην, καὶ θαυμαστὴν αὐτὴν γενομένην ἀσεβείας αἰτίαν πολλοῖς, αἰτιασόμεθα αὐτήν; Οὐδαμῶς, ἀλλ' ἐκείνους τοὺς μὴ χρησαμένους εἰς δέον τῷ φαρμάκῳ. Ποῦ οὖν ἀσεβείας αἰτία αὕτη ἡ χειραγωγοῦσα πρὸς θεογνωσίαν; «Ἐσκοτίσθησαν», φησίν, «ἐν τοῖς διαλογισμοῖς αὐτῶν οἱ φιλόσοφοι, καὶ ἐσεβάσθησαν, καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα». Οὐδαμοῦ διάβολος ἐνταῦθα· οὐδαμοῦ δαίμων ἐνταῦθα, ἀλλὰ κτίσις εἰς τὸ μέσον πρόκειται μόνη διδάσκαλος τῆς θεογνωσίας. Πῶς γοῦν γέγονεν ἀσεβείας αἰτία; Οὐ παρὰ τὴν ἑαυτῆς φύσιν, ἀλλὰ παρὰ τὴν ἀμέλειαν τῶν μὴ προσεχόντων.

Τί οὖν ἀναιρήσομεν καὶ τὴν κτίσιν, εἰπέ μοι; Καὶ τί λέγω περὶ τῆς κτίσεως; Ἐπὶ τὰ μέλη ἔλθωμεν τὰ ἡμέτερα· καὶ γὰρ καὶ ταῦτα εὑρήσομεν ἀπωλείας αἴτια, ἐὰν μὴ προσέχωμεν, οὐ παρὰ τὴν οἰκείαν δὲ φύσιν, ἀλλὰ παρὰ τὴν ἡμετέραν ῥᾳθυμίαν.

Σκόπει δέ, ὀφθαλμὸς ἐδόθη, ἵνα βλέπων τὴν κτίσιν δοξάζῃς τὸν Δεσπότην· ἀλλ' ἐὰν μὴ καλῶς χρήσῃ τῷ ὀφθαλμῷ, μοιχείας σοι γίνεται πρόξενος· γλῶττα δὲ ἐδόθη, ἵνα εὐφημῇς, ἵνα ὑμνῇς τὸν ποιητήν· ἀλλ' ἐὰν μὴ καλῶς προσέχῃς, βλασφημίας σοι γίνεται αἰτία· χεῖρες δὲ ἐδόθησαν, ἵνα ἀνατείνῃς αὐτὰς εἰς εὐχάς· ἀλλ' ἐὰν μὴ νή-

9. Ψαλμ. 103, 24.
10. Σοφ. Σολ. 13, 5.
11. Ρωμ. 1, 20.
12. Ρωμ. 1, 21, 25.
13. Πρβλ. Ματθ. 5, 28.
14. Πρβλ. Ἰακ. 3, 5-12.

γων· «Πόσον ἐμεγαλύνθησαν τὰ ἔργα σου, Κύριε, ὅλα τὰ ἔκαμες μὲ σοφίαν»[9]· δὲν ἀναφέρεται εἰς τὸ καθένα χωριστά, ἀλλὰ ὑποχωρεῖ ἐμπρὸς εἰς τὸ ἀκατάληπτον τῆς σοφίας Θεοῦ. Ὅτι τὴν ἔπλασε τόσον ὡραίαν καὶ μεγάλην ἐπωφελῶς, ἄκουσε κάποιον ποὺ τὸ λέγει· «ἀπὸ τὸ μέγεθος καὶ τὴν ὀμορφιὰ τῶν κτισμάτων φαίνεται ἀναλόγως καὶ ὁ δημιουργός των»[10]· ἄκουσε τὸν Παῦλον ποὺ λέγει· «διότι τὰ ἀόρατα στοιχεῖα τῆς θεότητος ἀπὸ τὴν δημιουργίαν τοῦ κόσμου φαίνονται καθαρὰ μὲ τὴν σκέψιν μέσα εἰς τὰ δημιουργήματα»[11]. Διότι κάθε ἕνας ἀπὸ αὐτοὺς δι' ὅσων εἶπεν, ἄφησε νὰ ἐννοηθῇ ὅτι ἡ κτίσις ἡ ἰδία μᾶς ὁδηγεῖ εἰς τὴν θεογνωσίαν· ὅτι αὐτὴ συντελεῖ νὰ γνωρίσωμεν καλῶς τὸν Δεσπότην.

Τί λοιπόν, ἂν ἴδωμεν ὅτι αὐτὴ ἡ ὡραία καὶ θαυμαστὴ κτίσις ὑπῆρξε διὰ πολλοὺς αἰτία ἀσεβείας, θὰ τὴν κατηγορήσωμεν; Καθόλου, ἀλλὰ θὰ κατηγορήσωμεν ἐκείνους ποὺ δὲν ἐχρησιμοποίησαν ὅπως πρέπει τὸ φάρμακον. Ποῦ εὑρίσκεται λοιπὸν ἡ αἰτία τῆς ἀσεβείας αὐτὴ ποὺ μᾶς ὁδηγεῖ εἰς τὴν θεογνωσίαν; «Ἐσκοτίσθη», λέγει, «ἡ σκέψις τῶν φιλοσόφων καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τὴν κτίσιν ἀντὶ τοῦ δημιουργοῦ»[12]. Πουθενὰ δὲν ὑπάρχει ἐδῶ διάβολος· πουθενὰ δαίμων, ἀλλὰ ἐνώπιον ὅλων ἁπλώνεται ἡ κτίσις μόνη καὶ γίνεται διδάσκαλος θεογνωσίας. Πῶς λοιπὸν ἔγινεν αἰτία ἀσεβείας; Ὄχι ἀπὸ τὴν φύσιν της, ἀλλὰ ἀπὸ τὴν ἀμέλειαν αὐτῶν ποὺ δὲν προσέχουν.

Τί λοιπόν, εἰπέ μου, θὰ ἀφανήσωμεν τὴν κτίσιν; Καὶ διατί ὁμιλῶ διὰ τὴν κτίσιν; Ἂς ἔλθωμεν εἰς τὰ μέλη τοῦ ἰδίου τοῦ σώματός μας. Διότι, ἂν δὲν προσέχωμεν, θὰ εὕρωμεν ὅτι καὶ αὐτὰ γίνονται αἴτια τῆς ἀπωλείας μας, ὄχι ἀπὸ τὴν φύσιν των, ἀλλὰ ἀπὸ τὴν ἰδικήν μας ἀμέλειαν.

Σκέψου, σὲ παρακαλῶ, ὅτι σοῦ ἐδόθη ὁ ὀφθαλμὸς διὰ νὰ δοξάζῃς τὸν Δεσπότην βλέπων τὴν κτίσιν. Ἀλλὰ ἂν δὲν κάμῃς καλὴν χρῆσιν τοῦ ὀφθαλμοῦ, σοῦ γίνεται πρόξενος μοιχείας[13]· ἡ γλῶσσα σοῦ ἐδόθη διὰ νὰ δοξάζῃς καὶ νὰ ὑμνῇς τὸν δημιουργόν· ἀλλὰ ἐὰν δὲν προσέχῃς, αὐτὴ σοῦ γίνεται αἰτία βλασφημίας[14]· τὰ χέρια σοῦ ἐδόθησαν διὰ νὰ τὰ ὑψώ-

φῆς, εἰς πλεονεξίαν αὐτὰς ἐκτείνεις· πόδες ἐδόθησαν, ἵνα τρέχῃς εἰς καλὰ ἔργα· ἀλλ' ἐὰν ἀμελῇς, τὰς πονηρὰς δι' αὐτῶν ἕξεις πράξεις. Ὁρᾷς ὅτι τὸν ἀσθενῆ πάντα βλάπτει; ὁρᾷς ὅτι τὸν ἀσθενῆ καὶ τὰ φάρμακα τὰ σωτήρια εἰς θάνατον ἐμβάλλει, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τὴν ἐκείνου. Ἐποίησεν οὐρανὸν ὁ Θεός, ἵνα θαυμάσας τὸ ἔργον προσκυνήσῃς τὸν Δεσπότην· ἀλλ' ἕτεροι τὸν ποιητὴν ἀφέντες, αὐτὸν τὸν οὐρανὸν προσεκύνησαν· ταῦτα δὲ ἀπὸ τῆς ἐκείνων ῥαθυμίας τε καὶ ἀνοίας.

Ἀλλὰ τί λέγω κτίσιν; Καὶ μὴν τί τοῦ σταυροῦ σωτηριωδέστερον γένοιτ' ἄν; Ἀλλ' ὁ σταυρὸς οὗτος σκάνδαλον τοῖς ἀσθενοῦσι γέγονεν· «Ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστί, τοῖς δὲ σῳζομένοις δύναμις Θεοῦ»· καὶ πάλιν· «Κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ μωρίαν». Τί τοῦ Παύλου διδασκαλικώτερον γένοιτ' ἄν, καὶ τῶν ἀποστόλων; Ἀλλ' οἱ ἀπόστολοι οὗτοι ὀσμὴ θανάτου τοῖς πολλοῖς ἐγένοντο· φησὶ γοῦν· «Οἷς μὲν ὀσμὴ θανάτου εἰς θάνατον· οἷς δὲ ζωῆς εἰς ζωήν». Ὁρᾷς ὅτι ὁ μὲν ἀσθενής, καὶ ἀπὸ τοῦ Παύλου βλάπτεται, ὁ δὲ ἰσχυρὸς οὐδὲ ἀπὸ τοῦ διαβόλου ἀδικεῖται;

4. Βούλει καὶ ἐπὶ τοῦ Χριστοῦ τὸν λόγον γυμνάζωμεν; Τί τῆς σωτηρίας ἐκείνης ἴσον; τί τῆς παρουσίας ἐκείνης χρησιμώτερον; Ἀλλ' αὕτη ἡ παρουσία ἡ σωτηριώδης, ἡ χρησίμη, πολλοῖς προσθήκη κολάσεως γέγονεν· «Εἰς κρίμα γάρ», φησίν, «ἐγὼ ἦλθον εἰς τὸν κόσμον τοῦτον, ἵνα οἱ μὴ βλέποντες βλέψωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται». Τί λέγεις; Τὸ φῶς πηρώσεως αἴτιον γέγονεν; Οὐ τὸ φῶς πη-

15. Α' Κορ. 1, 18.
16. Α' Κορ. 1, 23.
17. Β' Κορ. 2, 16.

νῃς ὅταν προσεύχεσαι· ἀλλ' ἂν δὲν εἶσαι νηφάλιος τὰ ἁπλώνῃς εἰς ἁρπαγήν. Τὰ πόδια σοῦ ἐδόθησαν διὰ νὰ τρέχῃς εἰς καλὰ ἔργα· ἀλλ' ἂν ἀμελῇς, δι' αὐτῶν θὰ ὁδηγηθῇς εἰς κακὰς πράξεις. Βλέπεις ὅτι τὸν ἀσθενῆ τὸν βλάπτουν τὰ πάντα; Βλέπεις ὅτι τὸν ἀσθενῆ καὶ τὰ σωτήρια φάρμακα τὸν φέρουν εἰς τὸν θάνατον, ὄχι ἀπὸ τὴν φύσιν των, ἀλλὰ ἀπὸ τὴν ἀδυναμίαν ἐκείνου; Ὁ Θεὸς ἐδημιούργησε τὸν οὐρανὸν διὰ νὰ θαυμάσῃς τὸ ἔργον καὶ νὰ προσκυνήσῃς τὸν Δεσπότην· ἀλλὰ ἄλλοι, ἀφοῦ ἐγκατέλειψαν τὸν δημιουργόν, προσεκύνησαν τὸν ἴδιον τὸν οὐρανόν· αὐτὰ ὅλα προῆλθαν ἀπὸ τὴν ἀμέλειαν καὶ τὴν ἀνοησίαν των.

Ἀλλὰ διατί ὁμιλῶ διὰ τὴν κτίσιν; Καὶ μήπως ἠμπορεῖ νὰ γίνῃ κάτι ἄλλο περισσότερον σωτήριον ἀπὸ τὸν σταυρόν; Ὅμως αὐτὸς ὁ σταυρὸς ὑπῆρξε σκάνδαλον διὰ τοὺς ἀδυνάτους. «Διότι τὸ κήρυγμα περὶ τοῦ σταυροῦ διὰ τὰ τέκνα τῆς ἀπωλείας εἶναι μωρία, ἐνῷ διὰ τοὺς σωζομένους εἶναι δύναμις Θεοῦ»[15]· καὶ πάλιν· «Κηρύσσομεν τὸν Χριστὸν τὸν ἐσταυρωμένον, ὁ ὁποῖος εἶναι σκάνδαλον διὰ τοὺς Ἰουδαίους, διὰ τοὺς εἰδωλολάτρας δὲ μωρία»[16]. Τί ἠμπορεῖ νὰ γίνῃ περισσότερον φωτισμένη διδασκαλία ἀπὸ τὴν διδασκαλίαν τοῦ Παύλου, καὶ τῶν ἀποστόλων; Ἀλλὰ οἱ ἀπόστολοι αὐτοὶ διὰ πολλοὺς ὑπῆρξαν ὀσμὴ θανάτου· διότι λέγει· «δι' ἄλλους ὀσμὴ θανάτου πρὸς τὸν θάνατον, δι' ἄλλους ὀσμὴ ζωῆς πρὸς τὴν ζωήν»[17]. Βλέπεις λοιπὸν ὅτι ὁ μὲν ἀδύνατος εἰς τὴν πίστιν βλάπτεται καὶ ἀπὸ τὸν Παῦλον, ἐνῷ ὁ ἰσχυρὸς δὲν ἀδικεῖται οὔτε ἀπὸ τὸν διάβολον;

4. Θέλεις τώρα νὰ φέρωμεν τὸν λόγον καὶ εἰς τὸν Χριστόν; Τί ἠμπορεῖ νὰ συγκριθῇ μὲ τὴν σωτηρίαν ἐκείνην; Τί ἄλλο ὑπῆρξεν ὠφελιμώτερον ἀπὸ τὴν παρουσίαν ἐκείνην; Ἀλλὰ αὐτὴ ἡ παρουσία ἡ σωτήριος, ἡ χρήσιμη, ἔγινεν ἀφορμὴ κολάσεως διὰ πολλούς. «Διότι», λέγει, «ἐγὼ ἦλθα εἰς τὸν κόσμον τοῦτον πρὸς κρίσιν, ὥστε αὐτοὶ ποὺ δὲν ἔβλεπαν νὰ ἴδουν καὶ αὐτοὶ ποὺ ἔβλεπαν νὰ γίνουν τυφλοί»[18]. Τί λέγεις; Τὸ φῶς ἔγινεν αἰτία τυφλώσεως; Δὲν ἔγινε τὸ

18. Ἰω. 9, 39.

ρώσεως αἴτιον γέγονεν, ἀλλ' ἡ ἀσθένεια τῶν ὀφθαλμῶν τῆς ψυχῆς τὸ φῶς ὑποδέξασθαι οὐκ ἴσχυσεν.

Εἶδες ὅτι ἀσθενὴς πάντοθεν βλάπτεται, ὁ δὲ ἰσχυρὸς πάντοθεν ὠφελεῖται. Πανταχοῦ γὰρ ἡ προαίρεσις αἰτία, πανταχοῦ ἡ γνώμη κυρία· ἐπεὶ ὁ διάβολος, εἰ βούλει μαθεῖν, καὶ χρήσιμος ἡμῖν ἐστιν, ἐὰν εἰς δέον αὐτῷ χρώμεθα, καὶ τὰ μεγάλα ἡμᾶς ὠφελεῖ, καὶ κερδαίνομεν οὐ τὰ τυχόντα. Καὶ τοῦτο ἐδείξαμεν πολλοστὸν καὶ ἀπὸ τοῦ Ἰώβ· ἔξεστι δὲ καὶ ἀπὸ τοῦ Παύλου μαθεῖν· περὶ γὰρ τοῦ πεπορνευκότος γράφων οὕτω λέγει· «Παράδοτε τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ». Ἰδοὺ καὶ σωτηρίας αἴτιος ὁ διάβολος γέγονεν, ἀλλ' οὐ παρὰ τὴν αὐτοῦ γνώμην, ἀλλὰ παρὰ τὴν τέχνην τοῦ ἀποστόλου. Καθάπερ γὰρ οἱ ἰατροὶ ἐχίδνας λαμβάνοντες καὶ τὰ ὀλέθρια αὐτῶν ἀποτέμνοντες μέλη, τὰ θηριακὰ κατασκευάζουσι φάρμακα· οὕτω καὶ ὁ Παῦλος ἐποίησεν· ὅσον χρήσιμον ἦν ἀπὸ τῆς κολάσεως τῆς ἐπαγομένης παρὰ τοῦ διαβόλου λαβών, τὸ λοιπὸν εἴασεν.

Ἵνα γὰρ μάθῃς, ὅτι οὐχ ὁ διάβολος τῆς σωτηρίας αἴτιος, ἀλλ' ἀπολέσαι τὸν ἄνθρωπον καὶ καταπιεῖν ἠπείγετο, ὁ δὲ ἀπόστολος διὰ τῆς αὐτοῦ σοφίας τὴν λαίμην ἐνέκοψεν· ἄκουσον ἐν τῇ δευτέρᾳ τῇ πρὸς Κορινθίους ἐπιστολῇ τί φησι περὶ αὐτοῦ τοῦ πεπορνευκότος· «Κυρώσατε εἰς αὐτὸν ἀγάπην, μή πως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος, καὶ πλεονεκτηθῶμεν ὑπὸ τοῦ σατανᾶ»· προεξαρπάσωμεν τῆς φάρυγγος τοῦ θηρίου τὸν ἄνθρωπον. Ὡς γὰρ δημίῳ πολλάκις ἐχρήσατο τῷ διαβόλῳ ὁ ἀπόστολος· οἱ δὲ δήμιοι κολάζουσι μὲν τοὺς ἡμαρτηκότας, οὐ μὴν ὅσον βούλονται, ἀλλ' ὅσον οἱ δικάζοντες ἐπιτρέπουσιν· οὗτος γὰρ δημίου νόμος τῷ νεύματι τοῦ δικαστοῦ προσέχοντα τιμωρεῖσθαι.

---

19. Α' Κορ. 5, 5.
20. Πρβλ. Β' Κορ. 2, 8, 7, 11.

φῶς αἰτία τυφλώσεως, ἀλλὰ ἡ ἀδυναμία τῶν ὀφθαλμῶν τῆς ψυχῆς δὲν ἠμπόρεσε νὰ δεχθῇ τὸ φῶς.

Εἶδες ὅτι ὁ ἀδύνατος βλάπτεται ἀπὸ παντοῦ, ὁ δὲ ἰσχυρὸς ὠφελεῖται ἀπὸ παντοῦ; Διότι παντοῦ αἰτία εἶναι ἡ ψυχικὴ διάθεσις, παντοῦ κυρίαρχος εἶναι ἡ γνώμη. Ἐπειδὴ ὁ διάβολος, ἂν θέλῃς νὰ μάθῃς, εἶναι καὶ χρήσιμος εἰς ἐμᾶς, ἂν τὸν χρησιμοποιήσωμεν ὅπως πρέπει, καὶ μᾶς ὠφελεῖ τὰ μέγιστα καὶ ἐπιτυγχάνομεν ἀπὸ αὐτὸν κέρδη ὄχι μικρά. Καὶ αὐτὸ τὸ ἀπεδείξαμεν πολλάκις καὶ ἀπὸ τὴν περίπτωσιν τοῦ Ἰώβ· ἠμποροῦμεν ὅμως νὰ τὸ μάθωμεν καὶ ἀπὸ τὸν Παῦλον· διότι γράφων περὶ ἐκείνου τοῦ πόρνου λέγει τὰ ἑξῆς· «Παραδώσατε αὐτὸν εἰς τὸν σατανᾶν πρὸς ὄλεθρον τῆς σαρκός του διὰ νὰ σωθῇ τὸ πνεῦμα του»[19]. Νὰ λοιπὸν ὁ διάβολος ἔγινε καὶ αἴτιος σωτηρίας, ὄχι ὅμως μὲ τὴν ἰδικήν του θέλησιν, ἀλλὰ μὲ τὴν τέχνην τοῦ ἀποστόλου. Διότι ὅπως ἀκριβῶς οἱ ἰατροὶ λαμβάνουν τὰς ἐχίδνας καὶ ἀφοῦ ἀποκόψουν τὰ δηλητηριώδη μέλη των παρασκευάζουν τὰ λεγόμενα θηριακὰ φάρμακα, ἔτσι ἔκαμε καὶ ὁ Παῦλος· ἀφοῦ ἔλαβεν ἐκεῖνο ποὺ ἦτο χρήσιμον ἀπὸ τὴν τιμωρίαν τοῦ διαβόλου, τὸ ὑπόλοιπον τὸ ἄφησεν.

Διὰ νὰ μάθῃς, βέβαια, ὅτι δὲν εἶναι ὁ διάβολος αἴτιος τῆς σωτηρίας, ἀλλὰ ἀπεναντίας ἐπείγετο αὐτὸς νὰ καταστρέψῃ καὶ νὰ καταπιῇ τὸν ἄνθρωπον, ἐνῷ ὁ ἀπόστολος μὲ τὴν σοφίαν του τοῦ ἔκοψε τὸν λαιμόν. Ἄκουσε τὶ λέγει εἰς τὴν δευτέραν του ἐπιστολὴν πρὸς τοὺς Κορινθίους δι' αὐτὸν τὸν πόρνον· «Ἐνισχύσατε πρὸς αὐτὸν τὴν ἀγάπην σας μήπως ἀπὸ τὴν μεγάλην λύπην καταβροχθισθῇ αὐτὸς ὁ ἄνθρωπος καὶ νικηθῶμεν ἀπὸ τὸν σατανᾶν»[20]. Ἂς ἀποσπάσωμεν τὸν ἄνθρωπον ἀπὸ τὸν φάρυγγα τοῦ θηρίου. Διότι πολλὲς φορὲς ἀντεμετώπισεν ὁ ἀπόστολος τὸν διάβολον ὡς δήμιον· καὶ οἱ δήμιοι τιμωροῦν τοὺς καταδίκους ὄχι ὅσον θέλουν αὐτοί, ἀλλὰ ὅσον ἐπιτρέπουν οἱ δικασταί· αὐτὸς εἶναι ὁ ρόλος τοῦ δημίου, νὰ τιμωρῇ δηλαδὴ προσέχων εἰς τὸ νεῦμα τοῦ δικαστοῦ.

Εἶδες εἰς ὅσον ἀξίωμα ἀνέβη ὁ ἀπόστολος; Ὁ σῶμα περικείμενος τῷ ἀσωμάτῳ ὡς δημίῳ ἐχρήσατο, καὶ ὅπερ ὁ κοινὸς Δεσπότης λέγει τῷ διαβόλῳ περὶ τοῦ Ἰώβ, παραγγέλλων οὕτως, «Ἅψαι τῆς σαρκὸς αὐτοῦ· πλὴν τῆς ψυχῆς αὐτοῦ μὴ ἅψῃ»· ὅρους αὐτῷ διδοὺς καὶ μέτρα τιμωριῶν, ἵνα μὴ προπετὲς ὂν τὸ θηρίον ἀναισχυντότερον ἐπιπηδήσῃ· τοῦτο καὶ ὁ ἀπόστολος ποιεῖ· παραδοὺς γὰρ αὐτῷ τὸν πεπορνευκότα, φησίν, «Εἰς ὄλεθρον τῆς σαρκός»· τοῦτ' ἔστι τῆς ψυχῆς αὐτοῦ μὴ ἅψῃ. Εἶδες αὐθεντίαν οἰκέτου; Μὴ τοίνυν φοβοῦ τὸν διάβολον, κἂν ἀσώματος ᾖ· προσέκρουσε γάρ· οὐδὲ δὲ τοῦ προσκεκρουκότος ἀσθενέστερον, κἂν μὴ σῶμα περικείμενος ᾖ· ὥσπερ οὖν οὐδὲν τοῦ παρρησίαν ἔχοντος ἰσχυρότερον, κἂν σῶμα περιφέρῃ θνητόν.

5. Ταῦτα μοι πάντα εἴρηται νῦν, οὐχ ἵνα τὸν διάβολον ἐγκλημάτων ἀπαλλάξω, ἀλλ' ἵνα ὑμᾶς ἐλευθερώσω τῆς ῥαθυμίας. Καὶ γὰρ σφόδρα βούλεται ἐκεῖνος τῶν ἡμετέρων ἁμαρτημάτων ἐπ' αὐτὸν ἄγειν τὴν αἰτίαν, ἵνα ταύταις ταῖς ἐλπίσι τρεφόμενοι, καὶ πᾶν εἶδος κακίας ἐπιόντες, πολλὴν αὐξήσωμεν καθ' ἑαυτῶν τὴν κόλασιν, οὐδεμιᾶς τυγχάνοντες συγγνώμης ἀπὸ τοῦ μετατιθέναι ἐπ' αὐτὸν τὴν αἰτίαν· ὥσπερ οὖν οὐδὲ ἡ Εὔα ἔτυχεν. Ἀλλ' ἡμεῖς μὴ τοῦτο ποιῶμεν, ἀλλ' ἐπιγνῶμεν ἑαυτούς, ἐπιγνῶμεν τὰ τραύματα· οὕτω γὰρ καὶ τὰ φάρμακα ἐπιθεῖναι δυνησόμεθα· ὁ γὰρ τὴν νόσον ἀγνοῶν οὐδεμίαν ποιήσεται τῆς ἀρρωστίας ἐπιμέλειαν.

Ἡμάρτομεν πολλά· οἶδα κἀγώ· πάντες γάρ ἐσμεν ἐν ἐπιτιμίοις· ἀλλ' οὐκ ἀπεστερήμεθα συγγνώμης, οὐδὲ ἐξεπέσομεν μετανοίας· ἔτι γὰρ ἐν τῷ σκάμματι ἑστήκαμεν, καὶ ἐν

21. Ἰὼβ 2, 6.
22. Α' Κορ. 5, 5.

Εἶδες εἰς ποῖον ὕψος στοχασμοῦ ἀνέβη ὁ ἀπόστολος; Αὐτὸς ποὺ εἶχε σωματικὴν ὑπόστασιν ἀντεμετώπισε τὸν ἀσώματον ὡς δήμιον καὶ ἐκεῖνο ποὺ εἶχε κάμει ὁ κοινός μας Δεσπότης εἰς τὸν διάβολον λέγων τὰ ἑξῆς περὶ τοῦ Ἰώβ· «Ψαῦσε τὴν σάρκα του, ἀλλὰ τὴν ψυχήν του νὰ τὴν ἀφήσῃς ἄθικτον»[21]. Ὥρισε δηλαδὴ ὅρια καὶ μέτρα τιμωριῶν, ὥστε νὰ μὴ ἐφορμήσῃ ἐπάνω του τὸ θηρίον ποὺ εἶναι ἀσυγκράτητον καὶ ἀνελέητον· αὐτὸ κάνει καὶ ὁ ἀπόστολος· ἀφοῦ παρέδωσε τὸν πόρνον εἰς τὸν διάβολον εἶπεν εἰς αὐτόν· «εἰς ἀφανισμὸν τῆς σαρκός του»[22], δηλαδὴ τοῦ παρήγγειλε νὰ μὴ θίξῃ τὴν ψυχήν του. Εἶδες ἐξουσίαν δούλου; Μὴ φοβᾶσαι λοιπὸν τὸν διάβολον, ἂς εἶναι καὶ ἀσώματος· διότι συναντᾷ δυσκολίας· καὶ δὲν εἶναι τίποτε ἀσθενέστερον ἀπὸ αὐτὸν ποὺ διατελεῖ ὑπὸ περιορισμούς, ἀκόμη καὶ ἂν δὲν ἔχῃ σωματικὴν ὑπόστασιν· ὅπως ἀκριβῶς δὲν εἶναι τίποτε ἰσχυρότερον ἀπὸ ἐκεῖνον ποὺ ἔχει παρρησίαν, ἔστω καὶ ἂν φέρῃ θνητὸν σῶμα.

5. Ὅλα αὐτὰ τὰ εἶπα τώρα, ὄχι διὰ νὰ ἀπαλλάξω τὸν διάβολον ἀπὸ τὴν κατηγορίαν, ἀλλὰ διὰ νὰ σᾶς ἐλευθερώσω ἀπὸ τὴν ραθυμίαν. Καθ' ὅσον ἐκεῖνος ἐπιθυμεῖ πολὺ νὰ ἐπιρρίπτωμεν εἰς αὐτὸν τὰς εὐθύνας τῶν ἰδικῶν μας ἁμαρτημάτων, ὥστε τρεφόμενοι μὲ αὐτὴν τὴν ἐλπίδα καὶ διαπράττοντες πᾶν εἶδος κακίας, νὰ αὐξήσωμεν οἱ ἴδιοι τὴν εἰς βάρος μας τιμωρίαν, διότι οὐδόλως συγχωρούμεθα μὲ τὴν μετάθεσιν τῆς εὐθύνης εἰς ἐκεῖνον διὰ τὰς ἰδικάς μας ἁμαρτίας· ὅπως δὲν συνεχωρήθη καὶ ἡ Εὔα. Ἐμεῖς ὅμως νὰ μὴ κάμωμεν αὐτό, ἀλλὰ νὰ ἐμβαθύνωμεν εἰς τὸν ἑαυτόν μας καὶ εἰς τὰ τραύματά μας· διότι ἔτσι θὰ ἠμπορέσωμεν νὰ ἐπιθέσωμεν καὶ τὰ φάρμακα διὰ τὴν θεραπείαν, διότι ἐκεῖνος ποὺ ἀγνοεῖ τὴν νόσον του δὲν θὰ φροντίσῃ καθόλου διὰ τὴν θεραπείαν της.

Ἔχομεν πολλὰς ἁμαρτίας· τὸ γνωρίζω καὶ ἐγώ· ὅλοι εἴμεθα ὑπὸ κολασμόν· ἀλλὰ δὲν ἔχομεν ἀποκλεισθῆ ἀπὸ τὴν συγγνώμην, οὔτε εὑρισκόμεθα ἔξω ἀπὸ τὴν μετάνοιαν· διότι ἱστάμεθα ἀκόμη εἰς τὸ σκάμμα ἕτοιμοι διὰ τοὺς ἀγῶ-

τοῖς ἀγῶσι τοῖς μετανοίας ἐσμέν. Γέρων εἶ καὶ πρὸς τὴν ἐσχάτην ἀπήντηκας ἔξοδον; Μὴ νομίσῃς μηδὲ οὕτως ἐκπεπτωκέναι μετανοίας, μηδὲ ἀπογνῷς τῆς σωτηρίας σεαυτοῦ ἀλλ' ἐννόησον τὸν λῃστὴν τὸν ἐν τῷ σταυρῷ ἐλευθερωθέντα. Τί γὰρ τῆς ὥρας ἐκείνης βραχύτερον, καθ' ἣν ἐστεφανοῦτο; Ἀλλ' ὅμως ἤρκεσεν αὐτῷ καὶ αὕτη πρὸς σωτηρίαν. Νέος εἶ; Μὴ θαρσήσῃς τῇ νεότητι, μηδὲ νομίσῃς ἱκανὴν ἔχειν προθεσμίαν τῆς ζωῆς· «ἡ γὰρ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτί, οὕτως ἔρχεται. Διὰ τοῦτο ἄδηλον ἡμῶν ἐποίησε τὴν τελευτήν, ἵνα δήλην ποιησώμεθα τὴν σπουδὴν καὶ τὴν πρόνοιαν. Οὐχ ὁρᾷς ἀώρους καθ' ἑκάστην ἡμέραν ἀναρπαζομένους; Διὰ τοῦτο παραινεῖ τις· «Μὴ ἀνάμενε ἐπιστρέψαι πρὸς Κύριον, μηδὲ ἀναβάλλου ἡμέραν ἐξ ἡμέρας, μή ποτε ὡς μέλλεις ἐκτριβῇς». Ὁ γέρων ἐκείνην ἐχέτω τὴν παραίνεσιν· ὁ νέος ταύτην ἐχέτω τὴν νουθεσίαν. Ἀλλ' ἐν ἀσφαλείᾳ εἶ, καὶ πλουτεῖς, καὶ κομᾷς χρήμασι, καὶ οὐδέν σοι γίνεται δεινόν; Ἀλλ' ἄκουσον τί φησιν ὁ Παῦλος· Ὅταν δὲ λέγωσιν εἰρήνην καὶ ἀσφάλειαν, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος. Πολλῆς γέμει μεταβολῆς τὰ πράγματα· οὐκ ἐσμεν κύριοι τῆς τελευτῆς· γενώμεθα κύριοι τῆς ἀρετῆς· φιλάνθρωπός ἐστιν ὁ δεσπότης ἡμῶν Χριστός.

6. Βούλεσθε εἴπω καὶ μετανοίας ὁδούς; Πολλαί τινές εἰσι καὶ ποικίλαι καὶ διάφοροι, καὶ πᾶσαι πρὸς τὸν οὐρανὸν φέρουσιν. Ἔστι πρώτη μετανοίας ὁδὸς ἁμαρτημάτων κατάγνωσις· «Λέγε γὰρ σὺ πρῶτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς»· διὸ καὶ ὁ προφήτης ἔφη· «Εἶπα, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου». Κατάγνωθι τοίνυν καὶ σὺ τῶν ἡμαρτημένων· ἀρκεῖ τοῦτο τῷ Δεσπότῃ πρὸς ἀπολογίαν· ὁ γὰρ καταγνοὺς τῶν ἡμαρτημένων, ὀκνηρότερός ἐστι πρὸς τὸ τοῖς

23. Α' Θεσ. 5, 2.
24. Σοφ. Σειρὰχ 5, 7.
25. Α' Θεσ. 5, 3.
26. Ἡσ. 43, 26.
27. Ψαλμ. 31, 5.

νας τῆς μετανοίας. Εἶσαι γέρων καὶ ἔφθασες εἰς τὴν ἐσχάτην ἔξοδον ἀπὸ τὴν ζωήν; Μὴ νομίσῃς ὅτι ἐξ αἰτίας αὐτοῦ ἔχεις χάσει τὴν εὐκαιρίαν τῆς μετανοίας, οὔτε νὰ ἀπελπισθῇς διὰ τὴν σωτηρίαν του, ἀλλὰ θυμήσου τὸν ληστὴν ποὺ συνεχωρήθη ἐπάνω εἰς τὸν σταυρόν. Πράγματι, ποῖον χρονικὸν διάστημα εἶναι συντομώτερον ἀπὸ τὴν στιγμὴν ἐκείνην κατὰ τὴν ὁποίαν ἐστεφανοῦτο; Ὅμως δι' αὐτὸν ἦτο ἀρκετὴ διὰ νὰ σωθῇ. Εἶσαι νέος; Μὴ ἐπαναπαύεσαι μὲ θάρρος εἰς τὴν νεότητα, οὔτε νὰ νομίσῃς ὅτι ἔχεις ἀρκετὴν προθεσμίαν τῆς ζωῆς· «διότι ἡ ἡμέρα τοῦ Κυρίου ἔρχεται ὡς κλέπτης μέσα εἰς τὴν νύκτα»[23]. Διὰ τοῦτο καὶ δὲν μᾶς ἐγνωστοποίησε τὴν ἡμέραν τοῦ θανάτου μας, διὰ νὰ ἐπιδείξωμεν ζῆλον καὶ φροντίδα. Δὲν βλέπεις κάθε ἡμέραν νέους νὰ ἀποθνήσκουν; Διὰ τοῦτο μᾶς προτρέπει κάποιος· «Μὴ βραδύνῃς νὰ ἐπιστρέψῃς πρὸς τὸν Κύριον, οὔτε νὰ ἀναβάλλῃς ἀπὸ ἡμέρας εἰς ἡμέραν, μήπως καθὼς βραδύνῃς καταφθαρῇς»[24]. Ὁ γέρων λοιπὸν ἂς ἔχῃ ἐκείνην τὴν παραίνεσιν ὑπ' ὄψιν· ὁ νέος αὐτὴν ἐδῶ τὴν νουθεσίαν. Ἀλλὰ εἶσαι ἀσφαλής, ἔχεις πλούτη καὶ καυχᾶσαι διὰ τὰ χρήματά σου καὶ δὲν σοῦ συμβαίνει κανένα κακόν; Ἄκουσε τί λέγει ὁ Παῦλος· «Ὅταν λέγουν εἰρήνην καὶ ἀσφάλειαν, τότε ἐπέρχεται εἰς αὐτοὺς αἰφνίδιος ὄλεθρος»[25]. Διότι ὅλα τὰ πράγματα ὑφίστανται μεταβολάς· δὲν ἐξουσιάζομεν τὸν θάνατον· ἂς γίνωμεν κύριοι τῆς ἀρετῆς, διότι ὁ Κύριός μας ὁ Χριστὸς εἶναι φιλάνθρωπος.

6. Θέλετε νὰ σᾶς ἀναφέρω καὶ ὁδοὺς τῆς μετανοίας; Εἶναι πολλαὶ καὶ ποικίλαι καὶ διάφοροι μεταξύ των, ὅλαι ὅμως ὁδηγοῦν πρὸς τὸν οὐρανόν. Πρώτη ὁδὸς μετανοίας εἶναι ἡ καταδίκη τῶν ἁμαρτημάτων μας· «Λέγει ἐσὺ πρῶτος τὰς ἁμαρτίας σου διὰ νὰ δικιωθῇς»[26]. Δι' αὐτὸ εἶπε καὶ ὁ Προφήτης· «εἶπα, θὰ καταδικάσω τὸν ἑαυτόν μου διὰ τὴν ἀνομίαν μου πρὸς τὸν Κύριον, καὶ σὺ ἐσυγχώρησες τὴν ἀσέβειαν τῆς καρδίας μου»[27]. Ἀναγνώρισε λοιπὸν καὶ σὺ τὰ ἁμαρτήματά σου· αὐτὸ εἶναι ἀρκετὸν εἰς τὸν Κύριον ὡς ἀπολογία· διότι αὐτὸς ποὺ κατεδίκασε τὰ ἁμαρτήματά του εἶ-

αὐτοῖς πάλιν περιπεσεῖν. Κίνησον τὸν κατήγορον ἔνδον τὸ σὸν συνειδός, ἵνα μὴ ἐκεῖ κατήγορον ἔχῃς ἐπὶ τοῦ βήματος τοῦ Κυρίου. Μία μὲν οὖν μετανοίας ὁδὸς ἀρίστη αὕτη· ἔτι δὲ καὶ ἑτέρα ταύτης οὐκ ἐλάττων, τὸ μὴ μνησικακεῖν τοῖς ἐχθροῖς, τὸ κρατεῖν ὀργῆς, τὸ ἀφιέναι τὰ συνδουλικὰ ἁμαρτήματα· οὕτω γὰρ ἡμῖν ἀφεθήσεται καὶ τὰ εἰς τὸν Δεσπότην γεγενημένα. Ἰδοὺ καὶ δεύτερον ἁμαρτημάτων καθάρσιον· «Ἐὰν γὰρ ἀφῆτε», φησί, «τοῖς ὀφειλέταις ὑμῶν, καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει ὑμῖν».

Βούλει καὶ τρίτην μαθεῖν μετανοίας ὁδόν; Εὐχὴ ζέουσα καὶ ἀκριβής, καὶ ἀπὸ βαθυτάτης καρδίας τοῦτο ποιεῖν. Οὐκ εἶδες ἐκείνην τὴν χήραν, πῶς τὸν ἀναίσχυντον δικαστὴν ἐπεσπάσατο; Σὺ δὲ ἥμερον ἔχεις Δεσπότην καὶ προσηνῆ καὶ φιλάνθρωπον· ἐκείνη κατ' ἐχθρῶν ᾔτει, σὺ δὲ οὐ κατ' ἐχθρῶν αἰτεῖς, ἀλλ' ὑπὲρ σεαυτοῦ σωτηρίας.

Εἰ δὲ καὶ τετάρτην θέλεις μαθεῖν, τὴν ἐλεημοσύνην ἐρῶ· πολλὴν γὰρ δύναμιν αὕτη ἔχει, καὶ ἄφατον· καὶ γὰρ τῷ Ναβουχοδονόσορ εἰς πᾶν εἶδος κακίας ἐλθόντι, καὶ πᾶσαν ἀσέβειαν ἐπελθόντι, φησὶν ὁ Δανιήλ· «Βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι· τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀνομίας σου ἐν οἰκτιρμοῖς πενήτων». Τί γένοιτο ταύτης ἴσον τῆς φιλανθρωπίας; Μετὰ μυρία ἁμαρτήματα, μετὰ τοσαύτας παρανομίας ἐπαγγέλλεται καταλλάττεσθαι τῷ προσκεκρουκότι, εἰ τοῖς συνδούλοις φιλανθρωπεύσεται τοῖς αὐτοῦ. Καὶ τὸ μετριάζειν δὲ καὶ ταπεινοφρονεῖν τῶν εἰρημένων ἁπάντων οὐχ ἧττον δαπανᾷ ἁμαρτημάτων φύσιν· καὶ μάρτυς ὁ τελώνης, κατορθώματα μὲν οὐκ ἔχων εἰπεῖν, ἀντὶ δὲ πάν-

---

28. Ματθ. 6, 14.
29. Πρβλ. Λουκᾶ 18, 1-8.
30. Δαν. 4, 24.

ναι δυσκολώτερον νὰ περιπέσῃ πάλιν εἰς τὰ ἴδια ἁμαρτήματα. Ὕψωσε τὴν συνείδησιν ποὺ ἔχεις μέσα σου εἰς κατήγορον, διὰ νὰ μὴ ἔχῃς ἐκεῖ ἄλλον κατήγορον ἐπὶ τοῦ βήματος τοῦ Κυρίου. Αὐτὴ εἶναι μία ὁδὸς μετανοίας ἀρίστη. Ὑπάρχει καὶ ἄλλη ποὺ δὲν εἶναι κατωτέρα αὐτῆς, τὸ νὰ μὴ μνησικακῇς ἐναντίον τῶν ἐχθρῶν, τὸ νὰ συγκρατῇς τὴν ὀργήν σου, νὰ συγχωρῇς τὰ ἁμαρτήματα τῶν συνανθρώπων σου· διότι ἔτσι θὰ συγχωρηθοῦν καὶ τὰ ἰδικά μας ἁμαρτήματα ποὺ διεπράξαμεν πρὸς τὸν Κύριον. Ἰδοὺ λοιπὸν καὶ δεύτερος τρόπος καθαρισμοῦ τῶν ἁμαρτημάτων μας. Διότι λέγει «ἂν συγχωρήσετε τοὺς ὀφειλέτας σας, καὶ ὁ οὐράνιος Πατήρ σας θὰ σᾶς συγχωρήσῃ»[28]

Θέλεις νὰ μάθῃς καὶ μίαν τρίτην ὁδὸν μετανοίας; Νὰ κάμῃς προσευχὴν θερμὴν καὶ εἰλικρινῆ ποὺ νὰ πηγάζῃ ἀπὸ τὰ βάθη τῆς καρδίας σου. Δὲν εἶδες ἐκείνην τὴν χήραν πῶς ἐξευμένισε τὸν ἀναίσχυντον ἐκεῖνον δικαστήν[29]; Ἐνῷ σὺ ἔχεις Κύριον ἥμερον καὶ προσηνῆ καὶ φιλάνθρωπον· ἐκείνη ἐζήτει ἐναντίον τῶν ἐχθρῶν, σὺ ὅμως δὲν ζητεῖς ἐναντίον τῶν ἐχθρῶν, ἀλλὰ ὑπὲρ τῆς ἰδικῆς σου σωτηρίας.

Ἂν θέλῃς νὰ μάθῃς καὶ τετάρτην ὁδὸν μετανοίας, θὰ σοῦ εἰπῶ τὴν ἐλεημοσύνην· διότι αὐτὴ ἔχει πολλὴν καὶ ἀνέκφραστον δύναμιν. Καὶ πράγματι ὅταν ὁ Ναβουχοδονόσορ ἔφθασεν εἰς κάθε λογῆς κακίαν καὶ διέπραξε κάθε ἀσέβειαν, ὁ Δανιὴλ τοῦ εἶπε· «Βασιλεῦ, νὰ εἰσακούσῃς τὴν συμβουλήν μου· λυτρώσου ἀπὸ τὰς ἁμαρτίας σου μὲ τὰς ἐλεημοσύνας, καὶ ἀπὸ τὰς ἀνομίας σου λυτρώσου μὲ τὴν εὐσπλαγχνίαν σου διὰ τοὺς πτωχούς»[30]. Ποῖον πρᾶγμα ἠμπορεῖ νὰ γίνῃ ἴσον μὲ τὴν φιλανθρωπίαν; Ὕστερα ἀπὸ ἀναρίθμητα ἁμαρτήματα, ὕστερα ἀπὸ τόσας παρανομίας ὑπόσχεται νὰ ἀπαλλάξῃ ὅλων αὐτῶν τὸν δράστην, ἐὰν δειχθῇ φιλάνθρωπος εἰς τοὺς συνδούλους του. Καὶ ἡ μετριοφροσύνη καὶ ἡ ταπεινοφροσύνη ἐκμηδενίζουν τὴν φύσιν τῶν ἁμαρτημάτων ὄχι ὀλιγώτερον ἀπὸ τοὺς ἄλλους τρόπους ποὺ ἀναφέραμεν· καὶ μάρτυς ὁ τελώνης, ὁ ὁποῖος δὲν εἶχε νὰ ἀναφέρῃ λαμπρὰ ἔργα, ἀλλὰ ἀντὶ ὅλων αὐτῶν προσέφερε τὴν ταπεινο-

των τὴν ταπεινοφροσύνην προσφέρων, καὶ τὸ βαρὺ τῶν ἁμαρτημάτων ἀποτιθέμενος φορτίον.

Ἰδοὺ πέντε μετανοίας ὁδοὺς ἐδείξαμεν, πρώτην τὴν κατάγνωσιν τῶν ἡμαρτημένων, δευτέραν τὸ ἀφεῖναι τοῖς πλησίον τὰ ἁμαρτήματα, τρίτην τὴν ἀπὸ τῆς εὐχῆς γιγνομένην, τετάρτην τὴν ἀπὸ τῆς ἐλεημοσύνης, πέμπτην τὴν ἀπὸ τῆς ταπεινοφροσύνης. Μὴ τοίνυν ἄργει, ἀλλὰ πάσας ταύτας καθ' ἑκάστην ὅδευε τὴν ἡμέραν· καὶ γὰρ εὔκολοι αἱ ὁδοί, καὶ οὐκ ἔχεις προβαλέσθαι πενίαν· ἀλλὰ κἂν ἁπάντων πτωχότερον βιοῖς, καὶ ὀργὴν ἀφεῖναι καὶ ταπεινοφρονῆσαι δυνήσῃ, καὶ εὔξασθαι ἐκτενῶς, καὶ καταγνῶναι τῶν ἡμαρτημένων, καὶ οὐδαμοῦ κώλυμα ἡ πενία γίνεται. Καὶ τί λέγω ἐνταῦθα, ὅπου οὐδὲ ἐν ἐκείνῃ τῇ ὁδῷ τῆς μετανοίας, ἐν ᾗ χρήματα καταβαλεῖν ἐστι, (τὴν ἐλεημοσύνην λέγω), οὐδὲ ἐκεῖ κωλύει τι πρὸς ἐντολὴν ἡμᾶς ἡ πενία; Καὶ ἐδήλωσεν ἡ τὰ δύο λεπτὰ καταβαλοῦσα χήρα.

Μαθόντες οὖν τὴν θεραπείαν τῶν ἡμετέρων τραυμάτων συνεχῆ, ταῦτα ἐπιθῶμεν τὰ φάρμακα, ἵνα πρὸς ὑγίειαν ἐπανελθόντες τὴν ἀληθῆ, καὶ τῆς ἱερᾶς τραπέζης μετὰ παρρησίας ἀπολαύσωμεν, καὶ μετὰ πολλῆς δόξης ἀπαντήσωμεν τῷ βασιλεῖ τῆς δόξης Χριστῷ, καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, κράτος, τιμή, ἅμα τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

31. Λουκᾶ 18, 13.
32. Πρβλ. Μάρκ. 12, 41-44.

φροσύνην καὶ ἀπηλλάγη ἀπὸ τὰ βαρὺ φορτίον τῶν ἁμαρτημάτων[31].

Ἰδοὺ λοιπὸν ἐδείξαμεν πέντε ὁδοὺς μετανοίας, πρώτην τὴν κατανόησιν τῶν ἁμαρτημάτων μας, δευτέραν τὴν συγχώρησιν τῶν ἁμαρτιῶν τοῦ πλησίον, τρίτην ἐκείνην ποὺ προέρχεται ἀπὸ τὴν προσευχήν, τετάρτην ἐκείνην ποὺ προέρχεται ἀπὸ τὴν ἐλεημοσύνην καὶ πέμπτην τὴν προερχομένην ἀπὸ τὴν ταπεινοφροσύνην. Μὴ βραδύνῃς, λοιπόν, ἀλλὰ νὰ βαδίζῃς κάθε ἡμέραν ὅλας αὐτὰς τὰς ὁδούς· καθ' ὅσον εἶναι εὔκολοι ὁδοὶ καὶ δὲν ἠμπορεῖς νὰ προβάλῃς ὡς πρόσχημα τὴν πενίαν· ἀλλὰ καὶ ἂν ἀκόμα ζῇς πτωχότερα ἀπὸ ὅλους καὶ τὴν ὀργὴν θὰ ἠμπορέσῃς νὰ ἀφήσῃς κατὰ μέρος καὶ νὰ ταπεινοφρονῇς θὰ ἠμπορέσῃς καὶ νὰ προσευχηθῇς ἐπαρκῶς καὶ νὰ καταδικάσῃς τὰ ἁμαρτήματά σου· καὶ εἰς τίποτε δὲν γίνεται ἡ πενία ἐμπόδιον. Καὶ τί λέγω ἐδῶ, ἀφοῦ οὔτε δι' ἐκείνην τὴν μέθοδον τῆς μετανοίας ποὺ ἀπαιτεῖ τὴν καταβολὴν τῶν χρημάτων (δηλαδὴ ἡ ἐλεημοσύνη) οὔτε ἐκεῖ ἀποτελεῖ ἐμπόδιον εἰς ἡμᾶς ἡ πενία. Καὶ αὐτὸ τὸ ἐφανέρωσεν εἰς ἡμᾶς ἡ χήρα ποὺ κατέβαλε τὰ δύο λεπτά[32].

Ἀφοῦ λοιπὸν ἐδιδάχθημεν τὴν θεραπείαν τῶν τραυμάτων μας, ἂς θέτωμεν ἐπάνω εἰς αὐτὰ αὐτὰ τὰ φάρμακα, ὥστε, ἀφοῦ ἀνακτήσωμεν τὴν πραγματικὴν ὑγείαν νὰ ἀπολαύσωμεν καὶ τὴν ἱερὰν τράπεζαν μὲ παρρησίαν καὶ μὲ μεγάλην δόξαν νὰ συναντήσωμεν τὸν βασιλέα τῆς δόξης Χριστὸν καὶ νὰ ἐπιτύχωμεν τὰ αἰώνια ἀγαθὰ μὲ τὴν χάριν καὶ τοὺς οἰκτιρμοὺς καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου δόξα καὶ δύναμις καὶ τιμὴ μαζὶ εἰς τὸ πανάγιον καὶ ἀγαθὸν καὶ ζωοποιὸν Πνεῦμα, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

3

ΟΤΙ ΕΚ ΡΑΘΥΜΙΑΣ Η ΚΑΚΙΑ ΚΑΙ ΑΠΟ ΣΠΟΥΔΗΣ Η ΑΡΕΤΗ

καὶ οὐδὲν οὔτε οἱ ἄνθρωποι πονηροί, οὔτε αὐτὸς ὁ διάβολος τὸν νήφοντα παραβλάψαι δύναται, καὶ ἡ ἀπόδειξις ἄλλοθέν τε πολλαχόθεν, καὶ ἐκ τῶν κατὰ τὸν Ἀδὰμ καὶ τὸν Ἰώβ.

1. Ἡμεῖς μὲν πρὸ τῆς χθὲς ἡμέρας τοὺς περὶ τοῦ διαβόλου λόγους πρὸς τὴν ἀγάπην ἐκινοῦμεν τὴν ὑμετέραν· ἕτεροι δὲ πρὸ τῆς χθὲς ἡμέρας, λόγων κινουμένων ἐνταῦθα τοιούτων, ἐν τοῖς θεάτροις καθήμενοι, τοῦ διαβόλου τὴν πομπὴν ἐθεώρουν. Ἀσμάτων μετεῖχον ἐκεῖνοι πορνικῶν, ὑμεῖς ἀκροαμάτων ἐκοινωνεῖτε πνευματικῶν· ἤσθιον ἐκεῖνοι τὴν ἀκαθαρσίαν τὴν διαβολικήν, ἐσιτεῖσθε ὑμεῖς τὸ μύρον τὸ πνευματικόν. Τίς ἄρα αὐτοὺς ἀπεβουκόλησε; τίς ἄρα αὐτοὺς ἀπέσχισε τῆς ποίμνης τῆς ἱερᾶς; Ἆρα κἀκείνους ὁ διάβολος ἠπάτησε; πῶς οὖν ὑμᾶς οὐκ ἠπάτησεν; Οἱ αὐτοὶ ἄνθρωποι ὑμεῖς κἀκεῖνοι, κατὰ τὴν φύσιν λέγω· τὴν αὐτὴν ἔχετε ψυχὴν ὑμεῖς κἀκεῖνοι, τὰς αὐτὰς ἔχετε ἐπιθυμίας τὰς παρὰ τῆς φύσεως· πῶς οὖν οὐκ ἐν τοῖς αὐτοῖς ὑμεῖς κἀκεῖνοι; Ἐπειδὴ αἱ προαιρέσεις οὐχ αἱ αὐταὶ ὑμῖν κἀκείνοις· διὰ τοῦτο ἐκεῖνοι μὲν ἐν ἀπάτῃ, ὑμεῖς δὲ ἐκτὸς τῆς ἀπάτης. Οὐ πάλιν τὸν διάβολον ἀπαλλάττων ἐγκλημάτων ταῦτα λέγω, ἀλλ' ὑμᾶς ἁμαρτημάτων ἐλευθερῶσαι σπουδάζων. Πονηρὸς ὁ διάβολος, ὁμολογῶ κἀγώ, ἀλλ' ἑαυτῷ πονηρός οὐχ ἡμῖν, ἂν νήφωμεν· τοιαύτη γὰρ τῆς κακίας ἡ φύσις· τοῖς κεκτημένοις ἐστὶν ὀλεθρία μόνοις, ἡ δὲ ἀρετὴ τοὐναντίον οὐχὶ τοὺς κεκτημένους μόνον, ἀλλὰ καὶ τοὺς πλησίον ὠφελεῖν δύναται.

Καὶ ἵνα μάθῃς, ὅτι ὁ μὲν κακὸς ἑαυτῷ κακός, ὁ δὲ ἀγαθὸς καὶ ἑτέροις ἀγαθός, μαρτυρίαν σοι παρέχω παροιμιώδη.

3
ΟΤΙ ΕΚ ΡΑΘΥΜΙΑΣ Η ΚΑΚΙΑ ΚΑΙ ΑΠΟ ΣΠΟΥΔΗΣ Η ΑΡΕΤΗ

καὶ ὅτι οὔτε οἱ κακοὶ ἄνθρωποι οὔτε ὁ ἴδιος ὁ διάβολος ἠμπορεῖ νὰ βλάψῃ τὸν νηφάλιον, καὶ ἡ ἀπόδειξις αὐτοῦ παρέχεται καὶ ἀπὸ πολλὰς ἄλλας περιπτώσεις καὶ ἀπὸ τὰ σχετικὰ μὲ τὸν Ἀδὰμ καὶ τὸν Ἰὼβ γεγονότα.

1. Ὡμιλήσαμε προχθὲς πρὸς τὴν ἀγάπην σας περὶ τοῦ διαβόλου· τὴν ἰδίαν ἡμέραν ἐνῷ ὡμιλούσαμεν δι' αὐτὸ τὸ θέμα, ἄλλοι ἐκάθοντο εἰς τὰ θέατρα καὶ παρακολουθοῦσαν τὴν πομπὴν τοῦ διαβόλου. Μετεῖχαν ἐκεῖνοι εἰς πορνικὰ ᾄσματα, ἐνῷ σεῖς μετείχατε εἰς πνευματικὰ ἀκροάματα· ἔτρωγαν ἐκεῖνοι τὰς διαβολικὰς ἀκαθαρσίας, ἐνῷ ἐσεῖς ἐτρέφεσθε μὲ πνευματικὸν μῦρον. Ποῖος λοιπὸν τοὺς ἀπεβλάκωσεν; Ποῖος τοὺς ἀπέκοψεν ἀπὸ τὴν ἱερὰν ποίμνην; Μήπως καὶ ἐκείνους τοὺς ἠπάτησεν ὁ διάβολος; Πῶς ὅμως δὲν ἐξηπάτησε καὶ ἐσᾶς; Εἶσθε ἴδιοι ἄνθρωποι καὶ σεῖς καὶ ἐκεῖνοι ὡς πρὸς τὴν φύσιν ἐννοῶ· ἔχετε τὴν ἰδίαν ψυχὴν ἐσεῖς καὶ ἐκεῖνοι, καὶ τὰς ἰδίας φυσικὰς ἐπιθυμίας· Πῶς δὲν ὑπῆρξαν κοινὰ τὰ ἐνδιαφέροντά σας; Διότι ἡ ἰδική σας θέλησις δὲν ἦταν ἴδια μὲ τὴν θέλησιν ἐκείνων· διὰ τοῦτο ἐκεῖνοι μὲν ἐξηπατήθησαν, ἐνῷ ἐσεῖς δὲν ἐξηπατήθητε. Καὶ δὲν τὰ λέγω αὐτὰ διὰ νὰ ἀπαλλάξω τὸν διάβολον ἀπὸ τὴν κατηγορίαν, ἀλλὰ διότι ἐπιθυμῶ νὰ σᾶς ἀπαλλάξω ἀπὸ τὰς ἁμαρτίας. Ὁ διάβολος εἶναι πονηρός, τὸ παραδέχομαι καὶ ἐγώ, ἀλλὰ διὰ τὸν ἑαυτόν του, ὄχι δι' ἡμᾶς, ἂν εἴμεθα σώφρονες· τέτοια εἶναι ἡ φύσις τῆς κακίας· εἶναι ὀλεθρία μόνον δι' ἐκείνους ποὺ τὴν ἔχουν, ἐνῷ ἡ φύσις τῆς ἀρετῆς εἶναι ἀντίθετος· δὲν ὠφελεῖ μόνον ὅσους τὴν ἔχουν, ἀλλὰ ἠμπορεῖ καὶ τοὺς πλησίον νὰ ὠφελήσῃ.

Καὶ διὰ νὰ ἀντιληφθῇς ὅτι ὁ κακὸς εἶναι κακὸς διὰ τὸν ἑαυτόν του, ἐνῷ ὁ καλὸς εἶναι καλὸς καὶ διὰ τοὺς ἄλ-

«Τέκνον», φησίν, «ἐὰν κακὸς γένῃ, μόνος ἀντλήσεις τὰ κακά· ἐὰν δὲ σοφός, ἑαυτῷ καὶ τῷ πλησίον». Ἠπατήθησαν ἐν τοῖς θεάτροις, ἀλλ' ὑμεῖς οὐκ ἠπατήθητε. Μεγίστη αὕτη πραγμάτων ἀπόδειξις, ἔλεγχος σαφής, καὶ λογισμὸς ἀναμφισβήτητος τοῦ πανταχοῦ τὴν προαίρεσιν εἶναι κυρίαν. Τούτῳ δὴ καὶ αὐτὸς κέχρησο τῷ τρόπῳ τῆς ἀποδείξεως· κἂν ἴδῃς ἄνθρωπον ἐν πονηρίᾳ ζῶντα, καὶ πᾶσαν κακίαν ἐπιδεικνύμενον, εἶτα αἰτιώμενον τοῦ Θεοῦ τὴν πρόνοιαν καὶ λέγοντα, ὅτι τύχης καὶ εἱμαρμένης ἀνάγκῃ καὶ δαιμόνων τυραννίδι τὴν ἡμετέραν ἐξέδωκε φύσιν, καὶ πάντοθεν τὴν αἰτίαν ἀφ' ἑαυτοῦ μὲν ἀπάγοντα, ἐπὶ δὲ τὸν δημιουργὸν καὶ τοῦδε τοῦ παντὸς προνοοῦντα μεταφέροντα, ἀπόφραξον αὐτοῦ τὸ στόμα, μὴ λόγῳ, ἀλλ' ἔργῳ, ἐπιδείξας σύνδουλον ἕτερον ἐν ἀρετῇ καὶ ἐπιεικείᾳ ζῶντα.

Οὐ χρεία λόγων μακρῶν, οὐ χρεία κατασκευῆς συμπεπλεγμένης, οὐδὲ συλλογισμῶν· διὰ τῶν ἔργων ἡ ἀπόδειξις γίνεται· εἶπε πρὸς αὐτόν· καὶ σὺ δοῦλος, κἀκεῖνος δοῦλος· καὶ σὺ ἄνθρωπος, κἀκεῖνος ἄνθρωπος· τὸν αὐτὸν κόσμον οἰκεῖς, ὑπὸ τὸν αὐτὸν οὐρανόν, τὰς αὐτὰς τρέφῃ τροφάς· πῶς σὺ μὲν ἐν πονηρίᾳ, ἐκεῖνος δὲ ἐν ἀρετῇ; Διὰ τοῦτο καὶ ὁ Θεὸς ἀφῆκε τοὺς πονηροὺς τοῖς ἀγαθοῖς ἀνεμεμίχθαι, καὶ οὐκ ἄλλην μὲν τοῖς πονηροῖς ἔδωκε γῆν, εἰς ἑτέραν δὲ τοὺς ἀγαθοὺς οἰκουμένην ἀπῴκισεν, ἀλλὰ ἀνέμιξε τούτους ἐκείνοις, πολὺ τὸ χρήσιμον ἐργαζόμενος. Οἱ γὰρ ἀγαθοὶ δοκιμώτεροι φαίνονται, ἐν μέσῳ τῶν κωλυόντων αὐτοὺς ὀρθῶς ζῆν καὶ πρὸς κακίαν ἑλκόντων ὄντες, καὶ τῆς ἀρετῆς ἀντιλαμβανόμενοι. «Δεῖ γάρ», φησί, «καὶ αἱρέσεις εἶναι ἐν ὑμῖν, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν». Οὐκοῦν καὶ διὰ τοῦτο

1. Παροιμ. 9, 12.
2. Α' Κορ. 11, 19.

λοὺς, σοῦ προσφέρω μίαν παροιμιώδη ἀπόδειξιν. «Τέκνον», λέγει, «ἐὰν γίνῃς κακός, θὰ ὑπομείνῃς τὰ κακὰ μόνος σου, ἐνῷ, ἂν γίνῃς σοφός, θὰ εἶσαι σοφὸς καὶ διὰ τὸν ἑαυτόν σου καὶ διὰ τὸν πλησίον σου»[1]. Αὐτὸ εἶναι μεγίστη ἀπόδειξις ποὺ στηρίζεται εἰς τὰ γεγονότα, ἀπόδειξις σαφὴς καὶ ἀδιαμφισβήτητος· ὅτι παντοῦ ἀποφασιστικὸς παράγων εἶναι ἡ θέλησις. Αὐτὴν τὴν λογικὴν τῆς ἀποδείξεως νὰ χρησιμοποιῇς καὶ σύ· καὶ ἂν ἴδῃς ἄνθρωπον ὁ ὁποῖος ζῇ εἰς τὴν πονηρίαν καὶ δεικνύει κάθε εἴδους κακίαν, ἔπειτα νὰ κατηγορῇ τὴν πρόνοιαν τοῦ Θεοῦ καὶ νὰ λέγῃ ὅτι παρέδωκε τὴν ἰδικήν μας φύσιν εἰς τὴν ἀνάγκην τῆς τύχης καὶ τοῦ πεπρωμένου καὶ εἰς τὴν τυραννίαν τῶν δαιμόνων, καὶ μὲ κάθε τρόπον ἀποσείει τὴν εὐθύνην ἀπὸ τὸν ἑαυτόν του διὰ νὰ τὴν ἐπιρρίψῃ εἰς τὸν δημιουργόν, ὁ ὁποῖος προνοεῖ διὰ τὸ πᾶν, φράξε τὸ στόμα του, ὄχι μὲ λόγια, ἀλλὰ μὲ παραδείγματα ἀπὸ τὴν ζωήν, δεικνύων εἰς αὐτὸν ἄλλον σύνδουλόν σου, ὁ ὁποῖος ζῇ εἰς τὴν ἀρετὴν καὶ τὴν δικαιοσύνην.

Δὲν χρειάζονται λόγοι μακροί, δὲν χρειάζονται περίπλοκοι ἀποδεικτικοὶ συλλογισμοί· ἡ ἀπόδειξις γίνεται μὲ ἔργα· εἰπὲ πρὸς αὐτόν· καὶ σὺ εἶσαι δοῦλος, καὶ ἐκεῖνος εἶναι δοῦλος· καὶ σὺ εἶσαι ἄνθρωπος, καὶ ἐκεῖνος εἶναι ἄνθρωπος· τὸν ἴδιον κόσμον κατοικεῖς καὶ ἐσύ, κάτω ἀπὸ τὸν ἴδιον οὐρανόν, τρέφεσαι μὲ τὰς ἰδίας τροφάς· πῶς ζῇς ἐσὺ μέσα εἰς τὴν πονηρίαν, ἐνῷ ἐκεῖνος ζῇ εἰς τὴν ἀρετήν; Διὰ τοῦτο καὶ ὁ Θεὸς ἄφησε τοὺς πονηροὺς νὰ εἶναι ἀναμεμειγμένοι μὲ τοὺς ἀγαθούς, καὶ δὲν ἔδωσεν ἄλλην γῆν εἰς τοὺς πονηροὺς οὔτε ἐγκατέστησε τοὺς ἀγαθοὺς εἰς ἄλλην οἰκουμένην, ἀλλὰ ἀνέμειξε τοὺς μὲν μὲ τοὺς δὲ ἐνεργῶν κατὰ τρόπον πολὺ ὠφέλιμον. Διότι οἱ ἀγαθοὶ φαίνονται γενναιότεροι ὅταν ζοῦν ἐν μέσῳ αὐτῶν ποὺ τοὺς ἐμποδίζουν καὶ τοὺς προκαλοῦν εἰς τὴν κακίαν καὶ ἐν τούτοις μένουν προσηλωμένοι εἰς τὴν ἀρετήν. «Διότι πρέπει», λέγει, «πρέπει νὰ ὑπάρχουν μεταξύ σας καὶ αἱρέσεις, διὰ νὰ γίνουν γνωστοὶ οἱ ἐνάρετοι»[2]. Διὰ τοῦτο λοιπὸν ἄφησε

τοὺς πονηροὺς ἀφῆκεν εἶναι ἐν τῷ μέσῳ, ἵνα οἱ ἀγαθοὶ διαλάμπωσι μᾶλλον. Ὁρᾷς τὸ κέρδος ὅσον; Ἀλλ' οὐ παρὰ τῶν πονηρῶν τὸ κέρδος, ἀλλὰ παρὰ τῆς ἀνδρείας τῶν ἀγαθῶν. Διὰ τοῦτο καὶ τὸν Νῶε θαυμάζομεν, οὐχ ὅτι δίκαιος ἦν, οὐδὲ ὅτι τέλειος ἦν μόνον, ἀλλ' ὅτι ἐν τῇ γενεᾷ ἐκείνῃ τῇ διεστραμμένῃ καὶ πονηρᾷ διέσωσε τὴν ἀρετήν, ὅτε οὐκ εἶχε παράδειγμα ἀρετῆς, ὅτε πάντες πρὸς πονηρίαν αὐτὸν παρεκάλουν, καὶ πᾶσαν ἀπ' ἐναντίας ἦλθεν ἐκείνοις, καθάπερ τις ὁδίτης πολλῷ πλήθει ῥύμῃ φερομένῳ τὴν ἐναντίαν ὁδεύων ὁδόν. Διὰ τοῦτο οὐχ ἁπλῶς εἶπε, «Νῶε δίκαιος, τέλειος», ἀλλὰ προσέθηκεν «ἐν τῇ γενεᾷ αὐτοῦ», ἐν τῇ διεστραμμένῃ ἐν τῇ ἀπεγνωσμένῃ, ὅτε οὐδὲν ἐμπόρευμα ἦν ἀρετῆς.

Τοῖς μὲν οὖν ἀγαθοῖς ἀπὸ τῶν πονηρῶν τοῦτο τὸ κέρδος ἦν· οὕτω γοῦν καὶ δένδρα ὑπὸ ἀνέμων ἐναντίων ῥιπιζόμενα ἰσχυρότερα γίνεται. Ἔστι δὲ καὶ τοῖς πονηροῖς κέρδος ἀπὸ τῆς ἐπιμιξίας τῶν ἀγαθῶν· αἰδοῦνται, αἰσχύνονται, ἐρυθριῶσιν ἐκείνους, κἂν μὴ ἀποστῶσι τῆς κακίας, ἀλλ' ὅμως μετὰ τοῦ λανθάνειν τολμῶσιν ἅπερ τολμῶσιν. Οὐ μικρὸν δὲ τοῦτο, μὴ ἔχειν πεπαρρησιασμένην τὴν παρανομίαν· ὁ γὰρ τῶν ἄλλων βίος κατήγορος τῆς τούτων κακίας γίνεται. Ἄκουσον γοῦν τί φασι περὶ τοῦ δικαίου. «Βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος». Οὐ μικρὰ δὲ ἀρχὴ διορθώσεως τὸ δάκνεσθαι αὐτοῦ τῇ παρουσίᾳ· καὶ γὰρ εἰ μὴ ἔδακνεν αὐτοὺς ἡ ὄψις τοῦ δικαίου, οὐκ ἂν τοῦτο ἐφθέγξαντο τὸ ῥῆμα· τὸ δὲ δάκνεσθαι καὶ σιύφεσθαι τὸ συνειδὸς ἀπὸ τῆς παρουσίας ἐκείνου, οὐ μικρὸν ἂν εἴη κώλυμα τοῦ μὴ μετὰ ἀδείας τῇ πονηρίᾳ κεχρῆσθαι. Εἶδες πόσον ἐστὶ κέρδος καὶ τοῖς ἀγαθοῖς ἀπὸ τῶν πονηρῶν, καὶ τοῖς πονηροῖς ἀπὸ τῶν ἀγαθῶν. Διὰ τοῦτο οὐ διεῖλεν αὐτοὺς ὁ Θεός, ἀλλ' ἀφῆκεν ἀναμεμίχθαι.

---

3. Γεν. 6, 9.
4. Σοφ. Σολ. 2, 14.

τοὺς πονηροὺς νὰ ὑπάρχουν μεταξὺ τῶν ἐναρέτων, διὰ νὰ λάμπουν περισσότερον οἱ ἀγαθοί. Βλέπεις πόσον μεγάλο εἶναι τὸ κέρδος; Ὅμως αὐτὸ δὲν προέρχεται ἀπὸ τοὺς πονηρούς, ἀλλὰ ἀπὸ τὴν ἀνδρείαν τῶν ἀγαθῶν. Διὰ τοῦτο θαυμάζομεν καὶ τὸν Νῶε, ὄχι διότι ἦταν δίκαιος, οὔτε ἐπειδὴ ἦταν τέλειος μόνον, ἀλλὰ ἐπειδὴ μέσα εἰς ἐκείνην τὴν διεφθαρμένην καὶ πονηρὰν γενεὰν διέσωσε τὴν ἀρετήν, τότε ποὺ δὲν εἶχε παράδειγμα ἀρετῆς, τότε ποὺ ὅλοι τὸν προεκάλουν πρὸς τὴν πονηρίαν, καὶ ἐβάδισε τὴν ἀντίθετον πρὸς ἐκείνους ὁδόν, ὡσὰν ἕνας ὁδοιπόρος ποὺ βαδίζει ἀντίθετα πρὸς τὸ ρεῦμα μεγάλου πλήθους ποὺ κινεῖται εἰς τὴν ἰδίαν ὁδόν. Διὰ τοῦτο δὲν εἶπεν ἁπλῶς «ὁ Νῶε εἶναι δίκαιος καὶ τέλειος»[3], ἀλλὰ προσέθεσε καὶ τὸ «εἰς τὴν γενεάν του», τὴν διεστραμμένην, τὴν ἀπηλπισμένην, τότε ποὺ δὲν ὑπῆρχε καμμία προσφορὰ ἀρετῆς.

Αὐτὸ τὸ κέρδος λοιπὸν ὑπάρχει εἰς τοὺς ἀγαθοὺς ἀπὸ τοὺς πονηρούς· ἔτσι λοιπὸν καὶ τὰ δέντρα ποὺ τὰ δέρνουν οἱ ἄνεμοι γίνονται ἰσχυρότερα. Ὑπάρχει ὅμως καὶ εἰς τοὺς πονηροὺς κέρδος προερχόμενον ἀπὸ τὴν ἐπιμιξίαν μὲ τοὺς ἀγαθούς· σέβονται, ἐντρέπονται, κοκκινίζουν μπροστὰ εἰς ἐκείνους, καὶ ἂν δὲν ἀπομακρυνθοῦν ἀπὸ τὴν κακίαν, ὅμως ἐκεῖνα ποὺ πράττουν τὰ πράττουν κατὰ τέτοιον τρόπον ποὺ νὰ μὴ γίνωνται ἀντιληπτοί. Καὶ τοῦτο δὲν εἶναι μικρόν, τὸ νὰ μὴ εἶναι θρασεῖς εἰς τὰς παρανομίας των· διότι ὁ βίος τῶν ἄλλων γίνεται κατήγορος τῆς κακίας των. Ἄκουσε λοιπὸν τί λέγουν διὰ τὸν δίκαιον· «Εἶναι ἐπαχθὴς εἰς ἡμᾶς καὶ μόνον ποὺ τὸν βλέπομεν»[4]. Καὶ δὲν εἶναι αὐτὸ ἀσήμαντος αἰτία ποὺ ὁδηγεῖ εἰς τὴν διόρθωσίν των, τὸ ὅτι δηλαδὴ τοὺς κεντίζει ἡ παρουσία των· διότι ἂν δὲν τοὺς ἐπείραζεν ἡ παρουσία τοῦ δικαίου δὲν θὰ ἔλεγαν αὐτὰ τὰ λόγια· τὸ γεγονὸς δὲ ὅτι θίγεται καὶ δοκιμάζεται ἡ συνείδησίς των ἀπὸ τὴν παρουσίαν ἐκείνου, δὲν ἀποτελεῖ μικρὸν κώλυμα, ὥστε νὰ μὴ ἐκδηλώνῃ τὴν κακίαν του ἐλευθέρως. Εἶδες πόσον κέρδος ἔχουν καὶ οἱ ἀγαθοὶ ἀπὸ τοὺς πονηροὺς καὶ οἱ πονηροὶ ἀπὸ τοὺς ἀγαθούς. Διὰ τοῦτο δὲν τοὺς διεχώρισεν ὁ Θεός, ἀλλὰ τοὺς ἄφησε νὰ ζοῦν μαζί.

2. Ὁ αὐτὸς τοίνυν ἡμῖν λόγος καὶ περὶ τοῦ διαβόλου. Διὰ γὰρ τοῦτο καὶ τοῦτον ἀφῆκεν ἐνταῦθα εἶναι, ἵνα σε ἰσχυρότερον ἐργάσηται, ἵνα λαμπρότερον ποιήσῃ τὸν ἀθλητήν, ἵνα μείζονα ᾖ τὰ ἀγωνίσματα. Ὅταν οὖν λέγῃ τις, διὰ τί τὸν διάβολον ἀφῆκεν ὁ Θεός; ταῦτα λέγε πρὸς ἐκεῖνον τὰ ῥήματα· ὅτι τοὺς νήφοντας καὶ προσέχοντας οὐ μόνον οὐδὲν παρέβλαψεν, ἀλλὰ καὶ ὠφέλησεν, οὐ παρὰ τὴν ἑαυτοῦ προαίρεσιν, πονηρὰ γάρ ἐστιν, ἀλλὰ παρὰ τὴν ἐκείνων ἀνδρείαν τῶν τῇ πονηρίᾳ εἰς δέον χρησαμένων. Ἐπεὶ καὶ τῷ Ἰὼβ προσεπλάκη μέν, οὐ διὰ τοῦτο δέ, ἵνα αὐτὸν λαμπρότερον ποιήσῃ, ἀλλ' ἵνα ὑποσκελίσῃ· διὰ τοῦτο πονηρός, διὰ τὴν τοιαύτην γνώμην, καὶ τὴν προαίρεσιν· ἀλλ' ὅμως οὐδὲν παρέβλαψε τὸν δίκαιον, ἀλλὰ καὶ ἀπώνατο μᾶλλον ἐκεῖνος ἀπὸ τῆς μάχης, ὅπερ οὖν καὶ ἀπεδείξαμεν, καὶ ὁ δαίμων τὴν πονηρίαν, καὶ ὁ δίκαιος τὴν ἀνδρείαν ἐπεδείξατο. Ἀλλὰ καὶ ὑποσκελίζει πολλούς, φησί· παρὰ τὴν αὐτῶν ἀσθένειαν, οὐ παρὰ τὴν οἰκείαν ἰσχύν· καὶ γὰρ τοῦτο ἀπεδείχθη διὰ πολλῶν ἤδη.

Τὴν σαυτοῦ τοίνυν κατόρθωσον γνώμην, καὶ παρ' οὐδενὸς οὐδέποτε δέξῃ βλάβος, ἀλλὰ καὶ τὰ μέγιστα κερδανεῖς, οὐχὶ παρὰ τῶν ἀγαθῶν μόνον, ἀλλὰ καὶ παρὰ τῶν πονηρῶν. Διὰ γὰρ τοῦτο, καθάπερ ἔμπροσθεν εἶπον, μετ' ἀλλήλων ἀφῆκεν εἶναι τοὺς ἀνθρώπους ὁ Θεός, καὶ μάλιστα τοὺς ἀγαθοὺς μετὰ τῶν πονηρῶν, ἵνα κἀκείνους πρὸς τὴν οἰκείαν μεταγάγωσιν ἀρετήν. Ἄκουσον γοῦν τί φησι τοῖς μαθηταῖς ὁ Χριστός· «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν γυναικί, ἥτις λαβοῦσα ζύμην ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία». Ὥστε ζύμης δύναμιν ἔχουσιν οἱ δίκαιοι, ἵνα πρὸς τὴν ἑαυτῶν ποιότητα τοὺς πονηροὺς μεταστήσωσιν. Ἀλλ' ὀλίγοι οἱ δίκαιοι, καὶ γὰρ καὶ ἡ ζύμη μικρά· ἀλλ' οὐδὲν ἡ μικρότης

---

5. Ματθ. 13, 33.

2. Τὸ ἴδιον ἠμποροῦμεν νὰ εἰποῦν καὶ διὰ τὸν διάβολον. Διὰ τοῦτο τὸν ἄφησε καὶ αὐτὸν ἐδῶ νὰ ὑπάρχῃ διὰ νὰ σὲ καταστήσῃ ἰσχυρότερον, διὰ νὰ σὲ ἀναδείξῃ λαμπρότερον ἀθλητήν, διὰ νὰ εἶναι οἱ ἀγῶνες σημαντικώτεροι. Ὅταν λοιπὸν λέγῃ κάποιος, διατί ἄφησεν ὁ Θεὸς τὸν διάβολον; αὐτὰ τὰ λόγια νὰ λέγῃς πρὸς ἐκεῖνον· ὅτι τοὺς νηφαλίους καὶ τοὺς προσεκτικούς, ὄχι μόνον δὲν τοὺς παρέβλαψε καθόλου, ἀλλὰ καὶ τοὺς ὠφέλησεν, ὄχι μὲ τὴν ἰδικήν του θέλησιν, διότι αὐτὴ εἶναι πονηρά, ἀλλὰ χάρις εἰς τὴν ἀνδρείαν ἐκείνων, οἱ ὁποῖοι ἐχρησιμοποίησαν δεόντως τὴν πονηρίαν των. Διότι καὶ μὲ τὸν Ἰὼβ συνεπλάκη μέν, ὄχι διὰ νὰ τὸν καταστήσῃ λαμπρότερον, ἀλλὰ διὰ νὰ τὸν ὑποσκελίσῃ· διὰ τοῦτο εἶναι πονηρός, διότι πονηρὰ εἶναι ἡ πρόθεσις καὶ ἡ θέλησίς του· καὶ ὅμως δὲν ἔβλαψε καθόλου τὸν δίκαιον ἐκεῖνον, ἀλλὰ ἀπεναντίας καὶ ὠφελήθη ἐκεῖνος ἀπὸ τὴν μάχην, πρᾶγμα τὸ ὁποῖον ἀπεδείξαμεν, καὶ ἐφανέρωσεν ὁ μὲν δαίμων τὴν πονηρίαν του, ὁ δὲ δίκαιος τὴν ἀνδρείαν του. Ἀλλὰ πολλοὺς τοὺς νικᾷ, λέγεις· τοὺς νικᾷ βέβαια, ἀλλὰ ἀπὸ τὴν ἰδικήν των ἀδυναμίαν καὶ ὄχι ἀπὸ τὴν ἰδικήν του δύναμιν· καὶ τοῦτο ἀπεδείχθη ἤδη πολλαπλῶς.

Βάδιζε λοιπὸν τὴν ὁδὸν τῆς ἀρετῆς καὶ κανεὶς ποτὲ δὲν θὰ σὲ βλάψῃ, ἀλλὰ θὰ ὠφεληθῇς καὶ τὰ μέγιστα, καὶ ὄχι μόνον ἀπὸ τοὺς ἀγαθούς, ἀλλὰ καὶ ἀπὸ τοὺς πονηρούς. Διὰ τοῦτο λοιπόν, ὅπως εἶπα καὶ προηγουμένως, ὁ Θεὸς ἄφησε τοὺς ἀνθρώπους νὰ ζοῦν μαζί, καὶ μάλιστα τοὺς καλοὺς μὲ τοὺς κακούς, διὰ νὰ ἐπαναφέρουν καὶ αὐτοὺς εἰς τὴν ἰδικήν των ἀρετήν. Ἄκουσε λοιπὸν τί λέγει ὁ Χριστὸς εἰς τοὺς μαθητάς του· «ὁμοιάζει ἡ βασιλεία τῶν οὐρανῶν πρὸς προζύμιον τὸ ὁποῖον ἐπῆρε μία γυναῖκα καὶ τὸ ἔκρυψεν εἰς μεγάλην ποσότητα ἀλεύρου»[5]. Ὥστε οἱ δίκαιοι ἔχουν τὴν δύναμιν τῆς ζύμης, διὰ νὰ προσελκύουν πρὸς τὴν ἰδικήν των ἀρετὴν τοὺς πονηρούς. Ἀλλὰ οἱ δίκαιοι εἶναι ὀλίγοι, ὅμως καὶ ἡ ζύμη εἶναι μικρά· ἡ μικρὰ ὅμως ποσότης δὲν παραβλάπτει καθόλου τὴν μᾶζαν, ἀλλὰ ἀπε-

παραβλάπτει τὸ φύραμα, ἀλλ' ἡ σμικρότης ἐκείνη ἅπαν τὸ ἄλευρον πρὸς ἑαυτὴν μεθίστησι διὰ τῆς ἐνούσης αὐτῇ δυνάμεως.

Οὕτω δὴ καὶ ἡ δύναμις τῶν δικαίων οὐκ ἐν τῇ ποσότητι τοῦ ἀριθμοῦ, ἀλλ' ἐν τῇ τοῦ Πνεύματος χάριτι τὴν ἰσχὺν ἔχει. Δώδεκα ἦσαν οἱ ἀπόστολοι· εἶδες πῶς μικρὰ ἡ ζύμη; Ὅλη ἡ οἰκουμένη ἐν ἀπιστίᾳ ἦν· εἶδες πόσον τὸ φύραμα; Ἀλλ' ἐκεῖνοι οἱ δώδεκα πᾶσαν τὴν οἰκουμένην πρὸς ἑαυτοὺς ἐπέστρεψαν. Ἡ ζύμη, καὶ τὸ φύραμα τῆς αὐτῆς φύσεως, ἀλλ' οὐ τῆς αὐτῆς ποιότητος· διὰ τοῦτο ἀφῆκε μεταξὺ τῶν δικαίων τοὺς πονηρούς, ἵν' ὥσπερ τῆς αὐτῆς φύσεώς εἰσι τοῖς δικαίοις, οὕτω καὶ τῆς αὐτῆς προαιρέσεως γένωνται. Τούτων μέμνησθε, τούτοις ἐπιστομίζετε τοὺς ῥαθύμους, τοὺς διακεχυμένους, τοὺς ὀκνηροτέρους, τοὺς ἀναδυομένους πρὸς τοὺς τῆς ἀρετῆς πόνους, τοὺς τοῦ κοινοῦ Δεσπότου κατηγοροῦντας. «Ἥμαρτες», φησίν· «ἡσύχασον», μὴ προσθῇς δευτέραν ἁμαρτίαν χαλεπωτέραν· οὐχ οὕτω χαλεπὸν τὸ ἁμαρτεῖν, ὡς μετὰ τὴν ἁμαρτίαν τοῦ Δεσπότου κατηγορεῖν. Ἐπίγνωθι τὸν αἴτιον τῆς ἁμαρτίας, καὶ οὐδένα ἄλλον εὑρήσεις, ἢ τὸν ἡμαρτηκότα σε. Πανταχοῦ προαιρέσεως χρεία ἀγαθῆς· ἔδειξα ὑμῖν τοῦτο οὐκ ἀπὸ λογισμῶν ψιλῶν, ἀλλ' ἀπὸ συνδούλων τῶν ἐν αὐτῷ τῷ κόσμῳ ζώντων.

Ταύτῃ καὶ αὐτὸς κέχρησο τῇ ἀποδείξει· οὕτω καὶ ὁ κοινὸς ἡμᾶς κρινεῖ Δεσπότης· μάθετε τοῦτον τῆς ἀποδείξεως τὸν τρόπον, καὶ οὐδεὶς ὑμᾶς δυνήσεται συλλογίσασθαι. Πορνεύει τις; Δεῖξον αὐτῷ σωφρονοῦντα ἕτερον· πλεονεκτεῖ τις, καὶ ἁρπάζει; Δεῖξον αὐτῷ τὴν ἐλεημοσύνην διδόντα· ἐν βασκανίᾳ ζῇ καὶ φθόνῳ; Δεῖξον αὐτῷ τὸν καθαρὸν τοῦ πάθους· ὑπ' ὀργῆς κρατεῖται; Τὸν ἐν φιλοσοφίᾳ ζῶντα εἰς μέ-

6. Γεν. 4, 7. Πρβλ. καὶ Σοφ. Σειρ. 21, 1.

ναντίας ἡ μικρότης ἐκείνης διαφοροποιεῖ πρὸς τὴν ἰδικήν της ποιότητα ὅλο τὸ ἄλευρον, μὲ τὴν δύναμιν ποὺ ἐνυπάρχει εἰς αὐτήν.

Ἔτσι λοιπὸν καὶ ἡ δύναμις τῶν δικαίων δὲν εὑρίσκεται εἰς τὴν ποσότητα τοῦ ἀριθμοῦ, ἀλλὰ εἰς τὴν χάριν καὶ τὴν δύναμιν τοῦ Πνεύματος. Δώδεκα ἦσαν οἱ ἀπόστολοι· εἶδες πόσον μικρὰ εἶναι ἡ ζύμη; Ὅλη ἡ οἰκουμένη ἐζοῦσεν εἰς τὴν ἀπιστίαν· εἶδες πόσον μεγάλη ἦταν ἡ μᾶζα; Ὅμως ἐκεῖνοι οἱ δώδεκα ἔφεραν πρὸς τὴν ἰδικήν των πίστιν ὁλόκληρον τὴν οἰκουμένην. Ἡ ζύμη καὶ ἡ μᾶζα ἦσαν τῆς ἰδίας φύσεως, ἀλλὰ δὲν ἦσαν τῆς ἰδίας ποιότητος· διὰ τοῦτο ἄφησε μεταξὺ τῶν δικαίων τοὺς πονηρούς, ὥστε, ὅπως εἶναι ὅλοι τῆς ἰδίας φύσεως, νὰ γίνουν καὶ τῆς ἰδίας ψυχικῆς διαθέσεως. Αὐτὰ νὰ ἐνθυμῆσθε πάντοτε, μὲ αὐτὰ νὰ ἀποστομώνετε τοὺς ἀδιαφόρους, τοὺς διαλυμένους, τοὺς ὀκνηρούς, αὐτοὺς ποὺ ἀποφεύγουν τοὺς μόχθους τῆς ἀρετῆς τοὺς κατηγόρους τοῦ κοινοῦ μας Δεσπότου. «Ἡμάρτησες», λέγει, «ἡσύχαζε»[6]· μὴ προσθέσῃς καὶ ἄλλην ἁμαρτίαν βαρυτέραν· δὲν εἶναι τόσον βαρὺ τὸ νὰ ἁμαρτήσῃς, ὅσον εἶναι μετὰ τὴν ἁμαρτίαν, νὰ κατηγορῇς τὸν Κύριον. Φρόντισε νὰ γνωρίσῃς τὸν αἴτιον τῆς ἁμαρτίας καὶ δὲν θὰ εὕρῃς νὰ εἶναι κανεὶς ἄλλος παρὰ σὺ ποὺ ἡμάρτησες. Παντοῦ χρειάζεται ἀγαθὴ διάθεσις· τοῦτο τὸ ἀπέδειξα εἰς σᾶς ὄχι μὲ λογικὰ ἐπιχειρήματα μόνον, ἀλλὰ καὶ μὲ τὸ παράδειγμα συνανθρώπων ποὺ ζοῦν εἰς αὐτὸν τὸν κόσμον.

Αὐτὴν τὴν ἀπόδειξιν νὰ χρησιμοποιῇς καὶ σύ· ἔτσι θὰ μᾶς κρίνῃ καὶ ὁ κοινός μας Δεσπότης· μάθετε αὐτὸν τὸν τρόπον τῆς ἀποδείξεως καὶ κανεὶς δὲν θὰ ἠμπορέσῃ νὰ σᾶς ἀντικρούσῃ. Ὑπάρχει κάποιος ποὺ πορνεύει; Δεῖξε εἰς αὐτὸν ἄλλον ποὺ σωφρονεῖ· εἶναι κάποιος πλεονέκτης καὶ ἅρπαξ; Δεῖξε εἰς αὐτὸν ἐκεῖνον ποὺ δίδει ἐλεημοσύνην· ζῇ κάποιος εἰς τὸν φθόνον καὶ τὴν κακεντρέχειαν; Δεῖξε εἰς αὐτὸν ἄλλον ποὺ εἶναι καθαρὸς ἀπὸ τὸ πάθος αὐτό. Κυριαρχεῖται κάποιος ἀπὸ τὴν ὀργήν; Φέρει εἰς τὸ μέσον αὐτὸν ποὺ ζῇ κατὰ τὸν χριστιανικὸν τρόπον ζωῆς.

σον ἄγαγε. Οὐ γὰρ δεῖ μόνον εἰς τὰ παλαιὰ ἀνατρέχειν διηγήματα, ἀλλὰ καὶ ἀπὸ τῶν παρόντων λαμβάνειν τὰ παραδείγματα· καὶ γὰρ καὶ τήμερον διὰ τὴν τοῦ Θεοῦ χάριν οὐκ ἐλάττονα τῶν προτέρων ἐστὶ τὰ κατορθώματα. Ἄπιστός ἐστι, καὶ ψευδεῖς ἡγεῖται τὰς Γραφὰς εἶναι; Οὐ πιστεύει, ὅτι ὁ Ἰὼβ τοιοῦτος ἦν; Δεῖξον αὐτῷ ἕτερον ἄνθρωπον τὸν ἐκείνου τοῦ δικαίου ζηλοῦντα τὸν βίον· οὕτω καὶ ὁ Δεσπότης ἡμᾶς κρινεῖ· συνδούλους ἵστησι μετὰ συνδούλων, καὶ οὐκ ἀπὸ τῆς αὐτοῦ κρίσεως φέρει τὴν ψῆφον, ἵνα μὴ ἄρξηται λέγειν τις πάλιν, καθάπερ ἐκεῖνος ὁ οἰκέτης ὁ τὸ τάλαντον πιστευθείς, καὶ ἀντὶ ταλάντου κατηγορίαν προσενεγκών, «Ὅτι σκληρὸς εἶ». Δέον γὰρ στένειν, ὅτι οὐκ ἐδιπλασίασε τὸ τάλαντον, ἀλλὰ καὶ χαλεπωτέραν τὴν ἁμαρτίαν εἰργάσατο, τὴν κατηγορίαν τὴν κατὰ τοῦ δεσπότου προσθεὶς τῇ οἰκείᾳ ἀργίᾳ. Τί γάρ φησιν; «Εἶδόν σε ὅτι σκληρὸς εἶ». Ὦ ἄθλιε, καὶ ταλαίπωρε, καὶ ἀγνώμων, καὶ ὀκνηρέ· ὀφείλων τῆς σαυτοῦ κατηγορεῖν ἀργίας καὶ ὑφελέσθαι τι τῆς προτέρας ἁμαρτίας, σὺ δὲ ἐπὶ τὸν δεσπότην τὴν κατηγορίαν μετενεγκών, ἀντὶ τοῦ ταλάντου τὴν ἁμαρτίαν ἐδιπλασίασας.

3. Διὰ τοῦτο ὁ Θεὸς δούλους καὶ δούλους ἵστησιν, ἵνα οὗτοι ἐκείνους κρίνωσι, κἀκεῖνοι διὰ τούτων κρινόμενοι μὴ ἔχωσι λοιπὸν κατηγορεῖν τοῦ Δεσπότου. Διὰ τοῦτό φησιν· "Ἔρχεται ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς δόξης τοῦ Πατρὸς αὐτοῦ». Ὅρα τῆς δόξης τὸ ἀπαράλλακτον. Οὐκ εἶπεν, Ἐπὶ δόξης ὁμοίας τῇ δόξῃ τοῦ Πατρός, ἀλλ', «Ἐπὶ τῆς δόξης τοῦ Πατρὸς καὶ συνάξει τὰ ἔθνη πάντα». Φοβερὸν τὸ κριτήριον, φοβερὸν τοῖς ἁμαρτάνουσι καὶ ὑπευθύνοις· ἐπεὶ τοῖς συνειδόσιν ἑαυτοῖς κατορθώματα ποθεινὸν καὶ προσηνές· «Καὶ

---

7. Ματθ. 25, 24.
8. Ματθ. 16, 27.

Διότι δὲν πρέπει νὰ ἀνατρέχωμεν μόνον εἰς τὰς παλαιὰς διηγήσεις, ἀλλὰ καὶ ἀπὸ τὴν παροῦσαν ζωὴν νὰ λαμβάνωμεν τὰ παραδείγματα· διότι καὶ σήμερον μὲ τὴν χάριν τοῦ Θεοῦ δὲν εἶναι μικρότερα τὰ κατορθώματα τῆς ἀρετῆς ἀπὸ τῶν παλαιοτέρων. Εἶναι ἄπιστος καὶ νομίζει ὅτι εἶναι ψευδεῖς αἱ Γραφαί; Δὲν πιστεύει ὅτι ὁ Ἰὼβ ἦταν τέτοιος; Δεῖξε εἰς αὐτὸν ἄλλον ἄνθρωπον, ὁ ὁποῖος μιμεῖται τὴν ζωὴν ἐκείνου τοῦ δικαίου· ἔτσι θὰ μᾶς κρίνῃ καὶ ἐμᾶς ὁ Δεσπότης· παρατάσσει συνδούλους μετὰ συνδούλων καὶ δὲν ἀποφασίζει κατὰ τὴν ἰδικήν του κρίσιν διὰ νὰ μὴ ἀρχίσῃ καὶ λέγει κάποιος πάλιν, ὅπως ἐκεῖνος ὁ δοῦλος ποὺ τοῦ ἐνεπιστεύθη ὁ κύριός του τὸ τάλαντον, καὶ ἀντὶ τοῦ ταλάντου ἀπήγγειλε μομφὴν ἐναντίον τοῦ κυρίου του λέγων· «διότι εἶσαι σκληρός»[7]. Δηλαδὴ ἐνῷ ἔπρεπε νὰ στενάζῃ διότι δὲν ἐδιπλασίασε τὸ τάλαντον, αὐτὸς ἔκαμε βαρυτέραν τὴν ἁμαρτίαν του, προσθέτων εἰς τὴν ἰδικήν του ἀδράνειαν καὶ τὴν κατηγορίαν ἐναντίον τοῦ κυρίου του. Τί εἶπε δηλαδή; «Γνωρίζω ὅτι εἶσαι σκληρὸς ἄνθρωπος». Ἄθλιε, ταλαίπωρε, ἀχάριστε καὶ ὀκνηρέ· ἐνῷ ὤφειλες νὰ κατακρίνῃς τὴν ἰδικήν σου ἀδράνειαν, καὶ νὰ μετριάσῃς κάπως τὴν προηγουμένην ἁμαρτίαν σου, ἐσὺ δὲ μὲ τὸ νὰ μεταβιβάσῃς τὴν κατηγορίαν ἐναντίον τοῦ κυρίου σου, ἀντὶ νὰ διπλασιάσῃς τὸ τάλαντον, ἐδιπλασίασες τὴν ἁμαρτίαν.

3. Διὰ τοῦτο ὁ Θεὸς συμπαρατάσσει δούλους καὶ δούλους, διὰ νὰ κρίνουν αὐτοὶ ἐκείνους καὶ ἐκεῖνοι κρινόμενοι ἀπὸ αὐτοὺς νὰ μὴ ἠμποροῦν νὰ κατηγοροῦν τὸν Κύριον. Διὰ τοῦτο λέγει· «Ἔρχεται ὁ Υἱὸς τοῦ ἀνθρώπου περιβεβλημένος τὴν δόξαν τοῦ Πατρός του»[8]. Παρατήρησε τὴν ταυτότητα τῆς δόξης. Δὲν εἶπε περιβεβλημένος μὲ δόξαν ὁμοίαν πρὸς τὴν δόξαν τοῦ Πατρός, ἀλλ' εἶπεν «περιβεβλημένος τὴν δόξαν τοῦ Πατρὸς καὶ θὰ συνάξῃ ὅλους τοὺς λαούς». Εἶναι φοβερὸν τὸ κριτήριον, ἀλλὰ διὰ τοὺς ἁμαρτωλοὺς καὶ τοὺς ὑπευθύνους· διότι δι' ἐκείνους ποὺ ἔχουν συνείδησιν τοῦ ἐναρέτου βίου των, αὐτὸ εἶναι ποθητὸν καὶ εὐπροσήγορον. «Καὶ θὰ τοποθετήσῃ τὰ πρόβατα εἰς τὰ

στήσει τὰ πρόβατα ἐκ δεξιῶν, καὶ τὰ ἐρίφια ἐξ εὐωνύμων»· καὶ οὗτοι, κἀκεῖνοι ἄνθρωποι. Διὰ τί οὖν ἐκεῖνοι μὲν πρόβατα, οὗτοι δὲ ἐρίφια;

Οὐχ ἵνα τὴν ἐναλλαγὴν τῆς φύσεως, ἀλλ' ἵνα τὴν ἐναλλαγὴν τῆς προαιρέσεως μάθῃς. Διὰ τί δὲ οἱ μὴ διδόντες ἐλεημοσύνην ἐρίφια; Ὅτι ἄκαρπόν ἐστι τὸ ζῶον, καὶ οὔτε τὴν ἀπὸ τοῦ γάλακτος λειτουργίαν, οὔτε τὴν ἀπὸ τῶν γεννημάτων, οὔτε τὴν ἀπὸ τῶν τριχῶν εἰσφέρειν δύναται τοῖς κεκτημένοις, πανταχόθεν ἔρημον ὂν τῆς τοιαύτης εἰσφορᾶς διὰ τὸ τῆς ἡλικίας ἄωρον. Διὰ τοῦτο τοὺς οὐδένα καρπὸν ἐλεημοσύνης φέροντας ἐκάλεσεν ἐρίφια, τοὺς ἐκ δεξιῶν πρόβατα· ἀπὸ γὰρ τούτων πολλὴ ἡ φορά, ἐκ τῆς τοῦ ἐρίου φύσεως, ἐκ τῶν γεννημάτων, ἐκ τοῦ γάλακτος.

Τί οὖν φησι πρὸς αὐτούς; Πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε· γυμνόν, καὶ περιεβάλετε· ξένον, καὶ συνηγάγετε. Πάλιν πρὸς ἐκείνους τὰ ἐναντία· καίτοιγε οἱ αὐτοὶ ἄνθρωποι καὶ οὗτοι κἀκεῖνοι, τὰς αὐτὰς ἔλαβον ἐπαγγελίας καὶ οὗτοι κἀκεῖνοι, τὰ αὐτὰ ἔπαθλα ἀμφοτέροις περιέκειτο κατορθώμασιν, ὁ αὐτὸς καὶ πρὸς τούτους καὶ πρὸς ἐκείνους ἦλθε, μετὰ τῆς αὐτῆς γυμνότητος καὶ πρὸς τούτους καὶ πρὸς ἐκείνους, μετὰ τῆς αὐτῆς πείνης, καὶ ξένος ὁμοίως· πάντα ἴσα κἀκείνοις καὶ τούτοις. Πῶς οὖν τὸ τέλος οὐκ ἴσον; Ὅτι ἡ προαίρεσις οὐκ ἀφῆκεν· αὕτη γὰρ μόνη τὴν διαίρεσιν ἐποιήσατο. Διὰ τοῦτο ἐκεῖνοι μὲν εἰς γέενναν, οὗτοι δὲ εἰς βασιλείαν. Εἰ δὲ ὁ διάβολος ἦν αὐτοῖς τῶν ἁμαρτημάτων ὁ αἴτιος, οὐκ ἄν, ἄλλου ἁμαρτόντος καὶ ὠθήσαντος, οὗτοι ἔμελλον κολάζεσθαι. Εἶδες ἐνταῦθα καὶ τοὺς ἁμαρτόντας, καὶ τοὺς κατορθώσαντας; εἶδες πῶς ἰδόντες τοὺς συνδούλους ἐπεστομίσθησαν;

Φέρε σοι καὶ ἐφ' ἕτερον παράδειγμα τὸν λόγον ἀγάγωμεν. Παρθένοι, φησίν, ἦσαν δέκα. Πάλιν ἐνταῦθα αἱ προ-

9. Ματθ. 25, 33.
10. Προβλ. Ματθ. 25, 35.
11. Προβλ. Ματθ. 25, 1-13.

δεξιὰ καὶ τὰ ἐρίφια εἰς τὰ ἀριστερά»[9]· καὶ αὐτοὶ καὶ ἐκεῖνοι εἶναι ἄνθρωποι. Διατί ὅμως ἐκεῖνοι εἶναι πρόβατα, αὐτοὶ δὲ ἐρίφια;

Καὶ τοῦτο ὄχι διὰ νὰ μάθῃς τὴν διαφορὰν τῆς φύσεως, ἀλλὰ διὰ νὰ μάθῃς τὴν διαφορὰν τῆς ψυχικῆς διαθέσεως. Καὶ διατί λοιπὸν ἀποκαλοῦνται ἐρίφια αὐτοὶ ποὺ δὲν δίδουν ἐλεημοσύνην; Διότι τὸ ζῶον αὐτὸ εἶναι ἄκαρπον καὶ δὲν δίδει εἰς αὐτοὺς ποὺ τὸ ἔχουν οὔτε γάλα, οὔτε μικρά, οὔτε μαλλὶ καὶ εἶναι ἀνίκανον δι' οἱανδήποτε προσφορὰν αὐτοῦ τοῦ εἴδους λόγῳ τῆς μικρᾶς του ἡλικίας. Διὰ τοῦτο ἐκείνους ποὺ δὲν ἀποφέρουν κανένα καρπὸν ἐλεημοσύνης τοὺς ἐκάλεσεν ἐρίφια, αὐτοὺς δὲ ποὺ κάθονται εἰς τὰ δεξιά του πρόβατα· διότι αὐτὰ ἀποφέρουν μεγάλο εἰσόδημα καὶ ἀπὸ τὸ μαλλί, καὶ ἀπὸ τὰ μικρά των, καὶ ἀπὸ τὸ γάλα.

Τί λέγει λοιπὸν πρὸς αὐτούς; Μὲ εἴδατε νὰ πεινῶ καὶ μὲ ἐθρέψατε· μὲ εἴδατε γυμνὸν καὶ μὲ ἐνδύσατε· ξένον καὶ μὲ ἐπεριμαζέψατε[10]. Εἰς τοὺς ἄλλους πάλιν λέγει τὰ ἀντίθετα· καίτοι οἱ ἴδιοι ἄνθρωποι ἦσαν καὶ αὐτοὶ καὶ ἐκεῖνοι καὶ ἔλαβαν τὰς ἰδίας ἐπαγγελίας καὶ αὐτοὶ καὶ ἐκεῖνοι, τὰ ἴδια ἔπαθλα εἶχαν ὁρισθῆ καὶ διὰ τοὺς δύο, ὁ ἴδιος ἐπῆγε καὶ πρὸς τοὺς μὲν καὶ πρὸς τοὺς δέ, μὲ τὴν ἰδίαν γυμνότητα ἐνεφανίσθη καὶ πρὸς αὐτοὺς καὶ πρὸς ἐκείνους, μὲ τὴν ἰδίαν πεῖναν καὶ ὡς ξένος πάλιν ὁμοίως. Διατί λοιπὸν δὲν ὑπῆρξε τὸ τέλος ἴδιον; Διότι δὲν ἄφησεν ἡ ψυχικὴ διάθεσις· διότι αὐτὴ μόνη ἐπροκάλεσε τὴν διαίρεσιν. Διὰ τοῦτο ἐκεῖνοι μὲν ἀπέρχονται εἰς τὴν γέενναν τοῦ πυρός, αὐτοὶ δὲ μεταβαίνουν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Ἂν ὅμως ἦτο αἴτιος τῶν ἁμαρτημάτων των ὁ διάβολος, δὲν ἐπρόκειτο νὰ τιμωρηθοῦν αὐτοί, ἀφοῦ ἄλλος ἡμάρτησε καὶ τοὺς ἐξώθησεν εἰς τὴν ἁμαρτίαν. Εἶδες ἐδῶ καὶ αὐτοὺς ποὺ ἡμάρτησαν καὶ αὐτοὺς ποὺ ἔζησαν εἰς τὴν ἀρετήν; Εἶδες πῶς, ὅταν εἶδαν τοὺς συνδούλους των, ἀπεστομώθησαν;

Ἂς φέρωμεν καὶ εἰς ἄλλο παράδειγμα τὸν λόγον. Ἦσαν, λέγει, δέκα παρθένοι[11]. Καὶ ἐδῶ πάλιν ἡ θέλησις εἶ-

αιρέσεις αἱ κατορθώσασαι, πάλιν αἱ διαμαρτοῦσαι, ἵνα ἐκ παραλλήλου καὶ τούτων τὰ ἁμαρτήματα ἴδῃς, κἀκείνων τὰ κατορθώματα· ἡ γὰρ σύγκρισις σαφέστερα ταῦτα ποιεῖ. Καὶ αὗται παρθένοι κἀκεῖναι, καὶ αὗται πέντε κἀκεῖναι· λαμπάδας εἶχον καὶ αὗται κἀκεῖναι· τὸν νυμφίον ἀνέμενον πᾶσαι. Πῶς οὖν αἱ μὲν εἰσῆλθον, αἱ δὲ οὐδὲ εἰσῆλθον; Ὅτι αἱ μὲν ἀπάνθρωποι ἦσαν, αἱ δὲ ἥμεροι καὶ φιλάνθρωποι. Ὁρᾷς πάλιν τὴν προαίρεσιν τοῦ τέλους αἰτίαν γινομένην, οὐχὶ τὸν διάβολον; Εἶδες ἐκ παραλλήλου τὰς κρίσεις, καὶ ἐκ τῶν ὁμοίων φερομένην τὴν ψῆφον; Σύνδουλοι συνδούλους κρινοῦσι.

Βούλει σοι δείξω καὶ ἐξ ἀνομοίων γινομένην σύγκρισιν; Γίνεται γὰρ καὶ ἐξ ἀνομοίων, ὥστε τὴν κατάκρισιν γενέσθαι σαφεστέραν. «Ἄνδρες Νινευῖται», φησίν, «ἀναστήσονται, καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην». Οὐκέτι ὅμοιοι οἱ κρινόμενοι· οἱ μὲν γὰρ βάρβαροι, οἱ δὲ Ἰουδαῖοι· οἱ μὲν προφητικῆς ἀπήλαυσαν διδασκαλίας, οἱ δὲ οὐδέποτε μετέσχον θείας ἀκροάσεως. Οὐ τοῦτο δὲ μόνον ἐστὶ τὸ διάφορον, ἀλλ' ὅτι ἐκεῖ μὲν δοῦλος ἀπῆλθεν, ἐνταῦθα δὲ ὁ Δεσπότης· κἀκεῖνος μὲν καταστροφὴν ἐκήρυττε παραγενόμενος, οὗτος δὲ βασιλείαν οὐρανῶν εὐηγγελίζετο.

Τίνας οὖν εἰκὸς ἦν πιστεῦσαι μᾶλλον, τοὺς βαρβάρους, καὶ ἀνοήτους, καὶ μηδέποτε μετασχόντας θείας διδασκαλίας, ἢ τοὺς ἐκ πρώτης ἡλικίας προφητικαῖς ἐντραφέντας βίβλοις; Παντὶ δῆλον, ὅτι τοὺς Ἰουδαίους μᾶλλον· ἀλλὰ γέγονε τοὐναντίον. Καὶ οὗτοι μὲν ἠπίστησαν τῷ Δεσπότῃ βασιλείαν οὐρανῶν κηρύττοντι, ἐκεῖνοι δὲ ἐπίστευσαν τῷ συνδούλῳ καταστροφὴν ἀπειλοῦντι, ἵνα μειζόνως κἀκείνων ἡ ἐπιείκεια καὶ τούτων ἡ ἀγνωμοσύνη φανήσηται. Μή τι δαίμων; μή τι διάβολος; μή

12. Ματθ. 12, 41.

ναι αὐτή, ἡ ὁποία εἰς τὴν περίπτωσιν τῶν μὲν ἐνήργησεν ὀρθῶς, ἐνῷ εἰς τὴν περίπτωσιν τῶν δὲ ἔσφαλλεν, ὥστε νὰ ἠμπορέσῃς παράλληλα νὰ ἰδῇς καὶ τὰ ἁμαρτήματα τούτων καὶ τὰ καλὰ ἔργα ἐκείνων· ἡ σύγκρισις τὰ καθιστᾷ σαφέστερα. Καὶ αὐταὶ παρθένοι καὶ ἐκεῖναι παρθένοι, καὶ αὐταὶ πέντε καὶ ἐκεῖναι πέντε· ἐκρατοῦσαν λαμπάδας καὶ αὐταὶ καὶ ἐκεῖναι, καὶ ἀνέμενον ὅλαι τὸν νυμφίον. Πῶς ὅμως αἱ μὲν εἰσῆλθον, αἱ δὲ δὲν εἰσῆλθον; Διότι αὐταὶ μὲν ἦσαν ἀπάνθρωποι ἐκεῖναι δὲ ἥμεροι καὶ φιλάνθρωποι. Βλέπεις λοιπὸν πάλιν ὅτι αἰτία τοῦ τέλους γίνεται ἡ θέλησις καὶ ὄχι ὁ διάβολος; Εἶδες ὅτι ἡ κρίσις διεξάγεται ἐκ παραλλήλου καὶ ἡ ἀπόφασις συνάγεται ἐκ τῶν ὁμοίων; Σύνδουλοι θὰ κρίνουν συνδούλους.

Θέλεις τώρα νὰ σοῦ δείξω καὶ σύγκρισιν ποὺ γίνεται ἐξ ἀνομοίων; Διότι γίνεται καὶ ἐξ ἀνομοίων, ὥστε ἡ κατάκρισις νὰ καθίσταται σαφεστέρα. «Ἄνδρες Νινευῖται», λέγει, «θὰ ἀναστηθοῦν καὶ θὰ κατακρίνουν τὴν γενεὰν αὐτήν»[12]. Δὲν εἶναι ὅμοιοι οἱ κρινόμενοι· διότι· οἱ μὲν εἶναι βάρβαροι, οἱ δὲ Ἰουδαῖοι· οἱ μὲν Ἰουδαῖοι ἤκουσαν τὴν διδασκαλίαν τῶν προφητῶν, ἐνῷ οἱ ἄλλοι (οἱ Νινευῖται) οὐδέποτε ἔλαβαν μέρος εἰς θείαν ἀκρόασιν. Καὶ δὲν εἶναι μόνον αὐτὴ ἡ διαφορά, ἀλλὰ ἐπὶ πλέον ἐκεῖ μὲν μετέβη δοῦλος, ἐνῷ εἰς τοὺς Ἰουδαίους ὁ Κύριος· καὶ ἐκεῖνος μὲν ὅταν ἔφθασεν ἐκήρυττε καταστροφήν, ὁ Κύριος ὅμως εὐηγγελίζετο τὴν βασιλείαν τῶν οὐρανῶν.

Ποῖοι λοιπὸν ἦταν φυσικὸν νὰ πιστεύσουν περισσότερον, οἱ βάρβαροι καὶ ἀμόρφωτοι, αὐτοὶ ποὺ οὐδέποτε μετέσχον εἰς θείαν διδασκαλίαν ἢ ἐκεῖνοι ποὺ ἀπὸ μικρὰν ἡλικίαν ἐμεγάλωσαν μὲ τὰ προφητικὰ βιβλία; Εἶναι πασιφανές, ὅτι οἱ Ἰουδαῖοι· ὅμως ἔγινε τὸ ἀντίθετον. Καὶ αὐτοὶ μὲν δὲν ἐπίστευσαν εἰς τὸν Κύριον, ὁ ὁποῖος ἐκήρυττε τὴν βασιλείαν τῶν οὐρανῶν, ἐνῷ ἐκεῖνοι ἐπίστευσαν εἰς τὸν σύνδουλον ὁ ὁποῖος ἀπειλοῦσε καταστροφήν, διὰ νὰ φανῇ σαφέστερον καὶ ἡ δικαιοσύνη ἐκείνων καί τούτων ἡ πονηρία. Μήπως παρεμβαίνει κανένας δαίμων; Μήπως ὁ

τι τύχη; μή τι εἱμαρμένη; οὐχὶ ἕκαστος ἑαυτῷ αἴτιος καὶ τῆς κακίας καὶ τῆς ἀρετῆς ἐγίνετο; Εἰ γὰρ μὴ αὐτοὶ ἔμελλον ὑπεύθυνοι ἔσεσθαι, οὐκ ἂν εἶπεν, ὅτι «Κατακρινοῦσι τὴν γενεὰν ταύτην»· οὐκ ἂν καὶ τὴν βασίλισσαν τοῦ νότου κατακρίνειν τοὺς Ἰουδαίους ἔφη. Οὐ γὰρ δὴ δῆμοι δήμους μόνον κατακρινοῦσι τότε, ἀλλὰ καὶ εἷς ἄνθρωπος δῆμον ὁλόκληρον πολλάκις, ὅταν οὓς μὲν ἐνεδέχετο μᾶλλον ἀπατηθῆναι, φαίνονται μείναντες ἀνεξαπάτητοι, οἱ δὲ ἐκ παντὸς τρόπου περιγενέσθαι ὀφείλοντες, ἡττηθέντες τύχωσι.

Διὰ τοῦτο καὶ τοῦ Ἀδὰμ καὶ τοῦ Ἰὼβ ἐμνήσθημεν. Ἀνάγκη γὰρ πάλιν ἐπανελθεῖν ἐπὶ τὴν ὑπόθεσιν ἐκείνην, ὥστε τὰ λείψανα ἀποδοῦναι τῷ λόγῳ. Τῷ μὲν οὖν Ἀδὰμ διὰ ῥημάτων προσέβαλε ψιλῶν, τῷ δὲ Ἰὼβ διὰ πραγμάτων· τὸν μὲν γὰρ τοῦ πλούτου παντὸς ἐγύμνωσε, καὶ τῶν παίδων ἀπεστέρησε· τούτου δὲ οὐ μικρόν, οὐ μέγα τι τῶν ὄντων ἀφείλετο. Μᾶλλον δὲ καὶ αὐτὰ τὰ ῥήματα ἐξετάσωμεν, καὶ τῆς ἐπιβουλῆς τὸν τρόπον. «Προσῆλθε», φησίν, «ὁ ὄφις, καὶ εἶπε τῇ γυναικί· τί ὅτι εἶπεν ὁ Θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ;». «Ἐνταῦθα ὄφις, ἐκεῖ γυνὴ ἐπὶ τοῦ Ἰώβ· τέως πολὺ τῶν συμβούλων τὸ μέσον. Ὁ μὲν γὰρ δοῦλος, ἡ δὲ κοινωνὸς τοῦ βίου· ἡ μὲν βοηθός, ὁ δὲ ὑπετέτακτο.

Εἶδες τὸ ἀσύγγνωστον ὅσον; Τὴν μὲν γὰρ ὁ ὑποτεταγμένος καὶ δουλεύων ἠπάτησεν, ἐκεῖνον δὲ οὐδὲ ἡ κοινωνὸς καὶ βοηθὸς ὑποσκελίσαι ἴσχυσεν. Ἀλλ' ἴδωμεν καὶ τί φησι· «Τί ὅτι εἶπεν ὁ Θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου;»..Καὶ μὴν οὐκ εἶπεν ὁ Θεὸς τοῦτο, ἀλλὰ τὸ ἐναντίον. Ὅρα οὖν κακουργίαν τοῦ διαβόλου· εἶπε τὸ μὴ εἰρημένον, ἵνα μάθῃ τὸ εἰρημέ-

---

13. Πρβλ. Ματθ. 12, 42.
14. Εἰς τὴν ὁμιλίαν «Διατί οὐκ ἐκ μέσου γέγονεν ὁ διάβολος,..».
15. Γεν. 3, 1.

διάβολος; Μήπως ἡ τύχη; Μήπως ἡ εἱμαρμένη; Δὲν εἶναι ὑπεύθυνος κάθε ἕνας διὰ τὴν ἀρετήν του ἢ τὴν κακίαν του; Διότι ἂν δὲν ἐπρόκειτο νὰ φέρουν οἱ ἴδιοι τὴν εὐθύνην τῶν πράξεών τους, δὲν θὰ ἔλεγεν ὅτι «θὰ καταδικάσουν τὴν γενεὰν αὐτήν»· οὔτε θὰ ἔλεγεν ὅτι ἡ βασίλισσα τοῦ νότου θὰ καταδικάσῃ τοὺς Ἰουδαίους[13]. Διότι τότε δὲν θὰ καταδικάσουν λαοὶ λαούς, ἀλλὰ θὰ συμβῇ πολλάκις καὶ ἕνας ἄνθρωπος νὰ καταδικάσῃ ὁλόκληρον λαόν, ὅταν αὐτοὶ ποὺ ἦταν μᾶλλον ἐνδεχόμενον νὰ ἀπατηθοῦν φαίνεται ὅτι δὲν ἐξηπατήθησαν, ἐκεῖνοι δὲ ποὺ μὲ κάθε τρόπον ἔπρεπε νὰ νικήσουν, ἡττήθησαν.

Διὰ τοῦτο ἐμνημονεύσαμεν τὸν Ἀδὰμ καὶ τὸν Ἰώβ[14]. Εἶναι ἀνάγκη νὰ ἐπανέλθωμεν εἰς τὸ θέμα ἐκεῖνο, ὥστε νὰ ἐξαντλήσωμεν καὶ τὸ ὑπόλοιπον μέρος τοῦ θέματος. Τὸν Ἀδὰμ μόνον μὲ λόγους τὸν ἐδοκίμαζε, τὸν δὲ Ἰὼβ μὲ ἔργα· καὶ τὸν μὲν Ἰὼβ τὸν ἐγύμνωσεν ἀπὸ κάθε πλοῦτον, καὶ τὸν ἀπεστέρησεν ἀπὸ τὰ παιδιά του· ἀπὸ τὸν Ἀδὰμ δὲ δὲν ἀφῄρεσεν οὔτε μικρὸν οὔτε μεγάλο ἀπὸ τὰ κατορθώματά του. Ἂς ἐξετάσωμεν καλύτερα τὰ ἴδια τὰ λόγια ποὺ ἐχρησιμοποίησε καὶ τὸν τρόπον τῆς ἀπάτης γενικῶς. «Προσῆλθε», λέγει, «ὁ ὄφις καὶ εἶπεν εἰς τὴν γυναῖκα· διατί σᾶς εἶπεν ὁ Θεὸς νὰ μὴ φάγετε ἀπὸ ὅλα τὰ δένδρα ποὺ ὑπάρχουν εἰς τὸν παράδεισον;»[15]. Ἐδῶ εἰς τὴν περίπτωσιν τῆς Εὕας, ὄφις, ἐκεῖ, εἰς τὴν περίπτωσιν τοῦ Ἰώβ, ἡ σύζυγός του· ὑπάρχει πολὺ διαφορὰ μεταξὺ τῶν συμβούλων. Διότι ἐκεῖνος ἦταν δοῦλος ἐνῷ αὐτὴ κοινωνὸς τοῦ βίου του· αὐτὴ βοηθός του, ὁ ἄλλος ὑποτακτικός.

Εἶδες ὅτι δὲν ὑπάρχει περιθώριον συγγνώμης; Διότι ἐκείνην τὴν ἠπάτησεν ὁ ὑποτακτικὸς καὶ δοῦλος, ἐκεῖνον δὲ δὲν ἠμπόρεσε νὰ τὸν ὑποσκελίσῃ οὔτε ἡ σύζυγος καὶ βοηθός του εἰς τὴν ζωήν. Ἀλλὰ ἂς ἴδωμεν καὶ τί λέγει· «Διατί εἶπεν ὁ Θεὸς νὰ μὴ φάγετε ἀπὸ τοὺς καρποὺς ὅλων τῶν δένδρων;» Καὶ ὅμως ὁ Θεὸς δὲν εἶπεν αὐτό, ἀλλὰ τὸ ἀντίθετον. Πρόσεχε λοιπὸν νὰ ἰδῇς τὴν πανουργίαν τοῦ διαβόλου· εἶπεν αὐτὸ ποὺ δὲν ἐλέχθη, διὰ νὰ μάθῃ αὐτὸ

νον. Τί οὖν ἡ γυνή; Δέον ἐπιστομίσαι, δέον μὴ μεταδοῦναι λόγου, ὑπὸ ἀνοίας ἐξελάλησε τὴν γνώμην τὴν δεσποτικήν· διὰ τοῦτο παρέσχεν αὐτῷ λαβὴν ἰσχυράν.

4. Ὅρα ὅσον κακόν ἐστι τὸ ἁπλῶς τοῖς ἐχθροῖς καὶ τοῖς ἐπιβούλοις ἑαυτοὺς ἐγχειρίζειν. Διὰ τοῦτο ὁ Χριστὸς ἔλεγε· «Μὴ δότε τὰ ἅγια τοῖς κυσί, μηδὲ ρίψητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μήποτε στραφέντες ρήξωσιν ὑμᾶς». Τοῦτο δὲ ἐγένετο ἐπὶ τῆς Εὔας· ἔδωκε τὰ ἅγια τῷ κυνί, τῷ χοίρῳ· κατεπάτησεν ἐκεῖνος τὰ ρήματα, στραφεὶς ἔρρηξε τὴν γυναῖκα. Καὶ ὅρα πῶς κακουργεῖ· «Οὐ θανάτῳ ἀποθανεῖσθε», φησίν. Ἐνταῦθά μοι προσέχετε, ὅτι δυνατὴ ἦν ἡ γυνὴ συνιδεῖν τὴν ἀπάτην. Εὐθέως γὰρ τὴν ἔχθραν καὶ τὸν πόλεμον προεκήρυττε τὸν πρὸς τὸν Θεόν, εὐθέως ἀπεναντίας ἐφθέγξατο. Ἔστω· πρὸ τούτου βουλομένῳ μαθεῖν τὴν γνώμην ἔλεγες· μετὰ ταῦτα ἐναντία εἰπόντι τί ἠκολούθεις; Εἶπεν ὁ Θεός, «Θανάτῳ ἀποθανεῖσθε»· ἀντεφθέγξατο τούτοις ἐκεῖνος, καὶ εἶπεν, «Οὐ θανάτῳ ἀποθανεῖσθε». Τί τοῦ πολέμου τούτου σαφέστερον; Πόθεν ἄλλοθεν ἔδει μαθεῖν τὸν ἐχθρὸν καὶ πολέμιον, ἀλλ' ἢ ἐντεῦθεν ἐκ τοῦ ἀντιφθέγξασθαι τῷ Θεῷ; Ἔδει τοίνυν φυγεῖν εὐθέως τὸ δέλεαρ, ἔδει τῆς παγίδος ἀποπηδῆσαι. «Οὐ θανάτῳ ἀποθανεῖσθε», φησίν, «Ἤδει γὰρ ὁ Θεός, ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ ἔσεσθε ὡς θεοί». Ἐλπίδι μείζονος ὑποσχέσεως καὶ τὰ ἐν χερσὶν ἐξέβαλεν ἀγαθά· ἐπηγγείλατο ποιήσειν θεούς, καὶ κατέβαλεν εἰς τὴν τοῦ θανάτου τυραννίδα. Πόθεν οὖν ἐπίστευσας, ὦ γύναι, τῷ διαβόλῳ. Τί συνεῖδες ἀγαθόν; Οὐκ

---

16. Ματθ. 7, 6.
17. Γεν. 3, 4.
18. Γεν. 3, 4-5.

ποὺ ἐλέχθη. Τί ἔκαμε λοιπὸν ἡ γυναῖκα; Ἐνῷ ἔπρεπε νὰ τὸν ἀποστομώσῃ, ἐνῷ ἔπρεπε νὰ μὴ τοῦ ἀνακοινώσῃ τὸν λόγον, ἀπὸ ἀπερισκεψίαν εἶπε τὴν ἐντολὴν τοῦ Κυρίου· διὰ τοῦτο τοῦ προσέφερεν ἰσχυρὸν στήριγμα.

4. Βλέπεις πόσον κακὸν εἶναι νὰ παραδίδῃς εἰς τοὺς ἐχθροὺς καὶ εἰς τοὺς ἐπιβούλους ἀπερίσκεπτα τὸν ἑαυτόν σου. Διὰ τοῦτο ὁ Χριστὸς ἔλεγεν· «Μὴ δώσετε τὰ ἅγια εἰς τοὺς σκύλους, οὔτε νὰ ρίψετε τοὺς μαργαρίτας σας ἐμπρὸς εἰς τοὺς χοίρους διὰ νὰ μὴ στραφοῦν ἐναντίον σας καὶ σᾶς καταξεσχίσουν»[16]. Τοῦτο συνέβη εἰς τὴν περίπτωσιν τῆς Εὔας. Ἔδωσε τὰ ἅγια εἰς τὸν σκύλον, εἰς τὸν χοῖρον· κατεπάτησεν ἐκεῖνος τοὺς λόγους, ἐστράφη καὶ ἐξέσχισε τὴν γυναῖκα. Καὶ βλέπε μὲ πόσην πανουργίαν ὁμιλεῖ· «Δὲν θὰ ἀποθάνετε μὲ θάνατον»[17] τοὺς λέγει. Προσέξατε ἐδῶ πολύ, σᾶς παρακαλῶ, διότι ἦτο δυνατὸν ἡ γυναῖκα νὰ ἐννοήσῃ τὴν ἀπάτην. Διότι ἐκήρυττεν εὐθέως τὴν ἔχθραν καὶ τὸν πόλεμον πρὸς τὸν Θεόν, καὶ αὐτὴ τοῦ ἀπήντησεν ἀμέσως. Ἔστω· προηγουμένως ὡμίλησεν εἰς αὐτόν, ἐπειδὴ ἤθελε νὰ μάθῃ τὴν γνώμην τοῦ Θεοῦ· μετὰ ὅμως, ὅταν ἐκεῖνος εἶπε τὰ ἀντίθετα, διατί τὸν ἠκολούθησεν; Ὁ Θεὸς εἶπε «Θὰ ἀποθάνετε μὲ θάνατον»· ἐκεῖνος τοὺς ἀπήντησε μὲ τὰ ἑξῆς· «Δὲν θὰ ἀποθάνετε μὲ θάνατον». Τί σαφέστερον ἀπὸ αὐτὸν τὸν πόλεμον; Ἀπὸ ποῦ ἀλλοῦ ἔπρεπε νὰ καταλάβῃ τὸν ἐχθρὸν καὶ ἀντίπαλον, παρὰ ἀπὸ τὸ γεγονὸς τοῦτο, ὅτι δηλαδὴ εἶπεν ἀντίθετα ἀπὸ ὅ,τι εἶπεν ὁ Θεός; Ἔπρεπε λοιπὸν νὰ ἀποφύγῃ ἀμέσως τὸ δόλωμα, ἔπρεπε νὰ ὑπερπηδήσῃ τὴν παγίδα. «Δὲν θὰ ἀποθάνετε», λέγει, «κάθε ἄλλο, σᾶς ἀπηγόρευσεν ὁ Θεὸς νὰ φάγετε ἀπὸ τὸ δένδρον αὐτό, διότι ἐγνώριζεν, ὅτι κατὰ τὴν ἡμέραν κατὰ τὴν ὁποίαν θὰ φάγετε θὰ ἀνοιχθοῦν τὰ μάτια σας καὶ θὰ εἶσθε καὶ σεῖς σὰν θεοί»[18]. Μὲ τὴν ἐλπίδα τῆς μεγαλυτέρας ὑποσχέσεως ἔχασε καὶ τὰ ἀγαθὰ ποὺ εἶχεν εἰς τὰ χέρια του· ὑπεσχέθη ὅτι θὰ τοὺς κάμῃ θεοὺς καὶ τοὺς ἔρριψεν εἰς τὴν τυραννίαν τοῦ θανάτου. Ἀπὸ ποῦ ὡρμήθης, λοιπόν, γυναῖκα, καὶ ἐπίστευσες εἰς τὸν διάβολον; Ποῖον ἀγαθὸν διέκρινες; Δὲν ἦταν ἀρ-

ἤρκει ἡ ἀξιοπιστία τοῦ νομοθέτου, ὅτι ὁ μὲν Θεός, καὶ δημιουργὸς καὶ ποιητής, ὁ δὲ διάβολος, καὶ ἐχθρός; Καὶ οὔπω λέγω διάβολον· ὄφιν αὐτὸν ἐνόμιζες εἶναι ψιλόν· ὄφιν οὖν, εἰπέ μοι, τοσαύτης ἰσηγορίας ἀξιῶσαι ἐχρῆν, ὡς καὶ δεσποτικὴν γνώμην ἐξαγγεῖλαι αὐτῷ; Ὁρᾷς ὅτι δυνατὸν ἦν συνιδεῖν τὴν ἀπάτην, ἀλλ' οὐκ ἠθέλησεν αὕτη.

Καίτοι ὁ μὲν Θεὸς ἱκανὰς ἔδωκε τῆς εὐεργεσίας τῆς ἑαυτοῦ τὰς ἀποδείξεις, καὶ διὰ τῶν ἔργων τὴν κηδεμονίαν ἐπεδείξατο· καὶ γὰρ οὐκ ὄντα τὸν ἄνθρωπον ἔπλασε, καὶ ψυχὴν ἐνέπνευσε, καὶ κατ' εἰκόνα αὐτὸν ἐποίησεν, ἄρχοντα τῶν ἐπὶ γῆς ποιήσας ἁπάντων, καὶ βοηθὸν ἐχαρίσατο, καὶ παράδεισον ἐφύτευσε, καὶ τὴν χρῆσιν τῶν λοιπῶν ἐπιτρέψας δένδρων, ἑνὸς ἀπηγόρευσε μὴ ἅψασθαι μόνου· καὶ τοῦτο δὲ αὐτὸ χρησίμως ἐκώλυσεν. Ὁ δὲ διάβολος ἔργῳ μὲν οὔτε μικρόν, οὔτε μέγα ἐπεδείξατο ἀγαθόν, ῥήμασι δὲ ψιλοῖς ἐπάρας τὴν γυναῖκα, καὶ φυσήσας ταῖς ματαίαις ἐλπίσιν, οὕτως ἠπάτησεν.

Ἀλλ' ὅμως τοῦ Θεοῦ τὸν διάβολον ἀξιοπιστότερον εἶναι ἐνόμισε, καίτοι διὰ τῶν ἔργων ἐπεδειξαμένου τὴν εὔνοιαν· τὰ ῥήματα ψιλὰ προσενεγκόντι μόνα, ἄλλο δὲ οὐδέν, ἐπίστευσεν ἡ γυνή. Ὁρᾷς ὅπως ἐξ ἀνοίας μόνης καὶ ῥαθυμίας, οὐκ ἀπὸ βίας ἡ ἀπάτη γέγονε; Καὶ ἵνα μάθῃς αὐτὸ σαφέστερον, ἄκουσον, πῶς καὶ ἡ Γραφὴ κατηγορεῖ τῆς γυναικός. Οὐ γὰρ εἶπεν, ἀπατηθεῖσα, «ἀλλ' ἰδοῦσα τὸ ξύλον, ὅτι ὡραῖόν ἐστιν, ἔφαγεν». Ὥστε τῆς ὄψεως τῆς ἀκρατοῦς τὸ ἔγκλημα, οὐ τῆς ἀπάτης τῆς παρὰ τοῦ διαβόλου μόνης· ὑπὸ γὰρ τῆς ἐπιθυμίας ἡττήθη τῆς οἰκείας, οὐχ ὑπὸ τῆς πονηρίας τοῦ δαίμονος. Διὰ τοῦτο οὐδὲ συγγνώμης ἀπήλαυσεν, ἀλλ' εἰποῦσα,

19. Γεν. 3, 6.

κετὴ ἡ ἀξιοπιστία τοῦ νομοθέτου, ὅτι ὁ Θεὸς εἶναι καὶ ποιητὴς καὶ δημιουργός, ἐνῷ ὁ διάβολος εἶναι καὶ ἐχθρός; Καὶ ἂς μὴ τὸν εἴπωμεν, ἔστω, ἀκόμη διάβολον· ἂς δεχθοῦμεν ὅτι τὸν ἐνόμιζεν ἁπλοῦν ὄφιν. Ἔπρεπε, εἰπέ μου, νὰ θεωρήσῃ τὸν ὄφιν ἄξιον νὰ ὁμιλήσῃ μὲ τόσον κῦρος, ὥστε νὰ ἐξαγγείλῃ εἰς αὐτὸν καὶ δεσποτικὴν γνώμην; Βλέπεις ὅτι ἦταν δυνατὸν νὰ διακρίνῃ τὴν ἀπάτην, ἀλλ' αὐτὴ δὲν ἠθέλησεν.

Καὶ ὅμως ὁ Θεὸς ἔδωσεν ἀρκετὰς ἀποδείξεις τῆς ἰδικῆς του εὐεργεσίας καὶ διὰ τῶν ἔργων ἀπέδειξε τὴν πρόνοιάν του· καθ' ὅσον ἔπλασε τὸν ἄνθρωπον, ὁ ὁποῖος δὲν ὑπῆρχε πρίν, καὶ τοῦ ἐνέπνευσε ψυχήν, καὶ τὸν ἔπλασε κατ' εἰκόνα του, καὶ ἐφύτευσε τὸν παράδεισον, καὶ ἀφοῦ ἐπέτρεψε τὴν χρῆσιν ὅλων τῶν λοιπῶν δένδρων, τοῦ ἀπηγόρευσε νὰ ἐγγίσῃ μόνον ἕνα. Καὶ τοῦτο ἐτέθη πρὸς ὠφέλειάν του. Ἐνῷ ὁ διάβολος δὲν ἐπέδειξεν ἐμπράκτως κανένα ἀγαθὸν οὔτε μικρὸν ἢ μεγάλο ἀλλὰ μὲ ἁπλᾶς μόνον λέξεις ἐφούσκωσε τὸ μυαλὸ τῆς γυναικός, τῆς ἐνεφύσησε ματαίας ἐλπίδας καὶ ἔτσι τὴν ἐξηπάτησεν.

Ἐκείνη ὅμως ἐθεώρησε τὸν διάβολον ἀξιοπιστότερον ἀπὸ τὸν Θεόν, παρὰ τὸ γεγονὸς ὅτι ὁ Θεὸς τῆς ἐπέδειξε τὴν ἀγάπην του μὲ ἔργα· ἐπίστευσεν ἡ γυναῖκα τὸν διάβολον, ὁ ὁποῖος τῆς προσέφερε ἁπλοῦς λόγους μόνον, καὶ τίποτε ἄλλο. Βλέπεις ὅτι ἡ ἀπάτη ἔγινεν ἀπὸ ἀφροσύνην καὶ ἀδιαφορίαν μόνον καὶ ὄχι ἀπὸ τὴν ἄσκησιν βίας; Καὶ διὰ νὰ κατανοήσῃς αὐτὸ σαφέστερον ἄκουσε πῶς κατηγορεῖ τὴν γυναῖκα καὶ ἡ Γραφή. Διότι δὲν λέγει, ὅτι ἡ γυναῖκα ἐξηπατήθη, ἀλλὰ «παρετήρησε προσεκτικώτερον τὸ ἀπηγορευμένον δένδρον, εἶδε τὸν καρπόν του ὡραῖον εἰς τὴν ὄψιν καὶ ἐσκέφθη ὅτι θὰ ἦτο εὐχάριστον νὰ τὸν δοκιμάσῃ»[19]. Ὥστε τὸ ἔγκλημα ἐκεῖνο ἐπήγασεν ἀπὸ τὴν ἄπληστον θέαν αὐτῆς καὶ ὄχι μόνον ἀπὸ τὴν ἀπάτην τοῦ διαβόλου· διότι ἡττήθη ἀπὸ τὴν ἰδικήν της ἐπιθυμίαν καὶ ὄχι ἀπὸ τὴν κακίαν τοῦ δαίμονος. Διὰ τοῦτο δὲν τῆς ἐδόθη

ὅτι «Ὁ ὄφις ἠπάτησέ με», καὶ οὕτω δίκην ἔδωκε τὴν ἐσχάτην· ἐν αὐτῇ γὰρ ἦν τὸ μὴ πεσεῖν.

Καὶ ἵνα μάθῃς τοῦτο σαφέστερον, φέρε ἐπὶ τὸν Ἰὼβ τὸν λόγον ἀγάγωμεν, ἀπὸ τῶν ἡττηθέντων ἐπὶ τὸν κρατήσαντα, ἀπὸ τῶν νενικημένων ἐπὶ τὸν νενικηκότα. Καὶ γὰρ πλείονα ἡμῖν οὗτος δώσει προθυμίαν, ὥστε ἀντᾶραι χεῖρας κατὰ τοῦ διαβόλου· ἐκεῖ ὄφις ἦν ὁ ἀπατῶν, καὶ ἐκράτησεν· ἐνταῦθα γυνή, καὶ οὐκ ἴσχυσε· καίτοι γε αὕτη πολλῷ πιθανωτέρα ἐκείνου. Καὶ τῷ μὲν Ἰὼβ μετὰ τὴν ἀπώλειαν τῶν χρημάτων, μετὰ τὴν ἀποβολὴν τῶν παίδων καὶ τὴν γύμνωσιν τῶν ὄντων ἁπάντων ἡ μηχανὴ προσήγετο· ἐκεῖ δὲ οὐδὲν τοιοῦτον ἦν· οὐκ ἀπέβαλε παῖδας, οὐκ ἀπώλεσε χρήματα ὁ Ἀδάμ, οὐκ ἐπὶ κοπρίας ἐκάθητο, ἀλλὰ παράδεισον ᾤκει τρυφῆς, καὶ δένδρων ἀπήλαυε παντοδαπῶν, καὶ πηγῆς, καὶ ποταμῶν, καὶ τῆς ἄλλης ἀδείας ἁπάσης. Οὐδαμοῦ πόνος, οὐδὲ ὀδύνη, οὐδὲ ἀθυμία καὶ φροντίδες, οὐδὲ ὀνείδη καὶ λοιδορίαι, οὐδὲ τὰ μυρία κακά, ἅπερ κατέσκηψεν εἰς τὸν Ἰώβ· ἀλλ' ὅμως οὐδενὸς ὄντος τοιούτου κατέπεσε καὶ ὑπεσκελίσθη. Οὐκ εὔδηλον, ὅτι διὰ ῥᾳθυμίαν; Ὥσπερ οὖν ἐκεῖνος πάντων τούτων ἐπικειμένων καὶ βαρούντων ἔστη γενναίως, καὶ οὐ κατέπεσεν, οὐκ εὔδηλον ὅτι καὶ οὗτος διὰ νῆψιν ψυχῆς;

5. Ἑκατέρωθεν οὖν, ἀγαπητέ, κάρπωσαι μέγιστον κέρδος, καὶ φύγε τὸν τοῦ Ἀδὰμ ζῆλον, εἰδὼς ὅσα ἀπὸ τῆς ῥᾳθυμίας τίκτεται κακά· ζήλωσον δὲ τὴν τοῦ Ἰὼβ εὐλάβειαν, μαθὼν ὅσα ἀπὸ τῆς σπουδῆς βλαστάνει καλά· τοῦτον διαπαντὸς λογίζου τὸν στεφανίτην, καὶ πάσης ὀδύνης καὶ περιστά-

---

20. Γεν. 3, 13.
21. Πρβλ. αὐτ. 3, 16.

συγχώρησις, ἀλλὰ μόλις εἶπεν ὅτι «μὲ ἐξηπάτησεν ὁ ὄφις»[20] ἐτιμωρήθη ἀμέσως μὲ τὴν ἐσχάτην τῶν ποινῶν· διότι ἐξηρτᾶτο ἀπὸ αὐτὴν νὰ μὴ πέσῃ[21].

Καὶ διὰ νὰ μάθῃς τοῦτο σαφέστερον, ἂς φέρωμεν τὸν λόγον εἰς τὸν 'Ιώβ, ἀπὸ τοὺς ἡττηθέντας εἰς τὸν νικήσαντα, ἀπὸ τοὺς νικημένους εἰς τὸν νικητήν. Καὶ πράγματι αὐτὸς θὰ μᾶς δώσῃ περισσοτέραν προθυμίαν, ὥστε νὰ ἀντισταθοῦμεν εἰς τὸν διάβολον. Εἰς τὴν περίπτωσιν τῆς Εὔας αὐτὸς ποὺ ἠπάτησεν ἦτο ὁ ὄφις καὶ ὑπερίσχυσεν· ἐδῶ ἦταν γυναῖκα καὶ δὲν ἐνίκησε· καὶ ἐν τούτοις ἦταν πολὺ περισσότερον πειστικὴ ἀπὸ ἐκεῖνον. Καὶ ὁ πειρασμὸς ἐκινήθη κατὰ τοῦ 'Ιὼβ μετὰ τὴν ἀπώλειαν τῶν χρημάτων του, μετὰ τὸν χαμὸν τῶν τέκνων του καὶ τὴν ἀπογύμνωσίν του ἀπὸ ὅλα τὰ ὑπάρχοντά του. 'Ενῷ μὲ τὴν Εὔαν δὲν συνέβαινε τίποτε τέτοιο· δὲν ἔχασε παιδιά, δὲν ἔχασε χρήματα ὁ 'Αδάμ, δὲν ἐκάθητο ἐπὶ τῆς κοπρίας, ἀλλὰ ἐκατοικοῦσεν εἰς τὸν παράδεισον τῆς χαρᾶς καὶ ἀπελάμβανε τοὺς καρπούς τῶν παντοδαπῶν δένδρων, καὶ πηγὰς καὶ ποταμοὺς καὶ ὅλα τὰ ἄλλα ἀγαθά. Πουθενὰ μόχθος, πουθενὰ πόνος, οὔτε ἀθυμία καὶ φροντίδες, οὔτε ὀνειδισμὸς καὶ ὕβρεις, οὔτε τὰ ἀναρίθμητα κακὰ ποὺ ἐπέπεσαν εἰς τὸν 'Ιώβ· ἀλλ' ὅμως ἂν καὶ κανένα ἀπὸ αὐτὰ τὰ δεινὰ δὲν ὑπῆρχεν εἰς τὸν 'Αδὰμ ἐν τούτοις αὐτὸς κατέπεσε καὶ ὑπεσκελίσθη. Δὲν εἶναι ὁλοφάνερον, ὅτι τὸ ἔπαθεν ἀπὸ ἀδιαφορίαν; Ὅπως ἐπίσης τὸ γεγονὸς ὅτι ἐκεῖνος ἀντεστάθη γενναίως εἰς τὰς ἐπιθέσεις καὶ τὰ πλήγματα ὅλων αὐτῶν τῶν πειρασμῶν καὶ δὲν κατέπεσε, δὲν εἶναι ὁλοφάνερον ὅτι ὀφείλεται εἰς τὴν νηφαλιότητα τῆς ψυχῆς του;

5. Καὶ ἀπὸ τὰς δύο περιπτώσεις, ἀγαπητέ μου, νὰ ἀποκομίσῃς μεγάλο κέρδος, καὶ νὰ ἀποφύγῃς νὰ μιμηθῇς τὸν 'Αδὰμ γνωρίζων πόσα κακὰ πηγάζουν ἀπὸ τὴν ραθυμίαν· νὰ μιμηθῇς δὲ τὴν εὐλάβειαν τοῦ 'Ιώβ, ἀφοῦ ἔμαθες πόσα καλὰ βλαστάνουν ἀπὸ τὴν ἄγρυπνον προθυμίαν· αὐτὸν τὸν στεφανωμένον νικητὴν νὰ σκέπτεσαι πάντοτε καὶ θὰ ἔχῃς μεγάλην παρηγορίαν εἰς κάθε πόνον καὶ συμφο-

σεως ἱκανὴν ἕξεις παραμυθίαν. Καθάπερ γὰρ ἐν κοινῷ θεάτρῳ τῆς οἰκουμένης ἑστὼς ὁ μακάριος καὶ γενναῖος ἐκεῖνος, ἅπασι διὰ τῶν συμβεβηκότων αὐτῷ παθῶν διαλέγεται πάντα φέρειν τὰ συμπίπτοντα γενναίως, καὶ πρὸς μηδὲν ἐνδιδόναι τῶν ἐπιόντων δεινῶν. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν ἀνθρώπινον πάθος, ὃ μὴ δύναται παραμυθίαν ἐκεῖθεν δέξασθαι· ἃ γὰρ ἐν πάσῃ τῇ οἰκουμένῃ διέσπαρται πάθη, ταῦτα ὁμοῦ συνελθόντα εἰς ἓν σῶμα κατέσκηψε τὸ ἐκείνου. Τίς οὖν ἔσται συγγνώμη τῷ μὴ δυναμένῳ τι μέρος τῶν ἐπαχθέντων ἐκείνῳ δεινῶν μετ' εὐχαριστίας ἐνεγκεῖν, ὃς μὴ μέρος μόνον, ἀλλ' ὁλόκληρα φαίνεται τὰ πάντων ἀνθρώπων φέρων κακά;

Καὶ ἵνα μὴ καταγνῷς ὑπερβολὴν τοῦ λόγου, φέρε καθ' ἕκαστον προχειρισάμενοι τῶν ἐπελθόντων αὐτῷ, τὴν ὑπόσχεσιν ταύτην ἐπάγωμεν. Καί, εἰ βούλει, τὸ πάντων ἀφορητότερον εἶναι δοκοῦν, πρῶτον εἰς μέσον ἀγάγωμεν, τὴν πενίαν λέγω, καὶ τὴν ἐκ ταύτης ὀδύνην· τοῦτο γὰρ πανταχοῦ πάντες ἄνθρωποι θρηνοῦσι. Τί οὖν τοῦ Ἰὼβ πενέστερον γέγονεν, ὃς καὶ τῶν ἐν βαλανείοις ἐρριμμένων, καὶ τῶν ἐν τῇ καμιναίᾳ τέφρᾳ καθευδόντων, καὶ πάντων ἁπλῶς ἀνθρώπων πενέστερος ἦν; Οὗτοι μὲν γὰρ κἂν ἱμάτιον ἔχουσι διερρωγός, ἐκεῖνος δὲ γυμνὸς ἐκάθητο, καὶ ὃ μόνον ἱμάτιον εἶχε παρὰ τῆς φύσεως, τῆς σαρκὸς τὴν περιβολήν, χαλεπῇ σηπεδόνι καὶ τοῦτο πανταχόθεν διέφθειρεν ὁ διάβολος. Πάλιν οὗτοι οἱ πένητες κἂν ὑπὸ στέγην εἰσὶ προπυλαίων τῶν ἐν τοῖς βαλανείοις, κἂν καλύβῃ καλύπτονται· ἐκεῖνος δὲ αἴθριος διανυκτερεύων ἀεὶ διετέλει, οὐδὲ τὴν ἀπὸ ψιλῆς στέγης παραμυθίαν ἔχων· καὶ τὸ δὴ μεῖζον ὅτι οὗτοι μὲν πολλὰ ἑαυτοῖς

ράν. Διότι ὡσὰν νὰ ἵσταται εἰς κοινὸν θέατρον ὅλης τῆς οἰκουμένης ὁ μακάριος καὶ γενναῖος ἐκεῖνος ἀπευθύνεται εἰς ὅλους μὲ τὰς συμφορὰς ποὺ ὑπέστη καὶ τοὺς παροτρύνει νὰ ὑποφέρουν μὲ γενναιότητα ὅσα τοὺς συμβαίνουν καὶ νὰ μὴ ὑποχωροῦν ἐμπρὸς εἰς κανένα ἀπὸ τὰ δεινὰ ποὺ ἐπέρχονται. Διότι δὲν ὑπάρχει, δὲν ὑπάρχει καμμία ἀνθρωπίνη δοκιμασία, ποὺ νὰ μὴ ἠμπορῇ νὰ παρηγορηθῇ ἀπὸ τὸ παράδειγμά του· διότι ὅλαι αἱ συμφοραὶ ποὺ εἶναι διεσπαρμέναι εἰς ὁλόκληρον τὴν οἰκουμένην, ὅλαι αὐταὶ συνηνώθησαν καὶ ἐνέσκηψαν εἰς τὸ σῶμα ἐκείνου. Ποία συγγνώμη λοιπὸν εἶναι δυνατὸν νὰ ὑπάρξῃ εἰς αὐτὸν ποὺ δὲν ἠμπορεῖ νὰ ὑπομείνῃ ἀγόγγυστα ἕνα μέρος τῶν δεινῶν ποὺ ἔπληξαν ἐκεῖνον, ὁ ὁποῖος ὄχι μόνον ἕνα μέρος, ἀλλὰ ὅλας τὰς συμφορὰς τῶν ἀνθρώπων ὑπέμεινε;

Καὶ διὰ νὰ μὴ θεωρήσῃς ὅτι αὐτὰ ποὺ λέγω εἶναι ὑπερβολαί, ἐμπρὸς ἂς ἐξετάσωμεν ἕνα πρὸς ἕνα τὰ δεινὰ ποὺ ἐπῆλθαν ἐπάνω του καὶ ἂς ἀποδείξωμεν τὰ λεγόμενα. Καί, ἂν θέλῃς, ἂς ἐξετάσωμεν αὐτὸ ποὺ φαίνεται ὅτι εἶναι περισσότερον ἀφόρητον, ἐννοῶ τὴν πενίαν, καὶ τὴν ὀδύνην ποὺ προέρχεται ἀπὸ αὐτό· διότι δι' αὐτὸ τὸ πρᾶγμα παντοῦ ὅλοι οἱ ἄνθρωποι θρηνολογοῦν. Ποῖος ὑπῆρξε πτωχότερος ἀπὸ τὸν Ἰώβ, ὁ ὁποῖος ὑπῆρξε πτωχότερος καὶ αὐτῶν ποὺ εὑρίσκουν καταφύγιον καὶ στέγην εἰς τὰ δημόσια λουτρά, καὶ ἀπὸ ἐκείνους ποὺ κοιμοῦνται εἰς τὴν τέφραν, καὶ γενικὰ ἀπὸ ὅλους τοὺς ἀνθρώπους; Διότι τουλάχιστον αὐτοὶ ἔχουν κάποιο ροῦχο ἔστω καὶ σχισμένο, ἐνῷ ἐκεῖνος ἐκάθητο γυμνὸς καὶ τὸ μοναδικὸν ἱμάτιον ποὺ εἶχε ἦταν τῆς φύσεως, δηλαδὴ τὸ δέρμα τοῦ σώματος, καὶ αὐτὸ τὸ κατέστρεψεν ἀπὸ παντοῦ ὁ διάβολος μὲ φοβερὰς πληγάς. Αὐτοὶ πάλιν οἱ πτωχοὶ στεγάζονται εἴτε κάτω ἀπὸ στέγην προπυλαίων τῶν δημοσίων λουτρῶν ἢ κάτω ἀπὸ καλύβην· ἐκεῖνος ὅμως ὅλον τὸν καιρὸν διενυκτέρευεν εἰς τὸ ὕπαιθρον, καὶ δὲν εἶχεν οὔτε τὴν παρηγορίαν ποὺ προσφέρει ἡ ἐλαφρὰ στέγη· καὶ τὸ σπουδαιότερον εἶναι ὅτι ἐκεῖνοι εἶχαν τὴν συνείδησίν των βεβαρυμένην μὲ πολλὰ κακά, ἐνῷ ἐ-

συνίσασι τὰ δεινά, ἐκεῖνος δὲ οὐδὲν ἑαυτῷ συνῄδει. Τοῦτο γὰρ καθ' ἕκαστον τῶν συμβεβηκότων αὐτῷ παρατηρούμενον, ὃ μείζονα αὐτοῦ τὴν ὀδύνην ἐποίει, καὶ πλείονα τὴν ἀπορίαν εἰργάζετο, τὸ μηδὲ τὴν αἰτίαν τῶν γινομένων εἰδέναι. Οὗτοι μὲν οὖν, ὅπερ ἔφην, πολλὰ ἂν ἔχοιεν ἑαυτοὺς αἰτιᾶσθαι, οὐ μικρὸν δὲ τοῦτο εἰς παραμυθίαν συμφορᾶς, τὸ συνειδέναι ἑαυτῷ δικαίως τιμωρουμένῳ· ἐκεῖνος δὲ καὶ ταύτης ἀπεστέρητο τῆς παραμυθίας, καὶ πολιτείαν ἐπιδειξάμενος ἀρετῆς γέμουσαν, τὰ τῶν ἔσχατα τετολμηκότων ὑπέμεινε.

Καὶ οὗτοι μὲν οἱ παρ' ἡμῖν πένητες ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐνεμελέτησαν τῇ συμφορᾷ· ἐκεῖνος δὲ ἀμελέτητον ὑπέμεινε πενίαν, ἀθρόον δεξάμενος τὴν ἐκ τοῦ πλούτου μεταβολήν. Ὥσπερ οὖν τὸ τὴν αἰτίαν εἰδέναι τῶν γινομένων, μέγιστον εἰς παραμυθίαν, οὕτως οὐκ ἔλαττον ἐκείνου, τὸν μελετήσαντα πενίαν ἐξ ἀρχῆς, οὕτως ἐν πενίᾳ διάγειν· ὧν ἀμφοτέρων ὁ δίκαιος ἐκεῖνος ἐστέρητο, καὶ οὐδὲ οὕτω κατέπιπτεν. Εἶδες αὐτὸν καὶ πρὸς ἐσχάτην ἐλθόντα πενίαν, καὶ μεθ' ἣν ἑτέραν οὐκ ἔστιν εὑρεῖν; Τί γὰρ ἂν τοῦ γυμνοῦ, καὶ μηδὲ στέγην ἔχοντος πενέστερον γένοιτ' ἄν; Μᾶλλον δὲ οὐδὲ ἐδάφους πάντως ἀπολαύειν κύριος ἦν· οὐ γὰρ ἐπὶ τῆς γῆς, ἀλλ' ἐπὶ τῆς κοπρίας ἐκάθητο. Οὐκοῦν ὅταν ἴδῃς σαυτὸν ἐν πενίᾳ γενόμενον, ἐννόησον τοῦ δικαίου τὸ πάθος, καὶ εὐθέως ἀναστήσῃ, καὶ πάντα ἀποκρούσῃ λογισμὸν ἀθυμίας.

Μία μὲν οὖν αὕτη συμφορὰ πάντων ὁμοῦ τῶν δεινῶν ὑπόθεσις εἶναι δοκεῖ τοῖς ἀνθρώποις· δευτέρα δὲ μετ' ἐκείνην, μᾶλλον δὲ πρὸ ἐκείνης, ἡ τοῦ σώματος πληγή. Τίς οὖν οὕτως ἠρρώστησέ ποτε; τίς ταύτην νόσον ὑπέμεινε; τίς τοσαύτην πληγὴν ἐδέξατο, ἢ ἕτερον δεξάμενον εἶδεν; Οὐκ ἔστιν οὐδείς. Κατὰ μικρὸν αὐτῷ τὸ σῶμα ἐδαπανᾶτο, καὶ πηγὴ σκωλήκων αὐτῷ πάντοθεν ἔβρυεν ἀπὸ τῶν μελῶν, καὶ

κεῖνος δὲν εἶχε κανένα. Καὶ ἐκεῖνο ποὺ διὰ κάθε μίαν συμφορὰν τοῦ ἐπροξενοῦσε μεγαλύτερον ψυχικὸν πόνον, καὶ τὸν ἔφερεν εἰς μεγαλύτερον ἀδιέξοδον ἦταν τὸ ὅτι δὲν ἐγνώριζε τὴν αἰτίαν ὅλων αὐτῶν τῶν συμφορῶν του. Οἱ ἄλλοι δηλαδή, ὅπως εἶπα, θὰ ἔχουν νὰ κατηγοροῦν τὸν ἑαυτόν τους διὰ πολλά, καὶ δὲν εἶναι τοῦτο μικρὰ παρηγορία, τὸ νὰ γνωρίζῃς ὅτι τιμωρεῖσαι δίκαια· ἐκεῖνος ὅμως ἐστερεῖτο καὶ αὐτὴν τὴν παρηγορίαν καὶ ἐνῷ ἐπέδειξε βίον γεμᾶτον ἀρετήν, ὑπέφερεν ἐκεῖνα ποὺ ἁρμόζουν εἰς ὅσους ἀπετόλμησαν τὰ μεγαλύτερα ἐγκλήματα.

Καὶ αὐτοὶ οἱ πτωχοί μας σήμερα προσηρμόσθησαν εἰς τὴν κατάστασίν των διότι τοὺς συνώδευεν ἐξ ἀρχῆς ἡ πενία τους· ἐκεῖνος ὅμως ὑπέμεινε πτωχείαν, διὰ τὴν ὁποίαν δὲν ἦταν προετοιμασμένος, διότι ἡ μεταβολὴ ἀπὸ τὸν πλοῦτον εἰς τὴν πενίαν ἔγινεν ἀπότομα. Ὅπως λοιπὸν τὸ νὰ γνωρίζῃς τὴν αἰτίαν τῶν δεινῶν σου ἀποτελεῖ μεγίστην παρηγορίαν, ἔτσι καὶ ἡ ἄσκησις εἰς τὴν ἐν πενίᾳ διαβίωσιν δὲν ἀποτελεῖ μικροτέραν παρηγορίαν· ὅμως ὁ δίκαιος ἐκεῖνος εἶχε στερηθῇ καὶ τὰ δύο αὐτὰ καὶ πάλιν δὲν ἐκλονίζετο. Τὸν εἶδες ποὺ περιῆλθεν εἰς ἐσχάτην πενίαν χειροτέραν τῆς ὁποίας δὲν εἶναι δυνατὸν νὰ εὕρῃς; Διότι ποῖος ἠμπορεῖ νὰ εἶναι πτωχότερος ἀπὸ τὸν γυμνὸν καὶ ἄστεγον; Μᾶλλον δὲ δὲν εἶχε τὸ δικαίωμα νὰ ἀπολαμβάνῃ οὔτε ὀλίγον ἔδαφος· διότι δὲν ἐκάθητο ἐπάνω εἰς χῶμα, ἀλλὰ ἐπάνω εἰς τὴν κοπριάν. Ὅταν λοιπὸν σοῦ συμβῇ νὰ πέσῃς εἰς πενίαν, σκέψου τὴν συμφορὰν τοῦ δικαίου, καὶ ἀμέσως θὰ ἀνορθωθῇς καὶ θὰ ἀποκρούσῃς κάθε σκέψιν ἀθυμίας.

Καὶ αὐτὴ ἡ μία συμφορά, δηλαδὴ ἡ πενία, θεωρεῖται ἀπὸ τοὺς ἀνθρώπους ὡς πηγὴ ὅλων τῶν ἄλλων· δευτέρα δὲ μετὰ ἀπὸ ἐκείνην, ἢ μᾶλλον δὲ μεγαλυτέρα ἀπὸ ἐκείνην ἡ πληγὴ τοῦ σώματος. Ποῖος λοιπὸν ὑπέφερε ποτὲ ἀπὸ τοιαύτην ἀσθένειαν; Ποῖος ἐδέχθη τέτοιαν πληγὴν ἢ εἶδεν κάποιον ἄλλον ποὺ ἐδέχθη; Δὲν ὑπάρχει κανεὶς ποὺ νὰ εἶδεν. Ὀλίγον κατ' ὀλίγον ἐφθείρετο τὸ σῶμα του καί παντοῦ ἀπὸ τὰς σάρκας του ἔβγαιναν, σὰν ἀπὸ πηγή, σκου-

διηνεκὴς ἦν αὕτη ἡ ἐπιρροή, καὶ πολλὴ πανταχόθεν ἡ δυσωδία, καὶ τὸ σῶμα κατὰ μικρὸν ἀναιρούμενον καὶ τοιαύτῃ σηπεδόνι τηκόμενον ἀηδῆ τὰ σιτία ἐποίει, καὶ λιμὸς ἦν αὐτῷ ξένος καὶ παράδοξος· οὐδὲ γὰρ δεδομένης ἠδύνατο τῆς τροφῆς ἀπολαύειν· «Βρόμον γάρ», φησίν, «ὁρῶ τὰ σιτία μου». Ὅταν οὖν ἀρρωστίᾳ περιπέσῃς, ἄνθρωπε, ἀναμνήσθητι τοῦ σώματος ἐκείνου, καὶ τῆς σαρκὸς τῆς ἁγίας· ἁγία γὰρ ἦν καὶ καθαρὰ καὶ τοιαῦτα ἔχουσα τραύματα. Καὶ ἐν στρατείᾳ δέ τις τελῇ, εἶτα ἀδίκως καὶ χωρὶς εὐλόγου τινὸς προφάσεως ἀναρτηθεὶς ἐν τῷ ξύλῳ διαξαίνηται τὰς πλευράς, μήτε ὄνειδος εἶναι νομιζέτω τὸ πρᾶγμα, μήτε πρὸς τὴν ὀδύνην ἐνδιδότω, τὸν ἅγιον τοῦτον ἐννοῶν.

Ἀλλ' ἱκανὴν εἶχεν οὗτος παράκλησιν καὶ παραμυθίαν, φησί, τὸ εἰδέναι τὸν Θεὸν αὐτῷ ταῦτα ἐπάγοντα. Τοῦτο μὲν οὖν αὐτὸν μάλιστα ἐτάραττε καὶ ἐθορύβει, ὅτι τὸν δίκαιον Θεόν, καὶ παντὶ τρόπῳ παρ' αὐτοῦ θεραπευθέντα, τοῦτον ἐνόμιζεν αὐτῷ πολεμεῖν. Καὶ πρόφασίν τινα εὔλογον εὑρεῖν τῶν γινομένων οὐκ εἶχεν· ἐπεὶ ὅτε γε ἔμαθεν ὕστερον τὴν αἰτίαν, ὅρα πόσην εὐλάβειαν ἐπεδείξατο· ὅτε γὰρ εἶπεν αὐτῷ ὁ Θεός· «Ἄλλως με οἴει σοι κεχρηματικέναι, ἢ ἵνα δίκαιος ἀναφανῇς;» καταπλαγείς, φησί· «Χεῖρα θήσω ἐπὶ στόματί μου· ἅπαξ ἐλάλησα, ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προσθήσω». Καὶ πάλιν, «Ἕως μὲν ὠτὸς ἀκοῆς ἤκουόν σε τὸ πρότερον· νυνὶ δὲ ὁ ὀφθαλμός μου ἑώρακέ σε· διὸ ἐφαύλισα ἐμαυτόν, καὶ ἐτάκην· ἥγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν».

6. Εἰ δὲ ἀρκεῖν τοῦτο εἰς παράκλησιν νομίζεις, δυνήσῃ

22. Ἰὼβ 6, 7.
23. Ἰὼβ 40, 8.
24. Ἰὼβ 40, 4-5.
25. Αὐτ. 42, 5-6.

λήκια, καὶ ἡ ροὴ ἐκείνη ἦταν διαρκὴς καὶ ἀπὸ παντοῦ μεγάλη ἡ δυσωδία καὶ τὸ σῶμα καθὼς ἐφθείρετο ὀλίγον κατ' ὀλίγον καί ἔλειωνεν εἰς αὐτὴν τὴν σῆψιν, ᾐσθάνετο ἀηδίαν πρὸς τὰς τροφὰς καὶ ὑπέφερεν ἀπὸ μίαν ἀσυνήθιστον καὶ παράξενον πεῖναν· διότι οὔτε ὅταν τοῦ ἐδίδετο ἡ τροφὴ ἠμποροῦσε νὰ τὴν ἀπολαύσῃ καὶ ἔλεγεν· «σὰν βρώμην μὲ τὴν ὁποίαν τρέφονται τὰ ζῶα καὶ ὄχι οἱ ἄνθρωποι, βλέπω τὰς τροφάς μου»[22]. Ὅταν λοιπόν, ἄνθρωπέ μου, περιπέσῃς εἰς ἀσθένειαν νὰ ἐνθυμηθῇς τὸ σῶμα ἐκείνου καὶ τὴν ἁγίαν του σάρκα· διότι ἦταν ἁγία καὶ καθαρά, ἂν καὶ εἶχεν ὅλας αὐτὰς τὰς πληγάς. Καὶ ἂν εὑρίσκεται κανεὶς εἰς ἐκστρατείαν καὶ ἐκεῖ ἄδικα καὶ χωρὶς εὔλογον αἰτίαν κρεμασθῇ ἐπάνω εἰς ξύλον καὶ βλέπει τὰ πλευρά του νὰ ξεσχίζωνται οὔτε νὰ θεωρῇ τὸ πρᾶγμα ἐντροπήν, οὔτε νὰ ἐνδίδῃ εἰς τὸν πόνον, σκεπτόμενος αὐτὸν τὸν ἅγιον ἄνθρωπον.

Ἀλλὰ θὰ εἰπῇς, αὐτὸς εἶχε μεγάλην παρηγορίαν καὶ παράκλησιν τὸ γεγονὸς ὅτι ἐγνώριζεν ὅτι ὅλα αὐτὰ τὰ δεινὰ τὰ ἐπέφερεν ἐναντίον του ὁ Θεός. Μὰ ἐκεῖνο ποὺ τὸν ἐτάρασσε καὶ τὸν θορυβοῦσε περισσότερον ἦταν τὸ ὅτι ἐνόμιζεν, ὅτι ὁ δίκαιος Θεός, ὁ ὁποῖος ὑπηρετήθη ἀπὸ αὐτὸν μὲ κάθε τρόπον, πολεμεῖ ἐναντίον του. Καὶ δὲν ἠμποροῦσε νὰ εὕρῃ κάποιαν λογικὴν ἐξήγησιν τῶν γινομένων· διότι ὅταν ἔμαθεν ἀργότερα τὴν αἰτίαν πρόσεξε νὰ ἰδῇς πόσην εὐλάβειαν ἔδειξεν· ὅταν δηλαδὴ τοῦ εἶπεν ὁ Θεὸς «Νομίζεις ὅτι δι' ἄλλον λόγον ἐνήργησα ἐγὼ διὰ σέ, εἰμὴ μόνον διὰ νὰ ἀναδειχθῇς δίκαιος;»[23] κατάπληκτος ἀπήντησε· «Θὰ βάλω τὸ χέρι μου εἰς τὸ στόμα μου· μίαν φορὰν ὡμίλησα κατὰ τρόπον ἀνόητον, δὲν πρέπει νὰ ὁμιλήσω κατὰ τὸν αὐτὸν τρόπον καὶ δευτέραν φοράν»[24]. Καὶ πάλιν, «Μέχρι τώρα μὲ τὰ αὐτιά μου μόνον ἤκουον διὰ σὲ καὶ τὸ μεγαλεῖον σου· τώρα ὅμως σὲ εἶδα μὲ τὰ ἴδια μου τὰ μάτια· διὰ τοῦτο ἐλεεινολόγησα καὶ ἐξουθένωσα τὸν ἑαυτόν μου καὶ ἔλειωσα ἀπὸ ψυχικὴν συντριβήν, αἰσθάνομαι δὲ πράγματι ὅτι εἶμαι ἀπὸ χῶμα καὶ στάκτην»[25].

6. Ἂν νομίζῃς ὅτι αὐτὸ εἶναι ἀρκετὸν πρὸς παρηγο-

δὲ καὶ αὐτὸς ταύτην τὴν παραμυθίαν ἔχειν. Κἂν γὰρ μὴ διὰ τὸν Θεὸν πάθῃς τι τῶν δεινῶν, ἀλλ' ἐξ ἀνθρώπων ἐπηρείας, εὐχαριστήσῃς δέ, καὶ μὴ βλασφημήσῃς τὸν δυνάμενον κωλῦσαι μέν, ἀφέντα δὲ τῆς σῆς ἕνεκεν δοκιμῆς, ὥσπερ οἱ διὰ τὸν Θεὸν μαθόντες στεφανοῦνται, οὕτω καὶ σὺ τῶν αὐτῶν ἐπιτεύξῃ μισθῶν, ὅτι τὰς παρὰ ἀνθρώπων ἐπαχθείσας σοι συμφορὰς γενναίως ἤνεγκας, καὶ τῷ δυναμένῳ κωλῦσαι μέν, μὴ βουληθέντι δέ, ηὐχαρίστησας. Ἰδοὺ τοίνυν καὶ πενίαν καὶ νόσον, καὶ ἀμφότερα μετὰ τῆς ἐσχάτης ὑπερβολῆς εἶδες ἐπενεχθέντα τῷ δικαίῳ. Βούλει σοι καὶ τὸν παρὰ τῆς φύσεως πόλεμον ἐπιδείξω μετὰ τοσαύτης ὑπερβολῆς τῷ γενναίῳ τότε ἐπιθέμενον ἐκείνῳ;

Δέκα τέκνα ἀπώλεσε, τὰ δέκα ἀθρόον, τὰ δέκα ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας, τὰ δέκα πολλὴν ἀρετὴν ἐπιδεδειγμένα, καὶ οὐδὲ τῷ κοινῷ τῆς φύσεως νόμῳ, ἀλλὰ βιαίῳ θανάτῳ καὶ ἐλεεινῷ. Τίς ἂν ἔχοι τοιαύτην συμφορὰν εἰπεῖν; Οὐκ ἔστιν οὐδείς. Ὅταν οὖν ἀποβάλῃς υἱὸν καὶ θυγατέρα ὁμοῦ, ἀνάδραμε πρὸς τὸν δίκαιον ἐκεῖνον, καὶ πάντως εὑρήσεις πολλὴν σαυτῷ τὴν παραμυθίαν. Ἆρα οὖν ταῦτα μόνα αὐτῷ συνέβη τὰ δεινά; Ἡ δὲ τῶν φίλων ἐγκατάλειψις καὶ προδοσία, τὰ δὲ σκώμματα καὶ αἱ λοιδορίαι, ἡ δὲ χλευασία καὶ ὁ γέλως· τὸ δὲ ὑπὸ πάντων διασύρεσθαί τι ἀφόρητον ἦν. Οὐ γὰρ οὕτως ἡ τῶν συμφορῶν φύσις, ὡς οἱ παρὰ τὰς συμφορὰς ἡμῖν ὀνειδίζοντες δάκνειν ἡμῶν εἰώθασι τὴν ψυχήν. Οὐ μόνον ὁ παρακαλῶν οὐκ ἦν, ἀλλὰ καὶ πολλοὶ πολλαχόθεν ἐπέκειντο ὀνειδίζοντες. Καὶ ὁρᾷς αὐτὸν τοῦτο ἀποδυρόμενον, καὶ λέγοντα· «Ἀτὰρ δὲ καὶ ὑμεῖς ἐπέβητέ μοι»· καὶ ἀνελεήμονας αὐτοὺς καλεῖ, καί φησιν· «Ὅτι ἀπείπαντό με οἱ πλησίον μου, καὶ οἱ οἰκέται μου κατ' ἐμοῦ ἐλάλουν, καὶ

---

26. Πρβλ. Ἰὼβ 19, 4-5.

ρίαν, θὰ ἠμπορέσῃς καὶ σὺ ὁ ἴδιος νὰ ἔχῃς αὐτὴν τὴν παρηγορίαν. Καὶ ἂν πάθῃς κάτι φοβερὸν ὄχι ἐξ αἰτίας τοῦ Θεοῦ, ἀλλὰ ἐξ αἰτίας τῶν ἀνθρώπων καὶ εὐχαριστήσῃς καὶ δὲν βλασφημήσῃς αὐτὸν ποὺ ἠμποροῦσε νὰ τὸ ἐμποδίσῃ, ἀλλὰ τὸ ἄφησε νὰ σὲ δοκιμάσῃ, τότε ὅπως στεφανώνονται αὐτοὶ ποὺ ὑπέστησαν δεινὰ διὰ τὸν Θεόν, ἔτσι καὶ σὺ θὰ ἐπιτύχῃς τὴν ἰδίαν ἀμοιβήν, διότι ὑπέφερες τὰς συμφορὰς ποὺ ἐπῆλθαν ἐναντίον σου ἀπὸ τοὺς ἀνθρώπους μὲ γενναιότητα καὶ ηὐχαρίστησες ἐκεῖνον ποὺ ἠμποροῦσε νὰ τὰς ἐμποδίσῃ, ἀλλὰ δὲν τὸ ἔπραξεν. Νὰ λοιπὸν ἡ πενία καὶ ἡ νόσος καὶ τὰ δύο ἔπεσαν ἐπάνω εἰς τὸν δίκαιον Ἰὼβ μὲ μεγάλη σφοδρότητα. Θέλεις τώρα νὰ σοῦ δείξω καὶ τὸν πόλεμον τῆς φύσεως, ὁ ὁποῖος μὲ τόσην σφοδρότητα ἐξεδηλώθη ἐναντίον τοῦ γενναίου ἐκείνου;

Δέκα παιδιὰ ἔχασε, καὶ τὰ δέκα μαζί, καὶ τὰ δέκα εἰς τὸ ἄνθος τῆς ἡλικίας των, καὶ τὰ δέκα ἐνάρετα ἀποδεδειγμένως, καὶ δὲν τὰ ἔχασε σύμφωνα μὲ τὸν νόμον τῆς φύσεως, ἀλλὰ μὲ βίαιον καὶ ἀξιοθρήνητον θάνατον. Ποῖος ἠμπορεῖ νὰ ἀναφέρῃ παρομοίαν συμφοράν; Δὲν ὑπάρχει κανείς. Ὅταν λοιπὸν χάσῃς μαζὶ υἱὸν καὶ θυγατέρα, κάμε μίαν ἀναδρομὴν πρὸς τὸν δίκαιον ἐκεῖνον, καὶ ὁπωσδήποτε θὰ εὕρῃς ἐκεῖ μεγάλην παρηγορίαν διὰ τὴν συμφοράν σου. Ἆρά γε μόνον αὐτὰ τὰ δεινὰ συνέβησαν εἰς αὐτόν; Ἡ ἐγκατάλειψις τῶν φίλων καὶ ἡ προδοσία, τὰ πειράγματα καὶ αἱ ὕβρεις, ὁ χλευασμὸς καὶ ὁ γέλως καὶ ὁ διασυρμὸς ἀπὸ ὅλους ἦταν κάτι τὸ ἀφόρητον. Διότι συνήθως πληγώνουν τὴν ψυχήν μας, ὄχι τόσον ἡ φύσις τῶν συμφορῶν, ὅσον ἐκεῖνοι ποὺ μᾶς ὀνειδίζουν διὰ τὰς συμφοράς μας. Ὄχι μόνον δὲν ὑπῆρχεν ἕνας ποὺ νὰ τὸν παρηγορῇ, ἀλλὰ καὶ πολλοὶ ποὺ ἐπετίθεντο ἀπὸ παντοῦ καὶ τὸν ἐξύβριζαν. Καὶ τὸν βλέπεις νὰ παραπονῆται δι' αὐτὸ τὸ πρᾶγμα καὶ νὰ λέγῃ· «Ἐφορμᾶτε κατ' ἐμοῦ μὲ τοὺς ὀνειδισμούς σας»[26]· καὶ τοὺς ἀποκαλεῖ ἀσπλάγχνους καὶ λέγει· «Μὲ ἀπηρνήθησαν οἱ συγγενεῖς μου καὶ οἱ δοῦλοι μου κατεφέροντο ἐναντίον μου καὶ ἐπροσκαλοῦσαν τοὺς υἱοὺς τῶν παλ-

υἱοὺς παλλακίδων μου ἐκάλουν, αὐτοὶ δὲ ἀπεπήδων». Ἕτεροι δέ, φησίν, ἐνέπτυόν μοι, καὶ θρύλλημα πάντων ἐγενόμην, καὶ αὐτή, φησίν, ἡ στολή μου ἐβδελύξατό με.

Ταῦτά γε οὐδὲ ἀκοῦσαι φορητά, μήτιγε διὰ τῶν πραγμάτων αὐτῶν ὑπομεῖναι. Πενία ἐσχάτη, καὶ νόσος ἀφόρητος καὶ καινὴ καὶ παράδοξος· παίδων ἀποβολὴ τοσούτων καὶ τοιούτων καὶ τοιούτῳ τρόπῳ· ὀνείδη, καὶ σκώμματα, καὶ λοιδορίαι, παρὰ ἀνθρώπων· οἱ μὲν ἐχλεύαζον, οἱ δὲ ὠνείδιζον, οἱ δὲ κατεφρόνουν, οὐκ ἐχθροὶ μόνον, ἀλλὰ καὶ φίλοι· οὐ φίλοι μόνον, ἀλλὰ καὶ οἰκέται· οὐκ ἐχλεύαζον δέ, οὐδὲ ὠνείδιζον μόνον, ἀλλὰ καὶ ἐβδελύσσοντο, καὶ ταῦτα οὐκ ἐπὶ δύο καὶ τρισὶ καὶ δέκα ἡμέραις, ἀλλ' ἐπὶ πολλοῖς τοῖς μησί· καὶ ὅπερ ἐπ' ἐκείνου συνέβη μόνου, οὐδὲ τὴν ἀπὸ τῆς νυκτὸς εἶχε παραμυθίαν, ἀλλὰ τῶν μεθ' ἡμέραν δεινῶν προσθήκη μείζων ἦν ἡ τῶν νυκτερινῶν φόβων φαντασία. Ὅτι γὰρ χαλεπώτερα ἐν τοῖς ὕπνοις ὑπέμενεν, ἄκουσον τί φησι· «Διὰ τί με φοβεῖς ἐν ὕπνοις, καὶ ἐν ὁράμασί με καταπλήσσεις;». Ποῖος σιδηροῦς ἄνθρωπος, ποῖος ἀδάμας τοσαῦτα ἂν ὑπέμεινε δεινά; Εἰ γὰρ καὶ καθ' ἑαυτὸ τούτων ἕκαστον ἀφόρητον, ἐννόησον ὁμοῦ συνελθόντα πόσον ἤγειρε θόρυβον. Ἀλλ' ὅμως ἐκεῖνος ἅπαντα ταῦτα ὑπήνεγκε, καὶ ἐν ἅπασι τοῖς συμβεβηκόσιν αὐτῷ οὐχ ἥμαρτεν, οὐδὲ ἐν τοῖς χείλεσιν αὐτοῦ ἐγένετο δόλος.

7. *Γενέσθω τοίνυν ἐκείνου τὰ πάθη φάρμακα τῶν ἡμετέρων κακῶν, καὶ τὸ χαλεπὸν τούτου κλυδώνιον τῶν ἡμετέρων παθῶν λιμήν, καὶ ἐφ' ἑκάστῳ τῶν συμβαινόντων ἡμῖν ἀναλογιζώμεθα τὸν ἅγιον· καὶ ὁρῶντες ἓν σῶμα τὰ τῆς οἰκουμένης ἀντλῆσαν δεινά, γενναίως ἡμεῖς ἐπὶ τοῖς κατὰ μέρος διακεισόμεθα. Καὶ καθάπερ πρὸς μητέρα τινὰ φιλόστοργον πανταχόθεν τὰς χεῖρας ἐκτείνουσαν, καὶ τὰ παιδία*

27. Προβλ. Αὐτ. 19, 15, 16, 17.
28. Ἰὼβ 7, 14.

λακίδων μου καὶ αὐτοὶ ἔφευγαν μακράν»[27]. Ἄλλοι, λέγει, μὲ ἔπτυον καὶ ἔγινα ὁ ἐμπαιγμὸς ὅλων καὶ ἡ ἰδία ἡ στολή μου μὲ ἔχει σιχαθῆ.

Ὅλα αὐτὰ δὲν ὑπομένεις νὰ τὰ ἀκούῃς, πολὺ περισσότερον νὰ τὰ ὑποστῇς εἰς τὴν πρᾶξιν. Ἐσχάτη πενία καὶ νόσος ἀφόρητος καὶ πρωτοφανὴς καὶ παράδοξη· ἀπώλεια τόσων καὶ τέτοιων παιδιῶν καὶ μὲ τέτοιον τρόπον· ὀνειδισμοὶ καὶ ἐμπαιγμοὶ καὶ ὕβρεις ἀπὸ μέρους τῶν ἀνθρώπων· ἄλλοι τὸν ἐχλεύαζαν, ἄλλοι τὸν κατεφρόνουν, ἄλλοι τὸν ὠνείδιζαν, καὶ ὄχι μόνον οἱ ἐχθροί του, ἀλλὰ καὶ οἱ φίλοι του· καὶ ὄχι μόνον οἱ φίλοι του, ἀλλὰ καὶ οἱ δοῦλοι· καὶ δὲν τὸν ἐχλεύαζαν ἁπλῶς οὔτε τὸν ὕβριζαν μόνον, ἀλλὰ καὶ τὸν ἐσιχαίνοντο, καὶ αὐτὰ ὅλα ὄχι ἐπὶ δύο καὶ τρεῖς καὶ δέκα ἡμέρας, ἀλλ' ἐπὶ πολλοὺς μῆνας· Καί, πρᾶγμα ποὺ συνέβη μόνον εἰς ἐκεῖνον, δὲν εὕρισκε παρηγορίαν οὔτε τὴν νύκτα· ἀλλὰ μετὰ τὰ δεινὰ τῆς ἡμέρας προσετίθετο μεγαλυτέρα ἡ ἐμφάνισις τῶν νυκτερινῶν φόβων. Ὅτι ὑπέφερε φοβερώτερα εἰς τὸν ὕπνον του ἄκουσε τὸν ἴδιον ποὺ λέγει· «Διατί μὲ φοβίζεις μὲ τρομακτικὰ ἐνύπνια καὶ μὲ συντρίβεις μὲ φοβεροὺς ἐφιάλτας;»[28]. Ποῖος σιδερένιος ἄνθρωπος, ποῖος ἀδάμας θὰ ἠμποροῦσε νὰ ὑπομείνῃ τόσα ἀγαθά; Διότι ἂν καθένα ἀπὸ αὐτὰ μόνον του εἶναι ἀφόρητον, σκέψου πόσον φόβον προκαλοῦν ὅταν ἔλθουν ὅλα μαζί. Ἀλλ' ὅμως ἐκεῖνος τὰ ὑπέμεινεν ὅλα μαζὶ καὶ δὲν ἡμάρτησε δι' ὅλα ὅσα τοῦ συνέβησαν καὶ εἰς τὰ χείλη του δὲν ὑπῆρξε δόλος.

7. Ἂς γίνουν λοιπὸν τὰ παθήματα ἐκείνου φάρμακα διὰ τὰς ἰδικάς μας συμφορὰς καὶ ἡ φοβερὰ τρικυμία του ἂς γίνῃ λιμάνι τῶν ἰδικῶν μας συμφορῶν καὶ διὰ κάθε ἕνα ἀπὸ τὰ δυσάρεστα ποὺ μᾶς συμβαίνουν ἂς ἀναλογιζώμεθα τὸν ἅγιον ἐκεῖνον· καὶ ὅταν βλέπωμεν ὅτι ἕνα σῶμα ἐξήντλησεν ὅλα τὰ δεινὰ τῆς οἰκουμένης, τότε καὶ ἡμεῖς μὲ γενναιότητα θὰ ὑπομείνωμεν τὰ μερικώτερα κακά. Καὶ νὰ καταφεύγωμεν εἰς τὴν βίβλον εἰς ὅλας τὰς περιστάσεις σὰν εἰς κάποιαν φιλόστοργον μητέρα, ποὺ ἁπλώνει ἀπὸ παντοῦ

πεφοβημένα δεχομένην, καὶ ἀνακτωμένην, οὕτω πρὸς τὴν βίβλον ταύτην ἀεὶ καταφεύγωμεν· κἂν τὰ πάντων οἴκτιστα ἡμῖν ἐπίῃ δεινά, ἱκανὴν πάντων λαβόντες τὴν παραμυθίαν, οὕτως ἀπελευσόμεθα.

Εἰ δὲ λέγοις ὅτι ἐκεῖνος Ἰὼβ ἦν καὶ διὰ τοῦτο ἤνεγκεν, ἐγὼ δὲ οὐκ εἰμι κατ' ἐκεῖνον, μείζονά μοι σαυτοῦ λέγεις κατηγορίαν, καὶ τοῦ δικαίου πάλιν ἔπαινον· μᾶλλον γὰρ σὲ εἰκὸς ἐνεγκεῖν, ἢ ἐκεῖνον. Τί δήποτε; Ὅτι ἐκεῖνος μὲν πρὸ τῆς χάριτος, καὶ πρὸ τοῦ νόμου, ὅτε οὐ πολλὴ τῆς πολιτείας ἦν ἀκρίβεια, ὅτε οὐ τοσαύτη τοῦ Πνεύματος ἡ χάρις, ὅτε δυσκαταγώνιστος ἡ ἁμαρτία, ὅτε ἡ κατάρα ἐκράτει, ὅτε ὁ θάνατος φοβερὸς ἦν· νυνὶ δὲ εὐκολώτερα τὰ παλαίσματα γέγονε, μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν πάντων τούτων ἀνῃρημένων. Ὥστε οὐδεμία ἡμῖν ἀπολογία μετὰ τοσοῦτον χρόνον, καὶ τοσαύτην ἐπίδοσιν, καὶ τοσαύτας δωρεὰς παρὰ τοῦ Θεοῦ δοθείσας ἡμῖν μὴ δυναμένοις εἰς τὸ αὐτὸ ἐκείνῳ φθάσαι μέτρον.

Ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες, ὅτι μείζονα ἐκείνου ἦν τὰ δεινά, καὶ ὅτε χαλεπώτερος ἦν ὁ ἀγών, τότε ἀπεδύσατο καὶ ἐπάλαισε, φέρωμεν ἅπαντα τὰ ἐπιόντα γενναίως ἡμῖν, καὶ μετὰ πολλῆς τῆς εὐχαριστίας, ἵνα δυνηθῶμεν τῶν αὐτῶν ἐκείνῳ στεφάνων τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα σὺν τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τὰς χεῖρας καὶ δέχεται τὰ φοβισμένα παιδιὰ καὶ τὰ ἐνδυναμώνει· καὶ ἂν ἐπέλθουν ἐναντίον μας τὰ ἀθλιώτερα κακά, θὰ λάβωμεν πάντοτε ἀρκετὴν παρηγορίαν ἀπὸ αὐτὴν καὶ μετὰ θὰ ἀπέλθωμεν.

Ἐὰν πάλιν λέγῃς ὅτι ἐκεῖνος ἦταν Ἰὼβ καὶ διὰ τοῦτο τὰ ὑπέμεινε καὶ ἐγὼ δὲν εἶμαι σὰν ἐκεῖνον, νομίζω ὅτι κατηγορεῖς περισσότερον τὸν ἑαυτόν σου καὶ ἐπαινεῖς πάλιν τὸν δίκαιον ἐκεῖνον· διότι εἶναι φυσικὸν νὰ ὑπομένῃς σὺ περισσότερα ἀπὸ ἐκεῖνον. Πῶς; Διότι ἐκεῖνος τὰ ὑπέμεινεν ὅλα προτοῦ δοθῇ ἡ χάρις καὶ ὁ νόμος τοῦ Θεοῦ, τότε ποὺ δὲν ὑπῆρχε πολλὴ αὐστηρότης εἰς τὸν τρόπον ζωῆς, τότε ποὺ δὲν ἦταν τόσον μεγάλη ἡ χάρις τοῦ Πνεύματος, τότε ποὺ ἡ ἁμαρτία ἦταν δυσκαταμάχητη, τότε ποὺ ἐπεκράτει ἡ κατάρα, τότε ποὺ ὁ θάνατος ἦταν φοβερός· τώρα ὅμως ἔγινεν ἡ πάλη εὐκολωτέρα, διότι μὲ τὴν παρουσίαν τοῦ Χριστοῦ ὅλα αὐτὰ τὰ ἐμπόδια ἐξέλιπον. Ὥστε δὲν ὑπάρχει πλέον δι' ἡμᾶς καμμία δικαιολογία, ἐὰν δὲν ἠμπορέσωμεν νὰ φτάσωμεν εἰς τὸ ἴδιον μέτρον μὲ ἐκεῖνον, ὕστερα ἀπὸ τόσον χρόνον καὶ τόσην ἐπίδοσιν καὶ τόσας δωρεᾶς τοῦ Θεοῦ.

Ἔχοντες λοιπὸν κατὰ νοῦν ὅλα αὐτά, ὅτι δηλαδὴ τὰ δεινὰ ποὺ ὑπέστη ἐκεῖνος ἦσαν μεγαλύτερα, καὶ δυσκολώτερος ὁ ἀγὼν τότε μὲ αὐτά, ἂς ὑποφέρωμεν μὲ γενναιότητα καὶ μὲ μεγάλην εὐχαρίστησιν τὰς ἐπερχομένας συμφορὰς διὰ νὰ ἠμπορέσωμεν νὰ ἐπιτύχωμεν τοὺς ἰδίους μὲ ἐκεῖνον στεφάνους, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ ὁποίου ἀνήκει ἡ δόξα εἰς τὸν Πατέρα μαζὶ καὶ εἰς τὸ ἅγιον Πνεῦμα, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

4.

ΟΤΙ ΕΠΙΚΙΝΔΥΝΟΝ ΚΑΙ ΤΟΙΣ ΛΕΓΟΥΣΙ

καὶ τοῖς ἀκούουσι τὸ πρὸς χάριν δημηγορεῖν, καὶ ὅτι χρήσιμον καὶ δικαιοσύνη μεγίστη τὸ κατηγορεῖν τῶν οἰκείων ἁμαρτημάτων.

1. Ἱκανῶς ὑμῶν, οἶμαι, καθηψάμεθα πρώην, καὶ βαθυτέραν ἐδώκαμεν τὴν πληγήν· οὐκοῦν ἀνάγκη θεραπεῦσαι τήμερον, καὶ προσηνέστερα ἐπιθεῖναι τὰ φάρμακα. Οὗτος γὰρ ἄριστος ἰατρείας τρόπος, μὴ μόνον τέμνειν, ἀλλὰ καὶ ἐπιδεσμεῖν τὰ ἕλκη· οὗτος θαυμαστὸς διδασκαλίας νόμος, μὴ μόνον ἐπιτιμᾶν, ἀλλὰ καὶ παρακαλεῖν καὶ παραμυθεῖσθαι. Οὕτω καὶ Παῦλος ἐκέλευσεν· «Ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον». Ἐάν τε παρακαλῇ τις διόλου, ῥαθυμοτέρους ποιεῖ τοὺς ἀκροατάς· ἐάν τε ἐπιτιμᾷ μόνον, τραχυτέρους ἐργάζεται· οὐ γὰρ δυνάμενοι τὸ φορτίον τῶν διηνεκῶν ἐλέγχων ἐνεγκεῖν, ἀποπηδῶσιν εὐθέως. Διὸ χρὴ ποικίλον τινὰ εἶναι τὸν τῆς διδασκαλίας τρόπον. Ἐπεὶ οὖν τῇ προτέρᾳ σφοδρότερον τὴν ἑκάστου διάνοιαν ἔδακεν ὁ λόγος, προσηνεστέρας ἡμῖν δεῖ τῆς διδασκαλίας τήμερον, καὶ ταῖς ἐκ τῶν ἐλέγχων γενομέναις ὀδύναις, ὥσπερ ἔλαιον, ἀναγκαῖον ἐπιστάξαι τοῦ λόγου τὸ προσηνές, πρότερον αὐτῶν ὑμᾶς ἀναμνήσαντες τῶν ἐλέγχων.

Ἀνέγνωμεν ὑμῖν πρώην τὸν Παύλου νόμον περὶ τῆς τῶν μυστηρίων κοινωνίας κείμενον τοῖς μεμυημένοις ἅπασιν.

1. Β΄ Τιμ. 4, 2.

4.

ΟΤΙ ΕΙΝΑΙ ΕΠΙΚΙΝΔΥΝΟΝ ΚΑΙ ΕΙΣ ΑΥΤΟΥΣ που ὁμιλοῦν καὶ εἰς αὐτοὺς ποὺ ἀκούουν, νὰ ἀγορεύουν καὶ νὰ λέγουν εὐχάριστα πράγματα εἰς τοὺς ἀκροατὰς καὶ ὅτι εἶναι χρήσιμον καὶ μεγίστη ὠφέλεια τὸ νὰ μεμφώμεθα τὰ ἁμαρτήματά μας.

1. Νομίζω ὅτι ἀρκετὰ σᾶς ἐπροσβάλαμεν προηγουμένως καὶ σᾶς ἐκάμαμεν βαθυτέραν τὴν πληγήν, δι' αὐτὸ λοιπὸν εἶναι ἀνάγκη σήμερον νὰ τὴν θεραπεύσωμεν καὶ νὰ ἐπιθέσωμεν ἁπαλώτερα τὰ φάρμακα. Διότι αὐτὸς εἶναι ὁ ἄριστος τρόπος τῆς θεραπείας, ὄχι μόνον νὰ κόπτῃ, ἀλλὰ καὶ νὰ ἐπιδένῃ τὰς πληγάς· ὁμοίως ἀποτελεσματικὸς καὶ ἀξιοθαύμαστος κανόνας διδασκαλίας εἶναι ὄχι μόνον τὸ νὰ ἐπιπλήξωμεν κάποιον, ἀλλὰ καὶ τὸ νὰ παρηγορήσωμεν καὶ νὰ συμβουλεύσωμεν. Αὐτὸ διέταξε καὶ ὁ Παῦλος· «ἔλεγξε, ἐπίπληξε, παρηγόρησε καὶ ἐνίσχυσε μὲ κάθε κατάλληλον διδασκαλίαν»[1]. Ἐὰν παρηγορῇ κανεὶς μόνον, κάμνει τοὺς ἀκροατάς του ἀμελεστέρους· ἐὰν τοὺς ἐπιπλήττῃ μόνον, τοὺς κάμει πιὸ σκληρούς, διότι ἐπειδὴ δὲν ἠμποροῦν νὰ φέρουν τὸ φορτίον τῶν συνεχῶν ἐλέγχων, ἀποσκιρτοῦν ἀμέσως. Διὰ τοῦτο πρέπει ὁ τρόπος τῆς διδασκαλίας νὰ εἶναι ποικίλος. Ἐπειδὴ λοιπὸν κατὰ τὴν προηγουμένην ὁμιλίαν πολὺ περισσότερον ἐλύπησεν ὁ λόγος τὴν ψυχὴν τοῦ καθενός, διὰ τοῦτο πρέπει νὰ κάμωμεν σήμερον γλυκυτέραν τὴν διδασκαλίαν καὶ τοὺς πόνους ποὺ ἐδημιουργήθησαν ἀπὸ τοὺς ἐλέγχους, εἶναι ἀπαραίτητον νὰ στάξωμεν ἐπάνω εἰς αὐτοὺς τὴν γλυκύτητα τοῦ λόγου, ὡσὰν νὰ εἶναι λάδι, ἀφοῦ προηγουμένως σᾶς ὑπενθυμίσωμεν τοὺς ἐλέγχους.

Σᾶς ἀνεγνώσαμεν προηγουμένως τὸν νόμον τοῦ Παύλου ποὺ ἀφορᾷ εἰς τὴν κοινωνίαν τῶν μυστηρίων καὶ

Ὁ δὲ νόμος ἦν οὗτος· οὐδὲν γὰρ κωλύει καὶ νῦν αὐτὸν ἀναγνῶναι πάλιν· «Δοκιμαζέτω δὲ ἕκαστος ἑαυτόν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω». Ἴσασιν οἱ μεμυημένοι τὰ λεγόμενα, καὶ τίς μὲν ὁ ἄρτος, τί δὲ τὸ ποτήριον. «Ὁ γὰρ ἐσθίων καὶ πίνων», φησίν, «ἀναξίως τοῦ Κυρίου, ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου». Τοῦτον ὑμῖν τὸν νόμον ἀνέγνωμεν· ἐξηγησάμεθα δὲ καὶ τὴν διάνοιαν τοῦ ῥητοῦ. Εἴπομεν τί ἐστιν, «Ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου», ὅτι τὴν αὐτὴν δώσει δίκην, ὅσην ὑποστήσονται τιμωρίαν οἱ σταυρώσαντες τὸν Χριστόν. Καθάπερ γὰρ ἐκεῖνοι, φησίν, οἱ σφαγεῖς ἔνοχοι ἐγένοντο τοῦ αἵματος, οὕτω καὶ οὗτοι οἱ ἀναξίως κοινωνοῦντες τῶν μυστηρίων· τοῦτο γάρ ἐστιν, «Ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου».

Ἐδόκει πολλὴν ὑπερβολὴν ἔχειν τὸ εἰρημένον καὶ ἀφόρητος εἶναι ἡ ἀπειλή· προσεθήκαμεν καὶ λογισμὸν ἐκ παραδείγματος ἀκολουθίαν ἔχοντα πολλήν. Ὥσπερ γάρ, ἔφην, ἄν τε διαρρήξῃ τις τὴν πορφυρίδα τὴν βασιλικήν, ἄν τε μολύνῃ βορβόρῳ, παραπλησίως εἰς τὸν ἐνδύντα αὐτὴν ὕβρισε βασιλέα· οὕτω δὴ καὶ ἐνταῦθα οἵ τε ἀνελόντες τὸ σῶμα τὸ δεσποτικόν, οἵ τε ἀκαθάρτῳ δεχόμενοι τῇ διανοίᾳ, ὁμοίως ἐμπαροινοῦσι τῷ ἐνδύματι τῷ βασιλικῷ. Διέρρηξαν μὲν οὖν αὐτὸ Ἰουδαῖοι τῷ σταυρῷ, μολύνει δὲ καὶ ὁ ἀκαθάρτῳ δεχόμενος αὐτὸ ψυχῇ· ὥστε εἰ καὶ διάφορα τὰ τῆς παρανομίας, ἀλλὰ τὰ τῆς ὕβρεως ἴσα. Τοῦτο πολλῶν καθήψατο, τοῦτο πολλοὺς ἐθορύβησεν· ἔδακε τὸ συνειδὸς τῶν ἀκουόντων, μᾶλλον δὲ οὐχὶ τῶν ἀκουόντων μόνον, ἀλλὰ καὶ ἐμοῦ τοῦ

2. Α´ Κορ. 11, 28.
3. Α´ Κορ. 11, 27.

ὁ ὁποῖος ἰσχύει δι' ὅλους τοὺς πιστούς· ὁ νόμος δὲ αὐτὸς ἦτο ὁ ἑξῆς, διότι τίποτε δὲν ἐμποδίζει καὶ τώρα νὰ τὸν ἀναγνώσω καὶ πάλιν· «ἂς ἐξετάζῃ δὲ κάθε ἄνθρωπος τὸν ἑαυτόν του μὲ πολλὴν προσοχήν, καὶ ἔτσι προετοιμασμένος ἂς τρώγῃ ἀπὸ τὸν καθαγιασμένον ἄρτον καὶ ἀπὸ τὸ καθαγιασμένον ποτήριον»[2]. Γνωρίζουν οἱ πιστοὶ τὰ λεγόμενα καὶ ποῖος μὲν εἶναι ὁ ἄρτος, ποῖον δὲ τὸ ποτήριον. Διότι λέγει· «ὅποιος τρώγει τὸν ἄρτον αὐτὸν καὶ πίνει τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, θὰ εἶναι ἔνοχος καὶ ὑπόδικος διὰ βαρεῖαν ἀσέβειαν καὶ ὕβριν ἐναντίον τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου»[3]. Αὐτὸν τὸν νόμον σᾶς εἴχαμεν ἀναγνώσει· ἀνεπτύξαμεν δὲ καὶ τὴν ἔννοιαν τοῦ ρητοῦ. Εἴπαμε τί σημαίνει «θὰ εἶναι ἔνοχος καὶ ὑπόδικος διὰ βαρεῖαν ἀσέβειαν καὶ ὕβριν ἐναντίον τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου», ὅτι δηλαδὴ θὰ ὑποστῇ τόσην τιμωρίαν ὅσην θὰ ὑποστοῦν καὶ αὐτοὶ ποὺ ἐσταύρωσαν τὸν Χριστόν. Διότι ὅπως ἀκριβῶς ἐκεῖνοι, λέγει, οἱ σφαγεῖς εἶναι ἔνοχοι διὰ τὸ αἷμα τοῦ Κυρίου, καθ' ὅμοιον τρόπον καὶ αὐτοὶ ποὺ κοινωνοῦν ἀναξίως τῶν μυστηρίων· αὐτὸ σημαίνει «θὰ εἶναι ἔνοχος τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου».

Ἐφαίνετο νὰ ἔχῃ τὸ λεχθὲν πολλὴν ὑπερβολὴν καὶ νὰ εἶναι ἡ ἀπειλὴ ἀνυπόφορος· προσεθέσαμεν καὶ ἀπόδειξιν ἀπὸ κάποιο παράδειγμα ποὺ ἦτο πολὺ σύμφωνον πρὸς αὐτό. Διότι, εἶπα, ὅπως ἀκριβῶς, ἂν κανεὶς σχίσῃ τὴν βασιλικὴν πορφύραν, ἂν τὴν μολύνῃ εἰς τὴν ἀκαθαρσίαν, εἶναι περίπου τὸ ἴδιον ὡς νὰ ὕβρισε τὸν ἴδιον τὸν βασιλέα ποὺ αὐτὴ ἐνδύει, ἔτσι λοιπὸν καὶ ἐδῶ καὶ ἐκεῖνοι ποὺ ἐφόνευσαν τὸ σῶμα τὸ δεσποτικὸν καὶ ἐκεῖνοι ποὺ τὸν δέχονται εἰς τὴν ἀκάθαρτον ψυχήν των, ὁμοίως ὑβρίζουν τὸ βασιλικὸν ἔνδυμα. Διέρρηξαν μὲν αὐτὸ οἱ Ἰουδαῖοι εἰς τὸν σταυρόν, τὸ μολύνει ὅμως καὶ ἐκεῖνος ποὺ τὸ δέχεται αὐτὸ εἰς τὴν ἀκάθαρτον ψυχήν του· ὥστε ἂν καὶ διαφέρουν αἱ παρανομίαι ὅμως ὡς πρὸς τὴν ὕβριν εἶναι ἴσαι. Αὐτὸ εἰς πολλοὺς ἐνέβαλλε σκέψεις καὶ πολλοὺς ἐθορύβησεν· ἐδάγκωσε τὴν συνείδησιν τῶν ἀκουόντων, μᾶλλον δὲ ὄχι μόνον τῶν ἀκουόντων, ἀλλὰ καὶ τὴν ἰδικήν μου ποὺ ὁμιλῶ πρὸς ἐσᾶς,

λέγοντος πρὸ ὑμῶν· κοινὴ γὰρ ἡ διδασκαλία, κοινὰ τὰ τραύματα· διὸ καὶ κοινὰ τὰ φάρμακα ἐπιτίθημι. Τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐγένετο ἔργον, ὥστε καὶ τὸν λέγοντα καὶ τοὺς ἀκούοντας τοῖς αὐτοῖς ὑποκεῖσθαι νόμοις, τῆς αὐτῆς κοινωνεῖν φύσεως, ὁμοίως ἕκαστον ὑπεύθυνον εἶναι παραβαίνοντα.

Διὰ τί; Ἵνα μετὰ συμμετρίας ποιῆσαι τὴν ἐπιτίμησιν, ἵνα συγγνωμονικὸς γένηται τοῖς ἁμαρτάνουσιν, ἵνα ἀναμιμνησκόμενος τῆς οἰκείας ἀσθενείας μὴ ἀφόρητον ποιῆται τὸν ἔλεγχον. Διὰ τοῦτο οὐκ ἀγγέλους ἐκ τῶν οὐρανῶν καταγαγὼν ὁ Θεὸς τῇ τῶν ἀνθρώπων φύσει διδασκάλους ἐπέστησεν, ἵνα μὴ διὰ τὸ τῆς φύσεως ὑπερέχον, καὶ τῆς ἀνθρωπίνης ἀσθενείας τὴν ἄγνοιαν, ἀφειδέστερον ποιῶνται τὰς καθ' ἡμῶν ἐπιτιμήσεις· ἀλλὰ ἀνθρώπους θνητοὺς ἔδωκε διδασκάλους καὶ ἱερέας, ἀνθρώπους ἀσθένειαν περικειμένους, ἵνα αὐτὸ δὴ τοῦτο, τὸ τοῖς αὐτοῖς ὑπεύθυνον εἶναι καὶ τὸν λέγοντα καὶ τοὺς ἀκούοντας, χαλινὸς γένηται τῇ τοῦ λέγοντος γλώττῃ, μὴ συγχωρῶν πέρα τοῦ μέτρου ποιεῖσθαι τὰς κατηγορίας. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, αὐτὸς ὁ Παῦλος, ὁ τὸν νόμον ἐκεῖνον θείς, καὶ ταύτην ἡμᾶς ἐδίδαξε τὴν αἰτίαν, οὕτως εἰπών· «Πᾶς γὰρ ἱερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται, μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις». Πόθεν καὶ διὰ τί; «Ἐπειδὴ καὶ αὐτὸς περίκειται ἀσθένειαν».

Ὁρᾷς ὅτι ἡ ἀσθένεια τῆς συμπαθείας ὑπόθεσις γίνεται, καὶ τὸ συγγενὲς τῆς φύσεως οὐκ ἀφίησιν εἰς ἀμετρίαν ποτὲ ἐκπεσεῖν τὸν ἐπιτιμῶντα, κἂν σφόδρα φιλονεικῇ; Τίνος δὲ ἕνεκεν ταῦτα εἶπον; Ἵνα μὴ λέγητε ὅτι Σὺ καθαρὸς ὢν ἁμαρτημάτων, ἀπηλλαγμένος τῆς ὀδύνης τῆς κατὰ τὴν ἐπι-

4. Ἑβρ. 5, 1-2.

διότι εἶναι κοινὴ ἡ διδασκαλία καὶ κοινὰ τὰ τραύματα· διὰ τοῦτο ἐπιθέτω καὶ τὰ φάρμακα κοινά. Τοῦτο εἶναι ἔργον τῆς φιλανθρωπίας τοῦ Θεοῦ, ὥστε καὶ ὁ ὁμιλῶν καὶ οἱ ἀκούοντες νὰ ὑπόκεινται εἰς τοὺς ἰδίους νόμους, νὰ εἶναι τῆς ἰδίας φύσεως καὶ νὰ εἶναι καθ' ὅμοιον τρόπον ὑπεύθυνος ὁ καθένας ὅταν παραβαίνῃ κάτι.

Διατί συμβαίνει τοῦτο; Διὰ νὰ κάμῃ τὴν ἐπίπληξιν μὲ ἀνάλογον μέτρον, διὰ νὰ γίνῃ πρόθυμος εἰς τὸ νὰ παράσχῃ συγγνώμην εἰς τοὺς ἁμαρτάνοντας, ὥστε, ἐνθυμούμενος τὴν ἰδικήν του ἀδυναμίαν, νὰ μὴ κάμῃ ἀνυπόφορον τὸν ἔλεγχον. Διὰ τοῦτο καὶ δὲν κατεβίβασεν ἀπὸ τοὺς οὐρανοὺς ἀγγέλους νὰ τοὺς κάμῃ διδασκάλους εἰς τοὺς ἀνθρώπους, διὰ νὰ μὴ κάμουν τὰς ἐπιτιμήσεις ἐναντίον μας περισσοτέρας, λόγῳ τῆς ὑπεροχῆς τῆς φύσεώς των καὶ τῆς ἀγνοίας τῆς ἀνθρωπίνης ἀδυναμίας· ἀλλὰ ἔδωσεν ὡς διδασκάλους ἀνθρώπους θνητοὺς καὶ ἱερεῖς, ἀνθρώπους ποὺ ἔχουν ἀδυναμίαν, ὥστε αὐτὸ τοῦτο, ποὺ εἶναι ὑπεύθυνον εἰς αὐτοὺς καὶ εἰς τὸν λέγοντα καὶ εἰς τοὺς ἀκούοντας, νὰ γίνῃ χαλινὸς εἰς τὴν γλῶσσαν τοῦ ὁμιλοῦντος, καὶ νὰ μὴ ἐπιτρέπῃ νὰ κάμῃ τὰς κατηγορίας βαρυτέρας τοῦ ἐπιτρεπομένου μέτρου. Καὶ ὅτι αὐτὸ εἶναι ἀληθές, ὁ ἴδιος ὁ Παῦλος, ὁ ὁποῖος ἔθεσε τὸν νόμον ἐκεῖνον καὶ ἐδίδαξεν εἰς ἡμᾶς αὐτὴν τὴν αἰτίαν, λέγει τὰ ἑξῆς· «διότι κάθε ἱερεὺς ποὺ λαμβάνεται καὶ ξεχωρίζεται ἀπὸ τοὺς ἀνθρώπους, γίνεται καὶ ἐγκαθίσταται ἱερεὺς ὑπὲρ τῶν ἀνθρώπων, διὰ νὰ ἠμπορῇ αὐτὸς νὰ συμπαθῇ καὶ νὰ φέρεται μὲ μετριοπάθειαν εἰς αὐτοὺς ποὺ παρασύρονται εἰς τὴν ἁμαρτίαν ἀπὸ ἄγνοιαν καὶ πλάνην»[4]. Πῶς καὶ διατί; «διότι καὶ αὐτὸς σὰν ἄνθρωπος περιβάλλεται καὶ διαποτίζεται καὶ φέρει τὴν ἀνθρωπίνην ἀσθένειαν».

Βλέπεις ὅτι ἡ ἀνθρωπίνη ἀδυναμία γίνεται αἰτία τῆς συμπαθείας, καὶ ἡ ὁμοιότης τῆς σωματικῆς φύσεως δὲν ἀφήνει τὸν ἐπιτιμῶντα νὰ ξεφύγῃ ποτὲ ἀπὸ τὸ μέτρον καὶ ἂν ἀκόμα τὸ ἐπιθυμῇ πολύ; Διὰ ποίαν λοιπὸν αἰτίαν τὰ εἶπα αὐτά; Διὰ νὰ μὴ λέγετε ὅτι ἐπειδὴ ἐσὺ εἶσαι καθαρὸς ἀπὸ ἁμαρτήματα, καὶ ἀπηλλαγμένος ἀπὸ τὴν λύπην ποὺ ἐπιφέ-

τίμησιν, μετὰ πολλῆς ἐξουσίας ἐπιφέρεις ἡμῖν βαθυτέραν τὴν τομήν. Ἐγὼ γὰρ πρότερος αἰσθάνομαι τῆς ὀδύνης, ἐπειδὴ καὶ αὐτὸς ὑπεύθυνός εἰμι τοῖς ἁμαρτήμασι. «Πάντες γάρ ἐσμεν ἐν ἐπιτιμίοις»· καί, «Οὐδεὶς καυχήσεται ἁγνὴν ἔχειν καρδίαν». Ὥστε οὐκ ἐν ἀλλοτρίοις φιλοσοφῶν κακοῖς, οὐδὲ ἐξ ἀπανθρωπίας τινός, ἀλλ᾽ ἀπὸ κηδεμονίας πολλῆς τοὺς ἐλέγχους ἐποιησάμην ἐκείνους. Ἐπὶ μὲν γὰρ τῶν τὰ σώματα ἰατρευόντων, ὁ μὲν ἐπάγων τὴν πληγὴν οὐδεμίαν λαμβάνει τῆς πληγῆς αἴσθησιν, ὁ δὲ τεμνόμενος, οὗτός ἐστιν ὁ διασπώμενος ταῖς ἀλγηδόσι μόνος· ἐπὶ δὲ τῶν τὰς ψυχὰς θεραπευόντων οὐχ οὕτως, εἰ μήτε γε σφάλλομαι ἐξ ἑαυτοῦ τὰ τῶν λοιπῶν δοκιμάζων, ἀλλ᾽ αὐτὸς πρότερος ὀδυνᾶται ὁ λέγων, ἡνίκα ἂν ἑτέροις ἐπιτιμᾷ. Οὐδὲ γὰρ οὕτως ἐλεγχόμενοι παρ᾽ ἑτέρων ἀλγοῦμεν, ὡς ἐλέγχοντες ἑτέρους ὑπὲρ ἁμαρτημάτων ὧν ἐσμεν ὑπεύθυνοι. Ἐπιλαμβάνεται γὰρ εὐθέως τὸ συνειδὸς τοῦ λέγοντος, καὶ τὸ διδασκαλίας περικείμενον ἀξίωμα, εἰς τὰ αὐτὰ τοῖς μαθηταῖς καταπίπτειν ἁμαρτήματα, καὶ τῶν αὐτῶν δεῖσθαι ἐλέγχων, πικροτέραν τῷ λέγοντι ποιεῖ τὴν ὀδύνην.

2. Καὶ ταῦτα οὐχ ἁπλῶς ἀποδύρομαι νῦν· ἀλλ᾽ ἐπειδὴ πολλοὶ τὸ βάρος τῶν εἰρημένων οὐκ ἐνεγκόντες, μετὰ τὴν ἀναχώρησιν προσελθόντες ἐδυσχέραινον, ἠγανάκτουν. Ἀπάγεις ἡμᾶς, λέγοντες, τῆς ἱερᾶς τραπέζης, καὶ τῆς κοινωνίας ἀποσοβεῖς. Διὰ τοῦτο ταῦτα ἠναγκάσθην εἰπεῖν, ἵνα μάθητε ὅτι οὐκ ἀπάγω, ἀλλὰ συνάγω μᾶλλον· οὐκ ἀποσοβῶ οὐδὲ ἀπείργω, ἀλλ᾽ ἐπισπῶμαι διὰ τῶν ἐλέγχων πλέον. Ὁ γὰρ φόβος τῆς εἰρημένης τιμωρίας, καθάπερ πῦρ εἰς κηρόν, οὕτως εἰς τὸ συνειδὸς τῶν ἁμαρτανόντων ἐμπίπτων, λύει μὲν ἡμῶν καὶ τήκει τὰ πλημμελήματα, διηνεκῶς ἐγκαθήμενος,

5. Σοφ. Σειρὰχ 8, 5.
6. Παροιμ. 20, 9.

ρει ἡ ἐπιτίμησις μὲ μεγάλην δύναμιν ἐπιφέρεις εἰς ἡμᾶς βαθύτερον τὸ τραῦμα. Διότι ἐγὼ ἐνωρίτερον αἰσθάνομαι τὴν ὀδύνην, ἐπειδὴ καὶ ὁ ἴδιος εἶμαι ὑπεύθυνος διὰ τὰ ἁμαρτήματα. «Διότι ὅλοι εἴμεθα ὑπὸ τὴν ἐπίδρασιν τῶν ἁμαρτιῶν»[5] καὶ «κανεὶς δὲν ἠμπορεῖ νὰ καυχηθῇ ὅτι ἔχει ἁγνὴν καρδίαν»[6]. Ὥστε δὲν ἐξετάζω μόνον τὰ κακὰ τῶν ἄλλων, οὔτε μὲ κάποιαν σκληρότητα, ἀλλὰ ἔκαμα τοὺς ἐλέγχους ἐκείνους ὁρμώμενος ἀπὸ φροντίδα καὶ ἀγάπην πρὸς ἐσᾶς. Διότι εἰς αὐτοὺς ποὺ θεραπεύουν τὰ σώματα, αὐτὸς μὲν ποὺ περιποιεῖται τὴν πληγὴν δὲν λαμβάνει καμμίαν αἴσθησιν τῆς πληγῆς, αὐτὸς δὲ μόνον ποὺ ὑφίσταται τὴν τομήν, αὐτὸς εἶναι ποὺ διαταράσσεται μόνον ἀπὸ τοὺς πόνους· εἰς αὐτοὺς ὅμως ποὺ θεραπεύουν τὰς ψυχὰς δὲν συμβαίνει τὸ ἴδιον, ἂν βέβαια δὲν ἀποτύχω νὰ ἐξετάσω τὰ ἁμαρτήματα τῶν ἄλλων ἀπὸ τὰ ἰδικά μου, ἀλλὰ αὐτὸς πρῶτος ὁ ὁμιλῶν λυπᾶται, ὅταν ἐλέγχῃ ἄλλους. Οὔτε λοιπὸν ὅταν ἐλεγχώμεθα ὑπὸ ἄλλων πονοῦμεν τόσον, ὅσον ὅταν ἐλέγχωμεν ἄλλους διὰ ἁμαρτήματα διὰ τὰ ὁποῖα εἴμεθα ὑπεύθυνοι καὶ ἡμεῖς. Διότι ἀμέσως ὑπενθυμίζει ἡ συνείδησις τοῦ ὁμιλοῦντος καὶ τὸν σκοπὸν ποὺ ἔχει ἡ διδασκαλία καὶ ὅτι ὁ ἴδιος ὑποπίπτει εἰς τὰ ἴδια ἁμαρτήματα μὲ τοὺς μαθητάς του καὶ ὅτι χρειάζεται τοὺς ἰδίους ἐλέγχους μὲ αὐτοὺς πρᾶγμα ποὺ κάμνει τὴν λύπην πικροτέραν εἰς τὸν ὁμιλοῦντα.

2. Καὶ αὐτὰ τὰ λέγω τώρα ὄχι διὰ νὰ θρηνολογήσω, ἀλλ' ἐπειδὴ πολλοὶ δὲν ὑπέφεραν τὸ βάρος τῶν λεχθέντων, μετὰ τὸ τέλος τῆς ὁμιλίας ἀφοῦ προσῆλθον εἰς ἡμᾶς δυσαρεστημένοι καὶ λυπημένοι ἔλεγαν, μᾶς ἀπομακρύνεις ἀπὸ τὴν ἱερὰν τράπεζαν καὶ ἐξ αἰτίας τοῦ φόβου ποὺ μᾶς δημιουργεῖς μᾶς ἀπομακρύνεις ἀπὸ τὴν κοινωνίαν. Διὰ τοῦτο ἠναγκάσθην νὰ εἰπῶ αὐτά, διὰ νὰ μάθετε ὅτι δὲν σᾶς ἀπομακρύνω, ἀλλὰ σᾶς συγκεντρώνω μᾶλλον· δὲν σᾶς ἐκφοβίζω οὔτε σᾶς ἀπομακρύνω, ἀλλὰ θέλω νὰ σᾶς ἑλκύσω περισσότερον διὰ τῶν ἐλέγχων. Διότι ὁ φόβος τῆς τιμωρίας ποὺ ἐλέχθη, ὅπως ἡ φωτιὰ εἰς τὸν κηρόν, ἔτσι πίπτει καὶ παραμένει συνεχῶς εἰς τὴν καρδίαν τῶν ἁμαρτανόντων, λύνει καὶ λειώνει τὰ πλημμελήματά μας, κάμνει

καθαρὰν δὲ καὶ ἀποστίλβουσαν ἐργαζόμενος τὴν διάνοιαν, πλείονα τὴν παρρησίαν ἡμῖν ἐντίθησιν· ἀπὸ δὲ τῆς παρρησίας καὶ προθυμίας πλείων γένοιτ' ἂν πρὸς τὸ συνεχῶς τῶν ἀπορρήτων καὶ φρικτῶν κοινωνεῖν μυστηρίων. Καὶ καθάπερ ὁ πικρὰ φάρμακα τοῖς κακοσίτοις διδούς, καὶ τοὺς πονηροὺς ἐκκαθαίρων χυμούς, διεγείρει τὴν καταβεβλημένην ὄρεξιν, καὶ μετὰ πλείονος παρασκευάζει τῆς προθυμίας τῆς συνήθους ἅπτεσθαι τροφῆς· οὕτω δὴ καὶ ὁ πικρὰ λέγων ῥήματα, καὶ καθαίρων τοὺς πονηροὺς λογισμοὺς τῆς διανοίας, καὶ τὸ βαρὺ τῶν ἁμαρτημάτων ἀποσκευαζόμενος φορτίον, δίδωσιν ἀναπνεῦσαι τῷ συνειδότι, καὶ μετὰ πολλῆς τῆς ἡδονῆς ἀπογεύσασθαι τοῦ σώματος παρασκευάζει τοῦ δεσποτικοῦ. Οὐ τοίνυν δυσχεραίνειν ὑπὲρ τῶν εἰρημένων χρή, ἀλλ' ἀποδέχεσθαι καὶ ἐπαινεῖν.

Εἰ δέ τινες ἀσθενέστερον διάκεινται, καὶ οὐκ ἀνέχονται ταύτης ἡμῶν τῆς ἀπολογίας, ἐκεῖνο ἂν εἴποιμι πρὸς αὐτούς, ὅτι Οὐκ ἐμαυτοῦ νόμους ὑμῖν ἐξηγοῦμαι, ἀλλ' ἐκ τῶν οὐρανῶν καταβάντα ἀναγινώσκω γράμματα· καὶ ἀνάγκη τὸν ταύτην ἐμπιστευθέντα τὴν διακονίαν, ἢ πάντα μετὰ παρρησίας εἰπεῖν τὰ ἐγκείμενα τὸ συμφέρον, ἀλλὰ μὴ τὸ ἡδὺ τοῖς ἀκροαταῖς πανταχοῦ ζητοῦντα· ἢ τὴν τῶν ἀκουόντων ὑπειδόμενον ἀπέχθειαν, καὶ τὴν ἑαυτοῦ καὶ τὴν ἐκείνων προέσθαι σωτηρίαν, διὰ τῆς ἀκαίρου ταύτης χάριτος. Ὅτι γὰρ καὶ τῷ λέγοντι καὶ τοῖς ἀκούουσι σφόδρα ἐπικίνδυνον τὸ τῶν θείων ἀποκρύπτεσθαί τι νόμων, καὶ ὅτι φόνων ὑπεύθυνοι οἱ διδάσκαλοι κρίνονται, ὅταν μὴ πάντα χωρὶς ὑποστολῆς ἐξηγῶνται τοῦ Θεοῦ τὰ δικαιώματα, Παῦλον ὑμῖν τούτων πάλιν παρέξομαι μάρτυρα. Διὰ γὰρ τοῦτο συνεχῶς ὑπὲρ ἁπάντων ἐπὶ τὴν ἁγίαν ἐκείνην καταφεύγω ψυχήν, ὅτι χρήσιμοί τινές εἰσι καὶ θεῖοι νόμοι τὰ Παύλου ῥήματα. Οὐ γὰρ Παῦλός ἐ-

καθαρὰν καὶ λάμπουσαν τὴν ψυχήν μας, καὶ θέτει ἐντός μας πειοσότερον θάρρος· καὶ ἀπὸ τὴν παρρησίαν καὶ τὴν προθυμίαν ἠμπορεῖ νὰ προκύψῃ ὡς ἀποτέλεσμα ἡ συχνὴ κοινωνία τῶν ἀπορρήτων καὶ φοβερῶν μυστηρίων. Καὶ ὅπως ἀκριβῶς αὐτὸς ὁ ὁποῖος δίδει πικρὰ φάρμακα εἰς αὐτοὺς ποὺ δὲν ἔχουν ὄρεξιν, ἀφοῦ τὰ ἀπαλλάξῃ ἀπὸ τὴν κακὴν γευστικήν των ἰδιότητα, διεγείρει τὴν ὄρεξιν ποὺ ἔχει χαθῆ καὶ τοὺς προετοιμάζει μὲ μεγαλυτέραν προθυμίαν νὰ δέχωνται τὴν συνηθισμένην τροφήν, ἔτσι λοιπὸν καὶ αὐτὸς ποὺ λέγει πικροὺς λόγους καὶ καθαρίζει τοὺς πονηροὺς λογισμοὺς τοῦ νοῦ καὶ ἀφαιρεῖ τὸ βαρὺ φορτίον τῶν ἁμαρτημάτων, δίδει εἰς τὴν συνείδησιν κάποιαν ἄνεσιν καὶ προετοιμάζει μὲ μεγάλην εὐχαρίστησιν νὰ γευθῶμεν τοῦ σώματος τοῦ δεσποτικοῦ. Δὲν ἔπρεπε λοιπὸν νὰ δυσανασχετῆτε δι' ὅσα ἐλέχθησαν, ἀλλ' ἔπρεπε νὰ τὰ ἀποδεχθῆτε εὐχαρίστως καὶ νὰ μὲ ἐπαινέσετε.

Ἂν δὲ μερικοὶ εὑρίσκωνται εἰς ἀσθενεστέραν κατάστασιν καὶ δὲν ἠμποροῦν νὰ ὑποφέρουν αὐτὴν τὴν ἰδικήν μας ἀπολογίαν, τοῦτο θὰ ἤθελα νὰ εἰπῶ πρὸς αὐτοὺς ὅτι δὲν παραγγέλλω πρὸς ἐσᾶς ἰδικούς μου νόμους, ἀλλὰ σᾶς ἀναγινώσκω γράμματα ποὺ ἔχουν κατεβῆ ἀπὸ τὸν οὐρανόν· καὶ πρέπει αὐτὸς εἰς τὸν ὁποῖον ἐνεπιστεύθη ἡ διακονία, αὐτὸς ἢ νὰ εἰπῇ μὲ θάρρος ὅλα ὅσα ὑπάρχουν ἐκεῖ, αὐτὰ ποὺ συμφέρουν, χωρὶς νὰ ἐπιδιώκῃ πάντα νὰ λέγῃ αὐτὰ ποὺ εὐχαριστοῦν τοὺς ἀκροατὰς ἢ λαμβάνων ὑπ' ὄψιν τὴν ἀπέχθειαν ποὺ δημιουργεῖται ἐκ μέρους τῶν ἀκροατῶν του νὰ ἀπορρίψῃ καὶ τὴν ἰδικήν του σωτηρίαν καὶ ἐκείνων, ἱκανοποιῶν ἔτσι αὐτὴν τὴν παράλογον χάριν των. Ὅτι καὶ εἰς τὸν ὁμιλοῦντα καὶ εἰς τοὺς ἀκροατὰς εἶναι πολὺ ἐπικίνδυνον τὸ νὰ ἀποκρύπτουν κάτι ἀπὸ τοὺς θείους νόμους, καὶ ὅτι κρίνονται ὡς ὑπεύθυνοι φόνων οἱ διδάσκαλοι ὅταν δὲν διδάσκουν ὅλας τὰς ἐντολὰς τοῦ Θεοῦ χωρὶς νὰ ἀποκρύπτουν ἢ νὰ ἀφαιροῦν κάτι, θὰ σᾶς φέρω καὶ πάλιν τὸν Παῦλον ὡς μάρτυρα· Διὰ τοῦτο βέβαια δι' ὅλα καταφεύγω συνεχῶς εἰς τὴν ἁγίαν ἐκείνην ψυχήν, διότι εἶναι πολὺ χρήσιμοι καὶ θεῖοι νόμοι οἱ λόγοι τοῦ Παύλου. Καθόσον δὲν εἶναι αὐτὸς

στιν ὁ λαλῶν, ἀλλ' ὁ Χριστὸς ὁ τὴν ἐκείνου ψυχὴν κινῶν· δι' ἐκείνου γὰρ φθέγγεται πάντα, ἅπερ ἐκεῖνος εἶπε.

Τί τοίνυν φησὶν ὁ Παῦλος; Καλέσας τοὺς τὴν Ἔφεσον οἰκοῦντας, καὶ ἐσχάτην πρὸς αὐτοὺς δημηγορίαν εἰπών, ἐπειδὴ λοιπὸν αὐτῶν ἀπίστασθαι ἤμελλε, διδάσκων τοὺς ἐφεστηκότας αὐτοῖς, ὅτι καθάπερ οἱ τὸ αἷμα ἐκχέοντες τῶν μαθητῶν, οὕτως οἱ τὰ συμφέροντα μὴ λέγοντες αὐτοῖς, εἰσὶν ὑπεύθυνοι κολάσεως καὶ τιμωρίας, οὕτω πώς φησι· «Καθαρός εἰμι ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων». Διὰ τί; «Οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ»· ὡς εἰ ὑπεστείλατο τοῦ μὴ ἀναγγεῖλαι, οὐκ ἦν καθαρὸς ἐκ τοῦ αἵματος, ἀλλ' ὡς ἀνδροφόνος ἐκρίνετο, καὶ μάλα εἰκότως. Ὁ μὲν γὰρ ἀνδροφόνος τὸ σῶμα ἀναιρεῖ μόνον, ὁ δὲ πρὸς χάριν δημηγορῶν, καὶ ῥᾳθυμοτέρους ποιῶν τοὺς ἀκροατάς, τὴν ψυχὴν ἀπόλλυσι· κἀκεῖνος μὲν τῷ παρόντι προδίδωσι θανάτῳ, οὗτος δὲ τὴν ψυχὴν ἀπόλλυσι, καὶ πρὸς τὰς ἀθανάτους παραπέμπει κολάσεις καὶ τιμωρίας. Ἆρα οὖν Παῦλος μόνος τοῦτό φησιν; Οὐδαμῶς, ἀλλὰ καὶ πρὸ Παύλου πάλιν ὁ Θεὸς διὰ τοῦ προφήτου τὸ αὐτὸ τοῦτο αἰνίττεται οὕτω λέγων· «Σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ».

Τί ἐστι, «Σκοπόν»; Σκοπὸς λέγεται ὁ τῶν στρατοπέδων κάτω καθημένων ὑψηλὸν καὶ γεώλοφον χωρίον καταλαβὼν κἀκεῖθεν ἐπιόντας τοὺς πολεμίους σκοπεύων, καὶ τοῖς κάτω καθημένοις μηνύων τὴν ἔφοδον, καὶ διεγείρων πρὸς τὴν τοῦ πολέμου παράταξιν, ὥστε μὴ ἀφυλάκτοις ἐπιπεσόντας, μετὰ πολλῆς διαχειρίσασθαι τῆς εὐκολίας. Ἐπεὶ οὖν πολλὰ τῶν ἐπιόντων δεινῶν οὐχ ὁρῶμεν ἡμεῖς οἱ χαμαὶ βαδίζον-

7. Πράξ. 20, 26-27.

πού ὁμιλεῖ ὁ Παῦλος, ἀλλὰ ὁ Χριστός, ὁ ὁποῖος παρακινεῖ τὴν ψυχὴν ἐκείνου· διότι διὰ μέσου ἐκείνου μᾶς λέγει ὅλα ὅσα ἐκεῖνος εἶπε.

Τί λέγει λοιπὸν ὁ Παῦλος; Ἀφοῦ συνεκέντρωσε τοὺς κατοίκους τῆς Ἐφέσου καὶ ὡμίλησε συμβουλευτικὰ πρὸς αὐτοὺς διὰ τελευταίαν φοράν, ἐπειδὴ ἐπρόκειτο νὰ τοὺς ἀφήσῃ καὶ νὰ ἀποχωρήσῃ, διδάσκων εἰς τοὺς πνευματικοὺς προϊσταμένους αὐτῶν ὅτι, ὅπως ἀκριβῶς ἐκεῖνοι πού χύνουν τὸ αἷμα τῶν μαθητῶν, ἔτσι ἀκριβῶς καὶ αὐτοὶ πού δὲν λέγουν αὐτὰ πού συμφέρουν εἰς αὐτούς, εἶναι ὑπεύθυνοι κολασμοῦ καὶ τιμωρίας, λέγει τὰ ἑξῆς· «εἶμαι ἀνεύθυνος δι' ὅλους σας ἐὰν συμβῇ καὶ παραστρατήσῃ κανεὶς ἀπὸ σᾶς». Διατί; Διότι δὲν παρέλειψα ποτὲ νὰ μὴ καταστήσω γνωστὴν εἰς σᾶς κάθε βουλὴν τοῦ Θεοῦ πού σχετίζεται μὲ τὴν σωτηρίαν τοῦ ἀνθρώπου»[7]. Πράγματι ἐὰν παρέλειπε καὶ δὲν καθίστα γνωστὴν τὴν βουλὴν τοῦ Θεοῦ δὲν θὰ ἦτο ἀνεύθυνος ἀπὸ τὸ αἷμα, ἀλλὰ θὰ ἐκρίνετο ὡς ἀνθρωποκτόνος καί κατὰ πολὺ φυσικὸν λόγον. Διότι ὁ μὲν ἀνθρωποκτόνος φονεύει μόνον τὸ σῶμα, αὐτὸς ὅμως πού ὁμιλεῖ διὰ νὰ εὐχαριστῇ καὶ κάμνει τοὺς ἀκροατὰς πιὸ νωθροὺς καταστρέφει τὴν ψυχήν· καὶ ἐκεῖνος μὲν τὸν παραδίδει εἰς τὸν πρόσκαιρον θάνατον, ἐνῷ αὐτὸς καταστρέφει τὴν ψυχὴν καὶ τὴν στέλλει πρὸς τὰς αἰωνίους κολάσεις καὶ τιμωρίας. Μήπως αὐτὸ τὸ λέγει μόνον ὁ Παῦλος; Ὄχι βέβαια, ἀλλὰ καὶ πρὸ τοῦ Παύλου πάλιν ὁ Θεὸς διὰ τοῦ προφήτου αὐτὸ ὑπαινίσσεται λέγων τὰ ἑξῆς· «Σὲ παρεχώρησα ὡς σκοπὸν διὰ τὸν Ἰσραήλ».

Τί σημαίνει «σκοπόν»; Σκοπὸς λέγεται ἐκεῖνος πού, ἐνῷ τὸ στρατόπεδον εὑρίσκεται εἰς χαμηλότερον σημεῖον, κατέλαβε ὑψηλὸν καὶ γεώδη λοφίσκον καὶ ἀπὸ ἐκεῖ βλέπει τοὺς ἐπερχομένους ἐχθροὺς καὶ ἀναγγέλλει τὴν ἔφοδον εἰς αὐτοὺς πού εὑρίσκονται εἰς τὸ χαμηλότερον σημεῖον καὶ τοὺς ἀφυπνίζει διὰ νὰ παραταχθοῦν πρὸς πόλεμον, ὥστε νὰ μὴ ὁρμήσουν ἐπάνω τους οἱ ἐχθροὶ πρὶν προφυλαχθοῦν καὶ τοὺς ἐξοντώσουν μὲ μεγάλην εὐκολίαν. Ἐπειδὴ λοιπὸν πολλὰ ἀπὸ τὰ ἐπερχόμενα δεινὰ δὲν τὰ βλέπομεν

τες, ᾠκονόμησεν ἡ τοῦ Θεοῦ χάρις, ὥσπερ ἐφ' ὑψηλοῦ χωρίου τῆς προφητείας τοὺς ἁγίους προφήτας ἑστῶτας, μέλλουσαν τοῦ Θεοῦ τὴν ὀργὴν ἡμῖν ἐπιέναι πόρρωθεν προμηνύειν, ἵνα διὰ τῆς μετανοίας ἑαυτοὺς ἀνακτησάμενοι, καὶ πεπτωκυῖαν ἡμῶν τὴν ψυχὴν ἀνορθώσαντες, τὴν θεήλατον πόρρωθεν ἀποκρουσώμεθα πληγήν. Διὰ τοῦτό φησι· «Σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ», ἵνα μέλλουσαν ἐπιέναι τὴν συμφορὰν προμηνύσῃς, καθάπερ ἐκεῖνος τοὺς πολεμίους. Καὶ τιμωρίαν δὲ οὐ μικρὰν ἐπιτίθησι τῷ μὴ προλέγοντι τοῦ Θεοῦ τὴν ὀργήν. Ποίαν δὴ ταύτην; Τὰς ψυχὰς τῶν ἀπολλυμένων, φησίν, ἐκ τῆς χειρός σου ἐκζητήσω. Τίς οὖν οὕτως ὠμὸς καὶ ἀπάνθρωπος καὶ ἀσυμπαθής, ὡς ἐγκαλεῖν τῷ λέγοντι καὶ περὶ τῆς τοῦ Θεοῦ διαλεγομένῳ συνεχῶς ὀργῆς, τοσαύτην κόλασιν ὑφίστασθαι μέλλοντι, εἰ σιγήσειεν; Ὅτι μὲν οὖν ἡμῖν οὐ συμφέρει τοῖς λέγουσι τὰ τοιαῦτα σιγᾶν, ἱκανῶς καὶ ὁ προφήτης καὶ ὁ ἀπόστολος ἡμᾶς ἐπαίδευσεν, ὅτι δὲ οὐδὲ ὑμῖν τοῖς ἀκούουσι, δῆλον ἐκεῖθεν. Εἰ μὲν γὰρ ἐγὼ σιγήσας ἀπέκρυπτον τῇ σιγῇ τὰ ἁμαρτήματα, καλῶς ἐδυσχέραινεν ἕκαστος καὶ ἠγανάκτει δικαίως, μὴ σιγῶντος ἐμοῦ· εἰ δὲ καὶ ἡμῶν σιγώντων νῦν, ἀνάγκη πάντως ἐκεῖ φανῆναι τὰ πλημμελήματα, τί τὸ ὄφελος ἀπὸ τῆς σιγῆς γένοιτ' ἄν; Ἀλλ' ὄφελος μὲν οὐδέν, βλάβη δὲ ἐσχάτη. Ἂν μὲν γὰρ εἴπω νῦν, εἰς μετάνοιαν ἄγω καὶ κατάνυξιν διανοίας, ἂν δὲ σιγήσω, νῦν μὲν οὐκ ἀναμνησόμεθα τῶν πεπλημμελημένων ἡμῖν, οὐδὲ μετανοήσομεν, ἐκεῖ δὲ αὐτὰ ὀψόμεθα πρὸ τῶν ὀφθαλμῶν γυμνὰ καὶ τετραχηλισμένα, καὶ θρηνήσομεν εἰκῇ καὶ μάτην.

3. Ἐπεὶ οὖν ἀνάγκη πάντως ἢ ἐκεῖ ἢ ἐνταῦθα κατανυγῆναι ἐπὶ τοῖς ἁμαρτήμασι, βέλτιον ἐνταῦθα, καὶ μὴ ἐκεῖ·

ἐμεῖς ποὺ βαδίζομεν χαμηλά, ἐτακτοποίησεν ἡ χάρις τοῦ Θεοῦ ὥστε, ἱστάμενοι οἱ ἅγιοι προφῆται κατὰ κάποιον τρόπον ἐπάνω εἰς τὸν ὑψηλὸν τόπον τῆς προφητείας, νὰ προαναγγέλλουν εἰς ἡμᾶς τὴν ὀργὴν τοῦ Θεοῦ ποὺ πρόκειται νὰ ἐπέλθῃ ἀπὸ μακρυά, ὥστε, ἀφοῦ τονώσωμεν τοὺς ἑαυτούς μας καὶ ἀνωρθώσωμεν τὴν ψυχήν μας ποὺ ἔχει πέσει χαμηλά, νὰ ἀποκρούσωμεν μακρυὰ τὴν θεόσταλτον πληγήν. Διὰ τοῦτο λέγει· «Σὲ ἔδωσα ὡς σκοπὸν διὰ τὸν Ἰσραὴλ» διὰ νὰ προαναγγείλῃς τὴν μέλλουσαν νὰ ἐπέλθῃ συμφοράν, ὅπως ἀκριβῶς ἐκεῖνος προαναγγέλλει τὴν ἔλευσιν τῶν ἐχθρῶν. Καὶ δὲν ἐπιβάλλει μικρὰν τιμωρίαν εἰς ἐκεῖνον ποὺ δὲν προαναγγέλλει τὴν ὀργὴν τοῦ Θεοῦ. Ποία λοιπὸν εἶναι αὐτή; Θὰ ζητήσω, λέγει, τὰς ψυχὰς τῶν ἀπολεσθέντων ἀπὸ τὴν χεῖρά σου. Ποῖος λοιπὸν εἶναι τόσον σκληρὸς καὶ ἀπάνθρωπος καὶ ἀσυμπαθὴς ὥστε νὰ κατηγορῇ ἐκεῖνον ὁ ὁποῖος ὁμιλεῖ καὶ διαλέγεται συνεχῶς περὶ τῆς ὀργῆς τοῦ Θεοῦ, καὶ ὁ ὁποῖος πρόκειται νὰ ὑποστῇ μίαν τόσον μεγάλην τιμωρίαν, ἐὰν ἤθελε σιγήσει; Ὅτι λοιπὸν δὲν συμφέρει εἰς ἡμᾶς ποὺ λέγομεν αὐτὰ νὰ σιωποῦμεν μᾶς τὸ ἐδίδαξαν εἰς ἱκανοποιητικὸν βαθμὸν καὶ ὁ προφήτης καὶ ὁ ἀπόστολος, ὅτι ὅμως δὲν συμφέρει καὶ εἰς ἐσᾶς ποὺ ἀκοῦτε, νὰ σιωπῶμεν, εἶναι φανερὸν ἀπὸ αὐτά. Διότι ἂν μὲν ἐγὼ σιωπῶν ἀπέκρυπτα διὰ τῆς σιωπῆς τὰ ἁμαρτήματα, ὀρθῶς τότε θὰ ἐδυσανασχετοῦσε κάθε ἕνας καὶ θὰ ἀγανακτοῦσε δικαίως ποὺ δὲν σιωπῶ· ἂν ὅμως μολονότι θὰ ἐσιωπούσαμεν ἡμεῖς τώρα, κατ' ἀνάγκην ὅμως θὰ ἐφαίνοντο ὁπωσδήποτε τὰ πλημμελήματα ἐκεῖ, ποία ὠφέλεια θὰ ἦτο δυνατὸν νὰ προκύψῃ ἀπὸ τὴν σιωπήν; Ὠφέλεια μὲν οὐδεμία, βλάβη δὲ ἡ μεγίστη. Διότι ἂν μὲν τὰ εἰπῶ τώρα, ὁδηγῶ εἰς μετάνοιαν καὶ κατάνυξιν τῆς ψυχῆς· ἂν δὲ σιγήσω, τώρα μὲν δὲν θὰ ἐνθυμηθοῦμεν τὰ ἁμαρτήματά μας, καὶ οὔτε θὰ μετανοήσωμεν, ἐκεῖ ὅμως θὰ τὰ ἰδοῦμεν πρὸ τῶν ὀφθαλμῶν μας γυμνὰ καὶ ἀποκεκαλυμμένα καὶ θὰ θρηνήσωμεν ματαίως καὶ ἀσκόπως.

3. Ἀφοῦ λοιπὸν ἀναγκαστικὰ θὰ λυπηθῶμεν διὰ τὰ ἁμαρτήματά μας εἴτε ἐδῶ εἴτε ἐκεῖ, εἶναι προτιμότερον νὰ

Πόθεν τοῦτο δῆλον; Ἀπὸ τῶν προφητικῶν ῥημάτων, ἀπὸ τῶν εὐαγγελικῶν. Ὁ μὲν γὰρ προφήτης φησίν, «Ἐν τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;», οὐχ ὅτι οὐκ ἐξομολογούμεθα, ἀλλ' ὅτι εἰκῇ τοῦτο ποιοῦμεν. Ὁ δὲ Χριστὸς καὶ διὰ παραβολῆς αὐτὸ τοῦτο ἐπαίδευσε. Λάζαρος γάρ τις ἦν πτωχός, φησίν, ἡλκωμένος πάντοθεν, νόσον ἀνίατον ἔχων· ἕτερος δέ τις πλούσιος τῶν ψιχίων οὐ μεταδίδου τῷ πένητι. Καὶ τί δεῖ πᾶσαν ἐπελθεῖν τὴν παραβολήν; ἴστε γὰρ τὴν ἱστορίαν ἅπασαν, τὴν ὠμότητα τοῦ πλουσίου, πῶς οὐ μετεδίδου τῆς τραπέζης τῷ πτωχῷ, τὴν πενίαν τὴν ἐκείνου καὶ τὸν λιμόν, ᾧ προσεπάλαιε διηνεκῶς. Ἀλλ' ἐνταῦθα ταῦτα· ἐπειδὴ δὲ ἐτελεύτησεν ἕκαστος, ὁρᾷ τὸν πτωχὸν ἐκεῖνον ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ. Καὶ τί φησι· «Πάτερ Ἀβραάμ, ἀπόστειλον αὐτόν, ἵνα ἐπιστάξῃ τῷ δακτύλῳ ἄκρῃ τῇ γλώττῃ μου, ἵνα ἀναπαύσωμαι τῆς ὀδύνης». Εἶδες ἀντίδοσιν; οὐ μετέδωκεν αὐτῷ ψιχίων, οὐ μεταλαμβάνει σταγόνος ὕδατος. «Ὧ γὰρ μέτρῳ», φησί, «μετρεῖτε, μετρηθήσεται ὑμῖν».

Τί οὖν ὁ Ἀβραάμ; «Τέκνον, ἀπέλαβες τὰ ἀγαθά σου, καὶ Λάζαρος τὰ κακά· καὶ νῦν οὗτος μὲν ἐνταῦθα παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι». Ἀλλὰ τὸ ζητούμενον, ὅτι κατανύσσονται μὲν ἐπὶ τοῖς ἁμαρτήμασι καὶ μεταβάλλονται καὶ βελτίους γίνονται ἀπὸ τῆς γεέννης, οὐδὲν δὲ κερδαίνουσιν εἰς παραμυθίαν τῆς φλογός· «Πάτερ» γάρ, «ἀπόστειλον αὐτὸν εἰς τὸν οἶκον μου», φησίν, «ἵνα τοῖς συγγενέσι μου διαμαρτύρηται, καὶ μὴ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον». Αὐτὸς ἀποτυχὼν τῆς εὐεργεσίας, ἑτέροις προξενεῖ τὴν σωτηρίαν λοι-

8. Ψαλμ. 6, 6.
9. Λουκᾶ 16, 24.
10. Μάρκ. 4, 24.
11. Λουκᾶ 16, 25.
12. Τοπωνυμία τῆς παρὰ τὴν Ἱερουσαλὴμ κοιλάδος τοῦ Ἐννὸμ εἰς τὴν ὁποίαν οἱ Ἰσραηλῖται ἐθυσίαζον ἐπὶ τῆς πυρᾶς τὰ τέκνα αὐτῶν πρὸς τὸν Μολόχ, ὅθεν γέεννα τοῦ πυρὸς εἰς τὴν Καινὴν Διαθήκην σημαίνει τὸν τόπον τιμωρίας τῶν ἁμαρτωλῶν μετὰ θάνατον.
13. Λουκᾶ 16, 27-28.

λυπηθοῦμεν ἐδῶ παρὰ ἐκεῖ. Καὶ ἀπὸ ποῦ φαίνεται τοῦτο; Ἀπὸ τὰ προφητικὰ καὶ εὐαγγελικὰ λόγια. Διότι ὁ μὲν προφήτης λέγει, «εἰς τὸν ἅδην ποῖος θὰ ἐξομολογηθῇ εἰς ἐσέ;»[8]. ὄχι ὅτι δὲν ἐξομολογούμεθα, ἀλλ' ὅτι τὸ κάμνομεν αὐτὸ ἀδίκως. Ὁ δὲ Χριστὸς καὶ διὰ παραβολῆς τὸ ἐδίδαξεν αὐτὸ τὸ ἴδιον. Διότι λέγει, ὑπῆρχε κάποιος Λάζαρος πτωχός, γεμᾶτος ἀπὸ πληγὰς ὁ ὁποῖος ἔπασχεν ἀπὸ ἀνίατον νόσον· κάποιος ἄλλος δὲ πλούσιος δὲν ἔδιδεν εἰς τὸν πτωχὸν οὔτε ψίχουλα. Καὶ τί χρειάζεται νὰ ἀναφέρω ὅλην τὴν παραβολήν; Διότι γνωρίζετε ὅλην τὴν ἱστορίαν, τὴν σκληρότητα τοῦ πλουσίου, τὸ ὅτι δὲν ἔδιδε τίποτε εἰς τὸν πτωχὸν ἀπὸ τὴν πλουσίαν τράπεζάν του, γνωρίζετε τὴν πτωχείαν ἐκείνου καὶ τὴν πεῖναν του, ἐναντίον τῆς ὁποίας ἠγωνίζετο συνεχῶς. Ὅμως ὅλα αὐτὰ συνέβαιναν ἐδῶ· ὅταν ὅμως ἀπέθανε κάθε ἕνας βλέπει ὁ πλούσιος τὸν πτωχὸν ἐκεῖνον εἰς τοὺς κόλπους τοῦ Ἀβραάμ. Καὶ τί λέγει· «πάτερ Ἀβραάμ, στεῖλε τὸν Λάζαρον νὰ βρέξῃ τὴν ἄκρην τοῦ δακτύλου του εἰς τὸ νερὸ καὶ νὰ δροσίσῃ τὴν γλῶσσαν μου, διὰ νὰ ἀνακουφισθῶ ἀπὸ τὴν ὀδύνην»[9]. Εἶδες ἀνταπόδοσιν; Δὲν εἶχε δώσει εἰς αὐτὸν ψίχουλα, δὲν παίρνει ἀπὸ αὐτὸν σταγόνα ὕδατος, «διότι μὲ ὅποιο μέτρον», λέγει, «μετρᾶτε μὲ τὸ ἴδιον μέτρον θὰ σᾶς δοθῇ ἀπὸ τὸν Θεόν»[10].

Τί λέγει λοιπὸν ὁ Ἀβραάμ; «Τέκνον, θυμήσου ὅτι σὺ ἀπήλαυσες μὲ τὸ παραπάνω τὰ ἀγαθά σου εἰς τὴν ζωήν σου καὶ ὁ Λάζαρος ὁμοίως τὰ κακὰ τῆς πτωχείας καὶ τῆς ἀσθενείας· καὶ τώρα αὐτὸς μὲν παρηγορεῖται ἐδῶ καὶ εὐφραίνεται, ἐνῷ σὺ βασανίζεσαι»[11]. Ἀλλ' αὐτὸ ποὺ ἐξετάζομεν εἶναι ὅτι διὰ τὰ ἁμαρτήματά των λυποῦνται μὲν καὶ μετανοοῦν καὶ γίνονται καλύτεροι ἐξ αἰτίας τῆς γεέννης[12], δὲν κερδίζουν ὅμως τίποτε ποὺ νὰ ἠμπορῇ νὰ τοὺς παρηγορήσῃ ἀπὸ τὴν τιμωρίαν τῆς φλογὸς τῆς κολάσεως. Διότι λέγει «πάτερ, στεῖλε τὸν Λάζαρον εἰς τὸν οἶκον μου διὰ νὰ διαβεβαιώσῃ τοὺς συγγενεῖς μου δι' αὐτὰ ποὺ συμβαίνουν ἐδῶ, ὥστε νὰ μὴ καταντήσουν καὶ αὐτοὶ εἰς τὸν τόπον τοῦτον»[13]. Ἀφοῦ ἀπέτυχεν ὁ ἴδιος νὰ εὐεργετηθῇ, εἰς τὴν συνέχειαν φροντίζει διὰ τὴν σωτηρίαν τῶν ἄλλων. Εἶδες πόσον

πόν. Εἶδες πῶς ὠμὸς ἦν πρὸ τούτου, πῶς φιλάνθρωπος ἐγένετο μετὰ ταῦτα; Πρὸ τῶν ὀφθαλμῶν κείμενον παρέτρεχε τὸν Λάζαρον ζῶν, νυνὶ δὲ καὶ ἀπόντων φροντίζει τῶν συγγενῶν· καὶ τότε μὲν ἐν περιουσίᾳ ὤν, πρὸς τὴν ἐλεεινὴν οὐκ ἀπεκάμπτετο τοῦ πτωχοῦ θέαν, νυνὶ δὲ ἐν ὀδύναις καὶ ἀνάγκαις ὢν ἀπαραιτήτοις, κήδεται τῶν αὐτῷ προσηκόντων, καὶ ἀξιοῖ πεμφθῆναι τὸν ταῦτα ἀπαγγελοῦντα αὐτοῖς. Ὁρᾷς πῶς φιλάνθρωπος γέγονε καὶ ἥμερος καὶ συμπαθητικός;

Τί οὖν; ἀπώνατό τι τῆς μετανοίας; ἐγένετό τι κέρδος αὐτῷ ἀπὸ τῆς κατανύξεως; Οὐδαμῶς· ἄκαιρος γὰρ ἡ μετάνοια. Ἐλύθη τὸ θέατρον, ἀπῆλθε τὰ σκάμματα, οὐκ ἔτι καιρὸς τῶν παλαισμάτων ἦν· διὰ τοῦτο παρακαλῶ καὶ δέομαι καὶ ἀντιβολῶ, ἐνταῦθα ὀδύρεσθαι χρὴ καὶ θρηνεῖν ἐπὶ τοῖς ἁμαρτήμασι. Λυπείτω ἡμᾶς ἐνταῦθα τὰ ῥήματα, καὶ μὴ φοβείτω ἐκεῖ τὰ πράγματα· δακνέτω ἡμᾶς ὁ λόγος ἐνταῦθα, καὶ μὴ δακνέτω ἡμᾶς ἐκεῖ σκώληξ ὁ ἰοβόλος· καιέτω ἡμᾶς ἐνταῦθα ἡ ἐπιτίμησις, καὶ μὴ καιέτω ἐκεῖ ἡ γέεννα τοῦ πυρός. Τοὺς ἐνταῦθα θρηνοῦντας ἀκόλουθον ἐκεῖ παρακληθῆναι· τοὺς ἐνταῦθα τρυφῶντας καὶ γελῶντας καὶ ἀναλγήτως περὶ τὰ ἁμαρτήματα διακειμένους ἀνάγκη πᾶσα ἐκεῖ θρηνῆσαι καὶ ὀδύρεσθαι καὶ βρῦξαι τοὺς ὀδόντας. Οὐκ ἐμὸς οὗτος ὁ λόγος, ἀλλ᾽ αὐτοῦ τοῦ τότε δικάζοντος ἡμῖν· «Μακάριοι» γάρ, φησίν, «οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται· Οὐαὶ ὑμῖν, οἱ γελῶντες, ὅτι κλαύσετε». Πόσῳ τοίνυν βέλτιον πρόσκαιρον κατάνυξιν καὶ ὀδυρμὸν ἀθανάτων ἀλλάξασθαι καλῶν καὶ ἡδονῆς τέλος οὐκ ἐχούσης, ἢ τὸν βραχὺν

14. Ματθ. 5, 5. Λουκᾶ 6, 25.

σκληρὸς ἦτο πρὶν ἀπὸ αὐτό, καὶ πόσον φιλάνθρωπος ἔγινε μετά; Καθ' ὃν χρόνον ἔζη παρέβλεπε τὸν Λάζαρον ποὺ τὸν εἶχε πρὸ τῶν ὀφθαλμῶν του, τώρα ὅμως μολονότι εἶναι ἀπόντες οἱ συγγενεῖς του φροντίζει δι' αὐτούς. Καὶ τότε μὲν ἐνῷ εὑρίσκετο μέσα εἰς τὰ πλούτη δὲν ἔστρεφε τὸ βλέμμα πρὸς τὴν ἐλεεινὴν θέαν τοῦ πτωχοῦ, τώρα ὅμως ποὺ εὑρίσκεται μέσα εἰς τοὺς ἀναποφεύκτους πόνους, φροντίζει διὰ τοὺς συγγενεῖς του, καὶ ζητεῖ νὰ σταλῇ πρὸς αὐτοὺς ὁ Λάζαρος διὰ νὰ τοὺς ἀναγγείλῃ αὐτά. Βλέπεις πῶς ἔγινε φιλάνθρωπος καὶ πρᾶος καὶ συμπαθητικός;

Τί λοιπόν; ὠφελήθη εἰς κάτι ἀπὸ τὴν μετάνοιάν του; προέκυψεν εἰς αὐτὸν κάποιο κέρδος ἀπὸ τὴν μετάνοιάν του; Τίποτε ἀπολύτως, διότι ἡ μετάνοιά του ἦτο ἄκαιρος. Ἐτελείωσεν ἡ παράστασις, ἀπεμακρύνθησαν τὰ σκάμματα, δὲν ἦτο πλέον καιρὸς ἀγώνων. Διὰ τοῦτο παρακαλῶ καὶ προτρέπω καὶ ἱκετεύω ὅτι ἐδῶ πρέπει νὰ στενοχωρούμεθα καὶ νὰ θρηνοῦμεν διὰ τὰ ἁμαρτήματά μας. Ἂς μᾶς στενοχωροῦν ἐδῶ τὰ λόγια καὶ ἂς μὴ μᾶς φοβίζουν ἐκεῖ τὰ πράγματα· ἂς μᾶς δαγκώνῃ ἐδῶ ὁ λόγος διὰ νὰ μὴ μᾶς δαγκώνῃ ἐκεῖ ὁ φαρμοκερὸς σκώληξ· ἂς μᾶς καίῃ ἐδῶ ἡ ἐπίπληξις, διὰ νὰ μὴ μᾶς καίῃ ἐκεῖ ἡ γέεννα τοῦ πυρός. Αὐτοὶ οἱ ὁποῖοι θρηνοῦν ἐδῶ εἶναι ἑπόμενον εἰς τὴν ἄλλην ζωὴν νὰ παρηγορηθοῦν· αὐτοὶ ποὺ ζοῦν ἐδῶ πολυτελῶς καὶ διασκεδάζουν καὶ εὑρίσκονται ἀσυγκίνητοι διὰ τὰ ἁμαρτήματα, ἀναγκαστικὰ ἐκεῖ θὰ θρηνήσουν καὶ θὰ κλαύσουν καὶ θὰ τρίξουν τοὺς ὀδόντας. Τὰ λόγια αὐτὰ δὲν εἶναι ἰδικά μου, ἀλλὰ ἐκείνου ὁ ὁποῖος θὰ μᾶς δικάσῃ τότε· διότι λέγει· «Μακάριοι εἶναι ἐκεῖνοι ποὺ πενθοῦν διὰ τὰς ἁμαρτίας των, διότι αὐτοὶ θὰ παρηγορηθοῦν ὑπὸ τοῦ Θεοῦ· ἀλλοίμονον εἰς ἐσᾶς ποὺ ὡς μοναδικὸν σκοπὸν τῆς ζωῆς σας ἔχετε τὴν σαρκικὴν χαρὰν καὶ γελᾶτε ἐξ αἰτίας τῶν ἀπολαύσεων, διότι εἰς τὴν μέλλουσαν ζωὴν θὰ πενθήσετε καὶ θὰ κλαύσετε»[14]. Πόσον λοιπὸν προτιμότερον εἶναι νὰ ἀνταλλάξωμεν τὴν πρόσκαιρον μετάνοιαν καὶ τὴν θλῖψιν μὲ τὰ ἀθάνατα καλὰ καὶ μὲ τὴν ἡδονὴν ποὺ δὲν ἔχει τέλος, παρὰ νὰ περάσωμεν τὴν μικρὰν αὐτὴν καὶ πρόσκαι-

τοῦτον καὶ πρόσκαιρον βίον ἐνταῦθα γελάσαντας, ἀπελθεῖν ἐκεῖ κολασθησομένους ἀθάνατα;

Ἀλλ' αἰσχύνῃ καὶ ἐρυθριᾷς τὰ ἁμαρτήματα ἐξειπεῖν; Μάλιστα μὲν εἰ καὶ ἐπ' ἀνθρώπων ἔδει ταῦτα λέγειν καὶ ἐκπομπεύειν, οὐδὲ οὕτως αἰσχύνεσθαι ἔδει· αἰσχύνη γὰρ τὸ ἁμαρτάνειν, οὐ τὸ ὁμολογῆσαι τὰ ἁμαρτηθέντα· νυνὶ δὲ οὐδὲ ἀνάγκη παρόντων μαρτύρων ἐξομολογεῖσθαι. Παρὰ τοῖς λογισμοῖς τοῦ συνειδότος γιγνέσθω τῶν πεπλημμελημένων ἡ ἐξέτασις· ἀμάρτυρον ἔστω τὸ δικαστήριον· ὁ Θεὸς ὁράτω σε μόνος ἐξομολογούμενον, ὁ Θεὸς ὁ μὴ ὀνειδίζων τὰ ἁμαρτήματα, ἀλλὰ λύων τὰ ἁμαρτήματα ἀπὸ τῆς ἐξομολογήσεως. Ἀλλὰ καὶ οὕτως ὀκνεῖς καὶ ἀναδύῃ; Οἶδα κἀγώ, ὅτι οὐκ ἀνέχεται τὸ συνειδὸς τῆς μνήμης τῶν οἰκείων πλημμελημάτων. Ἂν γὰρ ἔλθωμεν μόνον εἰς ἀνάμνησιν τῶν πεπλημμελημένων ἡμῖν, καθάπερ πῶλός τις ἀδάμαστος καὶ δυσήνιος, σκιρτᾷ ἡ διάνοια. Ἀλλὰ κάτασχε, χαλίνωσον, κατάψηχε τῇ χειρί, ἥμερον αὐτὴν ποίησον, πεῖσον ὅτι ἂν μὴ νῦν ἐξομολογήσηται, ἐκεῖ ἐξομολογήσεται, ὅπου πλείων ἡ κόλασις, ὅπου μείζων ὁ παραδειγματισμός. Ἐνταῦθα ἀμάρτυρόν ἐστι τὸ δικαστήριον, καὶ σὺ σαυτῷ δικάζεις ὁ ἡμαρτηκώς· ἐκεῖ δὲ εἰς μέσον τὸ θέατρον τῆς οἰκουμένης ἅπαντα παραχθήσεται, ἂν μὴ προλαβόντες ἐνταῦθα αὐτὰ ἀπαλείψωμεν. Αἰσχύνῃ ὁμολογῆσαι ἁμαρτήματα· αἰσχύνου πρᾶξαι ἁμαρτήματα. Ἡμεῖς δὲ ὅταν αὐτὰ πράττωμεν, ἰταμῶς καὶ ἀναισχύντως τολμῶμεν· ὅταν δὲ ὁμολογῆσαι δέῃ, τότε αἰσχυνόμεθα καὶ ὀκνοῦμεν, δέον μετὰ προθυμίας τοῦτο ποιεῖν. Οὐ γάρ ἐστιν αἰσχύνη κατηγορεῖν ἁμαρτημάτων, ἀλλὰ δικαιοσύνη καὶ ἀρετή· εἰ μὴ δικαιοσύνη καὶ ἀρετὴ ἦν, οὐκ ἂν μισθὸν ἔθηκεν αὐτῇ ὁ Θεός. Ὅτι γὰρ μισθοὺς ἔχει ἡ ἐξομολόγησις ἄκουσον τί φησι· «Λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς».

ρον ζωὴν μὲ γέλια καὶ διασκεδάσεις, καὶ ὅταν μεταβῶμεν εἰς τὴν ἄλλην ζωὴν νὰ τιμωρηθῶμεν αἰωνίως;

Ἀλλὰ ἐντρέπεσαι καὶ κοκκινίζεις νὰ ὁμολογήσῃς τὰ ἁμαρτήματά σου; Καὶ ἂν ἀκόμα ἔπρεπε νὰ ὁμολογῇς τὰ ἁμαρτήματά σου ἐνώπιον τῶν ἀνθρώπων καὶ νὰ ἐξευτελίζεσαι, οὔτε τότε ἔπρεπε νὰ ἐντρέπεσαι· διότι ἐντροπὴ καὶ αἰσχύνη εἶναι τὸ νὰ ἁμαρτάνῃς καὶ ὄχι τὸ νὰ ὁμολογήσῃς τὰ ἁμαρτήματά σου· τώρα ὅμως δὲν εἶναι ἀνάγκη νὰ εἶναι παρόντες καὶ μάρτυρες κατὰ τὴν ὥραν τῆς ἐξομολογήσεως. Ἡ ἐξέτασις καὶ ἐξομολόγησις τῶν ἁμαρτημάτων ἂς γίνῃ εἰς τὸν νοῦν· ἂς εἶναι τὸ δικαστήριον χωρὶς μάρτυρα· ἂς σὲ ἴδῃ ἐξομολογούμενον μόνον ὁ Θεός, ὁ Θεὸς ποὺ δὲν μέμφεται διὰ τὰ ἁμαρτήματα, ἀλλὰ ποὺ συγχωρεῖ τὰ ἁμαρτήματα τὰ ὁποῖα ἐξομολογούμεθα. Ἀλλ' ἀκόμα καὶ ἔτσι διστάζεις καὶ ὑποχωρεῖς; Γνωρίζω καὶ ἐγὼ ὅτι δὲν ἀνέχεται ἡ συνείδησις τὴν ἐνθύμησιν τῶν ἁμαρτημάτων μας. Διότι ἂν ἐνθυμηθοῦμεν μόνον τὰ ἁμαρτήματά μας ἡ ψυχή μας ἀναπηδᾷ ὅπως ἀκριβῶς ἀναπηδᾷ κάποιος ἀδάμαστος καὶ δύστροπος πῶλος. Ὅμως συγκράτησε, χαλιναγώγησε, χάιδευσε τὴν ψυχὴν μὲ τὸ χέρι, κάμε την ἥμερον, πεῖσε την, ὅτι ἂν δὲν ἐξομολογηθῇ τώρα, θὰ ἐξομολογηθῇ ἐκεῖ ὅπου εἶναι περισσοτέρα ἡ τιμωρία, ὅπου εἶναι μεγαλύτερος ὁ παραδειγματισμός. Ἐδῶ τὸ δικαστήριον εἶναι χωρὶς μάρτυρα καὶ δικαστὴς τοῦ ἑαυτοῦ σου εἶσαι σὺ ὁ ὁποῖος ἡμάρτησες· ἐκεῖ ὅμως θὰ παρευρίσκεται ὅλον τὸ πλῆθος τῆς οἰκουμένης ἂν δὲν προλάβωμεν νὰ ἀπαλείψωμεν αὐτὰ ἐδῶ. Ἐντρέπεσαι νὰ ὁμολογήσῃς τὰ ἁμαρτήματα; νὰ ἐντρέπεσαι καὶ νὰ τὰ διαπράξῃς. Ἐμεῖς ὅμως ὅταν διαπράττωμεν αὐτὰ τολμῶμεν νὰ τὰ διαπράττωμεν κατὰ τρόπον ἀναίσχυντον καὶ προκλητικόν· ὅταν ὅμως πρόκειται νὰ τὰ ὁμολογήσωμεν, τότε ἐντρεπόμεθα καὶ ἀποφεύγομεν, ἐνῷ ἔπρεπε νὰ κάμωμεν τοῦτο μετὰ μεγάλης προθυμίας. Διότι δὲν εἶναι ἐντροπὴ τὸ νὰ κατηγορῇς τὰ ἁμαρτήματα, ἀλλὰ δικαιοσύνη καὶ ἀρετή· ἐὰν δὲν ἦτο δικαιοσύνη καὶ ἀρετὴ δὲν θὰ ἔδιδεν δι' αὐτὴν ὁ Θεὸς ἀμοιβήν. Τὸ ὅτι πράγματι ἔχει ἀμοιβὰς ἡ ἐξομολόγησις, ἄκουσε τί λέγει· «Λέγε πρῶτος ἐσὺ τὰ

Τίς αἰσχύνεται ἔργον, ἀφ' οὗ γίνεται δίκαιος; τίς αἰσχύνεται ὁμολογῆσαι ἁμαρτήματα, ἵνα λύσῃ ἁμαρτήματα; Μὴ γὰρ διὰ τοῦτο κελεύει ὁμολογῆσαι, ἵνα κολάσῃ; οὐχ ἵνα κολάσῃ, ἀλλ' ἵνα συγχωρήσῃ.

4. Ἐπὶ γὰρ τῶν ἔξω δικαστηρίων μετὰ τὴν ὁμολογίαν κόλασις. Διὰ τοῦτο καὶ ὁ ψαλμὸς αὐτὸ τοῦτο ὑφορώμενος, μή τις δεδοικὼς κόλασιν μετὰ τὴν ἐξομολόγησιν ἀρνήσηται τὰ ἁμαρτήματα, φησίν· «Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ». Μὴ γὰρ οὐκ οἶδε τὰ ἁμαρτήματά σου, ἐὰν μὴ σὺ ὁμολογήσῃς; Τί οὖν σοι γίνεται πλέον ἐκ τοῦ μὴ ὁμολογεῖν; μὴ γὰρ δύνασαι λαθεῖν; Κἂν μὴ εἴπῃς, ἐκεῖνος εἶδεν· ἂν δὲ σὺ εἴπῃς, ἐκεῖνος ἐπιλανθάνεται. «Ἰδοὺ» γὰρ «ἐγὼ Θεός εἰμι ἐξαλείφων τὰς ἀνομίας σου, καὶ οὐ μὴ μνησθῶ». Ὁρᾷς; «Ἐγὼ οὐ μὴ μνησθῶ», φησί· φιλανθρωπίας γὰρ τοῦτο· σὺ δὲ μνήσθητι, ἵνα σωφρονισμοῦ λάβῃς, ὑπόθεσιν.

Τούτων ἀκούσας ὁ Παῦλος, ἁμαρτημάτων, ὧν οὐκ ἐμέμνητο ὁ Θεός, αὐτὸς διηνεκῶς ἐμέμνητο οὑτωσὶ λέγων· «Οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, ὅτι ἐδίωξα τὴν Ἐκκλησίαν»· καί, «Χριστὸς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ». Οὐκ εἶπεν, Ἤμην, ἀλλ', «Εἰμί». Ἡ συγχώρησις ἐγένετο τῶν ἁμαρτημάτων παρὰ τῷ Θεῷ, καὶ ἡ μνήμη τῶν συγκεχωρημένων ἁμαρτημάτων οὐκ ἠφανίζετο παρὰ τῷ Παύλῳ· ἅπερ ὁ Δεσπότης ἀπήλειψε, ταῦτα αὐτὸς ἐξεπόμπευσεν. Ἠκούσατε γὰρ τοῦ προφήτου λέγοντος, «Καὶ οὐ μὴ μνησθῶ»· σὺ δὲ μνήσθητι. Ὁ Θεὸς σκεῦος ἐκλογῆς αὐτὸν καλεῖ, καὶ οὗτος πρῶτον τῶν ἁμαρτωλῶν ἑαυτὸν καλεῖ.

---

15. Ἠσ. 43, 25.
16. Ψαλμ. 105, 1.
17. Ἠσ. 43, 25.
18. Α' Κορ. 15, 9. Α' Τιμ. 1, 15.
19. Ἠσ. 43, 25.

ἁμαρτήματά σου διὰ νὰ δικαιωθῇς»[15]. Ποῖος ἐντρέπεται νὰ πράξῃ κάτι ἀπὸ τὸ ὁποῖον θὰ γίνῃ δίκαιος; Ποῖος ἐντρέπεται νὰ ὁμολογήσῃ τὰ ἁμαρτήματα, διὰ νὰ ἀπαλλάξῃ τὸν ἑαυτόν του ἀπὸ τὰ ἁμαρτήματα; Μήπως σὲ προτρέπει νὰ τὰ ὁμολογήσῃς διὰ νὰ σὲ τιμωρήσῃ; Ὄχι βέβαια διὰ νὰ τιμωρήσῃ, ἀλλὰ διὰ νὰ συγχωρήσῃ.

4. Εἰς τὰ κοσμικὰ δικαστήρια συμβαίνει νὰ ἐπέρχεται ἡ τιμωρία μετὰ τὴν ὁμολογίαν τῆς ἐνοχῆς. Διὰ τοῦτο καὶ ὁ ψαλμὸς ὑποπτευόμενος ἀκριβῶς αὐτό, μὴ τυχὸν δηλαδὴ φοβούμενος κανεὶς τιμωρίαν μετὰ τὴν ἐξομολόγησιν ἀρνηθῇ νὰ ἐξομολογηθῇ τὰ ἁμαρτήματά του, λέγει· «ἐξομολογηθῆτε εἰς τὸν Κύριον τὰ ἁμαρτήματά σας, διότι εἶναι ἀγαθός, διότι τὸ ἔλεος αὐτοῦ μένει εἰς τὸν αἰῶνα»[16]. Μήπως δὲν γνωρίζει τὰ ἁμαρτήματά σου, ἐὰν ἐσὺ δὲν τὰ ὁμολογήσῃς; Λοιπὸν τί περισσότερον γίνεται εἰς ἐσὲ ὅταν δὲν τὰ ὁμολογῇς; Μήπως ἠμπορεῖς νὰ διαφύγῃς τὴν προσοχήν του; Καὶ ἂν ἀκόμα δὲν τὰ εἴπῃς ἐσύ, ἐκεῖνος τὰ εἶδε· ἂν δὲ τὰ εἴπῃς ἐσὺ ἐκεῖνος τὰ λησμονεῖ. Διότι λέγει· «Ἰδοὺ ἐγὼ εἶμαι ὁ Θεὸς ἐκεῖνος ὁ ὁποῖος ἀπὸ ἀγάπην ἐξαλείφω τὰς ἁμαρτίας σου, καὶ δὲν τὰς ἐνθυμοῦμαι»[17]. Βλέπεις; «Ἐγὼ δὲν θὰ τὰς ἐνθυμηθῶ» λέγει· διότι τοῦτο εἶναι ἴδιον τῆς φιλανθρωπίας· σὺ νὰ τὰς ἐνθυμηθῇς διὰ νὰ σοῦ γίνῃ ἀφορμὴ σωφρονισμοῦ.

Ἀκούσας λοιπὸν ὁ Παῦλος ὅτι αὐτὰ τὰ ἁμαρτήματα δὲν τὰ ἐνθυμεῖται ὁ Θεὸς ὁ ἴδιος συνεχῶς τὰ ἐμνημόνευε, λέγων τὰ ἑξῆς· «Δὲν εἶμαι ἄξιος νὰ ὀνομάζωμαι ἀπόστολος, διότι κατεδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ»· καί· «Ὁ Χριστὸς ἦλθεν εἰς τὸν κόσμον νὰ σώσῃ τοὺς ἁμαρτωλούς, μεταξὺ τῶν ὁποίων πρῶτος εἶμαι ἐγώ»[18]. Δὲν εἶπεν ἤμουν, ἀλλὰ εἶμαι. Ἡ συγχώρησις τῶν ἁμαρτημάτων ἔγινεν ἀπὸ τὸν Θεὸν καὶ ἡ ἐνθύμησις τῶν συγχωρηθέντων ἁμαρτημάτων δὲν ἐξηφανίζετο ἀπὸ τὸν Παῦλον· ἐκεῖνα ποὺ ὁ Δεσπότης ἐξήλειψεν, αὐτὰ αὐτὸς ἐξέθετεν εἰς κοινὸν ὄνειδος. Διότι ἠκούσατε τὸν προφήτην ποὺ λέγει, «καὶ δὲν θὰ τὰ ἐνθυμηθῶ»[19]· σὺ ὅμως νὰ τὰ ἐνθυμῆσαι. Ὁ Θεὸς τὸν ὀνομάζει σκεῦος ἐκλογῆς, καὶ αὐτὸς ὀνομάζει τὸν ἑαυτόν

Εἰ δὲ τῶν συγκεχωρημένων ἁμαρτημάτων οὐκ ἐπελανθάνετο, ἐννόησον πῶς τῶν εὐεργεσιῶν ἐμέμνητο τοῦ Θεοῦ. Καὶ τί λέγω, ὅτι οὐ καταισχύνει μνήμη ἁμαρτημάτων; οὐχ οὕτως ἡμᾶς ποιεῖ λαμπροὺς κατορθωμάτων μνήμη, ὡς ἡ τῶν ἁμαρτημάτων μνήμη· μᾶλλον δὲ ἡ μὲν τῶν κατορθωμάτων μνήμη οὐ μόνον οὐ ποιεῖ λαμπρούς, ἀλλὰ καὶ αἰσχύνης πληροῖ καὶ καταγνώσεως· ἡ δὲ τῶν ἁμαρτημάτων μνήμη παρρησίας ἡμᾶς ἐμπίπλησι τῆς δικαιοσύνης πολλῆς.

Τίς τοῦτό φησιν; Ὁ Φαρισαῖος καὶ ὁ τελώνης. Ὁ μὲν γὰρ εἰπὼν τὰ ἁμαρτήματα, κατῆλθε δεδικαιωμένος, ὁ δὲ εἰπὼν τὰ κατορθώματα, κατῆλθεν ἐλάττων τοῦ τελώνου γενόμενος. Ὁρᾷς ὅση βλάβη μεμνῆσθαι κατορθωμάτων, ὅση ὠφέλεια μὴ ἐπιλελῆσθαι ἁμαρτημάτων; Καὶ μάλα εἰκότως. Ὁ μὲν γὰρ τῶν κατορθωμάτων μεμνημένος εἰς ἀπόνοιαν αἴρεται, ὑπερορᾷ τῶν λοιπῶν ἀνθρώπων, ὅπερ ὁ Φαρισαῖος ἔπαθεν· οὐ γὰρ ἂν εἰς τοσαύτην ἀλαζονείαν ἦλθεν, οὐκ ἂν εἶπεν, «Οὐκ εἰμὶ ὡς οἱ λοιποὶ ἄνθρωποι», εἰ μὴ ἐμέμνητο τῆς νηστείας αὐτοῦ καὶ τῆς δεκάτης· ἡ δὲ μνήμη τῶν ἁμαρτημάτων καταστέλλει τὴν διάνοιαν, ταπεινοφρονεῖν πείθει, καὶ διὰ τῆς ταπεινοφροσύνης ἐπισπᾶται τοῦ Θεοῦ τὴν εὔνοιαν. Ἄκουσον γοῦν πῶς καὶ ὁ Χριστὸς κελεύει λήθῃ παραπέμπειν ἡμᾶς τὰ κατορθώματα. «Ὅταν ταῦτα πάντα ποιήσητε, λέγετε ὅτι, Ἀχρεῖοι δοῦλοί ἐσμεν». Σὺ λέγε ὅτι ἀχρεῖος δοῦλος εἶ, ἐγώ σε οὐ ποιῶ ἀχρεῖον· σὺ ἐὰν ὁμολογήσῃς τὴν εὐτέλειαν τὴν σεαυτοῦ, ἐγώ σε λαμπρὸν ποιῶ καὶ στεφανῶ.

Ὁρᾷς διὰ πόσων ἡμῖν ἀποδέδεικται κέρδος ἔχουσα τῶν ἁμαρτημάτων ἡ μνήμη, καὶ βλάβος τῶν κατορθωμάτων ἡ

---

20. Λουκᾶ 18, 11.
21. Λουκᾶ 17, 10.

του πρῶτον ἐξ ὅλων τῶν ἁμαρτωλῶν. Ἐὰν δὲ δὲν ἐλησμονοῦσε τὰ συγχωρηθέντα ἁμαρτήματα, ἀναλογίσου πῶς ἐνεθυμεῖτο τὰς εὐεργεσίας τοῦ Θεοῦ. Καὶ διατί λέγω ὅτι δὲν ἐντροπιάζει ἡ ἐνθύμησις τῶν ἁμαρτημάτων; Δὲν μᾶς κάμει τόσον λαμπροὺς ἡ μνημόνευσις τῶν κατορθωμάτων, ὅσον ἡ μνημόνευσις τῶν ἁμαρτημάτων· μᾶλλον δὲ ἡ μὲν μνημόνευσις τῶν κατορθωμάτων ὄχι μόνον δὲν μᾶς κάμει λαμπροὺς ἀλλὰ μᾶς γεμίζει καὶ ἀπὸ ἐντροπὴν καὶ περιφρόνησιν, ἡ δὲ μνημόνευσις τῶν ἁμαρτημάτων μᾶς γεμίζει μὲ παρρησίαν καὶ μὲ πολλὴν δικαιοσύνην.

Ποῖος τὸ λέγει αὐτό; Ὁ Φαρισαῖος καὶ ὁ Τελώνης. Διότι ὁ μὲν τελώνης ποὺ εἶπε τὰ ἁμαρτήματά του κατῆλθεν ἀπὸ τὸν ναὸν δεδικαιωμένος, ὁ δὲ Φαρισαῖος ποὺ εἶπε τὰ κατορθώματά του κατῆλθεν ἀπὸ τὸν ναὸν ἀφοῦ ἔγινε μικρότερος ἀπὸ τὸν τελώνην. Βλέπεις πόσον μεγάλη βλάβη προῆλθεν ἀπὸ τὴν ἐνθύμησιν τῶν κατορθωμάτων καὶ πόση μεγάλη ὠφέλεια ἀπὸ τὸ νὰ μὴ λησμονήσῃ νὰ ἀναφέρῃ τὰ ἁμαρτήματά του; Καὶ πολὺ εὔλογα. Διότι ἐκεῖνος ποὺ ἐνθυμεῖται τὰ κατορθώματά του φέρεται πρὸς τὴν ὑπερηφάνειαν, περιφρονεῖ τοὺς ὑπολοίπους ἀνθρώπους, ὅπως ἀκριβῶς ἔπαθεν ὁ Φαρισαῖος· διότι δὲν θὰ ἔφθανεν εἰς τόσον μεγάλην ὑπερηφάνειαν, δὲν θὰ ἔλεγε, «δὲν εἶμαι ὅπως οἱ ἄλλοι ἄνθρωποι»[20], ἐὰν δὲν ἐνεθυμεῖτο τὴν νηστείαν του καὶ τὴν ἐλεημοσύνην του. Ἡ ἐνθύμησις ὅμως τῶν ἁμαρτημάτων συγκρατεῖ τὸν λογισμόν, τὸν πείθει νὰ εἶναι ταπεινόφρων, καὶ διὰ τῆς ταπεινοφροσύνης ἑλκύει τὴν εὔνοιαν τοῦ Θεοῦ. Ἄκουσε λοιπὸν πῶς καὶ ὁ Χριστὸς μᾶς προτρέπει νὰ λησμονῶμεν τὰ κατορθώματά μας· «ὅταν ἐκτελέσετε ὅλα ὅσα σᾶς διέταξεν ὁ Θεός, νὰ λέγετε ὅτι εἴμεθα ἄχρηστοι δοῦλοι, διότι ἁπλῶς ἐκάμαμεν ὅ,τι εἴχαμεν χρέος νὰ κάμωμεν»[21]. Σὺ λέγε ὅτι εἶσαι ἄχρηστος δοῦλος, ἐγὼ ὅμως δὲν θὰ σὲ κάμω ἄχρηστον· σὺ ἐὰν ὁμολογήσῃς τὴν ἰδικήν σου μηδαμινότητα, ἐγὼ θὰ σὲ κάμω λαμπρὸν καὶ θὰ σὲ στεφανώσω.

Βλέπεις διὰ πόσων τρόπων ἔχει ἀποδειχθῆ ὅτι ἡ μὲν μνημόνευσις τῶν ἁμαρτημάτων μᾶς παρέχει μεγάλον κέρ-

μνήμη, καὶ τοὐναντίον πάλιν, κόλασις μὲν ἀπὸ τῆς λήθης τῶν ἁμαρτημάτων, ὠφέλεια δὲ ἀπὸ τῆς λήθης τῶν κατορθωμάτων ἡμῖν γινομένη; Βούλει μαθεῖν καὶ ἑτέρωθεν ὅτι κατόρθωμα μέγιστον τὸ μεμνῆσθαι ἁμαρτημάτων; Ἄκουσον τοῦ Ἰώβ. Ὥσπερ γὰρ ἐπὶ τοῖς ἄλλοις ἐκαλλωπίζετο, οὕτω δὴ καὶ ἐπὶ τῇ ἐξομολογήσει τῶν ἁμαρτημάτων, οὑτωσὶ λέγων· «Εἰ δὲ καὶ ἁμαρτὼν ἑκουσίως διετράπην πολυοχλίαν λαοῦ μου, τοῦ μὴ ἐξαγγεῖλαι τὰς ἁμαρτίας μου». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐδέποτέ με σύλλογος τῶν συνδούλων εἰς αἰσχύνην ἤγαγε. Τί γὰρ ὄφελος ἐκ τῆς ἀγνοίας τῶν ἀνθρώπων, τοῦ κριτοῦ πάντα εἰδότος; τί δὲ βλάβος ἐκ τοῦ εἰδέναι τούτους τὰ πεπλημμελημένα, ὅταν ἐκεῖνος ἀπολῦσαι βούληται τῆς δίκης; Κἂν πάντες δικάζωσιν, ὁ δὲ δικαστὴς ἀποψηφίσηται, οὐδείς μοι λόγος τῆς ἐκείνων ψήφου· κἂν ἅπαντες ἐπαινέσωσι καὶ θαυμάσωσιν, ἐκεῖνος δέ με καταδικάζῃ, οὐδέν μοι πάλιν ὄφελος τῆς ἐκείνων κρίσεως. Πανταχοῦ γὰρ πρὸς ἐκεῖνον ὁρᾶν χρή, καὶ ταυτὸ ποιεῖν ἐπὶ τῶν ἁμαρτημάτων, ὅπερ ποιοῦμεν ἐπὶ τῆς τῶν χρημάτων δαπάνης. Εὐθέως ἀναστάντες ἀπὸ τῆς κλίνης, πρὶν εἰς ἀγορὰν ἐμβαλεῖν, ἢ μεταχειρίσαι τι τῶν ἰδιωτικῶν ἢ δημοσίων πραγμάτων, τὸν οἰκέτην καλέσαντες ἀπαιτοῦμεν λόγον τῶν δαπανηθέντων, ἵν' εἰδῶμεν τί μὲν κακῶς, τί δὲ εἰς δέον ἀνήλωται, πόσον δὲ ὑπολέλειπται· κἂν εἰδῶμεν ὀλίγον ὂν τὸ ὑπολελειμμένον, παντὶ τρόπῳ προσόδων ἀφορμὰς ἐπινοοῦμεν, ἵνα μὴ λάθωμεν διαφθαρέντες λιμῷ.

Τοῦτο τοίνυν καὶ ἐπὶ τῶν πράξεων τῶν ἡμετέρων ποιῶμεν. Τὸ συνειδὸς τὸ ἡμέτερον καλέσαντες ποιήσωμεν αὐτῷ λόγον τῶν ῥημάτων, τῶν πραγμάτων, τῶν ἐνθυμήσεων· ἐξετάσωμεν, τί μὲν εἰς δέον ἀνήλωται, τί δὲ ἐπὶ βλάβῃ τῇ ἡμετέρᾳ· ποῖος λόγος ἐδαπανήθη κακῶς εἰς λοιδορίας, εἰς

---

22. Ἰὼβ 31, 34.

δος, ἐνῷ ἡ μνημόνευσις τῶν κατορθωμάτων μεγάλην ζημίαν, καὶ τὸ ἀντίθετον πάλιν ὅτι μᾶς ἀναμένει τιμωρία ἀπὸ τὴν λήθην τῶν ἁμαρτημάτων, ὠφέλεια δὲ ὅταν λησμονῶμεν τὰ κατορθώματά μας; Θέλεις νὰ μάθῃς καὶ ἀπὸ ἄλλοῦ ὅτι τὸ νὰ μνημονεύωμεν τὰ ἁμαρτήματά μας εἶναι μέγιστον κατόρθωμα; Ἄκουσε τὸν Ἰώβ. Διότι ὅπως ἐκαυχᾶτο διὰ τὰ ἄλλα ἔτσι ἀκριβῶς καὶ διὰ τὴν ἐξομολόγησιν τῶν ἁμαρτημάτων του λέγων τὰ ἑξῆς· «καὶ ἂν ἁμαρτάνω ἑκουσίως ἀποφεύγω τὸ μέγα πλῆθος, διὰ νὰ μὴ διακηρύξῃ τὰς ἁμαρτίας μου»[22]. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· οὐδέποτε τὸ πλῆθος τῶν ἀνθρώπων μὲ ἔκανε νὰ νοιώσω ἐντροπήν. Διότι ποία ὠφέλεια προκύπτει ἀπὸ τὸ νὰ μὴ γνωρίζουν οἱ ἄνθρωποι τὰς ἁμαρτίας μου, ἀφοῦ ὅλας τὰς γνωρίζει ὁ Θεός; ποία δὲ θὰ εἶναι ἡ ζημία μου ἀπὸ τὸ νὰ γνωρίζουν αὐτοὶ τὰ ἁμαρτήματα, ὅταν ὁ Θεὸς θέλῃ νὰ μὴ μὲ καταδικάσῃ; Καὶ ἂν ὅλοι μὲ καταδικάζουν, δὲν μὲ ἐνδιαφέρει καθόλου ἡ ἀπόφασις ἐκείνων ἐφ' ὅσον ὁ δικαστὴς μὲ ἀθωώνει· καὶ ἂν πάλιν ὅλοι μὲ ἐπαινοῦν καὶ μὲ θαυμάζουν, ἐνῷ ἐκεῖνος μὲ καταδικάζει, οὐδεμίαν πάλιν ὠφέλειαν ἔχω ἀπὸ τὴν κρίσιν ἐκείνων. Διότι παντοῦ πρὸς ἐκεῖνον πρέπει νὰ βλέπωμεν καὶ αὐτὸ νὰ κάμωμεν διὰ τὰ ἁμαρτήματά μας, αὐτὸ δηλαδὴ ποὺ κάνομεν ὅταν ἐξοδεύωμεν χρήματα. Μόλις σηκωθῶμεν ἀπὸ τὸ κρεββάτι, πρὶν εἰσέλθωμεν εἰς τὴν ἀγοράν, ἢ πρὶν νὰ διαχειρισθοῦμεν κάτι ἀπὸ τὰ ἰδιωτικὰ ἢ δημόσια πράγματα, ἀφοῦ καλέσωμεν τὸν ὑπηρέτην ζητοῦμεν λογαριασμὸν διὰ τὰ δαπανηθέντα, διὰ νὰ ἰδοῦμεν τί μὲν κακῶς τί δὲ καλῶς ἔχει ἐξοδευθῆ καὶ πόσον ὑπόλοιπον ἔχει μείνει· καὶ ἂν ἰδοῦμεν ὅτι εἶναι ὀλίγον τὸ ὑπόλοιπον, μὲ κάθε τρόπον ἐξευρίσκομεν πηγὰς ἐσόδων, διὰ νὰ μὴ καταστραφῶμεν ἀπὸ τὴν πεῖναν χωρὶς νὰ τὸ ἀντιληφθοῦμεν.

Αὐτὸ λοιπὸν νὰ κάμωμεν προκειμένου καὶ περὶ τῶν πράξεών μας. Ἀφοῦ καλέσωμεν τὴν ψυχήν μας ἂς ὁμιλήσωμεν μὲ αὐτὴν διὰ τὰ λόγια, τὰς πράξεις, τὰς σκέψεις· ἂς ἐξετάσωμεν τί ἔχει ἐξοδευθῆ καλῶς, καὶ τί ἀπέβη δι' ἡμᾶς βλαβερόν· ποῖος λόγος ἐδαπανήθη κακῶς εἰς συκοφαν-

αἰσχρολογίας, εἰς ὕβρεις· ποῖον ἐνθύμημα τὸν ὀφθαλμὸν εἰς ἀκολασίαν ἐκίνησε· τίς λογισμὸς ἐπὶ βλάβῃ τῇ ἡμετέρᾳ εἰς ἔργον ἐξηνέχθη, ἢ διὰ χειρῶν, ἢ διὰ γλώττης, ἢ διὰ τῶν ὀμμάτων αὐτῶν· καὶ σπουδάσωμεν τῆς μὲν ἀκαίρου δαπάνης ἀποστῆναι, ἀντὶ δὲ τῶν ἅπαξ ἀναλωθέντων κακῶς. ἑτέραν ἀποθέσθαι πρόσοδον, ἀντὶ τῶν ῥημάτων τῶν εἰκῇ προσενεχθέντων, εὐχάς, ἀντὶ τῶν ὄψεων τῶν ἀκολάστως γενομένων, ἐλεημοσύνας, νηστείας. Εἰ γὰρ μέλλοιμεν δαπανᾶν μὲν ἀκαίρως, μηδὲν δὲ ἀποτίθεσθαι, μηδὲ θησαυρίζειν ἑαυτοῖς ἀγαθόν, εἰς ἐσχάτην κατενεχθέντες πενίαν, λήσομεν πρὸς τὴν ἀθάνατον τοῦ πυρὸς ἑαυτοὺς παραπέμποντες κόλασιν.

Τῶν μὲν οὖν χρημάτων ὑπὸ τὴν ἕω τὸν λόγον ποιεῖν εἰώθαμεν, τῶν δὲ πράξεων μετὰ τὸ δεῖπνον καὶ τὴν ἑσπέραν αὐτήν, ἐπὶ τῆς κλίνης κείμενοι, οὐδενὸς ἐνοχλοῦντος, οὐδενὸς θορυβοῦντος, τῶν μεθ' ἡμέραν ἡμῖν πεπραγμένων καὶ λελεγμένων ἁπάντων ἀπαιτῶμεν τὰς εὐθύνας ἡμᾶς ἑαυτούς· κἂν ἴδωμέν τι ἡμαρτημένον, κολάσωμεν τὸ συνειδός, ἐπιτιμήσωμεν τῇ διανοίᾳ, κατανύξωμεν τὸν λογισμὸν οὕτω σφοδρῶς, ὡς μηκέτι τολμῆσαι διαναστάντας ἡμᾶς πρὸς τὸ αὐτὸ τῆς ἁμαρτίας ἀγαγεῖν βάραθρον τῆς ἐν ἑσπέρᾳ πληγῆς μεμνημένον.

5. Ὅτι γὰρ οὗτος ὁ καιρὸς ἐπιτηδειότερος πρὸς τὸ τοιοῦτον λογοθέσιον, ἄκουσον τοῦ προφήτου λέγοντος· «Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε». Πολλὰ μεθ' ἡμέραν οὐχ ὡς βουλόμεθα πράττομεν· καὶ φίλοι παροξύνουσι, καὶ οἰκέται ἐκθηριοῦσι, καὶ γυνὴ λυπεῖ, καὶ παιδίον ὀδυνᾷ, καὶ ὄχλος πραγμάτων βιωτικῶν καὶ δημοσίων περιίσταται· καὶ οὐ δυνάμεθα συνιδεῖν τότε, οὐδὲ

---

23. Ψαλμ. 4, 5.

τίας, εἰς αἰσχρολογίας, εἰς ὕβρεις· ποία σκέψις παρεκίνησε τὸν ὀφθαλμὸν εἰς ἀκολασίαν· ποῖος λογισμὸς ἔγινε πρᾶξις καὶ μᾶς ἐπροξένησε βλάβην, ἢ διὰ τῶν χειρῶν, ἢ διὰ τῆς γλώσσης, ἢ ἀκόμα δι' αὐτῶν τῶν ὀφθαλμῶν· καὶ ἂς φροντίσωμεν νὰ ἀπομακρυνθοῦμεν ἀπὸ τὴν ἄτοπον δαπάνην, καὶ ἀντὶ αὐτῶν ποὺ κακῶς ἔχουν ἐξοδευθῆ, νὰ συγκεντρώσωμεν ἄλλην ὠφέλειαν, ἀντὶ τῶν λόγων ποὺ ματαίως ἐλέχθησαν νὰ ἀναπέμψωμεν προσευχάς, ἀντὶ τῶν θεαμάτων τῶν φιληδόνων νὰ κάμωμεν ἐλεημοσύνας καὶ νηστείας. Διότι ἂν πρόκειται νὰ δαπανήσωμεν τὴν ζωήν μας ματαίως, χωρὶς νὰ συγκεντρώσωμεν κάτι, χωρὶς νὰ ἀποταμιεύσωμεν διὰ τοὺς ἑαυτούς μας κανένα ἀγαθόν, ἀφοῦ καταντήσωμεν εἰς πολὺ μεγάλην πτωχείαν θὰ παραπέμψωμεν τοὺς ἑαυτούς μας πρὸς τὴν ἀθάνατον τιμωρίαν τοῦ πυρός.

Διὰ μὲν τὰ χρήματα συνηθίζομεν νὰ κάμωμεν τὸν λογαριασμὸν πρωΐ - πρωΐ, διὰ τὰς πράξεις μας ὅμως μετὰ τὸ δεῖπνον καὶ τὸ βράδυ, ὅταν εὑρισκώμεθα εἰς τὸ κρεββάτι, ὅπου κανεὶς δὲν ἐνοχλεῖ, ὅπου κανεὶς δὲν θορυβεῖ, πρέπει νὰ ζητοῦμεν τὰς εὐθύνας μας δι' ὅλα αὐτὰ ποὺ ἔχομεν πράξει καὶ ἔχομεν εἰπεῖ τὴν ἡμέραν· καὶ ἂν εὕρωμεν ὅτι ἔχομεν διαπράξει κάτι τὸ ἐφάμαρτον, ἂς τιμωρήσωμεν τὸν λογισμόν, ἂς ἐπιτιμήσωμεν τὴν σκέψιν, ἂς κάμωμεν τὴν ψυχήν μας νὰ λυπηθῇ τόσον πολύ, ὥστε νὰ μὴ ξανατολμήσῃ καὶ μᾶς ὁδηγήσῃ εἰς τὸ ἴδιον βάραθρον τῆς ἁμαρτίας, ἐνθυμουμένη τὸν πόνον ποὺ ὑπέφερε κατὰ τὴν ἑσπέραν αὐτήν.

5. Διὰ τὸ ὅτι αὐτὴ ἡ ὥρα εἶναι ἡ πλέον κατάλληλη διὰ παρόμοιον λογαριασμόν, ἄκουσε τὸν προφήτην ποὺ λέγει· «Αὐτὰ ποὺ λέγετε εἰς τὰς καρδίας σας νὰ τὰ συζητᾶτε ἐπὶ τῆς κλίνης σας μὲ τὸν ἑαυτόν σας»[23]. Πράττομεν πολλὰ καθημερινῶς ὄχι ὅπως τὰ θέλομεν· καὶ οἱ φίλοι μᾶς παροργίζουν καὶ οἱ ὑπηρέται μᾶς κάνουν νὰ γινώμεθα θηρία, καὶ ἡ γυναῖκα μας μᾶς στενοχωρεῖ, καὶ τὸ παιδί μας μᾶς λυπεῖ, καὶ ἡ ἐνόχλησις τῶν διαφόρων καταστάσεων ἰδιωτικῶν καὶ δημοσίων μᾶς περικυκλώνει· καὶ δὲν ἠμπο-

ὅπως ὑποσκελιζόμεθα. Πάντων δὲ τούτων ἀπαλλαγέντες, καὶ καθ' ἑαυτοὺς γενόμενοι κατὰ τὴν ἑσπέραν, καὶ πολλῆς ἀπολαύοντες ἡσυχίας, συγκροτῶμεν ἐπὶ τῆς κλίνης τὸ δικαστήριον, ἵνα τὸν Θεὸν ἵλεων διὰ τῆς τοιαύτης κρίσεως ἔχωμεν. Ἂν δὲ καθ' ἑκάστην ἡμέραν ἁμαρτάνωμεν, καὶ παίωμεν τὴν ψυχὴν τὴν ἡμετέραν, μηδέποτε δὲ αἰσθανώμεθα, καθάπερ οἱ συνεχῆ τραύματα λαμβάνοντες, εἶτα καταφρονοῦντες, πυρετοὺς καὶ θάνατον ἑαυτοῖς ἀφόρητον ἐπισπῶνται· οὕτω δὴ καὶ ἡμεῖς ἐκ τῆς συνεχοῦς ταύτης ἀναισθησίας ἀπαραίτητον ἐπισπώμεθα τιμωρίαν.

Οἶδα ὅτι φορτικὰ τὰ εἰρημένα, ἀλλ' ἔχει πολὺ τὸ κέρδος. Ἥμερον ἔχομεν Δεσπότην· προφάσεως ἐπιλαθέσθαι βούλεται μόνον, καὶ πᾶσαν εὐθέως πιδείκνυται τὴν φιλανθρωπίαν. Εἰ γὰρ ἁμαρτάνοντες καὶ μένονες ἀτιμώρητοι μὴ γινόμεθα χείρους, κἂν ἀφῆκεν ἡμῖν τὴν κόλασιν· ἀλλ' οἶδε τοῦτο σαφῶς, ὅτι τῶν ἁμαρτημάτων αὐτῶν οὐκ ἔλαττον ἡμᾶς τὸ μὴ κολάζεσθαι ἁμαρτάνοντας βλάπτει. Διὰ τοῦτο ἐπιτίθησι τὴν τιμωρίαν, οὐ τῶν ἀπελθόντων ἀπαιτῶν δίκην, ἀλλὰ τὰ μέλλοντα διορθούμενος. Καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν ἀληθές, ἄκουσον τί φησι πρὸς τὸν Μωϋσέα· «Ἄφες με, καὶ θυμωθεὶς ἐκτρίψω αὐτούς». Ἄφες με, ἔλεγεν, οὐχ ὅτι Μωϋσῆς αὐτὸν κατεῖχεν· οὐδὲν γὰρ ἐφθέγξατο πρὸς αὐτόν, ἀλλὰ σιγῇ παρειστήκει· ἀλλὰ πρόφασιν αὐτῷ δοῦναι βουλόμενος τῆς ὑπὲρ αὐτῶν ἱκετηρίας. Ἐπειδὴ γὰρ ἄξια μὲν κολάσεως ἥμαρτον ἐκεῖνοι, καὶ κολάσεως ἀπαραιτήτου, κολάσαι δὲ αὐτοὺς οὐκ ἐβούλετο, ἀλλὰ φιλανθρωπεύσασθαι, τοῦτο δὲ αὐτοὺς ῥαθυμοτέρους ἐποίει, ἀμφότερα κατεσκεύαζεν, ὥστε μήτε τὴν τιμωρίαν ἐπενεχθῆναι, μήτε ἐκείνους ῥαθυμοτέρους ἐκ τῆς ἀτιμωρησίας γενέσθαι, μαθόντας ὅτι οὐ παρὰ

---

24. Ἐξ. 32, 10.

ροῦμεν τότε νὰ ἰδοῦμεν ὅτι ὁδηγούμεθα εἰς τὴν πτῶσιν. Ὅταν ἀπαλλαγοῦμεν ἀπὸ ὅλα αὐτά, καὶ συνέλθωμεν κατὰ τὴν ἑσπέραν, καὶ ἔχομεν πολλὴν ἡσυχίαν, ἂς συγκροτοῦμεν ἐπὶ τῆς κλίνης τὸ δικαστήριον, διὰ νὰ ἔχωμεν τὸν Θεὸν ἐλεήμονα ἐξ αἰτίας αὐτῆς τῆς κριτικῆς μας πρὸς τὸν ἑαυτόν μας. Καὶ ἂν καθημερινῶς ἁμαρτάνωμεν καὶ κτυπῶμεν τὴν ψυχήν μας, οὐδέποτε ὅμως συναισθανώμεθα τὰς ἁμαρτίας μας, ὅπως ἀκριβῶς αὐτοὶ ποὺ συνεχῶς ἀσθενοῦν καὶ περιφρονοῦντες τὸν κίνδυνον ἐπισύρουν εἰς τοὺς ἑαυτούς των πυρετοὺς καὶ τὸν ἀνυπόφορον θάνατον, ἔτσι λοιπὸν καὶ ἐμεῖς ἀπὸ τὴν συνεχῆ αὐτὴν ἀναισθησίαν θὰ ἐπισύρωμεν διὰ τοὺς ἑαυτούς μας τὴν ἀπαραίτητον τιμωρίαν.

Γνωρίζω ὅτι αὐτὰ ποὺ ἐλέχθησαν εἶναι φορτικά, ὅμως ἔχουν πολὺ κέρδος. Ἔχομεν γλυκὺν τὸν Δεσπότην· θέλει μόνον νὰ πιασθῇ ἀπὸ κάποιαν αἰτίαν καὶ ἀμέσως νὰ ἐπιδείξῃ ὅλην του τὴν φιλανθρωπίαν. Διότι ἐάν, ἁμαρτάνοντες καὶ μένοντες ἀτιμώρητοι, δὲν ἐγινόμεθα χειρότεροι, θὰ παρέβλεπε τὴν τιμωρίαν μας· ἀλλὰ γνωρίζει τοῦτο καλῶς, ὅτι τὸ νὰ μὴ μᾶς τιμωρῇ, ὅταν ἁμαρτάνωμεν, δὲν μᾶς ζημιώνει ὀλιγώτερον ἀπὸ τὴν ζημίαν ποὺ ὑφιστάμεθα ἀπὸ αὐτὰ τὰ ἴδια τὰ ἁμαρτήματά μας. Διὰ τοῦτο προσθέτει τὴν τιμωρίαν, ὄχι διὰ νὰ ἀπαιτήσῃ ἱκανοποίησιν ἀπὸ αὐτοὺς ποὺ ἀπῆλθον, ἀλλὰ διὰ νὰ διορθώσῃ τὰ μέλλοντα. Καὶ διὰ νὰ μάθῃς ὅτι τοῦτο εἶναι ἀληθές, ἄκουσε τί λέγει πρὸς τὸν Μωϋσῆ· «Ἄφησέ με, ὥστε νὰ ἐξαφθῇ ὁ θυμός μου ἐναντίον αὐτῶν καὶ νὰ τοὺς καταστρέψω»[24]. Λέγει, ἄφησέ με, ὄχι διότι ὁ Μωϋσῆς τὸν ἐκρατοῦσε· διότι τίποτε δὲν εἶπε πρὸς αὐτὸν ὁ Μωυσῆς, ἀλλὰ παρίστατο σιωπῶν· ἀλλὰ ἐπειδὴ ἤθελε νὰ δώσῃ ἀφορμὴν διὰ τὴν ὑπὲρ αὐτῶν ἱκεσίαν. Ἐπειδὴ δηλαδὴ ἐκεῖνοι ἔκαμαν πράξεις ἀξίας τιμωρίας, καὶ ἦτο ἀναγκαία ἡ τιμωρία, καὶ δὲν ἤθελε νὰ τοὺς τιμωρήσῃ, ἀλλὰ νὰ φανῇ φιλάνθρωπος, καὶ ἐπειδὴ αὐτὸ τοὺς ἔκαμε πιὸ ὀκνηρούς, ἐφήρμοζε καὶ τὰ δύο, ὥστε οὔτε ἡ τιμωρία νὰ ἐπέλθῃ, οὔτε ἐκεῖνοι νὰ γίνουν πιὸ ὀκνηροὶ ἐξ αἰτίας τῆς ἀτιμωρισίας, ἀφοῦ μάθουν ὅτι, ὄχι ἐξ αἰτίας

τὴν οἰκείαν ἀξίαν, ἀλλὰ παρὰ τὴν τοῦ Μωϋσέως προστασίαν τὴν ὀργὴν τοῦ Δεσπότου διέφυγον.

Τοῦτο καὶ ἡμεῖς πολλάκις ποιοῦμεν, καὶ οἰκέτας ἄξια κολάσεως πλημμελήσαντας οὔτε κολάσαι βουλόμενοι, οὔτε τοῦ ἐκ τῆς κολάσεως ἀπαλλάξαι φόβου, φίλοις κελεύομεν τῶν ἡμετέρων αὐτοὺς ἐξαρπάσαι χειρῶν, ὥστε καὶ τὸν φόβον αὐτοῖς ἐνακμάζοντα μένειν, καὶ τὰς παρ' ἡμῶν πληγὰς διαφυγεῖν. Τοῦτο καὶ ὁ Θεὸς ἐποίησε· καὶ ὅτι ἐστὶν ἀληθές, ἀπ' αὐτῶν τῶν ῥημάτων δῆλον· «Ἄφες με», φησί, «καὶ θυμωθείς». Καὶ μὴν ὅταν βουλομένους τιμωρήσασθαι μηδεὶς ἀφῇ, τότε θυμούμεθα· αὐτὸς δὲ λέγει, Ἄφες με καὶ θυμωθήσομαι, ἵνα μάθῃς ὅτι θυμὸς οὐ πάθος ἐστὶ περὶ Θεόν, ἀλλ' ἡ καθ' ἡμῶν γινομένη κόλασις ταύτῃ καλεῖται τῇ προσηγορίᾳ. Ὅταν οὖν ἀκούσῃς τοῦ Μωϋσέως λέγοντος, «Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες», πρὸ τοῦ δούλου τὸν Δεσπότην ἐκπλάγηθι, ὅτι αὐτὸς αὐτῷ τῆς φιλανθρωπίας ταύτης παρέσχε τὰς ἀφορμάς.

Οὐκ ἐνταῦθα δὲ μόνον τοῦτο ἐποίησεν, ἀλλὰ καὶ πρὸς τὸν Ἱερεμίαν, καὶ πρὸς τὸν Ἰεζεκιὴλ τὸ αὐτὸ τοῦτό φησι· «Περιδράμετε καὶ ἴδετε ἐν ταῖς ὁδοῖς Ἱερουσαλήμ, εἰ ἔστι τις ποιῶν κρίμα καὶ δικαιοσύνην· ἵλεως ἔσομαι αὐτοῖς».

Εἶδες φιλανθρωπίαν; Τῆς μὴν ἑνὸς ἀρετῆς πολλοὶ συναπολαύουσι καὶ τῶν πονηρῶν· τῇ δὲ τῶν πολλῶν κακίᾳ, κἂν εἷς ὁ κατορθῶν ᾖ μεταξὺ δήμου πολλοῦ, οὐ συγκαταφέρεται· ἀλλ' εἷς μὲν ἄνθρωπος ὀρθῶς ζῶν δῆμον ὁλόκληρον ἐξαρπάσαι δυνήσεται τῆς ὀργῆς τοῦ Θεοῦ, πόλις δὲ ὁλόκληρος διεφθαρμένη πρὸς τὴν οἰκείαν κόλασιν καὶ τιμωρίαν ἐπισπάσασθαι τὸν εὖ βιοῦντα καὶ καθελεῖν οὐ δυνήσεται. Καὶ τοῦτο ἀπὸ τοῦ Νῶε δῆλον· πάντων γοῦν ἀπολλυμένων διεσώζετο μόνος· καὶ ἀπὸ τοῦ Μωϋσέως φανερόν· μόνος γοῦν

---

25. Ἐξ. 32, 31.
26. Ἰεζ. 5, 1.

τῆς ἰδικῆς των ἀξίας, ἀλλὰ ἐξ αἰτίας τῆς προστασίας τοῦ Μωυσέως διέφυγον τὴν ὀργὴν τοῦ Δεσπότου.

Αὐτὸ πράττομεν καὶ ἡμεῖς πολλάκις, καὶ ἐπειδὴ τοὺς ὑπηρέτας ποὺ ἔκαμαν πράξεις ἀξίας τιμωρίας, οὔτε θέλομεν νὰ τιμωρήσωμεν, ἀλλὰ οὔτε καὶ θέλομεν νὰ τοὺς ἀπαλλάξωμεν ἀπὸ τὸν φόβον τῆς τιμωρίας παρακαλοῦμεν εἰς τοὺς φίλους νὰ τοὺς ἁρπάξουν μέσα ἀπὸ τὰ χέρια μας, ὥστε καὶ ὁ φόβος τῆς τιμωρίας νὰ παραμείνῃ ἀμείωτος εἰς αὐτοὺς καὶ τὰς ποινὰς ποὺ θὰ τοὺς ἐπεβάλαμεν νὰ τὰς ἀποφύγουν. Αὐτὸ ἔκαμε καὶ ὁ Θεός. Καὶ ὅτι τοῦτο εἶναι ἀληθὲς ἀποδεικνύεται ἀπὸ αὐτὰ τὰ λόγια· «Ἄφησέ με», λέγει, «ὥστε νὰ θυμώσω». Καὶ πράγματι ὅταν θέλωμεν νὰ τιμωρήσωμεν καὶ δὲν μᾶς ἀφήνει κάποιος, τότε θυμώνομεν· αὐτὸς ὅμως λέγει· Ἄφησέ με καὶ θὰ θυμώσω, διὰ νὰ μάθῃς ὅτι ὁ θυμὸς δὲν εἶναι πάθος διὰ τὸν Θεόν, ἀλλὰ ἡ τιμωρία ποὺ γίνεται ἐναντίον μας ὀνομάζεται μὲ αὐτὴν τὴν ὀνομασίαν. Ὅταν λοιπὸν ἀκούσῃς τὸν Μωυσῆ νὰ λέγῃ «ἂν θέλῃς νὰ συγχωρήσῃς τὴν ἁμαρτίαν των, συγχώρησέ την»[25], πρὶν ἀπὸ τὸν δοῦλον νὰ ἐκπλαγῇς διὰ τὸν Δεσπότην, διότι αὐτὸς ἔδωσεν εἰς αὐτὸν τὰς ἀφορμὰς αὐτῆς τῆς φιλανθρωπίας. Καὶ δὲν τὸ ἔκαμεν αὐτὸ μόνον ἐδῶ ἀλλὰ καὶ πρὸς τὸν Ἱερεμίαν καὶ πρὸς τὸν Ἰεζεκιὴλ αὐτὸ τὸ ἴδιον λέγει· «Περιέλθετε καὶ ἴδετε εἰς τὰς ὁδοὺς τῆς Ἱερουσαλήμ, ἐὰν ὑπάρχῃ κάποιος ἄνθρωπος ποὺ νὰ ἐκτελῇ τὸ δίκαιον καὶ ζητῇ τὴν ἀλήθειαν θὰ τοὺς συγχωρήσω»[26].

Εἶδες φιλανθρωπίαν; Ἀπὸ τὴν ἀρετὴν τοῦ ἑνὸς συναπολαμβάνουν καὶ πολλοὶ ἀπὸ τοὺς πονηρούς· μὲ τὴν κακίαν δὲ τῶν πολλῶν, καὶ ἂν ἕνας εἶναι αὐτὸς ποὺ ζῇ ἐνάρετα μέσα εἰς ἄπειρον πλῆθος, δὲν καταστρέφεται μαζὶ μὲ αὐτούς· ἀλλὰ ἕνας μόνον ἄνθρωπος ποὺ ζῇ ὀρθά, ἠμπορεῖ νὰ ἀπαλλάξῃ ὁλόκληρον πόλιν ἀπὸ τὴν ὀργὴν τοῦ Θεοῦ, ἐνῷ ὁλόκληρη πόλις διεφθαρμένη δὲν ἠμπορεῖ νὰ τραβήξῃ καὶ νὰ φέρῃ πρὸς αὐτὴν αὐτὸν ποὺ ζῇ ἐνάρετα. Καὶ τοῦτο γίνεται φανερὸν ἀπὸ τὸν Νῶε· ἐνῷ ὅλοι ἐχάνοντο, αὐτὸς διεσῴζετο μόνος. Ἐπίσης γίνεται φανερὸν καὶ ἀπὸ τὸν Μωυσῆ· διότι μόνος του ἠμπόρεσε νὰ ἀπαλλάξῃ διὰ τῆς

ἴσχυσε δῆμον τοσοῦτον παραιτήσασθαι. Ἐγὼ δὲ καὶ ἕτερον μεῖζον ἔχω τῆς φιλανθρωπίας τοῦ Θεοῦ δεῖγμα εἰπεῖν. Ὅταν γὰρ ζῶντας ἀνθρώπους καὶ παρρησίαν ἔχοντας μὴ εὕρῃ δυναμένους ἐξαιτήσασθαι τοὺς ἡμαρτηκότας, ἐπὶ τοὺς τελευτήσαντας καταφεύγει, καὶ δι᾿ ἐκείνους φησὶν ἀφιέναι τὰ ἁμαρτήματα, ὥσπερ οὖν τῷ Ἐζεκίᾳ φησίν· «Ὑπερασπιῶ τῆς πόλεως ταύτης δι᾿ ἐμέ, καὶ διὰ Δαυῒδ τὸν παῖδά μου, τὸν ἤδη τετελευτηκότα».

Ταῦτ᾿ οὖν εἰδότες ὅτι πάντα κινεῖ καὶ πραγματεύεται ὁ Θεός, ὥστε ἡμᾶς ἀπαλλάξαι κολάσεως καὶ τιμωρίας, πολλὰς παρέχωμεν αὐτῷ τὰς ἀφορμάς, ἐξομολογούμενοι, μετανοοῦντες, δακρύοντες, εὐχόμενοι, τοῖς πλησίον τὴν ὀργὴν ἀφιέντες, τὴν τῶν πέλας πενίαν διορθούμενοι, ἐν ταῖς εὐχαῖς νήφοντες, ταπεινοφροσύνην ἐπιδεικνύμενοι, τῶν ἁμαρτημάτων μεμνημένοι συνεχῶς.

Οὐ γὰρ ἀρκεῖ τὸ εἰπεῖν, ὅτι ἁμαρτωλός εἰμι, ἀλλὰ δεῖ καὶ κατ᾿ εἶδος αὐτῶν μεμνῆσθαι τῶν πλημμελημάτων. Καθάπερ γὰρ πῦρ εἰς ἀκάνθας ἐμπεσὸν ἀφανίζει ῥᾳδίως αὐτάς, οὕτω καὶ λογισμὸς συνεχῶς παρ᾿ ἑαυτῷ περιστρέφων τὰ πεπλημμελημένα, ῥᾳδίως αὐτὰ ἀπόλλυσι καὶ καταδύει. Ὁ δὲ Θεὸς ὁ ὑπερβαίνων ἀνομίας, ἐξαίρων ἀδικίας, καὶ τῶν ἁμαρτιῶν ἡμᾶς ἀπαλλάξειε, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἀξιώσειε, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δι᾿ οὗ καὶ μεθ᾿ οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

27. Δ′ Βασ. 20, 6.

ἱκεσίας του τόσον πλῆθος λαοῦ ἀπὸ τὴν τιμωρίαν. Ἐγὼ δὲ ἔχω καὶ ἄλλον μεγαλύτερον λόγον νὰ τὸν ἀναφέρω ὡς παράδειγμα τῆς φιλανθρωπίας τοῦ Θεοῦ. Διότι ὅταν δὲν εὕρῃ ζωντανοὺς ἀνθρώπους οἱ ὁποῖοι καὶ παρρησίαν ἔχουν νὰ τὸν παρακαλέσουν διὰ τοὺς ἁμαρτωλούς, καταφεύγει εἰς αὐτοὺς ποὺ ἔχουν ἀποθάνει καὶ λέγει ὅτι συγχωρεῖ τὰ ἁμαρτήματα ἐξ αἰτίας ἐκείνων, ὅπως ἀκριβῶς λέγει εἰς τὸν Ἐζεκίαν· «Θὰ ὑπερασπισθῶ τὴν πόλιν αὐτὴν πρὸς χάριν ἐμοῦ τοῦ ἰδίου καὶ πρὸς χάριν τοῦ δούλου μου τοῦ Δαβίδ, ὁ ὁποῖος ἤδη ἔχει ἀποθάνει»[27].

Γνωρίζοντες λοιπὸν αὐτὰ ὅτι τὰ πάντα μετέρχεται καὶ χρησιμοποιεῖ ὁ Θεός, ὥστε νὰ μᾶς ἀπαλλάξῃ ἀπὸ τὴν κόλασιν καὶ τὴν τιμωρίαν, ἂς παρέχωμεν εἰς αὐτὸν πολλὰς ἱὰς ἀφορμὰς πρὸς τοῦτο, μὲ τὴν ἐξομολόγησιν, μὲ τὴν μετάνοιαν, μὲ τὰ δάκρυα, μὲ τὰς προσευχάς, μὲ τὸ νὰ ἀπομακρύνωμεν τὴν ὀργήν μας ἀπὸ τοὺς συνανθρώπους μας, μὲ τὸ νὰ ἱκανοποιοῦμεν τὴν πενίαν τῶν πλησίον μας, μὲ τὸ νὰ εἴμεθα σώφρονες καὶ προσεκτικοὶ εἰς τὰς προσευχάς, μὲ τὸ νὰ ἐπιδεικνύωμεν ταπεινοφροσύνην, μὲ τὸ νὰ ἐνθυμούμεθα συνεχῶς τὰ ἁμαρτήματά μας.

Δὲν εἶναι ἀρκετὸν μόνον τὸ νὰ εἴπουμεν, ὅτι εἶμαι ἁμαρτωλός, ἀλλὰ πρέπει νὰ ἐνθυμούμεθα τὰ πλημμελήματά μας αὐτὰ τὸ καθένα ξεχωριστά. Διότι ὅπως ἀκριβῶς ἐξαφανίζει εὐκόλως τὰς ἀκάνθας, ὅταν πέσῃ φωτιὰ εἰς αὐτάς, ἔτσι καὶ ὁ λογισμὸς ὅταν ἐνθυμῆται συνεχῶς τὰ πλημμελήματα, εὔκολα τὰ ἐξολοθρεύει καὶ τὰ καταβυθίζει. Ὁ δὲ Θεὸς ὁ ὁποῖος παραβλέπει τὰς ἀνομίας, καὶ ἀπομακρύνει τὰς ἀδικίας, εἴθε νὰ μᾶς ἀπαλλάξῃ καὶ ἀπὸ τὰς ἁμαρτίας μας καὶ νὰ μᾶς ἀξιώσῃ τῆς βασιλείας τῶν οὐρανῶν, διὰ τῆς χάριτος καὶ τῆς φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἀνήκει δόξα εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

5.

ΕΙΣ ΤΟ, «ΠΑΝ ΑΜΑΡΤΗΜΑ *ὃ ἐὰν ποιήσῃ ἄνθρωπος ἐκτὸς τοῦ σώματός ἐστιν».*

Φοβερὰ τῆς ἀποστολικῆς παραγγελίας ἡ σάλπιγξ, πολλὰ μὲν καὶ ἄλλα τὸν τῆς εὐσεβείας ἀρτίως μαρτυρομένη στρατόν, μάλιστα δὲ τῶν τῆς αἰσχρότητος βαράθρων ἐλαύνουσα, καὶ δὴ καὶ στρατιωτικὴν πρὸς τῷ τέλει παραγγελίαν προσθεῖσα· «Φεύγετε», φησί, «τὴν πορνείαν· πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν». Οἱ γὰρ τῶν αἰσθητῶν στρατιῶται πολέμων, νῦν μὲν ἀντιπροσώπῳ συμβολῇ, νῦν δὲ φυγῇ κεχρημένοι, τὰς παρατάξεις σοφίζονται. Ἔστι καὶ πόλεμος ψυχαῖς, ἀντιστάσει καὶ φυγῇ στρατηγούμενος· καὶ τοῦτο Παῦλος εἰδώς, ὁ τῶν τῆς εὐσεβείας τακτικῶν εὐτεχνίας· καὶ νῦν μὲν τὴν πρὸς τὴν μάχην ἐπιμονὴν παραγγέλλει· «Στῆτε», λέγων, «περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ», νῦν δὲ φυγῇ σοφίζεται τὸ πολεμοῦν συμβουλεύων· «Φεύγετε τὴν πορνείαν». Ἂν πόλεμος ἀπιστίας ἐκβαλῇ, χρήσιμος πρὸς ἐκεῖνον ἀντίστασις· ἂν δόλων ἀπειλῆται παράταξις, καλὴ τῆς πρὸς τοὺς ἀνταγωνισμοὺς τούτους προσεδρία· ἂν συκοφαντίας ἐπιφέρηται τόξον, λυσιτελὴς ἀντιπρόσωπος συμβολὴ πρὸς τὸ ψεῦδος. Ὅταν δὲ μορφὴ πορνική που τοξεύῃ, νῶτα διδόναι καλὸν καὶ τὴν ἀντιπρόσωπον φυγήν. Κατευστοχεῖ γὰρ ὀφθαλμῶν ἡ πορνεία καὶ δεῖ μεμνῆσθαι τοῦ στρατηγοῦ παραγγέλλοντος, «Φεύγετε τὴν πορνείαν». Ἔχει γάρ τι τῶν ἄλλων πονηρευμάτων φευκτότερον.

1. Α΄ Κορ. 6, 18.
2. Α΄ Κορ. 6, 18.
3. Ἐφεσ. 6, 14.

5.

ΕΙΣ ΤΟ «ΠΑΝ ΑΜΑΡΤΗΜΑ
πού ἤθελε πράξει ὁ ἄνθρωπος, εἶναι ἁμάρτημα πού διαπράττεται ἔξω ἀπὸ τὸ σῶμα»[1].

Εἶναι φοβερὰ ἡ σάλπιγγα τῆς ἀποστολικῆς παραγγελίας, πολλὰ μὲν καὶ ἄλλα φανερώνει, δείχνει τὸν στρατὸν τῆς εὐσεβείας, μάλιστα δὲ φθάνει εἰς τὰ βάραθρα τῆς αἰσχρότητος καὶ προσθέτει εἰς τὸ τέλος καὶ στρατιωτικὴν παραγγελίαν· «Ἀποφεύγετε», λέγει, «τὴν πορνείαν· ὁποιοδήποτε ἄλλο ἁμάρτημα καὶ ἂν πράξῃ ὁ ἄνθρωπος, εἶναι ἁμάρτημα πού διαπράττεται ἔξω ἀπὸ τὸ σῶμα»[2]. Διότι οἱ στρατιῶται τῶν κοσμικῶν πολέμων, ἄλλοτε μὲν μὲ κατὰ μέτωπον ἐπίθεσιν, ἄλλοτε δὲ κάνοντες χρῆσιν τῆς φυγῆς διεξάγουν τοὺς πολέμους. Ὑπάρχει καὶ πόλεμος πού διεξάγεται εἰς τὰς ψυχάς, πού περιλαμβάνει ἀντίστασιν καὶ φυγήν, πού τὸν γνωρίζει ὁ Παῦλος, ὁ ἄριστος στρατηλάτης τῶν τακτικῶν στρατῶν τῆς εὐσεβείας· καὶ ἄλλοτε μὲν παραγγέλλει νὰ ἐπιδεικνύεται ἐπιμονὴ εἰς τὴν μάχην, λέγων· «Σταθῆτε ἀκλόνητοι εἰς τὸν ἀγῶνα αὐτόν, ἀφοῦ ζωσθῆτε τὴν ἀλήθειαν, ὡσὰν τὴν ζώνην πού σφίγγουν εἰς τὴν μέσην των οἱ πολεμισταί»[3], ἄλλοτε δὲ συμβουλεύων τοὺς πολεμοῦντας νὰ χρησιμοποιοῦν τὴν φυγήν, λέγει· «Ἀποφεύγετε τὸν μολυσμὸν τῆς πορνείας». Ἂν προσπαθῇ νὰ ἐκδιώξῃ κάποιον ὁ πόλεμος τῆς ἀπιστίας, εἶναι χρήσιμος ἡ ἀντίστασις πρὸς ἐκεῖνον, ἂν ἀπειλῆται ἡ παράταξις ἀπὸ δόλους, εἶναι καλὴ ἡ διαρκὴς ἐπαγρύπνησις πρὸς τοὺς ἀντιπάλους αὐτούς· ἂν κινῆται ἐναντίον μας τὸ ὅπλον τῆς συκοφαντίας ὠφέλιμος εἶναι ἡ συμβουλὴ πρὸς ἀντιμετώπισιν τοῦ ψεύδους. Ὅταν ὅμως τοξεύῃ κάποια πορνικὴ μορφὴ καλὸν εἶναι νὰ στρέψωμεν τὰ νῶτα καὶ νὰ ἀποφύγωμεν τὸν ἀντίπαλόν μας. Καθόσον βάλλει εὐστόχως ἐναντίον τῶν ὀφθαλμῶν ἡ πορνεία καὶ πρέπει νὰ ἐνθυμηθῶμεν τὸν στρατηγὸν ὁ ὁποῖος παραγγέλλει· «ἀποφεύγετε τὴν πορνείαν». Διότι ἔχει κάτι, ἐν σχέσει μὲ τὰς ἄλλας πονηρίας, πού πρέπει νὰ ἀποφεύγεται.

Τὰ μὲν γὰρ ἄλλα τῆς ἁμαρτίας κακὰ φείδεσθαι δοκεῖ τῆς τῶν πραττόντων σαρκός, καὶ τὸ πραχθὲν εἰς μόνον τὸν τὴν πρᾶξιν δεχόμενον ἵστησιν· οἷον ἐν ταῖς ἁρπαγαῖς τῶν ἁρπασθέντων τὸ ζημίωμα μόνον, ἐν τῇ τῶν φθόνων ἰσχύϊ περὶ τοὺς φθονουμένους τὸ πάθος ἐκρήγνυται· ἐν ταῖς συκοφαντίαις, ὅταν τύχωσι πίστεως, μόνων αὖθις τῶν συκοφαντουμένων ὁ κίνδυνος· ἐν ταῖς τῶν φόνων ὡσαύτως τολμήμασιν τοῦ δεξαμένου τὴν σφαγὴν τὸ δυσπράγημα. Πᾶσαν ἄν τις ἔργων ἀδίκων ἐπερχόμενος πρᾶξιν, εὑρήσει τὴν μὲν τῶν ἀδικούντων μερίδα κερδαίνουσαν, τὴν δὲ τῶν ἀδικουμένων ζημιουμένην· πορνεία δὲ τὴν τοιαύτην οὐκ οἶδε διαίρεσιν· οὐδὲ χωρίζει τὴν τοῦ παθόντος ἐκ τοῦ δράσαντος πρᾶξιν, ἀλλὰ συγκαταστρέφει πρὸς ἀτιμίαν ἐπίκοινον, συνάπτει δεσμῷ μολυσμοῦ. Τοῖς πλεονέκταις ἐστὶ ζημιώμασιν ἄλλον ζημιοῦσθαι μηδέν, τοῖς πόρνοις δὲ οὐκ ἔστιν οὐδὲν καταισχύνασιν σῶμα, μὴ τῷ καταισχυνθέντι συγκαταισχύνεσθαι. Τοῖς πεφονευκόσιν ἐστὶν ἐργασαμένοις τὸν φόνον, τοῖς σφαγεῖσι μὴ συνεσφάχθαι, τοῖς πόρνοις δὲ οὐκ ἔστι μολύνασι σάρκα, τοῦ μολυσμοῦ καθαρεύειν.

Καὶ σκόπει μοι τὴν εἰς τοῦτο τοῦ Παύλου λεπτολογίαν· «Φεύγετε», φησίν, «τὴν πορνείαν». Διὰ τί; «Ὅτι πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν», τοῦτ' ἔστιν, τῇ τοῦ σώματος μὴ λυμαινόμενον φύσει, τῇ τῶν μελῶν μὴ συνιστάμενον ὕβρει, τῷ τῆς σαρκὸς μολυσμῷ μὴ συμπληρούμενον, ἀλλ' ἔξω τῆς τοῦ πράξαντος σώματος ἐνεργούμενον βλάβης. Ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει, οὐχ ὥσπερ ὁ φονεὺς εἰς ἀλλότριον, ἄτρωτον τὸ ἑαυτοῦ

Πράγματι ὅλα τὰ ἄλλα κακὰ τῆς ἁμαρτίας φαίνονται ὅτι δὲν καταστρέφουν τὸ σῶμα αὐτῶν ποὺ πράττουν τὴν ἁμαρτίαν, καὶ ἡ ἐπιτελεσθεῖσα πρᾶξις βλάπτει αὐτὸν μόνον ποὺ διαπράττεται εἰς βάρος του, ὅπως κατὰ τὰς διαφόρους ἁρπαγὰς ἡ ζημία γίνεται εἰς τοὺς ἁρπασθέντας μόνον, εἰς τὴν περίπτωσιν τῶν φθόνων τὸ πάθος ἐκσπᾷ γύρω ἀπὸ τοὺς φθονουμένους. Εἰς τὰς συκοφαντίας ὅταν γίνουν πιστευταί, ὁ κίνδυνος περιορίζεται πάλιν μόνον εἰς αὐτοὺς ποὺ συκοφαντοῦνται· εἰς τὰς περιπτώσεις πάλιν τοῦ φόνου τὸ δυσάρεστον συμβαίνει εἰς ἐκεῖνον ποὺ ἐφονεύθη. Καὶ ἂν κάποιος ἐξετάσῃ μὲ προσοχὴν κάθε πρᾶξιν ἄδικον, θὰ διαπιστώσῃ ὅτι ἡ μὲν πλευρὰ τῶν ἀδικούντων εἶναι ἡ κερδισμένη, ἡ δὲ τῶν ἀδικουμένων ἡ ζημιουμένη. Ἡ πορνεία ὅμως δὲν γνωρίζει αὐτὴν τὴν διάκρισιν, οὔτε χωρίζει τὴν πρᾶξιν τοῦ παθόντος ἀπὸ τὴν τοῦ δράστου, ἀλλὰ τοὺς καταστρέφει καὶ τοὺ δύο μαζί, τοὺς ὁδηγεῖ εἰς τὴν περιφρόνησιν καὶ τοὺς συνδέει μὲ τὸν δεσμὸν τοῦ μολυσμοῦ. Εἰς τοὺς πλεονέκτας συμβαίνει νὰ ζημιώνουν κάποιον, οἱ ἴδιοι δὲ οὐδόλως νὰ ζημιοῦνται, εἰς τοὺς πόρνους ὅμως δὲν εἶναι δυνατὸν κανεὶς ἀπὸ αὐτοὺς ποὺ ἀτιμάζουν τὸ σῶμα νὰ μὴ ἀτιμάζεσαι καὶ ὁ ἴδιος μὲ τὸ ἀτιμασθὲν σῶμα. Εἰς αὐτοὺς ποὺ διαπράττουν φόνον εἶναι δυνατὸν νὰ διαπράξουν τὸν φόνον χωρὶς νὰ σφαγοῦν μαζὶ μὲ τὸν φονευθέντα καὶ οἱ φονεῖς, εἰς τοὺς πόρνους ὅμως δὲν συμβαίνει αὐτοὶ ποὺ ἔχουν μολύνει τὴν σάρκα νὰ παραμένουν καθαροὶ ἀπὸ τὸν μολυσμόν.

Καὶ πρόσεξε τὴν λεπτολογίαν τοῦ Παύλου σχετικὰ μὲ τὸ θέμα αὐτό· «Ἀποφεύγετε», λέγει, «τὴν πορνείαν». Διατί; «Διότι ὁποιοδήποτε ἄλλο ἁμάρτημα καὶ ἂν διαπράξῃ ὁ ἄνθρωπος εἶναι ἁμάρτημα ποὺ διαπράττεται ἔξω ἀπὸ τὸ σῶμα», δηλαδὴ δὲν ἐπιφέρει καμμίαν βλάβην εἰς τὴν φύσιν τοῦ σώματος, δὲν ἀτιμάζει ὡς πρὸς τίποτε τὰ μέλη τοῦ σώματος δὲν συντελεῖ εἰς τὸν μολυσμὸν ὁλοκλήρου τῆς σαρκός, ἀλλὰ ἡ βλάβη ποὺ προξενεῖται ἀπὸ τὸ ἁμάρτημα εὑρίσκεται ἔξω ἀπὸ τὸ σῶμα αὐτοῦ ποὺ τὸ διαπράττει. Αὐτὸς ὅμως ποὺ πορνεύει ἁμαρτάνει εἰς τὸ ἰδικόν του σῶμα,

σῶμα διασώζων, οὐχ ὥσπερ ὁ πλεονέκτης εἰς ἕτερον, τὴν τῆς ἰδίας σαρκὸς φυλαττόμενος βλάβην, ἀλλ' αὐτὸς ἑαυτοῦ διαφθορεὺς ὁ πόρνος, αὐτὸς ὑφ' ἑαυτοῦ τῷ τῆς ἀτιμίας περιπείρεται βέλει. Ὁ κλέπτης, ἵνα θρέψῃ τὸ σῶμα, τολμᾷ τὸ πλημμέλημα, ὁ πόρνος δὲ τῇ τῆς ἰδίας σαρκὸς προσεδρεύει λῃστείᾳ. Τὸν πλεονέκτην πρὸς ἁρπαγὴν ἐρεθίζει φιλοκερδὴς λογισμός, πορνεία δὲ τῆς τοῦ σώματος ζημία σεμνότητος. Τῷ βασκάνῳ κατασκευάζει τὸ πάθος δοξαζόμενος ἕτερος, ὁ πόρνος δὲ τῆς ἰδίας αὐτουργὸς ἀδοξίας.

Τί γὰρ ἀδοξότερον σκευοφόρου πορνείας; Πᾶσα μὲν γὰρ ἄδοξος ἁμαρτίας δουλεία, ἀτιμοῖ γὰρ τῆς ψυχῆς τὴν εὐγένειαν, ὁ δὲ πόρνος ἁμαρτίας ἀδοξότερος δοῦλος, βόρβορον ἀντλεῖν παρ' αὐτῇ τεταγμένος, μολυσμοῦ συνάγειν σωρόν, ἀκαθάρτῳ λειτουργεῖν ἐργασίᾳ, ἡδονῶν ἐγκυλίεσθαι πηλῷ, αἰσχρότητα τρίβεσθαι, ῥάκους ἔχειν τὸ σῶμα μὴ διαλλάττον. Ποία γὰρ ῥάκους καὶ πόρνου διαφορά; Τοῦ τῆς εὐσεβείας ἀπεσχίσθαι σώματος. Φθείρεται καθημερινῇ σηπεδόνι ταῖς τῆς ἁμαρτίας ὁδοῖς· ὡς ἄχρηστον ἐναπέρριπται ῥάκος· κεῖται πᾶσιν καταπάτημα δαίμοσιν· εἰς αὐτὸ ὁ διάβολος τὴν ἰδίαν ἀπομάσσεται σῆψιν. Τῆς νοητῆς δὲ τοῦ πόρνου κακοπραγίας ἡ πρόδηλος καὶ σαφής, οὐκ ἐλάττων. Ἔστιν γὰρ φευκτὸς οἰκίαις, ἀπευκτὸς συντυχίαις, τοῖς πλησιάζουσιν ὕβρις, τοῖς ἐχθραίνουσιν ὄνειδος, συγγενέσιν αἰσχύνη, συνοίκοις ἐπάρατος, ἀθυμία γονεῦσιν, οἰκέταις θεατρισμὸς γελώμενος, διήγημα γείτοσιν, γῆμαι σπουδάζων ἀπόβλητος, ὕποπτος μετὰ γάμον νυμφίος, μισούμενος τέκνοις πατήρ, εὐκατα-

ὄχι ὅπως ὁ φονιᾶς εἰς ξένον, διατηρῶν τὸ ἰδικόν του σῶμα ἀπρόσβλητον, ὄχι ὅπως ὁ πλεονέκτης εἰς ἄλλον, προφυλάσσων τὸ ἰδικόν του σῶμα ἀπὸ τὴν βλάβην, ἀλλ' ὁ πόρνος εἶναι ὁ ἴδιος διαφθορεὺς τοῦ ἑαυτοῦ του, ὁ ἴδιος πληγώνεται ὑπὸ τοῦ ἑαυτοῦ του μὲ τὸ βέλος τῆς ἀτιμίας. Ὁ κλέπτης διαπράττει τὴν κλοπὴν διὰ νὰ θρέψῃ τὸ σῶμα του, ὁ πόρνος ὅμως ἐπιδίδεται εἰς τὴν ληστείαν τοῦ ἰδίου του σώματος. Τὸν πλεονέκτην τὸν ὁδηγεῖ πρὸς τὴν ἁρπαγὴν ἡ φιλοκερδὴς σκέψις, ἡ πορνεία ὅμως ζημιώνει τὴν σεμνότητα τοῦ σώματος. Εἰς τὸν φθονερὸν ἄνθρωπον δημιουργεῖται τὸ πάθος τοῦ φθόνου τὸ ὅτι δοξάζεται κάποιος ἄλλος, ὁ πόρνος ὅμως γίνεται ὁ ἴδιος αὐτουργὸς τῆς κακῆς ὑπολήψεως.

Πράγματι τί εἶναι πιὸ ἀνυπόληπτον ἀπὸ τὴν δουλείαν τῆς πορνείας; Διότι κάθε ὑποδούλωσις εἰς τὴν ἁμαρτίαν εἶναι κατακριτέα, ἐπειδὴ ἀτιμάζει τὴν εὐγένειαν τῆς ψυχῆς, ὁ πόρνος ὅμως εἶναι ὁ πλέον ἀξιοπεριφρόνητος δοῦλος τῆς ἁμαρτίας, διότι ἔχει ὡς ἔργον του νὰ ἀντλῇ βοῦρκον ἀπὸ αὐτήν, νὰ συγκεντρώνῃ σωρὸν μολυσμοῦ, νὰ ἐκτελῇ ἀκάθαρτον ἐργασίαν, νὰ κυλίεται εἰς τὴν λάσπην τῶν ἡδονῶν, νὰ περνᾷ τὴν ζωήν του μέσα εἰς τὴν αἰσχρότητα καὶ νὰ ἔχῃ τὸ σῶμα του εἰς τοιαύτην κατάστασιν ποὺ νὰ μὴ διαφέρῃ ἀπὸ τὸ ράκος. Διότι τί διαφορὰ ὑπάρχει μεταξὺ πόρνου καὶ ράκους; Ἔχει ἀποχωρισθῆ τὸ σῶμα του ἀπὸ τὴν εὐσέβειαν. Φθείρεται μὲ τὴν καθημερινὴν σαπίλαν εἰς τὰς ὁδοὺς τῆς ἁμαρτίας· ἔχει ἀπορριφθῆ ὡς ἄχρηστον ράκος καὶ εἶναι καταπάτημα εἰς ὅλους τοὺς δαίμονας· εἰς αὐτὸ τὸ ράκος ὁ διάβολος σπογγίζει ὅλην τὴν σαπίλαν του. Δὲν εἶναι δὲ μικροτέρα ἡ ὁλοφάνερη καὶ πλήρης δυστυχία τοῦ πόρνου. Διότι ἀποφεύγουν νὰ τὸν δεχθοῦν εἰς τὰ σπίτια, εἶναι ἀνεπιθύμητος εἰς τὰς συναναστροφάς, περιφρονεῖται ἀπὸ αὐτοὺς ποὺ τὸν πλησιάζουν, ὄνειδος εἰς τοὺς ἐχθρούς του, ἐντροπὴ εἰς τοὺς συγγενεῖς, μισητὸς εἰς τοὺς συγκατοίκους, λύπη εἰς τοὺς γονεῖς, ἐμπαιγμὸς εἰς τοὺς δούλους, θέμα συζητήσεως εἰς τοὺς γείτονας, δὲν γίνεται δεκτὸς ἐπιδιώκων νὰ νυμφευθῇ, ὕποπτος νυμφίος μετὰ τὸν γάμον, πατὴρ μισούμενος ἀπὸ τὰ τέκνα, μὴ ὑπολογίσιμος

φρόνητος σύμβουλος, ἀηδὴς χαριζόμενος, αἰτῶν ἀηδέστερος, πόρρωθεν ὀφθεὶς λυπηρός, νοσῶν ἀθλιώτερος, τεθνεὼς ἀτιμότερος. Τοσούτου πλήθους κακῶν τὴν πορνείαν Παῦλος μητέρα θεώμενος, τὴν νικητήριον ἡμῖν ἀρτίως φυγὴν παραγγέλλων ἐβόα· «Φεύγετε τὴν πορνείαν».

Ἡ τοῦ Παύλου φωνὴ νεανίσκου με νῦν ἀνέμνησεν σώφρονος κατ' Αἰγυπτιακῆς πορνείας διὰ φυγῆς ἀριστεύσαντος· καί τοί γε πολλὰ τῷ νεανίσκῳ τὴν πειθὼ κατεσκεύαζεν· ἡλικία φιλήδονος, δουλείας ζυγός, δεσποίνης ἐρωτικὴ κολακεία, διάλεξις συνεχής, ἀσελγείας λαθραία πρὸς μίξιν παράκλησις· «Ἐγένετο γάρ», φησίν, «τοιαύτη τις ἡμέρα, καὶ εἰσῆλθεν Ἰωσὴφ εἰς τὴν οἰκίαν ποιεῖν τὰ ἔργα αὐτοῦ· καὶ οὐδεὶς ἦν τῶν ἐν τῇ οἰκίᾳ ἔσω. Καὶ ἐπεσπάσατο τῶν ἱματίων αὐτοῦ ἡ δέσποινα αὐτοῦ, λέγουσα· Κοιμήθητι μετ' ἐμοῦ». Μέγα τὸ τῆς σωφροσύνης ἀξίωμα· τοῦ δούλου τὴν δέσποιναν κατεσκεύασεν δούλην· ὁ μὲν γὰρ ἱκετεύετο, ἡ δὲ ἱκέτευεν· «Κοιμήθητι μετ' ἐμοῦ». Πεπυρωμένον τῆς πορνείας τὸ βέλος, ἀλλ' ὕλην ψυχῆς κειμένην οὐχ εὗρεν, εἰς ἐσθῆτα δὲ τὴν διάλυσιν ἔσχεν, ἣν τὸ τῆς πορνείας ἀναιδὲς περισφίγγον ἐβόα· «Κοιμήθητι μετ' ἐμοῦ».

Μυκᾶται τὸν τῆς πορνικῆς ἐπιθυμίας λιμόν, ἀλλ' ἔκλεισε μᾶλλον τὰ τοῦ σώφρονος ὦτα· ἡ μὲν γὰρ ἔλεγεν· «Κοιμήθητι μετ' ἐμοῦ»· Ἀνεκήρυττε δὲ ἡ σωφροσύνη τῷ νέῳ, «Γρηγόρησον μετ' ἐμοῦ», καὶ τοῖς ἔργοις ἐδήλου τὸ ἄγρυπνον. Οὐ γὰρ ἐνύσταζεν ταῖς κολακείαις ὁ τόνος, οὐχ ὕπνωσεν ἡ γνώμη ταῖς ἐπῳδαῖς, οὐκ ἐκαθεύδησεν τῆς σωφροσύνης ἡ νῆψις, οὐ ταῖς κατεχούσαις ὑπεξελύθη λαβαῖς, οὐ τοῖς τῆς μορφῆς καλλωπισμοῖς ἡλιεύθη, οὐ ῥημάτων ἐρωτικῶν διεκλάσθη θωπείαις, ἀλλ' ἦν αὐτῷ πικροτέρα λοιδορίας δε-

4. Γεν. 39, 11-12.

σύμβουλος, σιχαμερὸς ὅταν δέχεται κάποιαν χάριν, συχαμερώτερος δὲ ὅταν ζητῇ κάτι, διακρίνεται ἀπὸ πολὺ μακρυὰ ἡ λύπη του, εἶναι ἀθλιώτερος ἀπὸ τοὺς πάσχοντας, ἀξιοκαταφρόνητος ὅταν ἀποθάνῃ. Βλέπων ὁ Παῦλος τὴν πορνείαν νὰ εἶναι μητέρα τόσου μεγάλου πλήθους κακῶν, παραγγέλλων εἰς ἡμᾶς τὴν πλήρη νικητήριον φυγήν, ἔλεγεν· «Νὰ ἀποφεύγετε τὴν πορνείαν».

Ἡ φωνὴ τοῦ Παύλου μοῦ ἐνεθύμησε τώρα ἕνα συνετὸν νεανίσκον ὁ ὁποῖος ὑπερίσχυσεν διὰ τῆς φυγῆς ἐναντίον τῆς Αἰγυπτιακῆς πορνείας· μολονότι βεβαίως ὑπῆρχον πολλαὶ προδιαθέσεις ποὺ ἠμποροῦσαν νὰ πείσουν τὸν νεανίσκον, ὅπως ἡ φιλήδονος ἡλικία, ὁ ζυγὸς τῆς δουλείας, ἡ ἐρωτικὴ θωπεία τῆς οἰκοδεσποίνης, ἡ συνεχὴς συνομιλία, κρυφὴ παράκλησις πρὸς ἐρωτικὴν μίξιν· διότι, λέγει, «συνέβη κάποια ἡμέρα κατὰ τὴν ὁποίαν εἰσῆλθεν ὁ Ἰωσὴφ εἰς τὴν οἰκίαν διὰ νὰ κάμῃ τὴν ἐργασίαν του, καὶ δὲν ὑπῆρχε μέσα κανεὶς ἀπὸ τοὺς δούλους· καὶ τότε τὸν ἐκράτησε ἀπὸ τὰ ἐνδύματά του ἡ οἰκοδέσποινα, λέγουσα· ἔλα νὰ κοιμηθῇς μαζί μου»[4]. Μεγάλη ἡ ἀξία τῆς σωφροσύνης· τὴν κυρίαν τοῦ δούλου τὴν ἔκανε δούλην· διότι ὁ μὲν δοῦλος παρεκαλεῖτο, αὐτὴ δὲ παρεκάλει· «Ἔλα νὰ κοιμηθῇς μαζί μου». Καταφλογισμένον τὸ βέλος τῆς πορνείας, ἀλλὰ δὲν ἠμπόρεσε νὰ εὕρῃ ὡς στόχον τὴν ψυχὴν καὶ διελύθη εἰς τὰ ἐνδύματα, τὰ ὁποῖα καθὼς τὰ περιέσφιγγεν ἡ ἀναίδεια τῆς πορνείας ἐφώναζε· «Ἔλα καὶ κοιμήσου μαζί μου».

Μουγκρίζει ἡ πειναλέα πορνικὴ ἐπιθυμία, ἀλλὰ ἔκλειεν ἔτσι περισσότερον τὰ αὐτιὰ τοῦ σώφρονος· διότι αὐτὴ μὲν ἔλεγε· «ἔλα κοιμήσου μαζί μου»· ἀντέλεγεν δὲ ἡ σωφροσύνη εἰς τὸν νέον, «Νὰ ἐπαγρυπνῇς μαζί μου», καὶ ἐμπράκτως ἐφανέρωνε τὸ ἄγρυπνον. Διότι δὲν ἐκυριεύθησαν αἱ σωματικαί του δυνάμεις ἀπὸ τὰς θωπείας, δὲν ἀπεκοιμήθη ἡ διάθεσις εἰς τὰ θελκτικῶς ἐπαναλαμβανόμενα λόγια, δὲν ἐκοιμήθη ἡ νηφαλιότης τῆς σωφροσύνης, δὲν ἐξησθένησεν ἀπὸ τὰς διαφόρους λαβὰς ποὺ τὸν ἐκρατοῦσαν, δὲν ἐσαγηνεύθη ἀπὸ τοὺς καλλωπισμοὺς τῆς ὄψεως, ἀλλ' ἐφαίνετο εἰς αὐτὸν πικροτέρα ἀπὸ τὴν ὕβριν ἡ φωνὴ τῆς κυρίας του ἡ κο-

σποίνης ἡ φωνὴ κολακευούσης· «Κοιμήθητι μετ' ἐμοῦ». Ἕτοιμος εἱστήκει διάβολος νυμφαγωγὸς τῆς μοιχείας, καὶ συνέσφιγγε τὴν ἐσθῆτα τῇ πόρνῃ, καὶ τῶν παρ' ἐκείνης συνεκοινώνει λαβών· οὐκ ἤδει δὲ τεχνίτῃ παλαίων ἀθλητῇ σωφροσύνης, καὶ καλῶς τὰς ἐκείνης ἀπεκδυομένῳ λαβάς, «Καταλιπὼν» γάρ, φησίν, «τὰ ἱμάτια αὐτοῦ εἰς τὰς χεῖρας αὐτῆς, ἔφυγεν καὶ ἐξῆλθε γυμνὸς ἔξω». Ὢ γυμνότητος ἁγιωτέρας ἐνδύσεως! Τί οὖν τῆς Αἰγυπτιακῆς ἀκολασίας ἡ λύσσα; Τὰ ἑαυτῆς κακὰ τῷ Ἰωσὴφ περιτίθησιν, καὶ δραμοῦσα πρὸς τὸν ἄνδρα φησίν· «Εἰσήγαγες ἡμῖν παῖδα Ἑβραῖον ἐμπαίζειν ἡμῖν, καὶ εἶπέν μοι, τῇ γυναικί σου, τῇ μέχρι τοῦ νῦν σωφρόνως φυλαξάσῃ τὴν κοίτην σου· Κοιμηθήσομαι μετὰ σοῦ· Ὡς δὲ ὕψωσα τὴν φωνήν μου καὶ ἀνεβόησα, ἀφῆκε τὰ ἱμάτια αὐτοῦ παρ' ἐμοί, καὶ ἔφυγε καὶ ἐξῆλθεν ἔξω».

Πάλιν Ἰωσὴφ δι' ἐσθῆτος συκοφαντεῖται· ἀδελφοὶ πρότερον αὐτοῦ λαβόντες τὸν χιτῶνα, ὡς θηριόβρωτον αὐτὸν δι' ἐκείνου κακούργως ἐσυκοφάντουν, νῦν αὐτὴ τὸν χιτῶνα λαβοῦσα, ὡς πόρνον διαβάλλει. Πρέπουσα τῷ Ἰωσὴφ τοῦ Δεσπότου φωνή· «Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἐπέβαλον ψῆφον». Γλυκεῖα τῷ τῶν σωφρόνων στρατῷ τῆς σωφροσύνης ἡ ἱστορία, ἀλλ' ἐπίπονος τῇ τῆς σαρκὸς ἀσθενείᾳ. Ὢ τῆς δικαίας ἐπὶ τῷ Ἰωσὴφ παρὰ Θεοῦ προστασίας! Πρὸ τῶν πειρασμῶν τὸν Ἰωσὴφ οὐκ ἐτίμησεν, ἀλλ' ἔδειξεν δι' ὀνειράτων τὰ μέλλοντα, διδάσκων, ὅτι πόρρωθεν δόξαν τοῖς δικαίοις εὐτρέπιζεν· συνεχώρησεν δὲ τοῖς πειρασμοῖς δοκιμάσαι τὸν νέον, τὰς τῶν φιλοψόγων ἀποκλείων φωνάς. Ἤμελλον γάρ, δοκιμὴν μὴ δεδωκότος τοῦ Ἰωσήφ, οἱ φιλόψογοι λέγειν· συντυχίας τυφλῆς τὰ πραττόμενα. Αἰγυπτίων Ἰωσὴφ βασιλεύει; Βαρβά-

---

5. Γεν. 39, 13.
6. Γεν. 39, 14 καὶ 17-19.
7. Πρβλ. Γεν. 37, 23-33.
8. Ψαλμ. 22, 19 καὶ Ματθ. 27, 35· Μάρκ. 15, 24· Λουκᾶ 23, 34· Ἰω. 19, 24.

λακεύουσα· «Ἔλα νὰ κοιμηθῇς μαζί μου». Ἵστατο ἕτοιμος ὁ διάβολος παράνυμφος τῆς μοιχείας καὶ ἔσφιγγε μαζὶ μὲ τὴν πόρνην τὰ ἐνδύματα καὶ συμμετεῖχε διὰ νὰ λάβῃ τὰ ἐνδύματα ἐκείνης· δὲν ἐγνώριζεν ὅμως ὅτι ἐπάλαιε μὲ σώφρονα ἀθλητὴν ὁ ὁποῖος ἀπέφευγεν ἔντεχνα τὰς λαβὰς ἐκείνης· διότι, λέγει, «Ἄφησε τὰ ἐνδύματά του εἰς τὰ χέρια της καὶ ἔφυγε καὶ ἐξῆλθε τῆς οἰκίας γυμνός»[5]. Ὢ γυμνότης ποὺ εἶσαι ἁγιωτέρα τῆς ἐνδύσεως! Τί κάνει λοιπὸν ἡ λύσσα τῆς Αἰγυπτιακῆς ἀκολασίας; Τὰ ἰδικά της κακὰ τὰ ἀπέδωσεν εἰς τὸν Ἰωσὴφ καὶ ἀφοῦ ἦλθεν εἰς τὸν ἄνδρα της, λέγει· «Ἔφερες αὐτὸν τὸν Ἑβραῖον ἄνθρωπον εἰς τὸν οἶκον μας διὰ νὰ μᾶς ἐμπαίξῃ, διότι εἶπεν εἰς ἐμένα, τὴν γυναῖκα σου, ἡ ὁποία μέχρι τώρα ἐφύλαξα μὲ σωφροσύνην τὴν κοίτην σου, θὰ κοιμηθῶ μαζί σου· εὐθὺς ὅμως ὡς ἐκραύγασα καὶ ἐκάλεσα βοήθειαν, ἄφησε τὰ ἐνδύματά του πλησίον μου καὶ ἔφυγεν ἔξω ἀπὸ τὴν οἰκίαν»[6].

Πάλιν σπκοφαντεῖται ὁ Ἰωσὴφ διὰ τῶν ἐνδυμάτων· προηγουμένως οἱ ἀδελφοὶ αὐτοῦ, ἀφοῦ ἀφήρεσαν τὰ ἐνδύματά του[7] τὸν ἐσυκοφαντοῦσαν κακούργως ὡς κατασπαραχθέντα ὑπὸ θηρίου, χρησιμοποιοῦντες ὡς ἀπόδειξιν τὸ ἔνδυμά του, τώρα πάλιν αὐτὴ ἀφοῦ ἐπῆρε τὰ ἐνδύματά του, τὸν συκοφαντεῖ ὡς πόρνον. Ταιριάζει πλήρως διὰ τὸν Ἰωσὴφ ἡ φωνὴ τοῦ Δεσπότου· «Διεμοιράσθησαν τὰ ἱμάτιά μου μεταξύ των καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλαν κλῆρον»[8]. Εἶναι γλυκεῖα ἡ ἱστορία τῆς σωφροσύνης εἰς τὸν στρατὸν τῶν σωφρόνων ἀλλὰ κοπιώδης εἰς τὴν ἀδυναμίαν τῆς σαρκός. Ἀλήθεια, πόσον δικαία εἶναι ἡ προστασία ποὺ ἐξεδηλώθη ἀπὸ τὸν Θεὸν εἰς τὸν Ἰωσήφ! Δὲν ἐτίμησε τὸν Ἰωσὴφ πρὶν ἀπὸ τοὺς πειρασμοὺς ἀλλὰ ἐφανέρωσεν δι' ὀνείρων τὰ μέλλοντα, διδάσκων μὲ αὐτὸ ὅτι ἀπὸ πολὺ μακρυὰ προετοιμάζει δόξαν εἰς τοὺς δικαίους· ἐπέτρεψε δὲ διὰ τῶν πειρασμῶν νὰ δοκιμάσῃ τὸν νέον διὰ νὰ ἀποκλείσῃ τὰς φωνὰς τῶν φιλοκατηγόρων. Διότι ἐπρόκειτο οἱ φιλοκατήγοροι νὰ εἴπουν ἂν δὲν εἶχεν δοκιμασθῇ ὁ Ἰωσήφ· Ἦσαν ἁπλῇ σύμπτωσις αὐτὰ ποὺ συνέβησαν. Βασιλεύει ὁ Ἰωσὴφ τῶν Αἰγυπτίων; ἀσκεῖ ἐξουσίαν τὸ παιδάριον ἐπὶ τῶν βαρβάρων;

ρων δεσπόζει παιδάριον; Ποίαν ἀρετὴν ἐνδεξάμενον; Ὑπὲρ ποίας τούτων τετυχηκὼς ἀρετῆς; Ἵνα οὖν ταῦτα περὶ τοῦ δικαίου μὴ λέγηται, προλαμβάνων ὁ Θεὸς τοὺς ἐπ' αὐτῷ πειρασμοὺς συγχωρεῖ· ὥστε τὴν ἀπ' ἐκείνων τῷ δικαίῳ μαρτυρίαν γενέσθαι καὶ ῥάψαι τῶν φιλοψόγων τὰ στόματα.

Ἀποστρεφώμεθα τοίνυν τὰς ἐκ μορφῆς πορνικῆς ἐπερχομένας βολάς, κλείωμεν ἀσελγήμασι τὸ βλέμμα, γελάσθωσαν παρ' ἡμῖν ἡδονῶν ἀταξίαι, φρουραρχείτω τὴν σάρκα σωφροσύνη, καθαρότης ἐνοικείτω τοῖς μέλεσιν, τριβώμεθα λογισμοῖς φιλοκάλοις, λάμπωμεν ἔργων αὐγαῖς, ἐσμηγμένῳ περιστίλβωμεν βίῳ, καθαρὸν τὸ σῶμα, ναὸν τῆς τοῦ Πνεύματος οἰκήσεως φυλάττωμεν· ἐπιγράψωμεν αὐτὸν ἐπιγράμματι, φοβερὰν τοῖς ἀκολάστοις παραγγελίαν βοῶντι· «Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός».

Ἐβουλόμην μηδὲ πρὸς μικρὸν ὑμῶν διαζεύγνυσθαι. Τί γὰρ γλυκύτερον πατρὶ συνουσίας ἀγαπωμένων υἱῶν; Ἀλλ' ἐπειδὴ καλεῖ πρὸς ἀγῶνας τῆς εὐσεβείας ὁ λόγος, δεῖ δραμεῖν πρὸς τὰ σκάμματα τῆς Ἐκκλησίας, εὐχὰς συνεργοὺς εἰληφότα· ἀλλ' ἐκεῖνα παρακαλῶ τὴν ἡμετέραν ἀγάπην· Φυλάττετε τὴν ἐκκλησιαστικὴν αὐταξίαν, κἂν τινες ταραχὰς παρεμβάλωσιν, νικᾶτε μακροθυμίᾳ τὰς ταραχάς. Ἔσται γὰρ οὐκ εἰς μακρὰν τῶν θορύβων διόρθωσις. Μὴ ταράττεσθε ψήμαις, μὴ φλυαρίαις παρακινεῖσθε, ἀλλ' εὐχὰς ἡμῖν συνοδοιπόρους συμπέψατε, ἵνα ταῖς ὑμετέραις εὐχαῖς δυναμούμενοι, εἴπωμεν ἐν παντὶ καιρῷ, παρὰ τῆς θείας βοηθούμενοι ἰσχύος· «Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντι με Χριστῷ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

9. Α' Κορ. 3, 17.
10. Φιλιπ. 4, 13.

Ποίαν ἀρετὴν ἔχει ἐπιδείξει; Διὰ ποίαν ἀρετὴν ἔχει τύχει τούτων τῶν εὐεργετημάτων; Διὰ νὰ μὴ λέγωνται λοιπὸν αὐτὰ διὰ τὸν δίκαιον, προλαμβάνων αὐτὰ ὁ Θεός, ἐπιτρέπει τοὺς πειρασμοὺς εἰς αὐτόν· ὥστε ἀπὸ ἐκείνους τοὺς πειρασμοὺς νὰ δώσῃ τὴν μαρτυρίαν διὰ τὸν δίκαιον καὶ νὰ ράψῃ τὰ στόματα τῶν φιλοκατηγόρων.

Ἂς ἀποφεύγωμεν λοιπὸν τὰς βολὰς ποὺ ἐκσφενδονίζονται ἀπὸ μορφὴν πορνικήν, ἂς κλείνωμεν τὰ μάτια μας εἰς τὰ ἀσελγήματα, ἂς περιγελασθοῦν ἀπὸ ἡμᾶς αἱ ἀταξίαι τῶν ἡδονῶν, ἂς φρουρῇ τὴν σάρκα ἡ σωφροσύνη, ἂς διαμένῃ ἡ καθαρότης εἰς τὰ μέλη τοῦ σώματός μας, ἂς ζῶμεν μὲ καλὰς σκέψεις, ἂς λάμπωμεν μὲ ἔργα λαμπρά, ἂς ἀπαστράπτωμεν μὲ τὸν καθαρόν μας βίον, ἂς ἔχωμεν καθαρὸν τὸ σῶμα μας, ἂς τὸ διατηροῦμεν ὡς ναὸν ποὺ κατοικεῖ τὸ ἅγιον Πνεῦμα. Ἂς γράψωμεν ἐπάνω εἰς αὐτὸν τὸν ναὸν ἐπίγραμμα ποὺ διακηρύσσει φοβερὰν παραγγελίαν εἰς τοὺς ἀκολάστους· «Ἐὰν κανεὶς καταστρέφῃ τὸν ναὸν τοῦ Θεοῦ, ἂς τὸ γνωρίζῃ ὅτι θὰ τὸν καταστρέψῃ ὁ Θεός»[9].

Θὰ ἤθελα νὰ μὴ σᾶς ἀποχωρισθῶ οὔτε ἐπ᾽ ὀλίγον. Διότι τί εἶναι γλυκύτερον εἰς τὸν πατέρα ἀπὸ τὸ νὰ εὑρίσκεται μαζὶ μὲ τὰ ἀγαπημένα του παιδιά; Ἀλλ᾽ ἐπειδὴ ὁ λόγος μᾶς προσκαλεῖ πρὸς ἀγῶνας τῆς εὐσεβείας, πρέπει νὰ τρέξω εἰς τὰ σκάμματα τῆς Ἐκκλησίας ἀφοῦ πάρω ὡς συνεργάτας τὰς προσευχάς σας. Ἀλλὰ ζητῶ τὴν ἑξῆς χάριν ἀπὸ τὴν ἰδικήν σας ἀγάπην· Νὰ φυλάσσετε τὴν ἐκκλησιαστικὴν εὐταξίαν, καὶ ἂν ὡρισμένοι δημιουργοῦν διαφόρους ταραχάς, νικᾶτε τὰς ἀταξίας αὐτὰς διὰ τῆς μακροθυμίας. Διότι ἔτσι θὰ γίνῃ σύντομα ἡ διόρθωσις τῶν διαφόρων ἀταξιῶν. Μὴ ταράσσεσθε μὲ διαφόρους διαδόσεις, μὴ παρακινῆσθε μὲ διαφόρους φλυαρίας, ἀλλὰ πέμψατε μαζὶ μὲ ἡμᾶς εὐχὰς ποὺ νὰ μᾶς συνοδεύουν, ὥστε δυναμούμενοι μὲ τὰς ἰδικάς σας εὐχὰς καὶ βοηθούμενοι ὑπὸ τῆς θείας δυνάμεως, νὰ λέγωμεν εἰς κάθε περίστασιν «τὰ πάντα ἠμπορῶ νὰ ἐπιτυγχάνω μὲ τὴν δύναμιν ποὺ μοῦ δίδει ὁ Χριστὸς»[10] εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

6.

ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ

ΛΟΓΟΣ Α΄

Ἀμφοτέρων ἕνεκα προσήκει τοὺς τοῦ Θεοῦ θεράποντας μακαρίζειν καὶ θαυμάζειν· ὅτι τὴν ἐλπίδα τῆς ἑαυτῶν σωτηρίας ἐν ταῖς ἁγίαις εἶχον εὐχαῖς, καὶ ὅτι γραφῇ φυλάξαντες τοὺς ὕμνους καὶ τὰς λατρείας, ἃς τῷ Θεῷ σὺν χαρᾷ καὶ φόβῳ προσέφερον, καὶ εἰς ἡμᾶς διέδωκαν τὸν ἑαυτῶν θησαυρόν, ἵνα πρὸς τὸν οἰκεῖον ζῆλον πᾶν τὸ ἐπιγινόμενον ἐπισπάσασθαι δυνηθῶσιν. Διαβαίνειν γὰρ προσήκει τὸν τῶν διδασκάλων ἐπὶ τοὺς ὁμιλοῦντας τρόπον καὶ τοὺς τῶν προφητῶν ἀκροατὰς μιμητὰς προσήκει φαίνεσθαι τῆς ἐκείνων δικαιοσύνης, ἵνα πάντα τὸν χρόνον ταῖς προσευχαῖς καὶ τῇ τοῦ Θεοῦ λατρείᾳ καὶ μελέτῃ συζῶμεν, τοῦτο ζωήν, τοῦτο ὑγίειαν καὶ πλοῦτον, τοῦτο πέρας ἀγαθῶν εἶναι νομίζοντες, τὸ προσεύχεσθαι τῷ Θεῷ μετὰ καθαρᾶς καὶ ἀδιαφθόρου ψυχῆς.

Ὥσπερ γὰρ τῷ σώματι φῶς ἥλιος, οὕτω τῇ ψυχῇ ἡ προσευχή. Εἰ οὖν τυφλῷ ζημία τὸ μὴ ὁρᾶν τὸν ἥλιον, πόση ζημία Χριστιανῷ τὸ μὴ προσεύχεσθαι συνεχῶς καὶ διὰ τῆς εὐχῆς τὸ τοῦ Χριστοῦ φῶς εἰς τὴν ψυχὴν εἰσάγειν; Καίτοι τίς οὐκ ἂν ἐκπλαγείη καὶ θαυμάσειε τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ἣν εἰς ἡμᾶς ἐπιδείκνυται, τοσαύτην τιμὴν ἀνθρώποις χαριζόμενος, ὡς καὶ προσευχῆς ἀξιῶσαι καὶ ὁμιλίας τῆς ἑαυτοῦ; Θεῷ γὰρ ὡς ἀληθῶς λαλοῦμεν τῷ καιρῷ τῆς προσευχῆς, δι' ἧς καὶ τοῖς ἀγγέλοις συναπτόμεθα, καὶ τὴν πρὸς τὰ ἄλογα κοινωνίαν πολὺ φαινόμεθα διαφεύγοντες. Ἀγγέλων γὰρ ἔργον ἡ προσευχή, ὑπεραίρουσα καὶ τὴν ἐκείνων ἀξίαν, εἴπρ κρεῖττόν ἐστι τῆς ἀγγέλων ἀξίας τὸ Θεῷ διαλέγεσθαι.

6.

ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ

ΛΟΓΟΣ Α'

Διὰ δύο λόγους πρέπει νὰ μακαρίζῃ καὶ νὰ θαυμάζῃ κανεὶς αὐτοὺς ποὺ ὑπηρετοῦν τὸν Θεόν· πρῶτον διότι τὴν ἐλπίδα τῆς σωτηρίας των τὴν εἶχον ἐναποθέσει εἰς τὰς ἁγίας προσευχὰς καὶ δεύτερον διότι διεφύλαξαν διὰ τῆς γραφῆς τοὺς ὕμνους καὶ τὰς λατρείας τὰς ὁποίας προσέφεραν μὲ χαρὰν καὶ φόβον εἰς τὸν Θεὸν καὶ μετέδωσαν εἰς ἡμᾶς τὸν ἰδικόν των θησαυρόν, διὰ νὰ ἠμπορέσουν νὰ προσελκύσουν πρὸς τὸν ἰδικόν των ζῆλον κάθε τι ποὺ ἐπισυμβαίνει. Διότι πρέπει νὰ μεταδίδεται ὁ τρόπος τῶν διδασκάλων εἰς τοὺς ὁμιλοῦντας καὶ πρέπει νὰ γίνωνται οἱ ἀκροαταὶ μιμηταὶ τῶν διδασκάλων καὶ τῆς ἀρετῆς των, ὥστε νὰ ζῶμεν ὅλον τὸν χρόνον μὲ τὰς προσευχάς, μὲ τὴν μελέτην καὶ μὲ τὴν λατρείαν τοῦ Θεοῦ, καὶ αὐτὸ νὰ θεωροῦμεν ὡς ζωήν, αὐτὸ ὡς ὑγείαν καὶ πλοῦτον, αὐτὸ ὡς ὅριον τῶν ἀγαθῶν, τὸ νὰ προσευχώμεθα εἰς τὸν Θεὸν μὲ καθαρὰν καὶ ἁγνὴν ψυχήν.

Διότι ὅπως ἀκριβῶς εἰς τὸ σῶμα παρέχει φῶς ὁ ἥλιος κατὰ τὸν ἴδιον τρόπον καὶ εἰς τὴν ψυχὴν ἡ προσευχή. Καὶ ἐὰν εἰς τὸν τυφλὸν εἶναι ζημία τὸ ὅτι δὲν βλέπει τὸν ἥλιον, πόσον μεγάλη ζημία εἶναι εἰς τὸν Χριστιανὸν τὸ νὰ μὴ προσεύχεται συνεχῶς καὶ νὰ μὴ βάλλῃ μέσα εἰς τὴν ψυχήν του τὸ διὰ τῆς προσευχῆς εἰσερχόμενον φῶς τοῦ Χριστοῦ; Ἄν καὶ ποῖος δὲν θὰ ἐθαύμαζε καὶ δὲν θὰ ἐξεπλήττετο διὰ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, τὴν ὁποίαν ἐπιδεικνύει εἰς ἡμᾶς, μὲ τὸ νὰ χαρίσῃ εἰς τοὺς ἀνθρώπους τόσον μεγάλην τιμήν, ὥστε νὰ τοὺς ἀξιώσῃ νὰ προσεύχωνται καὶ νὰ συνομιλοῦν μὲ αὐτόν; Διότι πραγματικὰ συνομιλοῦμεν μὲ τὸν Θεὸν κατὰ τὴν ὥραν τῆς προσευχῆς, μὲ αὐτὴν συνδεόμεθα καὶ μὲ τοὺς ἀγγέλους καὶ φαινόμεθα ὅτι ἀπέχομεν πολὺ ἀπὸ τὴν ἐπικοινωνίαν πρὸς τὰ ἄλογα ζῶα. Διότι ἡ προσευχὴ εἶναι ἔργον τῶν ἀγγέλων, ποὺ ξεπερνάει ἀκόμα καὶ τὴν ἀξίαν ἐκείνων, ἀφοῦ εἶναι ἀνώτερον ἀπὸ τὴν ἀξίαν τῶν ἀγγέλων τὸ νὰ συνομιλῇς μὲ τὸν Θεόν.

Καὶ ὅτι γε κρεῖττόν ἐστιν, αὐτοὶ διδάσκουσιν ἡμᾶς, σὺν πολλῷ μὲν φόβῳ τὰς εὐχὰς προσφέροντες, παρέχοντες δὲ ἡμῖν εἰδέναι καὶ μανθάνειν, ὅτι προσήκει τῷ Θεῷ προσιόντας σὺν χαρᾷ καὶ φόβῳ τοῦτο ποιεῖν· φόβῳ μέν, δεδοικότας μὴ τῆς προσευχῆς ἀνάξιοι φανῶμεν, χαρᾶς δὲ μεστοὺς γινομένους ἐπὶ τῷ μεγέθει τῆς τιμῆς, ὅτι τοσαύτης καὶ τοιαύτης προνοίας τὸ θνητὸν ἠξιώθη γένος, ὡς καὶ θείας ἀπολαύειν ὁμιλίας συνεχῶς, δι᾽ ἧς καὶ θνητοὶ εἶναι καὶ πρόσκαιροι διαφεύγομεν, φύσει μὲν ὄντες θνητοί, τῇ δὲ πρὸς Θεὸν ὁμιλίᾳ πρὸς ἀθάνατον ζωὴν μεταβαίνοντες. Ἀνάγκη γὰρ τὸν ὁμιλοῦντα Θεῷ καὶ κρείττονα γενέσθαι θανάτου καὶ πάσης διαφθορᾶς. Καὶ ὥσπερ ἀνάγκη πᾶσα τῆς ἡλιακῆς ἀκτῖνος τὸν ἀπολαύοντα διαφεύγειν τὸ σκότος, οὕτως ἀνάγκη πᾶσα τὸν θείας ὁμιλίας ἀπολαύοντα μηκέτι εἶναι θνητόν. Αὐτὸ γὰρ τὸ τῆς τιμῆς μέγεθος πρὸς ἀθανασίαν ἡμᾶς μεθίστησιν.

Εἰ γὰρ τοὺς βασιλεῖ διαλεγομένους, καὶ τῆς παρ᾽ ἐκείνου τιμῆς ἀπολαύοντας, ἀμήχανον εἶναι πένητας, πολλῷ μᾶλλον ἀδύνατον τοὺς τῷ Θεῷ προσευχομένους καὶ ὁμιλοῦντας θνητὰς ἔχειν ψυχάς· θάνατος γὰρ ψυχῆς ἀσέβεια καὶ βίος παράνομος. Οὐκοῦν καὶ ζωὴ ψυχῆς ἡ τοῦ Θεοῦ λατρεία, καὶ βίος ὁ ταύτῃ πρέπων· βίον δὲ ὅσιον καὶ τῇ τοῦ Θεοῦ λατρείᾳ πρέποντα προσευχὴ συνάγει, καὶ θησαυρίζει θαυμαστῶς ταῖς ἡμετέραις ψυχαῖς. Εἴτε γὰρ παρθενίας τις ἐραστής, εἴτε τὴν ἐν γάμῳ σωφροσύνην τιμᾶν ἐσπουδακώς, εἴτε κρατεῖν ὀργῆς καὶ πραότητι συζῆν, εἴτε φθόνου καθαρεύειν, εἴτε ἄλλο τι τῶν προσηκόντων ποιεῖν, προσευχῆς ἡγουμένης, καὶ προλεαινούσης τὴν τοιαύτην ὁδὸν τοῦ βίου, εὐχερῆ τε καὶ ῥᾴδιον ἕξειν τὸν τῆς εὐσεβείας δρόμον.

Καὶ τὸ ὅτι εἶναι ἀνώτερον ἀπὸ τοὺς ἀγγέλους μᾶς τὸ διδάσκουν οἱ ἴδιοι, προσφέροντες τὰς προσευχὰς μὲ πολὺν φόβον, δίδοντες εἰς ἡμᾶς τὴν δυνατότητα νὰ γνωρίζωμεν καὶ νὰ μανθάνωμεν ὅτι πρέπει ὅταν πλησιάζωμεν πρὸς τὸν Θεὸν νὰ τὸ κάμωμεν μὲ χαρὰν καὶ μὲ φόβον· μὲ φόβον μὲν μὴ τυχὸν καὶ φανῶμεν ἀνάξιοι τῆς προσευχῆς, γεμᾶτοι δὲ ἀπὸ χαρὰν ἐξ αἰτίας τοῦ μεγέθους τῆς τιμῆς, καθόσον τὸ θνητὸν γένος ἠξιώθη νὰ τύχῃ τόσον μεγάλης καὶ τοιαύτης προνοίας, ὥστε νὰ ἀπολαύῃ συνεχῶς καὶ τῆς θείας συνομιλίας, διὰ τῆς ὁποίας διαφεύγομεν τὴν ἐνθύμησιν ὅτι εἴμεθα θνητοὶ καὶ πρόσκαιροι, διότι εἴμεθα μὲν θνητοὶ ὡς πρὸς τὴν φύσιν, ἀλλὰ μὲ τὴν συνομιλίαν μας μὲ τὸν Θεὸν μεταβαίνομεν πρὸς τὴν ἀθάνατον ζωήν. Διότι εἶναι ἀνάγκη αὐτὸς ποὺ συνομιλεῖ μὲ τὸν Θεὸν νὰ γίνῃ ἰσχυρότερος καὶ τοῦ θανάτου καὶ πάσης διαφθορᾶς. Καὶ ὅπως ἀκριβῶς εἶναι ἀνάγκη αὐτὸς ποὺ ἀπολαμβάνει τὰς ἀκτῖνας τοῦ ἡλίου νὰ ἀποφεύγῃ τὸ σκότος, ἔτσι ἀκριβῶς εἶναι ἀνάγκη αὐτὸς ποὺ ἔχει τὸ προνόμιον νὰ συνομιλῇ μὲ τὸν Θεὸν νὰ μὴ εἶναι θνητός. Διότι αὐτὸ τὸ μέγεθος τῆς τιμῆς μᾶς μεταστρέφει πρὸς τὴν ἀθανασίαν.

Ἂν αὐτοὶ ποὺ συνομιλοῦν μὲ τὸν βασιλέα καὶ ἀπολαμβάνουν αὐτῆς τῆς τιμῆς ἀπὸ αὐτόν, εἶναι ἀδύνατον νὰ εἶναι πτωχοί, πολὺ περισσότερον εἶναι ἀδύνατον αὐτοὶ οἱ ὁποῖοι προσεύχονται πρὸς τὸν Θεὸν καὶ συνομιλοῦν μὲ αὐτὸν νὰ ἔχουν θνητὰς ψυχάς· διότι θάνατος ψυχῆς εἶναι ἡ ἀσέβεια καὶ ὁ παράνομος βίος. Καὶ ἡ ζωὴ τῆς ψυχῆς λοιπὸν εἶναι ἡ λατρεία τοῦ Θεοῦ καὶ βίος ὁ πρέπων εἰς αὐτήν· βίον δὲ ὅσιον καὶ πρέποντα συναθροίζει μὲ τὴν λατρείαν τοῦ Θεοῦ, καὶ ἐναποθέτει κατὰ τρόπον ἀξιοθαύμαστον εἰς τὰς ψυχάς μας. Διότι εἴτε εἶναι κανεὶς ἐραστὴς τῆς παρθενίας, εἴτε τιμᾷ μετὰ ζήλου τὸν ἔγγαμον βίον, εἴτε εἶναι κυρίαρχος τῆς ὀργῆς καὶ συζῇ μὲ τὴν πραότητα, εἴτε εἶναι καθαρὸς ἀπὸ φθόνον, εἴτε πράττει ὁτιδήποτε ἄλλο ἀπὸ αὐτὰ ποὺ ἁρμόζουν, ἡ προσευχὴ προηγεῖται καὶ προετοιμάζει αὐτὴν τὴν ὁδὸν τοῦ βίου διὰ νὰ ἔχῃ εὐκολοδιάβατον αὐτὸν τὸν δρόμον τῆς εὐσεβείας.

Οὐ γὰρ ἔστιν, οὐκ ἔστι τοὺς αἰτοῦντας παρὰ τοῦ Θεοῦ σωφροσύνην, καὶ δικαιοσύνην, καὶ πραότητα, καὶ χρηστότητα, μὴ τυγχάνειν τῆς εὐχῆς. «Αἰτεῖτε» γάρ, φησί, «καὶ δοθήσεται ὑμῖν, ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν· Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται». Καὶ ἀλλαχοῦ πάλιν· «Τίς ἐστι», φησίν, «ἐξ ὑμῶν, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ ἢ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; Εἰ οὖν ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει Πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν;». Τοιούτοις μὲν λόγοις καὶ τοιαύταις ἐλπίσιν ἐπὶ προσευχὴν παρεκάλεσεν ἡμᾶς ὁ τῶν ὅλων Κύριος· ἡμᾶς δὲ προσήκει τῷ Θεῷ πειθομένους ἀεὶ ζῆν ἐν ὕμνοις καὶ προσευχαῖς, ἀκριβέστερον τῆς τοῦ Θεοῦ λατρείας ἐχομένους, ἢ τῆς ἑαυτῶν ψυχῆς· οὕτω γὰρ ἡμῖν ὑπάρξειε ζῆν ἀεὶ τὴν πρέπουσαν ἀνθρώποις ζωήν· Ὅστις γὰρ οὐ προσεύχεται τῷ Θεῷ, οὐδὲ θείας ὁμιλίας ἀπολαύειν· ἐπιθυμεῖ συνεχῶς, νεκρός ἐστι καὶ ἄψυχος, καὶ οὐ μετέχει τοῦ φρονεῖν.

Αὐτὸ γὰρ τοῦτο μέγιστον ἀφροσύνης σημεῖον, τὸ μὴ ἐπίστασθαι τὸ μέγεθος τῆς τιμῆς, μηδὲ ἐρᾶν προσευχῆς, μηδὲ θάνατον ἡγεῖσθαι ψυχῆς τὸ μὴ προσκυνεῖν τῷ Θεῷ. Ὥσπερ γὰρ τὸ σῶμα τοῦτο τὸ ἡμέτερον, ψυχῆς μὴ παρούσης, νεκρόν ἐστι καὶ δυσῶδες· οὕτω ψυχή, μὴ κινοῦσα ἑαυτὴν εἰς προσευχήν, νεκρά ἐστι καὶ ἀθλία καὶ δυσώδης. Ἀλλὰ μὴν ὅτι

1. Ματθ. 7, 7ἑ.
2. Ματθ. 7, 9-11, Λουκᾶ 11, 10ἑ.

Δὲν εἶναι δυνατὸν λοιπὸν αὐτοὶ οἱ ὁποῖοι ζητοῦν ἀπὸ τὸν Θεὸν σωφροσύνην καὶ δικαιοσύνην, καὶ πραότητα καὶ τιμιότητα, νὰ μὴ ἐπιτύχουν αὐτὰ διὰ τῆς προσευχῆς. Διότι λέγει· «Ζητεῖτε ἀπὸ τὸν Θεὸν τὰ πνευματικὰ ἀγαθὰ ποὺ σᾶς χρειάζονται καὶ θὰ σᾶς δοθοῦν· ζητεῖτε καὶ θὰ βρῆτε αὐτὸ τὸ καλὸν ποὺ θέλετε· κτυπᾶτε τὴν θύραν τῆς θείας ἀγάπης καὶ θὰ σᾶς ἀνοίξῃ διάπλατα πρὸς χάριν σας. Διότι καθένας ποὺ ζητεῖ μὲ πίστιν ἀπὸ τὸν Θεὸν λαμβάνει τὸ καλὸν ποὺ ζητεῖ. Καὶ ἐκεῖνος ποὺ γυρεύει εὑρίσκει καὶ εἰς τὸν καθένα ποὺ κτυπᾷ τὴν θύραν τοῦ Θεοῦ θὰ τοῦ ἀνοιχθῇ αὐτή»[1]. Καὶ ἀλλοῦ πάλιν λέγει· «Ποῖος ἄνθρωπος ἀπὸ σᾶς, ποὺ θὰ τοῦ ζητήσῃ τὸ παιδί του ψωμί, θὰ δώσῃ εἰς αὐτὸ πέτραν; Καὶ ἂν τοῦ ζητήσῃ ψάρι, μήπως θὰ τοῦ δώσῃ φίδι; Ἐὰν λοιπὸν σεῖς οἱ ἄνθρωποι, ποὺ εἶσθε ἀτελεῖς καὶ διεφθαρμένοι ἀπὸ τὴν ἁμαρτίαν, γνωρίζετε νὰ δίνετε ὠφέλιμα πράγματα εἰς τὰ παιδιά σας, πόσον μᾶλλον ὁ οὐράνιος καὶ πανάγαθος Πατήρ σας θὰ δώσῃ ἀγαθὰ καλὰ καὶ ὠφέλιμα δῶρα, εἰς ἐκείνους ποὺ τοῦ τὰ ζητοῦν;»[2]. Εἰς τοιούτου εἴδους λόγους καὶ τοιαύτας ἐλπίδας μὲ τὴν προσευχὴν μᾶς ἐκάλεσε νὰ μετάσχωμεν ὁ τῶν ὅλων Κύριος· ἡμεῖς δὲ πρέπει νὰ ὑπακούσωμεν εἰς τὸν Θεὸν καὶ νὰ ζῶμεν πάντοτε μὲ ὕμνους καὶ προσευχάς, καὶ νὰ φροντίζωμεν περισσότερον τὴν λατρείαν τοῦ Θεοῦ, παρὰ τὴν ἰδικήν μας ψυχήν· διότι κατ' αὐτὸν τὸν τρόπον θὰ ζῶμεν πάντοτε τὴν πρέπουσαν εἰς τοὺς ἀνθρώπους ζωήν. Διότι ὅποιος δὲν προσεύχεται εἰς τὸν Θεὸν καὶ δὲν ἐπιθυμεῖ νὰ ἀπολαμβάνῃ συνεχῶς τῆς θείας συνομιλίας, εἶναι ἄψυχος καὶ νεκρὸς καὶ δὲν μετέχει εἰς τὴν ζωήν.

Διότι αὐτὸ ἀκριβῶς εἶναι μέγιστον σημεῖον ἀφροσύνης, τὸ νὰ μὴ γνωρίζωμεν καλῶς τὸ μέγεθος τῆς τιμῆς, τὸ νὰ μὴ ἀγαπήσωμεν τὴν προσευχήν, τὸ νὰ μὴ θεωρῶμεν θάνατον τῆς ψυχῆς τὴν μὴ προσκύνησιν τοῦ Θεοῦ. Διότι ὅπως ἀκριβῶς αὐτὸ τοῦτο τὸ σῶμα μας εἶναι νεκρὸν καὶ ἀναδίδει δυσωδίαν χωρὶς τὴν ψυχήν, ἔτσι καὶ ἡ ψυχὴ ποὺ δὲν παρακινεῖ τὸν ἑαυτόν της εἰς προσευχὴν εἶναι νεκρὰ καὶ ἀθλία καὶ ἀκάθαρτος. Ἀλλὰ τὸ ὅτι πρέπει νὰ θεωρῆται

γε θανάτου παντὸς πικρότερον ἡγεῖσθαι προσήκει στερηθῆναι προσευχῆς, διδάσκει καλῶς ἡμᾶς Δανιήλ, ὁ μέγας προφήτης, μᾶλλον δὲ ἑλόμενος ἀποθανεῖν, ἢ τρεῖς ἡμέρας μόνας στερηθῆναι προσευχῆς. Οὐ γὰρ ἀσεβῆσαι τούτῳ προσέταξεν ὁ τῶν Περσῶν βασιλεύς, ἀλλὰ τρεῖς ἡμέρας μόνον σκοπούμενος εὑρεῖν. Ἄνευ γὰρ τῆς θείας ῥοπῆς οὐκ ἄν τι τῶν ἀγαθῶν εἰς τὰς ἡμετέρας ἔλθοι ψυχάς· Θεοῦ δὲ ῥοπὴ συνεφάπτεται τῶν πόνων ἡμῖν, καὶ τούτους ἐπικουφίζει καλῶς, ἂν ἴδῃ προσευχὴν ἀγαπῶντας, καὶ συνεχῶς τοῦ Θεοῦ δεομένους, καὶ πάντα ἐκεῖθεν τὰ ἀγαθὰ καταβήσεσθαι προσδοκῶντας.

Ὅταν οὖν ἴδω τινὰ μὴ φιλοῦντα προσευχήν, μηδὲ θερμὸν ἔρωτα ταύτης ἔχοντα καὶ σφοδρόν, ἤδη μοι οὗτος δῆλός ἐστιν ὡς οὐδὲν γενναῖον ἐν τῇ ψυχῇ κέκτηται. Ὅταν δὲ ἴδω τινὰ τῆς τοῦ Θεοῦ λατρείας ἀκορέστως ἐχόμενον, καὶ τὸ μὴ προσεύχεσθαι συνεχῶς ἐν ταῖς μεγίσταις ἀριθμοῦντα ζημίαις, τεκμαίρομαι τὸν τοιοῦτον πάσης ἀρετῆς ἀσκητὴν εἶναι βέβαιον, καὶ τοῦ Θεοῦ ναόν. Εἰ γὰρ στολισμὸς ἀνδρός, καὶ βῆμα ποδός, καὶ γέλως ὀδόντων ἀναγγέλλει τὰ περὶ αὐτοῦ, κατὰ τὸν σοφὸν Σολομῶντα, πολλῷ μᾶλλον εὐχὴ καὶ ἡ λατρεία Θεοῦ σημεῖόν ἐστι δικαιοσύνης ἁπάσης, στολή τις οὖσα πνευματικὴ καὶ θεία, πολλὴν εὐμορφίαν καὶ κάλλος καταχέουσα ταῖς ἡμετέραις διανοίαις, τὸν ἑκάστου ῥυθμίζουσα βίον, οὐκ ἐῶσα φαῦλον οὐδὲν οὐδὲ ἄτοπον τῆς διανοίας κρατεῖν, αἰδεῖσθαι πείθουσα τὸν Θεόν, καὶ τὴν παρ' αὐτοῦ τιμήν, πᾶσαν τοῦ Πονηροῦ γοητείαν ἀποπέπεσθαι παιδεύουσα, τοὺς αἰσχροὺς καὶ ἀτόπους ἐξελαύνουσα λογισμούς, ἐν ὑπεροψίᾳ τῆς ἡδονῆς καθιστῶσα τὴν ἑκάστου ψυχήν. Αὕτη γὰρ ἡ ὑπερηφανία μόνη πρέπει τοῖς τὸν Χριστὸν σεβομένοις, τὸ μηδενὶ δουλεύειν αἰσχρῷ, ἀλλὰ τηρεῖν ἐν ἐλευθερίᾳ τὴν ψυχὴν καὶ βίῳ κεκαθαρμένῳ.

---

3. Πρβλ. Δαν. 6, 10.
4. Ἐκκλ. 19, 27.

ἀπὸ κάθε θάνατον χειρότερον τὸ νὰ στερηθῶμεν τῆς προσευχῆς, μᾶς τὸ διδάσκει ὁ προφήτης Δανιήλ, ὁ μέγας προφήτης, ὁ ὁποῖος ἐπροτίμησε νὰ ἀποθάνῃ παρὰ νὰ στερηθῇ τρεῖς μόνον ἡμέρας τὴν προσευχήν. Διότι δὲν διέταξεν εἰς αὐτὸν ὁ βασιλεὺς τῶν Περσῶν νὰ ἀσεβήσῃ, ἀλλὰ τρεῖς μόνον ἡμέρας νὰ προσπαθήσῃ νὰ κάμῃ αὐτό[3]. Χωρὶς τὴν θείαν ἐπενέργειαν δὲν εἶναι δυνατὸν νὰ ἔλθῃ κανένα ἀγαθὸν εἰς τὰς ἰδικάς μας ψυχάς· ἡ ἐπενέργεια τοῦ Θεοῦ ἐγγίζει τοὺς πόνους μας καὶ τοὺς ἐλαφρύνει, ἂν ἰδῇ ὅτι ἀγαπῶμεν τὴν προσευχὴν καὶ παρακαλοῦμεν συνεχῶς τὸν Θεὸν καὶ προσδοκῶμεν νὰ μᾶς ἔλθουν ὅλα τὰ ἀγαθὰ ἀπὸ ἐκεῖ.

Ὅταν λοιπὸν ἰδῶ κάποιον ποὺ δὲν ἀγαπᾷ τὴν προσευχὴν καὶ δὲν ἔχει θερμὸν καὶ σφοδρὸν ἔρωτα δι᾽ αὐτήν, ἤδη μοῦ φαίνεται ὅτι ὁ ἄνθρωπος αὐτὸς δὲν ἔχει τὸ εὐγενὲς εἰς τὴν ψυχήν του. Ὅταν δὲ ἰδῶ κάποιον νὰ διακατέχεται ἀκορέστως ἀπὸ τὴν λατρείαν τοῦ Θεοῦ, καὶ νὰ ἀπαριθμῇ εἰς τὰς μεγαλυτέρας ζημίας τὸ νὰ μὴ προσεύχεται συνεχῶς, συμπεραίνω ὅτι ὁ ἄνθρωπος αὐτὸς εἶναι ἀληθὴς ἀσκητὴς κάθε ἀρετῆς καὶ ναὸς τοῦ Θεοῦ. Διότι ἐὰν ὁ στολισμὸς τοῦ ἀνδρὸς καὶ τὸ βάδισμα τῶν ποδιῶν καὶ τὸ γέλιο του, φανερώνουν τὰ ἐξωτερικά του χαρίσματα, κατὰ τὸν σοφὸν Σολομῶντα[4], πολὺ περισσότερον ἡ προσευχὴ καὶ ἡ λατρεία τοῦ Θεοῦ εἶναι ἀπόδειξις ὁλοκλήρου τῆς ἀρετῆς του, εἶναι ὡσὰν κάποια πνευματικὴ καὶ θεία στολὴ ποὺ προσδίδει πολλὴν ὀμορφιὰν καὶ κάλλος εἰς τὰς ψυχάς μας, ποὺ ρυθμίζει τὸν βίον ἑκάστου, ποὺ δὲν ἀφήνει τίποτε τὸ φαῦλον καὶ παράλογον νὰ κατακυριεύσῃ τὴν ψυχήν, ποὺ πείθει τὸν Θεὸν νὰ συγχωρήσῃ καὶ νὰ παράσχῃ τὴν τιμήν του εἰς αὐτόν, ποὺ μᾶς ἀσκεῖ νὰ ἀπομακρύνωμεν τὴν πλάνην τοῦ διαβόλου, ποὺ ἐκδιώκει τοὺς αἰσχροὺς καὶ παραλόγους λογισμούς, ποὺ καθιστᾷ τὴν ψυχὴν τοῦ καθενὸς τοιαύτην, ὥστε νὰ περιφρονῇ τὴν ἡδονήν. Αὐτὴ ἡ ὑπερηφάνεια μόνη ἁρμόζει εἰς αὐτοὺς ποὺ σέβονται τὸν Χριστόν, ὥστε νὰ μὴ ὑπηρετοῦν εἰς κανένα φαῦλον ἔργον, ἀλλὰ νὰ διατηροῦν τὴν ψυχὴν ἐλευθέραν καὶ τὸν βίον ἀπηλλαγμένον ἀπὸ κάθε μολυσμόν.

Ὅτι μὲν οὖν παντελῶς ἀμήχανον ἄνευ προσευχῆς ἀρετῇ συζῆν, καὶ μετὰ ταύτης πορεύεσθαι τὸν βίον οἶμαι δῆλον ἅπασιν εἶναι. Πῶς γὰρ ἄν τις ἀρετὴν ἀσκήσειε μὴ προσιὼν καὶ προσπίπτων συνεχῶς τῷ ταύτης χορηγῷ καὶ δοτῆρι; πῶς δὲ ἄν τις ἐπιθυμήσειεν εἶναι σώφρων καὶ δίκαιος, μὴ ὁμιλῶν ἡδέως τῷ ταῦτά τε καὶ πλείω τούτων ἀπαιτοῦντι παρ' ἡμῶν; Βούλομαι δὲ ἐπιδεῖξαι διὰ βραχέων, ὅτι κἂν ἁμαρτημάτων γέμοντας αἱ προσευχαὶ λάβωσιν ἡμᾶς, ταχέως ἀποκαθαίρουσι. Καίτοι τί μεῖζον γένοιτ' ἂν προσευχῆς, ἢ θειότερον, ὅταν ἀλεξιφάρμακον φανῇ τι οὖσα τοῖς τὰς ψυχὰς νοσοῦσιν;

Οὐκοῦν πρῶτοι Νινευῖται φαίνονται διὰ προσευχῆς ἀναλυσάμενοι τὰς πολλὰς πρὸς Θεὸν ἁμαρτίας. Ἅμα τε γὰρ ἔλαβεν αὐτοὺς ἡ προσευχή, καὶ δικαίους ἐποίησε, καὶ πόλιν εἰθισμένην ἀκολασίᾳ καὶ πονηρίᾳ καὶ παρανόμῳ βίῳ συζῆν, ἐπανώρθωσεν ὀξέως, παλαιᾶς συνηθείας μεῖζον ἰσχύσασα, τῶν οὐρανίων νόμων πλήρη πεποιηκυῖα τὴν πόλιν, συνεφελκομένη μεθ' ἑαυτῆς καὶ σωφροσύνην, καὶ φιλανθρωπίαν, καὶ πραότητα, καὶ πρόνοιαν πτωχῶν. Οὐ γὰρ ἀνέχεται χωρὶς τούτων ἐνδιαιτᾶσθαι ψυχῇ· ἀλλ' εἰς ἣν ἂν οἰκήσῃ διάνοιαν, πλήρη ποιεῖ δικαιοσύνης πάσης, παιδοτριβοῦσα πρὸς ἀρετήν, καὶ κακίαν ἐξορίζουσα.

Καὶ δὴ καὶ τότε εἴ τις εἰσῆλθεν εἰς Νινευῆ τὴν πόλιν, καὶ πρότερον αὐτὴν ἀκριβῶς ἐπιστάμενος, οὐκ ἂν ἐπέγνω τὴν πόλιν· οὕτως ἐξαίφνης ἀπὸ τοῦ φαυλοτέρου βίου πρὸς εὐσέβειαν μετεπήδησεν. Ὥσπερ γὰρ γυναῖκα πτωχήν, ῥάκια φοροῦσαν, μετὰ ταῦτά τις χρυσοῖς ἱματίοις κεκοσμημένην ἰδών, οὐκ ἂν ἐπιγνοίη τὸ γύναιον, οὕτως ὃ τὴν πόλιν ἐκείνην

5. Προβλ. Ἰωνᾶ 3.

Τὸ ὅτι εἶναι ἐντελῶς ἀδύνατον νὰ ζῇς ἐνάρετα χωρὶς τὴν προσευχὴν καὶ νὰ συμβαδίζῃς μὲ αὐτὴν κατὰ τὸν βίον σου νομίζω ὅτι εἶναι εἰς ὅλους φανερόν. Διότι πῶς ἠμπορεῖ νὰ ἀσκήσῃ κανεὶς τὴν ἀρετὴν χωρὶς νὰ προσέλθῃ καὶ νὰ παρακαλῇ συνεχῶς αὐτὸν ὁ ὁποῖος παρέχει καὶ χορηγεῖ αὐτήν; Πῶς δὲ θὰ ἤθελε κανεὶς νὰ εἶναι σώφρων καὶ δίκαιος, ὅταν δὲν συνομιλῇ μὲ γλυκύτητα μὲ αὐτὸν ὁ ὁποῖος ζητεῖ αὐτὰ καὶ περισσότερα ἀπὸ αὐτὰ ἀπὸ ἡμᾶς; Θέλω νὰ σᾶς ἀποδείξω δι' ὀλίγων ὅτι καὶ ἂν ἀκόμα εἴμεθα πλήρεις ἁμαρτημάτων αἱ προσευχαὶ γρήγορα μᾶς καθαρίζουν ἀπὸ τὰ ἁμαρτήματα. Πράγματι, τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ μεγαλύτερον ἢ θειότερον ἀπὸ τὴν προσευχὴν καθ' ἣν στιγμὴν ἀποδεικνύεται ὅτι εἶναι ἀντιφάρμακον διὰ τὰς ψυχὰς ποὺ νοσοῦν;

Πρῶτοι λοιπὸν φαίνονται ὅτι διὰ τῆς προσευχῆς ἀπεμάκρυναν τὰς πολλὰς πρὸς τὸν Θεὸν ἁμαρτίας των οἱ Νινευῖται[5]. Διότι ὅταν ἤρχισαν νὰ προσεύχωνται, ἔγιναν δίκαιοι, καὶ τὴν πόλιν των, ἡ ὁποία ἦτο συνηθισμένη νὰ ζῇ εἰς τὴν ἀκολασίαν καὶ τὴν πονηρίαν καὶ τὸν παράνομον βίον, ἡ προσευχὴ τὴν ἐπανέφερεν εἰς τὸν ὀρθὸν τρόπον ζωῆς ἀμέσως, διότι ὑπερίσχυσε τῆς παλαιᾶς των συνηθείας καὶ ἔκαμε τὴν πόλιν των νὰ γεμίσῃ ἀπὸ τοὺς οὐρανίους νόμους καὶ ἔφερε μαζί της ἡ προσευχὴ εἰς τοὺς Νινευίτας καὶ σωφροσύνην, καὶ φιλανθρωπίαν, καὶ ψυχικὴν ἠρεμίαν, καὶ φροντίδα διὰ τοὺς πτωχούς. Διότι δὲν ἐπιτρέπεται εἰς τὴν ψυχὴν νὰ ζῇ χωρὶς αὐτά· ἀλλὰ εἰς ὁποιονδήποτε λογισμὸν καὶ ἂν κατοικήσῃ τὸν κάμει νὰ γεμίσῃ ἀπὸ τὴν δικαιοσύνην τοῦ Θεοῦ, ἐκγυμνάζει καὶ ὁδηγεῖ αὐτὸν εἰς τὴν ἀρετήν, καὶ διώχνει μακρυὰ τὴν κακίαν.

Ἔτσι λοιπὸν καὶ τότε, ἂν κάποιος εἰσήρχετο εἰς τὴν Νινευῆ, ποὺ νὰ ἐγνώριζεν καλῶς προηγουμένως αὐτήν, δὲν θὰ ἀνεγνώριζε τὴν πόλιν, διότι τόσον ἀπότομα μετεβλήθη ἀπὸ τὸν ἀνήθικον τρόπον ζωῆς πρὸς τὴν εὐσέβειαν. Διότι ὅπως μίαν γυναῖκα πτωχήν, ἡ ὁποία φορεῖ κουρελιασμένα ἐνδύματα, δὲν ἠμπορεῖς νὰ τὴν ἀναγνωρίσῃς ἂν τὴν ἰδῇς μετὰ νὰ εἶναι ἐνδεδυμένη καὶ στολισμένη μὲ χρυ-

εἰδὼς πτωχεύουσαν πρότερον, καὶ τῶν πνευματικῶν ἔρημον οὖσαν θησαυρῶν, ἠγνόησεν ἂν ἥτις εἴη ἡ πόλις, ἣν τοσοῦτον ἴσχυσεν εὐχὴ μεταβαλοῦσα καὶ τρόπον καὶ βίον πρὸς ἀρετὴν ἐπαναγαγεῖν. Καὶ γυνὴ δέ τις ἐν ἀκολασίᾳ καὶ πορνείᾳ πάντα βεβιωκυῖα τὸν χρόνον, ἅμα τε προσέπεσε πρὸς τοὺς πόδας τοῦ Χριστοῦ, καὶ σωτηρίας ἔτυχεν.

Οὐ τοίνυν ἀποκαθαίρει μόνον ἁμαρτίας, ἀλλὰ καὶ κινδύνους ἀποκρούεται μεγάλους. Ὅ γέ τοι βασιλεὺς ὁμοῦ τε καὶ προφήτης, ὁ θαυμάσιος Δαυΐδ, τοὺς πολλοὺς καὶ χαλεποὺς πολέμους τῇ προσευχῇ διέφυγε, τοῦτο μόνον τὸ ὅπλον τῆς στρατιᾶς προβαλλόμενος, καὶ παρέχων τοῖς ἑαυτοῦ στρατιώταις, καθ' ἡσυχίαν καὶ ἄδειαν ἀπολαύειν τῆς νίκης. Οἱ μὲν οὖν ἄλλοι βασιλεῖς, ἐν τῇ τῶν στρατηγῶν ἐμπειρίᾳ καὶ τῇ τέχνῃ καὶ τοξόταις καὶ ὁπλίταις καὶ ἱππεῦσι τὴν ἐλπίδα τῆς σωτηρίας εἶχον, ὁ δὲ μέγας Δαυΐδ ταῖς ἁγίαις εὐχαῖς τὴν στρατιὰν ἐτείχιζεν, οὐ βλέπων εἰς ὀφρὺν στρατηγῶν καὶ ταξιάρχων καὶ ἱππάρχων, οὐδὲ χρήματα συλλέγων, οὐδὲ ὅπλα κατασκευάζων, ἀλλὰ τὴν θείαν πανοπλίαν ἐξ οὐρανοῦ καταφέρων. Πανοπλία γὰρ ὡς ἀληθῶς οὐράνιος ἡ θεία προσευχή, καὶ μόνη δύναται φυλάττειν βεβαίως τοὺς δεδωκότας ἑαυτοὺς τῷ Θεῷ. Τὴν μὲν γὰρ τῶν ὁπλιτῶν ἰσχύν τε καὶ ἐπιστήμην καὶ τοξοτῶν ἐμπειρίαν καὶ προδοσίαν, πολλάκις ὑποφαίνει μάταιον καὶ βλέμματα πολεμικά, καὶ ἀντιπάλων εὐψυχία, καὶ ἄλλα πολλὰ πρὸς τούτοις, προσευχὴ δὲ ἄμαχον ὅπλον καὶ ἀσφαλὲς φυλακτήριον, ὁμοίως μὲν στρατιώτην ἕνα, ὁμοίως δὲ πολλὰς ἀποκρουομένη μυριάδας· ἐπεὶ καὶ Δαυΐδ ὁ

6. Πρβλ. Λουκᾶ 7, 37.

σᾶ καὶ πολυτελῆ ἐνδύματα, ἔτσι ἀκριβῶς ἐκεῖνος ποὺ ἐγνώριζε τὴν πόλιν ἐκείνην προηγουμένως ὡς πτωχὴν καὶ ἔρημον ἀπὸ τοὺς πνευματικοὺς θησαυρούς, δὲν θὰ ἠμποροῦσε νὰ ἀντιληφθῇ ὅτι ἦτο ἡ πόλις αὐτὴ τὴν ὁποίαν κατώρθωσε τόσον πολὺ νὰ μεταβάλῃ ἡ προσευχὴ καὶ νὰ ἐπαναφέρῃ τὴν διάθεσιν καὶ τὸν βίον της πρὸς τὴν ἀρετήν. Καὶ κάποια γυναῖκα ἡ ὁποία ἔζησεν ὅλην τὴν ζωήν της εἰς τὴν ἀκολασίαν καὶ τὴν πορνείαν, ὅταν προσέπεσεν εἰς τοὺς πόδας τοῦ Χριστοῦ, ἀμέσως ἐπέτυχε τὴν σωτηρίαν της[6].

Ἡ προσευχὴ λοιπὸν δὲν καθαρίζει μόνον ἀπὸ τὰς ἁμαρτίας, ἀλλὰ ἔχει τὴν δύναμιν νὰ ἀποκρούῃ καὶ μεγάλους κινδύνους. Ὁ θαυμάσιος Δαυίδ, ὁ ὁποῖος ἦτο συγχρόνως βασιλεὺς καὶ προφήτης, διέφυγεν ἀπὸ τὸν κίνδυνον τῶν πολλῶν καὶ δυσκόλων πολέμων μὲ τὴν προσευχήν, προβάλλων αὐτὴν ὡς τὸ μοναδικὸν ὅπλον τοῦ στρατοῦ καὶ παρέχων τὴν δυνατότητα εἰς τοὺς στρατιώτας του μὲ ἡσυχίαν καὶ μὲ ἄνεσιν νὰ κατακτοῦν τὴν νίκην. Οἱ μὲν ἄλλοι βασιλεῖς ἐστήριζον τὴν ἐλπίδα τῆς νίκης εἰς τὴν ἐμπειρίαν τῶν στρατηγῶν, εἰς τὰ διάφορα πολεμικὰ σχέδια, εἰς τοὺς τοξότας, εἰς τοὺς ὁπλίτας καὶ εἰς τοὺς ἱππεῖς, ὁ μέγας ὅμως Δαυὶδ μὲ τὰς ἁγίας προσευχὰς ὠχύρωνε τὸν στρατὸν καὶ δὲν ἐστήριζε τὰς ἐλπίδας του εἰς τὰ νεύματα τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων καὶ τῶν ἱππάρχων, οὔτε συνεκέντρωσε χρήματα, οὔτε κατεσκεύαζεν ὅπλα, ἀλλὰ κατεβίβαζεν ἀπὸ τὸν οὐρανὸν τὴν θείαν πανοπλίαν. Διότι πράγματι εἶναι οὐράνιος πανοπλία ἡ θεία προσευχή, καὶ ἠμπορεῖ νὰ διαφυλάξῃ μόνη της ἀσφαλῶς αὐτοὺς ποὺ ἔχουν ἀφιερώσει τοὺς ἑαυτούς των εἰς τὸν Θεόν. Διότι τὴν δύναμιν καὶ τὴν πολεμικὴν τέχνην τῶν ὁπλιτῶν, καὶ τὴν ἐμπειρίαν τῶν τοξοτῶν, καὶ τὴν προδοσίαν, πολλάκις τὰ ἀποδεικνύει ἀνώφελα, καὶ τὰς πολεμικὰς παρατηρήσεις καὶ τὴν γενναιότητα τῶν ἀντιπάλων καὶ πολλὰ ἄλλα παρόμοια μὲ αὐτά, ἡ προσευχὴ ὅμως εἶναι ὅπλον ἀκαταμάχητον καὶ ἀσφαλὲς ὀχυρόν, καὶ ἀποκρούει κατὰ τὸν ἴδιον τρόπον ἕνα στρατιώτην καὶ κατὰ τὸν ἴδιον τρόπον καὶ πολλὰς μυριάδας στρατιωτῶν· καθ' ὅσον καὶ ὁ θαυμάσιος Δαυὶδ τὸν Γο-

θαυμάσιος τὸν Γολιὰθ ἐκεῖνον, ὥσπερ δαίμονά τινα φοβερὸν ἐπερχόμενον, οὐχ ὅπλοις οὐδὲ ξίφεσιν, ἀλλ' εὐχαῖς κατήνεγκεν.

Οὕτως ἰσχυρὸν μὲν βασιλεῦσιν ἐν μάχαις ὅπλον ἡ προσευχή, ἰσχυρὸν δὲ καὶ ἡμῖν πρὸς δαίμονας. Οὕτω καὶ ὁ βασιλεὺς Ἐζεκίας περιγίνεται τῷ πολέμῳ τῶν Περσῶν, στρατιὰν μὲν οὐχ ὁπλίσας, εὐχὰς δὲ μόνας ἀντιστήσας τῷ πλήθει τῶν ἀντιπάλων. Οὕτω καὶ θάνατον διέφυγε, μετὰ τῆς προσηκούσης εὐλαβείας τῷ Θεῷ προσπεσών, καὶ ἡ προσευχὴ μόνη δέδωκεν ἀναβιῶναι τῷ βασιλεῖ. Καὶ μήν γε ὅτι ψυχὴν ἡμαρτηκυῖαν ἡ προσευχὴ ῥαδίως ἀποκαθαίρει, διδάσκει ἡμᾶς ὁ τελώνης, δεηθεὶς τοῦ Θεοῦ τυχεῖν ἀφέσεως, καὶ τυχών· διδάσκει δὲ καὶ ὁ λεπρός, ἅμα τε προσπεσὼν τῷ Θεῷ, καὶ καθαρθεὶς εὐθέως. Εἰ δὲ σῶμα διεφθαρμένον ὁ Θεὸς ὀξέως ἰάσατο, πολλῷ μᾶλλον ψυχὴν νενοσηκυῖαν θεραπεύσει φιλανθρώπως· ὅσῳ γὰρ τιμιωτέρα τοῦ σώματος ἡ ψυχή, τοσούτῳ μᾶλλον εἰκὸς περὶ ταύτην πλείονα σπουδὴν ἐπιδείκνυσθαι τὸν Θεόν. Καὶ μυρία ἄν τις ἔχοι λέγειν καὶ παλαιὰ καί, καινά, εἰ πάντας ἐξαριθμεῖσθαι βούλοιτο τοὺς διὰ προσευχῆς σεσωσμένους.

Ἴσως δέ τις τῶν ῥαθυμοτέρων καὶ οὐκ ἐθελόντων ἐπιμελῶς προσεύχεσθαι καὶ σπουδαίως ἐκεῖνα τὰ ῥήματα φήσειεν ἂν εἰρηκέναι τὸν Θεόν, ὡς «Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου, τοῦ ἐν οὐρανοῖς»· ἐγὼ δὲ εἰ μόνην ἐξαρκεῖν πρὸς τὴν ἡμετέραν σωτηρίαν τὴν προσευχὴν ἐνόμιζον, εἰκότως ἄν τις τούτοις ἐκέχρητο τοῖς λόγοις· ἐπεὶ δὲ κεφάλαιον εἶναι ἀγαθῶν τὴν προσευχήν φη-

7. Πρβλ. Α' Βασ. 17.
8. Πρβλ. Δ' Βασ. 19.
9. Πρβλ. 'Ησ. 38.
10. Πρβλ. Λουκᾶ 18, 13.
11. Πρβλ. Ματθ. 8, 2.
12. Ματθ. 7, 21.

λιὰθ ἐκεῖνον, ὁ ὁποῖος ἐπήρχετο ἐναντίον του ὡσὰν κάποιος φοβερὸς δαίμων δὲν τὸν κατενίκησε μὲ ὅπλα καὶ μὲ ξίφη, ἀλλὰ μὲ τὰς προσευχάς[7].

Τόσον ἰσχυρὸν ὅπλον εἶναι ἡ προσευχὴ διὰ μὲν τοὺς βασιλεῖς εἰς τὰς μάχας καὶ τοὺς πολέμους, δι' ἡμᾶς δὲ εἶναι ἰσχυρὸν καὶ ἀκαταμάχητον ὅπλον ἐναντίον τῶν δαιμόνων. Κατὰ τὸν ἴδιον τρόπον καὶ ὁ βασιλεὺς Ἐζεκίας ὑπερίσχυσεν εἰς τὸν πόλεμον κατὰ τῶν Περσῶν, ὄχι μὲ τὸ νὰ ἐξοπλίσῃ τὸν στρατόν, ἀλλὰ μὲ τὸ νὰ ἀντιπαρατάξῃ τὰς προσευχὰς μόνον εἰς τὸ πλῆθος τῶν ἀντιπάλων[8]. Κατὰ τὸν ἴδιον τρόπον διέφυγε καὶ τὸν θάνατον, διότι παρεκάλεσε τὸν Θεὸν μὲ τὴν πρέπουσαν εὐλάβειαν, καὶ ἡ προσευχὴ μόνη ἐχάρισε τὴν ζωὴν εἰς τὸν βασιλέα[9]. Καὶ τὸ ὅτι ἡ προσευχὴ εὐκόλως καθαρίζει τὴν ψυχὴν ποὺ ἔχει ἁμαρτήσει, μᾶς τὸ διδάσκει ὁ τελώνης, ὁ ὁποῖος παρεκάλεσε τὸν Θεὸν νὰ συγχωρεθῇ καὶ συνεχωρήθη[10]· μᾶς τὸ διδάσκει δὲ καὶ ὁ λεπρός, ὁ ὁποῖος εὐθὺς ὡς παρεκάλεσε τὸν Θεὸν ἐκαθαρίσθη ἀπὸ τὴν λέπραν[11]. Ἂν δὲ τόσον γρήγορα ἐθεράπευσεν ὁ Θεὸς τὸ σῶμα τὸ διεφθαρμένον, πόσον μᾶλλον γρηγορώτερα θὰ θεραπεύσῃ φιλανθρώπως τὴν ψυχὴν ποὺ νοσεῖ· διότι ὅσον πολυτιμοτέρα εἶναι ἡ ψυχὴ ἀπὸ τὸ σῶμα, εἶναι φυσικὸν τόσον περισσοτέραν φροντίδα νὰ ἐπιδείξῃ δι' αὐτὴν ὁ Θεός. Καὶ θὰ ἠμποροῦσε κανεὶς νὰ ἀναφέρῃ ἀναρίθμητα παραδείγματα παλαιὰ καὶ νέα, ἂν ἤθελε νὰ ἀπαριθμήσῃ αὐτοὺς ποὺ ἔχουν σωθῆ διὰ τῆς προσευχῆς.

Ἴσως ὅμως κάποιος ἀπὸ τοὺς ραθυμοτέρους καὶ ἀπὸ αὐτοὺς ποὺ δὲν θέλουν νὰ προσεύχωνται μετὰ σπουδῆς καὶ μετὰ ζήλου, θὰ ἠμποροῦσε νὰ ἰσχυρισθῇ ὅτι ὁ Θεὸς ἔχει εἰπεῖ αὐτὰ τὰ λόγια, ὅτι δηλαδὴ «δὲν θὰ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν καθένας ποὺ μὲ ἐπικαλεῖται καὶ μὲ προσφωνεῖ Κύριε, Κύριε, ἀλλὰ ἐκεῖνος ποὺ ἐφαρμόζει τὸ θέλημα τοῦ οὐρανίου Πατρός μου»[12]· ἐγὼ δὲ ἐὰν ἐθεωροῦσα ὅτι διὰ τὴν ἰδικήν μας σωτηρίαν ἦτο ἀρκετὴ μόνον ἡ προσευχή, εὐλόγως θὰ ἠμποροῦσε κανεὶς νὰ χρησιμοποιήσῃ τοὺς ἀνωτέρω λόγους· ἐπειδὴ ὅμως λέγω ὅτι ἡ προσευχὴ εἶναι τὸ πρώτιστον τῶν ἀγαθῶν καὶ τὸ θεμέλιον

μι, καὶ κρηπῖδα καὶ ῥίζαν τοῦ λυσιτελοῦντος βίου, μηδεὶς ἐπὶ προφάσει ῥαθυμίας ἐκείνοις κεχρήσθω τοῖς λόγοις. Οὐδὲ γὰρ σωφροσύνη μόνη δύναται σώζειν ἄνευ τῶν ἄλλων ἀγαθῶν, οὐδὲ πρόνοια πτωχῶν, οὐδὲ χρηστότης, οὐδὲ ἄλλο τι τῶν σπουδαίων, ἀλλὰ δεῖ πάντα συνδραμεῖν εἰς τὰς ἡμετέρας ψυχάς· προσευχὴ δὲ ὥσπερ ῥίζα καὶ κρηπὶς ὑπόκειται. Καὶ ὥσπερ πλοῖον καὶ οἰκίαν τὰ κάτωθεν ἰσχυρὰ ποιεῖ καὶ συνέχει, οὕτω τὸν ἡμέτερον βίον αἱ προσευχαὶ συγκρατοῦσιν· ἄνευ δὲ ταύτης οὐδὲν ἂν ἡμῖν ἀγαθόν, οὐδὲ σωτήριον γένοιτο.

Διὰ τοῦτο ὁ Παῦλος ἔγκειται συνεχῶς ἡμῖν διακελευόμενος, καὶ λέγων· «Τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ, ἐν εὐχαριστίᾳ»· καὶ ἀλλαχοῦ, «Ἀδιαλείπτως προσεύχεσθε», φησίν, «ἐν παντὶ εὐχαριστοῦντες· τοῦτο γάρ ἐστι θέλημα Θεοῦ»· καὶ ἑτέρωθι πάλιν, «Προσεύχεσθε ἐν παντὶ καιρῷ ἐν πνεύματι, εἰς αὐτὸ ἀγρυπνοῦντες, ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει».

Οὕτω πολλαῖς καὶ θείαις φωναῖς ἐπὶ προσευχὴν ἡμᾶς καλεῖ συνεχῶς ὁ τῶν ἀποστόλων ἡγεμών. Προσήκει τοίνυν ὑπ' ἐκείνου παιδευομένους, μετὰ προσευχῆς πορεύεσθαι τὸν βίον, καὶ ταύτῃ συνεχῶς τὴν διάνοιαν ἄρδειν· χρήζομεν γὰρ οἱ πάντες ἄνθρωποι ταύτης οὐχ ἧττον, ἢ τὰ δένδρα τῶν ὑδάτων. Οὔτε γὰρ ἐκεῖνα δύνανται ἐκφέρειν τοὺς καρπούς, μὴ πίνοντα διὰ τῶν ῥιζῶν, οὔτε ἡμεῖς τοῖς πολυτιμήτοις καρποῖς τῆς εὐσεβείας δυνησόμεθα βρύειν, μὴ ταῖς προσευχαῖς ἀρδόμενοι. Δι' ὅπερ χρὴ καὶ τῆς κλίνης ἀπανισταμένους φθά-

---

13. Κολ. 4, 2.
14. Α′ Θεσ. 5, 17-18.
15. Ἐφ. 6, 18.

καὶ ἡ ρίζα, καὶ παρέχει μεγάλην ὠφέλειαν εἰς τὸν βίον, κανεὶς νὰ μὴ χρησιμοποιήσῃ τοὺς λόγους ἐκείνους ὡς πρόφασιν ραθυμίας. Οὔτε βέβαια ἡ σωφροσύνη ἠμπορεῖ νὰ σώσῃ μόνη της χωρὶς τὰς ἄλλας ἀρετάς, οὔτε ἡ φροντὶς τῶν πτωχῶν, οὔτε ἡ ἀρετὴ μόνη της, οὔτε κάτι ἄλλο ἀπὸ τὰ ἐξαίρετα, ἀλλὰ πρέπει ὅλα αὐτὰ νὰ συναντῶνται εἰς τὰς ψυχάς μας· ἡ προσευχὴ δὲ ἀποτελεῖ τὴν ρίζαν καὶ τὸ θεμέλιον ὅλων τῶν ἀρετῶν. Καὶ ὅπως ἀκριβῶς τὰ κάτω μέρη τοῦ πλοίου καὶ τὰ θεμέλια τῆς οἰκίας πρέπει νὰ τὰ κάμωμεν ἰσχυρὰ διὰ νὰ συγκρατοῦν αὐτά, ἔτσι ἀκριβῶς καὶ αἱ προσευχαὶ συγκρατοῦν τὴν ἰδικήν μας ζωήν, καὶ χωρὶς αὐτὴν κανένα ἀγαθὸν δὲν θὰ ἠμπορέσῃ νὰ γίνῃ αἰτία σωτηρίας δι' ἡμᾶς.

Διὰ τοῦτο συνεχῶς ὁ Παῦλος μᾶς πιέζει καὶ μᾶς παρακινεῖ λέγων· «Νὰ ἐπιμένετε εἰς τὴν προσευχήν, νὰ ἀγρυπνῆτε εἰς αὐτὴν καὶ νὰ ἐκφράζετε συγχρόνως δι' αὐτῆς τὰς εὐχαριστίας σας πρὸς τὸν Θεόν»[13]· καὶ ἀλλοῦ· «Συνεχῶς καὶ ἀκατάπαυστα νὰ προσεύχεσθε πρὸς τὸν Θεόν· διὰ κάθε τι εὐχάριστον ἢ δυσάρεστον νὰ εὐχαριστῆτε τὸν Θεόν· διότι αὐτὸ εἶναι τὸ θέλημα τοῦ Θεοῦ»[14]· καὶ ἀλλοῦ πάλιν λέγει· «Νὰ παρακαλῆτε δὲ μὲ κάθε προσευχὴν καὶ δέησιν τὸν Κύριον νὰ σᾶς βοηθήσῃ διὰ νὰ ἀξιοποιήσετε τὸν πνευματικὸν αὐτὸν ὁπλισμόν, προσευχόμενοι εἰς κάθε καιρὸν μὲ τὸν φωτισμὸν τοῦ ἁγίου Πνεύματος. Νὰ ἐπιμένετε δὲ πολὺ εἰς αὐτὸ τοῦτο τὸ ἔργον τῆς προσευχῆς· νὰ εἶσθε ἄγρυπνοι μὲ κάθε ἐγκαρτέρησιν καὶ μὲ δέησιν δι' ὅλους τοὺς Χριστιανούς»[15].

Τοιουτοτρόπως μᾶς καλεῖ συνεχῶς ὁ πρῶτος τῶν ἀποστόλων μὲ τὰς πολλὰς καὶ θείας φωνὰς εἰς τὴν προσευχήν. Πρέπει λοιπὸν ἀφοῦ διδαχθῶμεν ἀπὸ ἐκεῖνον νὰ βαδίζωμεν τὸν δρόμον τῆς ζωῆς μας μὲ προσευχὴν καὶ νὰ δροσίζωμεν συνεχῶς μὲ αὐτὴν τὴν ψυχήν μας· διότι ἔχομεν ἀνάγκην ὅλοι οἱ ἄνθρωποι ἀπὸ αὐτὴν ὄχι ὀλιγώτερον ἀπὸ ὅσον τὰ δένδρα ἀπὸ τὸ νερό. Διότι οὔτε ἐκεῖνα ἠμποροῦν νὰ φέρουν καρπούς, ἂν δὲν πίουν νερὸ διὰ τῶν ριζῶν των, οὔτε ἡμεῖς θὰ ἠμπορέσωμεν νὰ ἔχωμεν ἀφθονίαν πολυτίμων ἀγαθῶν ἂν δὲν ἀρδευώμεθα μὲ τὰς προσευχάς. Διὰ τοῦτο

νειν ἀεὶ τὸν ἥλιον τῇ τοῦ Θεοῦ λατρείᾳ, καὶ τραπέζης ἁπτομένους, καὶ καθεύδειν μέλλοντας· μᾶλλον δὲ καὶ καθ' ἑκάστην ὥραν μίαν προσευχὴν τῷ Θεῷ προσφέροντας, ἴσον τῇ ἡμέρᾳ δρόμον τρέχοντας· ἐν δέ γε τῇ τοῦ χειμῶνος ὥρᾳ, καὶ τῆς νυκτὸς τὸ πλεῖστον μέρος εἰς προσευχὰς ἀναλίσκοντας, καὶ τὰ γόνατα κάμπτοντας σὺν πολλῷ τῷ φόβῳ τῇ δεήσει προσέχοντας, μακαρίζοντας ἑαυτοὺς ἐπὶ τῇ τοῦ Θεοῦ λατρείᾳ.

Εἰπέ μοι πῶς ὄψει τὸν ἥλιον, μὴ προσκυνήσας τὸν πέμποντα τοῖς σοῖς ὀφθαλμοῖς γλυκύτατον φῶς; πῶς ἀπολαύσεις τραπέζης, μὴ προσκυνήσας τὸν τοσούτων ἀγαθῶν δοτῆρα καὶ χορηγόν; μετὰ ποίας ἐλπίδος ἐπὶ τὸν τῆς νυκτὸς ἥξεις καιρόν; ποίοις προσδοκᾷς ὀνείρασιν ὁμιλῆσαι, μὴ τειχίσας σαυτὸν προσευχαῖς, ἀλλ' ἀφύλακτος ἐπὶ τὸν ὕπνον ἐλθών; Εὐκαταφρόνητος καὶ εὐάλωτος τοῖς πονηροτάτοις δαίμοσιν ἔσῃ, οἳ περιέρχονται συνεχῶς καιροφυλακτοῦντες ἡμᾶς, τίνα λαβόντες γυμνὸν προσευχῆς ἀναρπάσαιεν ὀξέως. Ἂν μὲν οὖν ἴδωσιν ἡμᾶς πεφραγμένους ταῖς προσευχαῖς, ἀποπηδῶσιν εὐθέως, ὥσπερ λῃσταὶ καὶ κακοῦργοι, πρὸς τῇ κεφαλῇ τοῦ στρατιώτου ξίφος ὁρῶντες κρεμάμενον. Ἂν δ' ἄρα συμβῇ τινα γυμνὸν εἶναι προσευχῆς, οὗτος ἀνάρπαστος ὑπὸ τῶν δαιμόνων φέρεται, εἰς ἁμαρτίας ὠθούμενος καὶ συμφορὰς καὶ κακά.

Ταῦτα δεῖ πάντα φοβουμένους ἡμᾶς, προσευχαῖς καὶ ὕμνοις ἀεὶ τειχίζειν ἑαυτούς, ἵνα πάντας ὁ Θεὸς ἐλεήσας, ἀξίους ἀπεργάσηται τῆς τῶν οὐρανῶν βασιλείας, διὰ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

πρέπει καὶ ὅταν ἐγερθῶμεν ἀπὸ τὸ κρεββάτι νὰ φθάνωμεν πάντοτε μὲ τὴν λατρείαν τοῦ Θεοῦ τὸν ἥλιον, καὶ ὅταν πρόκειται νὰ παρακαθήσωμεν εἰς τὴν τράπεζαν διὰ φαγητόν, καὶ ὅταν πρόκειται νὰ κοιμηθῶμεν· μᾶλλον δὲ καὶ κάθε ὥραν πρέπει νὰ ἀναπέμπωμεν μίαν προσευχὴν εἰς τὸν Θεὸν διανύοντες ἴσον δρόμον μὲ τὴν ἡμέραν· κατὰ τὰς δυσκόλους δὲ περιστάσεις τῆς ζωῆς καὶ τὴν μεγαλυτέραν χρονικὴν περίοδον τῆς νυκτὸς νὰ τὴν ἀφιερώνωμεν εἰς τὰς προσευχάς, καὶ νὰ κάμπτωμεν τὰ γόνατα, μὲ πολὺ φόβον προσηλωμένοι εἰς τὴν δέησιν, καὶ νὰ θεωρῶμεν τοὺς ἑαυτούς μας εὐτυχεῖς ἐξ αἰτίας τῆς λατρείας αὐτῆς τοῦ Θεοῦ.

Εἰπέ μου, πῶς θὰ ἰδῇς τὸν ἥλιον ὅταν δὲν προσκυνῇς αὐτὸν ποὺ σοῦ στέλνει εἰς τὰ μάτια σου τὸ γλυκύτατον φῶς; Πῶς θὰ ἀπολαύσῃς τῆς τραπέζης τῶν φαγητῶν, ὅταν δὲν προσκυνῇς αὐτὸν ὁ ὁποῖος ἔδωσε καὶ ἐχορήγησε τόσα ἀγαθά; Μὲ ποίας ἐλπίδας θὰ διέλθῃς τὴν χρονικὴν περίοδον τῆς νυκτός; Διὰ ποίων ὀνείρων προσδοκᾷς νὰ συνομιλήσῃς ὅταν δὲν ὀχυρώνῃς τὸν ἑαυτόν σου μὲ προσευχάς, ἀλλὰ ἔρχεσαι εἰς τὸν ὕπνον ἀφύλακτος; Θὰ εἶσαι ἀσήμαντος καὶ εὐάλωτος εἰς τοὺς πονηροὺς δαίμονας, οἱ ὁποῖοι μᾶς περιτριγυρίζουν συνεχῶς καρτεροῦντες ποῖον ἀπὸ ἡμᾶς θὰ ἠμπορέσουν νὰ συλλάβουν γυμνὸν ἀπὸ τὴν προσευχήν, διὰ νὰ τοὺς ἁρπάσουν ἀμέσως. Καὶ ἂν μὲν μᾶς ἰδοῦν νὰ εἴμεθα περιφραγμένοι καὶ προφυλαγμένοι ἀπὸ τὰς προσευχὰς ἀπομακρύνονται ἀμέσως, ὅπως ἀπομακρύνονται οἱ λησταὶ καὶ οἱ κακοῦργοι, ὅταν βλέπουν νὰ ὑπάρχῃ κρεμάμενον ξίφος πρὸ τῆς κεφαλῆς τοῦ στρατιώτου. Ἄρα λοιπὸν ἂν συμβῇ κάποιος νὰ εἶναι γυμνὸς ἀπὸ τὴν προσευχήν, αὐτὸς ἁρπάζεται ὑπὸ τῶν δαιμόνων καὶ ὠθεῖται εἰς τὰς ἁμαρτίας, τὰς συμφορὰς καὶ τὰ κακά.

Αὐτὰ λοιπὸν ὅλα πρέπει νὰ μᾶς φοβίζουν, καὶ νὰ μᾶς κάμουν νὰ ὀχυρώνωμεν τοὺς ἑαυτούς μας πάντοτε μὲ προσευχὰς καὶ μὲ ὕμνους, ὥστε νὰ μᾶς ἐλεήσῃ ὅλους ὁ Θεὸς καὶ νὰ μᾶς κάμῃ ἀξίους τῆς βασιλείας τῶν οὐρανῶν, διὰ τοῦ μονογενοῦς Υἱοῦ του, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

7

ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ

ΛΟΓΟΣ Β΄

Ὅτι μὲν παντὸς ἀγαθοῦ κεφάλαιόν ἐστιν ἡ προσευχή, καὶ σωτηρίας καὶ ζωῆς αἰωνίου πρόξενος, ἀγνοεῖ τῶν ἀπάντων οὐδείς· ἀναγκαῖον δὲ ὅμως τὰ κατὰ δύναμιν λέγειν περὶ τοῦ πράγματος, ἵνα τοὺς μὲν εἰωθότας ζῆν ἐν προσευχαῖς, καὶ τῇ λατρείᾳ τοῦ Θεοῦ προσέχειν ἐπιμελῶς, σπουδαιοτέρους ὁ λόγος ἀπεργάσηται· οἱ δὲ ῥαθυμότερον βεβιωκότες, καὶ προσευχῆς ἔρημον τὴν ψυχὴν ἀφέντες, τήν τε τοῦ παρελθόντος χρόνου ζημίαν μάθωσιν, καὶ μὴ προσαποστερήσωσιν ἑαυτοὺς τῆς σωτηρίας τὸ λειπόμενον τοῦ βίου μέρος.

Εὐθὺς τοίνυν ἐκεῖνο μέγιστον περὶ εὐχῆς εἰπεῖν ἔχομεν, ὅτι πᾶς προσευχόμενος τῷ Θεῷ διαλέγεται. Ὅσον δέ ἐστιν ἄνθρωπον ὄντα τῷ Θεῷ λαλεῖν, ἀγνοεῖ μὲν οὐδείς· παραστῆσαι δὲ λόγῳ τὴν τιμὴν οὐκ ἄν τις δυνηθείη. Αὕτη γὰρ ἡ τιμὴ καὶ τὴν τῶν ἀγγέλων ὑπεραίρει μεγαλοπρέπειαν· ὃ καλῶς ἐκεῖνοι ἐπιστάμενοι, πάντες φαίνονταί που παρὰ τοῖς προφήταις σὺν πολλῷ τῷ φόβῳ τοὺς ὕμνους καὶ τὰς λατρείας τῷ Δεσπότῃ προσάγοντες, καλύπτοντες μὲν καὶ πρόσωπα, καὶ τοὺς πόδας ὑπὸ πολλῆς εὐλαβείας, τῇ δὲ πτήσει, καὶ τῷ μὴ δύνασθαι μένειν ἐν ἡσυχίᾳ, τὸν πολὺν ἐνδεικνύμενοι φόβον· παιδεύοντες, οἶμαι, καὶ ἡμᾶς ἐπιλανθάνεσθαι μὲν τῆς ἀνθρωπίνης φύσεως ἐν καιρῷ προσευχῆς, τῇ δὲ προθυμίᾳ, καὶ τῷ φόβῳ συνεχομένους, μηδὲν τῶν παρόντων ὁρᾶν, ἀλλ' ἐν μέσῳ τῶν ἀγγέλων ἑστάναι νομίζειν, καὶ τὴν αὐτὴν ἐκεί-

7

ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ

ΛΟΓΟΣ Β'

Ὅτι ἡ προσευχὴ ἀποτελεῖ τὴν κορωνίδα ὅλων τῶν ἀγαθῶν καὶ μᾶς προσφέρει τὴν σωτηρίαν καὶ τὴν αἰώνιον ζωὴν κανεὶς δὲν τὸ ἀγνοεῖ· εἶναι ὅμως ἀπαραίτητον νὰ ὁμιλήσωμεν διὰ τὸ θέμα αὐτὸ κατὰ δύναμιν διὰ νὰ γίνουν πιὸ ἐπιμελεῖς αὐτοὶ ποὺ συνήθισαν νὰ ζοῦν μὲ προσευχὰς καὶ μὲ τὴν λατρείαν τοῦ Θεοῦ, καὶ οἱ ἄλλοι ποὺ ζοῦν μὲ κάποιαν ἀδιαφορίαν καὶ ἄφησαν τὴν ψυχήν των ἔρημον ἀπὸ τὴν προσευχήν, νὰ κατανοήσουν τὴν ζημίαν ποὺ ἔπαθαν ἀπὸ τὴν τοιαύτην ζωήν των κατὰ τὸ παρελθὸν καὶ νὰ μὴ στερήσουν πλέον τοὺς ἑαυτούς των ἀπὸ τὴν σωτηρίαν κατὰ τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς των.

Ἐκεῖνο λοιπὸν ποὺ ἀμέσως ἔχομεν νὰ εἰποῦμεν διὰ τὴν προσευχὴν καὶ ποὺ ἀποτελεῖ τὸ μέγιστον πρᾶγμα εἶναι ὅτι κάθε ἄνθρωπος ποὺ προσεύχεται συνομιλεῖ μὲ τὸν Θεόν. Πόσον δὲ μεγάλο πρᾶγμα εἶναι νὰ εἶσαι ἄνθρωπος καὶ νὰ συνομιλῆς μὲ τὸν Θεόν, κανεὶς δὲν τὸ ἀγνοεῖ καὶ δὲν εἶναι δυνατὸν νὰ παραστήσῃ κανεὶς μὲ λόγια αὐτὴν τὴν τιμήν. Διότι αὐτὴ ἡ τιμὴ ὑπερβαίνει καὶ τὴν μεγαλοπρέπειαν τῶν ἀγγέλων· πρᾶγμα ποὺ ἐκεῖνοι γνωρίζουν καλῶς καὶ ὅλοι παρουσιάζονται ἀπὸ τοὺς προφήτας νὰ ἀναπέμπουν τοὺς ὕμνους καὶ τὰς λατρείας πρὸς τὸν Κύριον μὲ πολὺν φόβον καὶ νὰ καλύπτουν τὰ πρόσωπα καὶ τοὺς πόδας μὲ μεγάλην εὐλάβειαν καὶ δείχνουν τὸν μεγάλον φόβον μὲ τὴν πτῆσιν καὶ μὲ τὴν διαρκῆ κίνησίν των· καὶ νομίζω ὅτι παροτρύνουν καὶ ἡμᾶς νὰ λησμονῶμεν, κατὰ τὴν ὥραν τῆς προσευχῆς, τὴν ἀνθρωπίνην φύσιν μας καὶ συνεχόμενοι ἀπὸ τὸν φόβον, νὰ μὴ βλέπωμεν τίποτε ἀπὸ τὰ παρόντα, ἀλλὰ νὰ θεωροῦμεν τοὺς ἑαυτούς μας ὅτι εἴμεθα ἀνάμεσα εἰς τοὺς ἀγγέλους καὶ ἐπιτελοῦμεν τὴν ἰδίαν λα-

νοις λατρείαν ἐπιτελεῖν. Τὰ μὲν γὰρ ἄλλα πάντα πολὺ κεχωρισμένα τά τε ἐκείνων καὶ τὰ ἡμέτερα, καὶ φύσις, καὶ δίαιτα, καὶ σοφία, καὶ σύνεσις καὶ πᾶν, ὅ,τι ἂν εἴπῃ τις· προσευχῆς δὲ κοινὸν ἔργον ἀγγέλων ὁμοῦ καὶ ἀνθρώπων· καὶ οὐκ ἔστι μέσον οὐδὲν ἑκατέρας φύσεως, τά γε εἰς προσευχήν.

Αὕτη σε χωρίζει τῶν ἀλόγων, αὕτη συνάπτει τοῖς ἀγγέλοις· ταχέως δέ τις εἰς τὴν ἐκείνων μεταστήσεται πολιτείαν, καὶ βίον, καὶ δίαιταν, καὶ τιμήν, καὶ εὐγένειαν, καὶ σοφίαν, καὶ σύνεσιν, πάντα τὸν βίον ἐν προσευχαῖς καὶ τῇ τοῦ Θεοῦ λατρείᾳ σπουδάζων ἐσχολακέναι. Τί γὰρ ἂν ὁσιώτερον γένοιτο τῶν ὁμιλούντων Θεῷ; τί δὲ δικαιότερον; τί δὲ κοσμιώτερον; τί δὲ σοφώτερον; Εἰ γὰρ οἱ σοφοῖς ἀνδράσι λαλοῦντες ὑπὸ τῆς συνεχοῦς ὁμιλίας εἰς ὁμοιότητα τῆς ἐκείνων φρονήσεως καθίστανται ταχέως, τί προσήκει λέγειν περὶ τῶν λαλούντων Θεῷ καὶ προσευχομένων; Ὅσης μὲν σοφίας, ὅσης δὲ ἀρετῆς, καὶ συνέσεως, καὶ καλοκαγαθίας, καὶ σωφροσύνης, καὶ τρόπων ἐπιεικείας ἀναπίμπλησιν αὐτοὺς ἡ προσευχὴ καὶ ἡ δέησις; Ὥστε οὐκ ἄν τις ἁμάρτοι, πάσης ἀρετῆς καὶ δικαιοσύνης ἀφορμὴν εἶναι τὴν προσευχὴν ἀποφαινόμενος, καὶ μηδὲν δύνασθαι τῶν συντελούντων εἰς εὐσέβειαν εἰσελθεῖν εἰς ψυχήν, προσευχῆς καὶ δεήσεως ἔρημον· ἀλλ' ὥσπερ ἀτείχιστος πόλις ῥᾳδίως ἂν ὑπὸ τοῖς πολεμίοις γένοιτο, κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν· οὕτω δὴ καὶ ψυχὴν μὴ τετειχισμένην προσευχαῖς ῥᾳδίως ὁ διάβολος ὑφ' ἑαυτὸν ποιεῖται, καὶ πάσης ἁμαρτίας εὐχερῶς ἀναπίμπλησιν.

Πρῶτον μὲν γὰρ ὅταν ἴδῃ ψυχὴν πεφραγμένην προσευχαῖς, οὐ τολμᾷ γενέσθαι πλησίον, δεδοικὼς τὴν ἰσχὺν καὶ τὴν δύναμιν, ἣν αἱ προσευχαὶ παρέχουσι, μᾶλλον τρέφουσαι

τρείαν μὲ ἐκείνους. Βέβαια εἰς ὅλα τὰ ἄλλα ὑπάρχει μεγάλη ἀπόστασις μεταξὺ ἡμῶν καὶ ἐκείνων, εἰς τὴν φύσιν, εἰς τὸν τρόπον ζωῆς, τὴν σοφίαν καὶ τὴν σύνεσιν καὶ γενικῶς εἰς ὅ,τι ἠμπορεῖ νὰ εἰπῇ κανείς· τὸ καθῆκον ὅμως τῆς προσευχῆς εἶναι κοινὸν ἔργον τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων· καὶ εἰς ὅ,τι ἀφορᾷ εἰς τὴν προσευχὴν δὲν ὑπάρχει τίποτε ποὺ νὰ χωρίζῃ τὰς διαφορετικὰς φύσεις.

Ἡ προσευχὴ σὲ ξεχωρίζει ἀπὸ τὰ ἄλογα ζῶα καὶ σὲ συνδέει μὲ τοὺς ἀγγέλους. Καὶ ἐκεῖνος ποὺ εἰς ὅλην του τὴν ζωὴν ἀφιερώνεται μὲ θέρμην εἰς τὴν λατρείαν τοῦ Θεοῦ καὶ τὰς προσευχάς, γρήγορα θὰ μετατεθῇ εἰς τὴν πολιτείαν τῶν ἀγγέλων, τὴν ζωὴν καὶ τὸν τρόπον διαβιώσεως ἐκείνων, μὲ τὴν τιμὴν καὶ τὴν εὐγένειαν καὶ τὴν σοφίαν καὶ τὴν σύνεσιν. Διότι τί ἠμπορεῖ νὰ εἶναι ὁσιώτερον ἀπὸ τοὺς συναναστρεφομένους μὲ τὸν Θεόν; Τί δικαιότερον; Τί κοσμιώτερον; Τί σοφώτερον; Διότι, ἐὰν οἱ συνομιλοῦντες μὲ σοφοὺς ἀνθρώπους, μὲ τὴν συνεχῆ συναναστροφὴν μὲ αὐτούς, γίνονται γρήγορα ὅμοιοί τους ὡς πρὸς τὴν φρόνησιν, τότε τί πρέπει νὰ εἴπωμεν δι' ἐκείνους ποὺ ὁμιλοῦν μὲ τὸν Θεὸν καὶ προσεύχονται; Μὲ πόσην σοφίαν, μὲ πόσην ἀρετήν, μὲ πόσην σύνεσιν καὶ καλοκαγαθίαν, καὶ σωφροσύνην καὶ πραότητα, τοὺς γεμίζει ἡ προσευχὴ καὶ ἡ δέησις; Ὥστε δὲν θὰ σφάλῃ κανείς, ἂν ἐκφράσῃ τὴν γνώμην ὅτι ἡ προσευχὴ εἶναι ἀφετηρία κάθε ἀρετῆς καὶ δικαιοσύνης καὶ κανένα ἀπὸ ἐκεῖνα ποὺ συντελοῦν εἰς τὴν εὐσέβειαν δὲν ἠμπορεῖ νὰ εἰσέλθῃ εἰς ψυχὴν ποὺ εἶναι ἔρημος ἀπὸ προσευχὴν καὶ ἀπὸ δέησιν· ἀλλὰ ὡσὰν πόλις ἀνοχύρωτος εὔκολα ἠμπορεῖ νὰ ὑποταχθῇ εἰς τοὺς ἐχθροὺς ἀπὸ ἔλλειψιν κάθε ἐμποδίου. Τὸ ἴδιο λοιπὸν καὶ ψυχήν, ποὺ δὲν εἶναι ὀχυρωμένη μὲ προσευχάς, εὔκολα ὁ διάβολος τὴν ὑποτάσσει καὶ τὴν γεμίζει μὲ εὐκολίαν μὲ κάθε ἁμαρτίαν.

Κατ' ἀρχὴν ὅταν ἰδῇ ψυχὴν θωρακισμένην μὲ προσευχὰς δὲν τολμᾷ νὰ τὴν πλησιάσῃ, διότι φοβᾶται τὴν ἰσχὺν καὶ τὴν δύναμιν τὴν ὁποίαν παρέχουν αἱ προσευχαί, αἱ ὁποῖαι τρέφουν τὴν ψυχὴν περισσότερον ἀπὸ ὅσον ἡ τροφὴ τρέ-

τὴν ψυχήν, ἢ τὰ σώματα σῖτος· ἔπειτα οἱ προσευχόμενοι σπουδαίως, οὐχ ὑπομένουσιν οὐδὲν παθεῖν τῆς προσευχῆς ἀνάξιον, ἀλλ' αἰσχυνόμενοι τὸν Θεόν, ᾧ διελέχθησαν ἄρτι, πᾶσαν ἀπωθοῦνται ταχέως τοῦ πονηροῦ μηχανήν, ἐνθυμούμενοι παρ' ἑαυτοῖς, ὅσον ἐστὶ κακόν, ἄρτι τῷ Θεῷ λαλήσαντα, καὶ δεηθέντα περὶ σωφροσύνης καὶ ὁσιότητος, εὐθὺς ἐπὶ τὸν διάβολον μεταστῆναι, καὶ παραδέξασθαι τῇ ψυχῇ τὰς αἰσχρὰς ἡδονάς, καὶ δοῦναι τῷ διαβόλῳ πάροδον ἐπὶ τὴν διάνοιαν, ἣν ἄρτι Θεὸς ἐπεσκέψατο, καὶ συγχωρῆσαι τοῖς δαίμοσιν ἐμβατεύειν εἰς ψυχάς, ἐν αἷς ἡ τοῦ Πνεύματος χάρις πολλὴν ἐπεδείξατο φιλανθρωπίαν καὶ πρόνοιαν. Καὶ ὅπως, ἄκουσον.

Ἀμήχανον ἀνθρώπῳ δυνηθῆναι θείαν ἐνεγκεῖν ὁμιλίαν ἄνευ τῆς ἐνεργείας τοῦ Πνεύματος, ἀλλὰ δεῖ ταύτης παρούσης, καὶ συνεφαπτομένης τῶν ἁγίων ἀγώνων, οὕτως εἰσελθεῖν, καὶ κάμψαι γόνατα, καὶ δεηθῆναι, καὶ προσεύξασθαι. Ἐπειδὴ γὰρ κρεῖττον ἢ κατὰ ἄνθρωπον λαλῆσαι Θεῷ, δεῖ τὴν χάριν τοῦ Πνεύματος ἐλθοῦσαν εἰς ἡμᾶς ἐπιρρῶσαι, καὶ θαρρῦναι, καὶ διδάξαι τῆς τιμῆς τὸ μέγεθος. Ὅταν οὖν μάθῃς ὅτι καὶ Θεῷ λαλεῖς, καὶ Πνεύματος ἐνέργειαν ἐδέξω, διαλέγεσθαι μέλλων, οὐδεμίαν δώσεις τῷ διαβόλῳ πάροδον ἐπὶ τὴν ψυχὴν τὴν ἡγιασμένην ὑπὸ τοῦ Πνεύματος. Ὥσπερ γὰρ οἱ βασιλεῖ διαλεχθέντες, καὶ λόγων ἡμέρων καὶ τιμῆς ἀπολαύσαντες, οὐκ ἀξιοῦσιν ἐλθεῖν εἰς ὁμιλίαν τῶν προσαιτῶν καὶ ἀπερριμμένων· οὕτως ὁ Θεῷ λαλήσας, καὶ προσευξάμενος, οὐκ ἂν ἀξιώσειε τοῦ πονηροῦ καὶ ἀσεβοῦς ὁμιλίαν παραδέξασθαι. Καὶ γὰρ ὡς ἀληθῶς ὁ δουλεύων ἡδοναῖς, δαίμοσιν ὁμιλεῖ, καὶ τὴν ἐκείνων μανίαν ἐζήλωσεν· ὥσπερ

φει τὸ σῶμα. Ἔπειτα ὅσοι προσεύχονται μὲ ἀφοσίωσιν δὲν ἀνέχονται νὰ ὑποστοῦν τίποτε ἀνάξιον τῆς προσευχῆς, ἀλλὰ ἐπειδὴ ἐντρέπονται τὸν Θεόν, μὲ τὸν ὁποῖον μόλις ἐπεκοινώνησαν, ἀποκρούουν ἀμέσως κάθε δόλον τοῦ πονηροῦ, καὶ τοῦτο διότι διαλογίζονται πόσον κακὸν εἶναι ἕνας ποὺ μόλις πρὸ ὀλίγου ὡμίλησε πρὸς τὸν Θεὸν καὶ τὸν παρεκάλεσε νὰ τοῦ χαρίζῃ σωφροσύνην καὶ ἁγιότητα, νὰ μεταπέσῃ ἀμέσως εἰς τὸν διάβολον καὶ νὰ δεχθῇ εἰς τὴν ψυχήν του τὰς αἰσχρὰς ἡδονὰς καὶ νὰ ἐπιτρέψῃ εἰς τὸν πειρασμὸν νὰ εἰσδύσῃ εἰς τὴν διάνοιάν του, τὴν ὁποίαν πρὸ ὀλίγου ἐπεσκέφθη ὁ Θεός, καὶ νὰ ἐπιτρέψῃ εἰς τοὺς δαίμονας νὰ εἰσχωρήσουν εἰς ψυχάς, διὰ τὰς ὁποίας ἡ χάρις τοῦ ἁγίου Πνεύματος ἐπέδειξε μεγάλην φιλανθρωπίαν καὶ πρόνοιαν. Καὶ ἄκουσε πῶς.

Εἶναι ἀδύνατον εἰς τὸν ἄνθρωπον νὰ κατορθώσῃ νὰ ἐπικοινωνήσῃ μὲ τὸν Θεὸν χωρὶς τὴν ἐπενέργειαν τοῦ ἁγίου Πνεύματος, ἀλλὰ πρέπει μὲ τὴν παρουσίαν της καὶ τὴν συναρωγήν της εἰς τοὺς ἁγίους ἀγῶνας νὰ προσέλθωμεν καὶ νὰ κλίνωμεν τὰ γόνατα καὶ νὰ παρακαλέσωμεν καὶ νὰ προσευχηθῶμεν. Ἐπειδὴ δηλαδὴ εἶναι κάτι ποὺ ὑπερβαίνει τὴν δύναμιν τοῦ ἀνθρώπου νὰ ὁμιλήσῃ πρὸς τὸν Θεὸν πρέπει νὰ ἔλθῃ εἰς ἐμᾶς ἡ χάρις τοῦ ἁγίου Πνεύματος καὶ νὰ μᾶς ἐνδυναμώσῃ, νὰ μᾶς ἐνθαρρύνῃ καὶ νὰ μᾶς διδάξῃ τὸ μέγεθος τῆς τιμῆς. Ὅταν λοιπὸν ἐννοήσῃς ὅτι ἐπικοινωνεῖς μὲ τὸν Θεὸν καὶ ἐδέχθης τὴν ἐπενέργειαν τοῦ ἁγίου Πνεύματος, ὅταν πρόκειται νὰ προσευχηθῇς, δὲν θὰ ἐπιτρέψῃς εἰς τὸν διάβολον καμμίαν δίοδον εἰς τὴν ψυχήν σου, ἡ ὁποία εἶναι ἁγιασμένη ἀπὸ τὸ ἅγιον Πνεῦμα. Διότι ὅπως ἀκριβῶς ὅσοι συνωμίλησαν μὲ τὸν βασιλέα καὶ ἐχάρησαν μίαν φιλικὴν καὶ τιμητικὴν συζήτησιν δὲν καταδέχονται νὰ συναναστρέφωνται μὲ ἐπαίτας καὶ ἄλλους ἀποβλήτους, ἔτσι καὶ ἐκεῖνος ποὺ ὡμίλησε μὲ τὸν Θεὸν καὶ προσευχήθη, δὲν θὰ καταδεχθῇ τὴν συναναστροφὴν μὲ τὸν πονηρὸν καὶ τὸν ἀσεβῆ. Καὶ πράγματι ὅποιος εἶναι δοῦλος τῶν ἡδονῶν συναναστρέφεται καὶ δαίμονας καὶ ἁ-

ὁ σωφρονῶν, καὶ δικαιοσύνην ἀσκῶν ἀγγέλοις συνδιαιτᾶται, καὶ τὴν ἐκείνων ζηλοῖ μεγαλοπρέπειαν. Δοκεῖ δέ μοί τις ἂν εἰπών, ὅτι νεῦρα τῆς ψυχῆς εἰσιν αἱ προσευχαί, τἀληθὲς εἰπεῖν. Ὥσπερ γάρ, οἶμαι, τὸ σῶμα διὰ τῶν νεύρων συνέχεται, καὶ τρέχει, καὶ ἵσταται, καὶ ζῇ, καὶ πέπηγεν· ἂν δὲ ταῦτά τις ἐκτέμῃ, πᾶσαν τὴν ἁρμονίαν διαλύει τοῦ σώματος· οὕτως αἱ ψυχαὶ διὰ τῶν ἁγίων προσευχῶν ἁρμόζονται, καὶ συνεστήκασι, καὶ τὸν δρόμον τῆς εὐσεβείας τρέχουσιν εὐχερῶς. Ἂν δὲ τῆς προσευχῆς ἀποστερήσῃς σαυτόν, ταὐτὸν ποιήσεις ὥσπερ ἂν εἰ τὸν ἰχθὺν ἐκ τοῦ ὕδατος ἐξήγαγες· ὥσπερ γὰρ ἐκείνῳ ζωὴ τὸ ὕδωρ, οὕτω σοι προσευχή. Διὰ ταύτης ἐστίν, ὥσπερ δι' ὕδατος, ἀναπτῆναι, καὶ τοὺς οὐρανοὺς ὑπερβῆναι, καὶ τοῦ Θεοῦ γενέσθαι πλησίον.

Ἱκανὰ μὲν οὖν καὶ τὰ ῥηθέντα, δεῖξαι τὴν ἰσχὺν τῆς ἁγίας προσευχῆς· βέλτιον δὲ ἴσως ἐπὶ τὰς θείας ἐλθόντα Γραφάς, ἐκ τῶν ἀποφάσεων τοῦ Χριστοῦ μαθεῖν τὸν πλοῦτον, ὃν αἱ προσευχαὶ θησαυρίζουσι τοῖς βουλομένοις ἐν αὐταῖς πάντα τὸν βίον σχολάζειν. «Ἔλεγεν δέ», φησί, «καὶ παραβολὴν αὐτοῖς, πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι. Κριτής τις ἦν ἔν τινι πόλει, τὸν Θεὸν μὴ φοβούμενος, καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος. Χήρα δὲ ἦν ἐν τῇ πόλει ἐκείνῃ, καὶ ἤρχετο πρὸς αὐτὸν λέγουσα, ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου· καὶ οὐκ ἤθελεν ἐπὶ χρόνον. Μετὰ δὲ ταῦτα εἶπεν ἐν ἑαυτῷ· εἰ καὶ τὸν Θεὸν οὐ φοβοῦμαι, καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι, διά γε τὸ παρέχειν μοι κόπον τὴν χήραν ταύτην, ἐκδικήσω αὐτήν, ἵνα μὴ εἰς τέλος ἐρχομένη ὑπωπιάζῃ με.

μιλλᾶται πρὸς τὴν ἀφροσύνην ἐκείνων, ὅπως ἀκριβῶς ὁ σώφρων ποὺ ἀσκεῖ τὴν δικαιοσύνην συγκατοικεῖ μὲ τοὺς ἀγγέλους καὶ ἁμιλλᾶται πρὸς τὴν μεγαλοπρέπειαν ἐκείνων. Καὶ ἂν εἰπῇ κανεὶς ὅτι αἱ προσευχαὶ εἶναι τὰ νεῦρα τῆς ψυχῆς νομίζω ὅτι λέγει τὴν ἀλήθειαν. Διότι ὅπως τὸ σῶμα συγκρατεῖται μὲ τὰ νεῦρα καὶ τρέχει καὶ ἵσταται καὶ ζῇ καὶ συναρθροῦται στερεῶς καὶ ἂν κανεὶς κόψῃ αὐτὰ τὰ νεῦρα, καταστρέφει ὅλην τὴν ἁρμονίαν τοῦ σώματος, ἔτσι καὶ αἱ ψυχαὶ ἀποκτοῦν ἁρμονικὴν σύστασιν διὰ τῶν ἁγίων προσευχῶν καὶ τρέχουν μὲ εὐχέρειαν τὸν δρόμον τῆς εὐσεβείας. Ἂν δὲ ἀποστερήσῃς τὸν ἑαυτόν σου ἀπὸ τὴν προσευχήν, θὰ κάμῃς τὸ ἴδιον, ὡσὰν δηλαδὴ νὰ βγάλῃς τὸ ψάρι ἔξω ἀπὸ τὸ νερό· διότι ὅπως δι' ἐκεῖνο εἶναι τὸ νερὸ ζωή, ἔτσι καὶ δι' ἐσὲ ἡ προσευχή. Μὲ αὐτὴν ἠμπορεῖς, ὅπως διὰ τοῦ ὕδατος τρόπον τινά, νὰ πετάξῃς καὶ νὰ ὑπερβῇς τοὺς οὐρανοὺς καὶ νὰ ἔλθῃς πλησίον τοῦ Θεοῦ.

Εἶναι ἱκανὰ λοιπὸν καὶ αὐτὰ ποὺ εἶπα διὰ νὰ δείξουν τὴν δύναμιν τῆς ἁγίας προσευχῆς· ὅμως ἴσως εἶναι καλύτερον νὰ ἔλθωμεν εἰς τὰς θείας Γραφὰς καὶ νὰ μάθωμεν ἀπὸ τοὺς λόγους τοῦ Χριστοῦ τὸν πλοῦτον, τὸν ὁποῖον ἀποθησαυρίζουν αἱ προσευχαὶ εἰς ἐκείνους ποὺ θέλουν νὰ διάγουν ὅλην τους τὴν ζωὴν μὲ τὰς προσευχάς. «Ἔλεγε πρὸς τοὺς μαθητάς του καὶ παραβολὴν διὰ νὰ τοὺς διδάξῃ ὅτι πάντοτε πρέπει νὰ προσεύχωνται. Ἦτο κάποιος δικαστὴς εἰς μίαν πόλιν, ποὺ δὲν ἐφοβεῖτο τὸν Θεόν, ἀλλ' οὔτε ἐντρέπετο καὶ κανένα ἄνθρωπον. Ὑπῆρχε δὲ εἰς τὴν πόλιν ἐκείνην καὶ μία χήρα καὶ ἤρχετο εἰς αὐτὸν καὶ τοῦ ἔλεγε· δός μου τὸ δίκαιόν μου ἀπέναντι εἰς τὸν ἀντίδικόν μου ποὺ μὲ ἀδικεῖ· καὶ δὲν ἠθέλησεν ἐπὶ ἀρκετὸν χρόνον ὁ δικαστὴς νὰ ἀποδώσῃ τὸ δίκαιον εἰς τὴν χήραν. Μετὰ δὲ εἶπε μέσα του. Ἂν καὶ δὲν φοβοῦμαι τὸν Θεὸν καὶ δὲν ἐντρέπομαι κανένα ἄνθρωπον, ὅμως μόνον καὶ μόνον ἐπειδὴ μοῦ παρέχει ἐνόχλησιν ἡ χήρα αὐτή, θὰ τῆς ἀποδώσω τὸ δίκαιον, διὰ νὰ μὴ μὲ ἐνοχλῇ καὶ μὲ πιέζῃ μὲ τὸ νὰ ἔρχεται ἐξακολουθητικῶς, ἕως ὅτου λάβῃ τέλος ἡ ὑπόθεσίς της. Εἶπε δὲ ὁ Κύριος·

Εἶπε δὲ ὁ Κύριος, ἀκούσατε τί ὁ κριτὴς τῆς ἀδικίας λέγει. Ὁ δὲ Θεὸς οὐ μὴ ποιήσῃ τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ, τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτός, καὶ μακροθυμεῖ ἐπ' αὐτοῖς; Λέγω ὑμῖν, ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει».

Μάθωμεν, ἀδελφοί, τὴν κεκρυμμένην σοφίαν ἐν τοῖς λόγοις τοῦ Πνεύματος, διερευνώμενοι κατὰ δύναμιν ἡμετέραν, οὐχ ὅση ἐστίν, ἀλλὰ ὅσον ἡμῖν ἐφικτόν. Οἱ μὲν ἐν τῇ θαλάττῃ ποιούμενοι τὸν βίον, ἐπ' αὐτὸν κατιόντες τὸν βυθόν, τοὺς πολυτιμήτους λίθους τοῖς ἐν τῇ γῇ κομίζουσιν· ἡμεῖς δὲ τὸ πέλαγος τῶν θείων Γραφῶν ἱστορήσαντες, εἰς αὐτὸν τὸν βυθὸν τῆς πνευματικῆς σοφίας, ὅσον οἷόν τε κατεδράμωμεν, ἵνα κομίσωμεν ὑμῖν θησαυρὸν ἀγαθὸν κοσμοῦντα τὰς ψυχὰς βέλτιον, ἢ τὰς κεφαλὰς τῶν βασιλέων οἱ λιθοκόλλητοι στέφανοι. Τὸ μὲν γὰρ ἐκείνων κάλλος τῷ βίῳ τούτῳ συναπαρτίζεται· ὁ δὲ τοῖς λόγοις τοῦ Πνεύματος στεφανῶν τὴν ψυχήν, καὶ νῦν μετὰ ἀσφαλείας πάσης διαπερᾷ τὸν χρόνον καὶ μετὰ τὴν τοῦ βίου τελευτήν, θαρρῶν προσέρχεται τῷ βήματι τοῦ Χριστοῦ, γέμων ἀρετῆς, καὶ καθαρεύων πάσης κακίας.

Τίνα οὖν ὑμῖν θησαυρὸν ἐκ τοῦ βυθοῦ τῶν Γραφῶν κομίζομεν, οὐκ αὐτοῦ τοῦ βάθους ἁπτόμενοι τῆς σοφίας, ἀλλὰ τοσοῦτον κατιόντες, ὅσον ἐγχωρεῖ; Ἐπὶ τὴν προσευχὴν ἄγων τοὺς ἀνθρώπους ὁ Χριστός, καὶ τὴν ἀπὸ ταύτης ὠφέλειαν παραστῆσαι βουλόμενος ταῖς ἡμετέραις ψυχαῖς, κριτὴν εἰσάγει πονηρόν τινα καὶ σκαιόν, πᾶσαν αἰδῶ τῶν ὀφθαλμῶν ἀπορρίψαντα, καὶ τὸν τοῦ Θεοῦ φόβον ἐκ τῆς ψυχῆς ἐξελάσαντα. Καίτοι γε ἤρκει δικαίου καὶ ἐλεήμονος ὑποθέσθαι πρόσωπον, καὶ παρεξετάσαντα τὴν ἐκείνου δικαιοσύνην τῇ

1. Λουκᾶ 18, 1-8.

ἀκούσατε καὶ προσέξατε καλῶς τί λέγει ὁ κριτὴς ὁ ἄδικος. Ὁ Θεὸς λοιπὸν δὲν θὰ ἀποδώσῃ τὸ δίκαιον καὶ δὲν θὰ κάμῃ τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν του, ποὺ διὰ τῶν προσευχῶν των φωνάζουν εἰς αὐτὸν ἡμέραν καὶ νύκτα καὶ ἀναβάλλει διὰ τὸ καλόν τους νὰ κάμῃ τὴν κρίσιν; Σᾶς διαβεβαιῶ ὅτι ὁ Θεὸς θὰ κάμῃ γρήγορα τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν του καὶ θὰ τιμωρήσῃ ἐκείνους ποὺ τοὺς ἀδικοῦν»[1].

Ἂς ἐννοήσωμεν, ἀδελφοί, τὴν σοφίαν ποὺ κρύπτεται εἰς τοὺς λόγους τοῦ ἁγίου Πνεύματος καὶ ἂς τὴν διερευνήσωμεν μὲ τὴν ἰδικήν μας δύναμιν, ὄχι ὅση εἶναι, ἀλλὰ ὅσην ἠμποροῦμεν νὰ προσεγγίσωμεν. Ὅσοι ἐργάζονται εἰς τὴν θάλασσαν, ἀφοῦ κατεβοῦν εἰς αὐτὸν τὸν βυθόν, εἰς τοὺς ἀνθρώπους τῆς ξηρᾶς φέρνουν τοὺς πολυτίμους λίθους· ἐμεῖς δὲ ποὺ θὰ ἐρευνήσωμεν τὸ πέλαγος τῶν θείων Γραφῶν, ἂς κατεβοῦμεν ὅσον εἶναι δυνατὸν εἰς τὸν βυθὸν τῆς πνευματικῆς σοφίας, διὰ νὰ σᾶς φέρωμεν ἀγαθὸν θησαυρόν, ὁ ὁποῖος στολίζει τὰς ψυχὰς καλύτερα ἀπὸ στεφάνους στολισμένους μὲ πολυτίμους λίθους ποὺ κοσμοῦν τὰς κεφαλὰς τῶν βασιλέων. Διότι τὸ κάλλος ἐκείνων περιορίζεται εἰς τὴν παροῦσαν ζωήν· ἐνῷ ἐκεῖνος ποὺ στεφανώνει τὴν ψυχὴν μὲ τοὺς λόγους τοῦ ἁγίου Πνεύματος καὶ διέρχεται μὲ ἀσφάλειαν τὴν παροῦσαν ζωήν, καὶ μετὰ τὸν θάνατον, προσέρχεται εἰς τὸ βῆμα τοῦ Χριστοῦ μὲ θάρρος, πλήρης ἀρετῆς καὶ καθαρὸς ἀπὸ κάθε κακίαν.

Ποῖον λοιπὸν θησαυρὸν σᾶς φέρομεν ἀπὸ τὸν βυθὸν τῶν Γραφῶν χωρὶς νὰ ψαύσωμεν τὸν ἴδιον τὸν βυθὸν τῆς σοφίας ἀλλὰ κατελθόντες εἰς τόσον βάθος ὅσον μᾶς ἐπιτρέπουν οἱ δυνάμεις μας; Ὁδηγῶν ὁ Χριστὸς τοὺς ἀνθρώπους εἰς τὴν προσευχὴν καὶ θέλων νὰ παρουσιάσῃ τὴν ὠφέλειαν ἀπὸ αὐτὴν εἰς τὰς ψυχάς μας παρουσιάζει ἕνα πονηρὸν καὶ ἀδίστακτον δικαστήν, ποὺ ἀπέρριψεν ἀπὸ τοὺς ὀφθαλμούς του κάθε ἐντροπὴν καὶ ἐπέβαλεν ἀπὸ τὴν ψυχήν του τὸ φόβον τοῦ Θεοῦ. Καίτοι βέβαια ἦτο ἀρκετὸν νὰ προβάλῃ εἰς τὴν παραβολήν του ἕνα δίκαιον καὶ ἐλεήμονα ἄνθρωπον καὶ συγκρίνων τὴν δικαιοσύνην ἐκείνου μὲ τὴν φιλανθρωπίαν

φιλανθρωπίᾳ τοῦ Θεοῦ, δεῖξαι τὴν ἰσχὺν τῆς δεήσεως. Εἰ γὰρ ἄνθρωπος χρηστὸς καὶ πρᾶος ἡμέρως δέχεται τοὺς ἱκετηρίαν προσάγοντας, πόσῳ μᾶλλον ὁ Θεός, οὗ τὸ μέγεθος τῆς φιλανθρωπίας οὐ μόνον τὴν ἡμετέραν ὑπερβαίνει διάνοιαν, ἀλλὰ καὶ τοὺς ἀγγέλους αὐτοῦ; Ἤρκει μὲν οὖν, ὅπερ ἔφην, δικαίου πρόσωπον ὑποθέσθαι κριτοῦ· νῦν δὲ ὠμὸν καὶ ἀσεβῆ καὶ μισάνθρωπον εἰσάγει κριτήν, ἐπὶ μὲν τῶν ἄλλων ἀνήμερον, ἐπὶ δε τῶν δεομένων χρηστὸν καὶ πρᾶον, ἵνα μάθῃς, ὅτι πᾶσα δέησις καὶ φύσιν πονηρὰν εἰς οἶκτον καὶ ἔλεον ἐπισπᾶται ῥαδίως.

Τίνος οὖν ἕνεκα τοῦτο πεποίηκεν ὁ Χριστός; Ἵνα μηδεὶς ἀγνοῇ τῶν ἁπάντων τῆς προσευχῆς τὴν ἰσχύν. Διὰ τοῦτο τῷ πονηροτάτῳ πάντων παραστήσας τὴν χήραν, καὶ δείξας αὐτὸν παρὰ φύσιν φιλάνθρωπον, ἀπὸ τοῦ πονηροῦ πρὸς τὸν ἑαυτοῦ Πατέρα μετέστησε, τὸν ἀγαθόν, τὸν πρᾶον, τὸν ἥμερον, τὸν φιλάνθρωπον, ὑπερβαίνοντα ἀνομίας, συγχωροῦντα ἁμαρτίας πολλάς, βλασφημούμενον καθ' ἑκάστην ἡμέραν, καὶ φέροντα, ἀνεχόμενον ὁρᾶν τιμὴν εἰς δαίμονας, ὕβριν εἰς αὐτόν, εἰς τὸν Υἱὸν βλασφημίας, ῥητὰ καὶ ἄρρητα μυρία δεινά· εἶτα βλασφημούμενος μὲν οὕτω πράως ἀνέχεται, ἐὰν δὲ ἴδῃ μετὰ τοῦ προσήκοντος φόβου προσπίπτοντας ἡμᾶς, οὐκ ἐλεήσει ταχέως; «Ἀκούσατε», φησί, «τί ὁ κριτὴς τῆς ἀδικίας λέγει· εἰ καὶ τὸν Θεὸν οὐ φοβοῦμαι, καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι, διά γε τὸ παρέχειν μοι κόπους, ἐκδικήσω αὐτήν». Τί λέγεις; ὅπερ οὐκ ἴσχυσε φόβος, τοῦτο δέησις ἴσχυσε; Καὶ ἀπειλὴ μέν, καὶ τιμωρίας ἐλπὶς οὐ προσήγαγε τῷ δικαίῳ τὸν ἄνθρωπον· μεθ' ἱκετηρίας δὲ φανεῖσα χήρα, τὸν ἄγριον ἡμέρωσε.

Τί οὖν εἰκάζειν προσήκει περὶ τοῦ φιλανθρώπου Θεοῦ, εἰς τὸν ὠμὸν οὕτω πρᾶον πεποίηκεν ἡ χήρα προσπίπτουσα; πόσην χρηστότητα, πόσην φιλανθρωπίαν ἐφ' ἡμῶν ὁ Θεὸς ἐπιδείξεται, ὁ μόνον ἐλεεῖν ἐθέλων ἀεί, κολάζειν δὲ οὐδὲ πώποτε; ὁ καὶ τὰς τιμωρίας διὰ πολλὴν φιλανθρωπίαν ἀ-

τοῦ Θεοῦ νὰ δείξῃ τὴν δύναμιν τῆς δεήσεως. Διότι ἐὰν ἕνας ἄνθρωπος ἀγαθὸς καὶ πρᾶος δέχεται μὲ ἀγαθότητα ὅσους τὸν παρακαλοῦν, πόσον μᾶλλον ὁ Θεός, τοῦ ὁποίου τὸ μέγεθος τῆς φιλανθρωπίας, ὄχι μόνον ὑπερβαίνει τὴν ἰδικήν μας σκέψιν, ἀλλὰ καὶ τοὺς ἀγγέλους αὐτοῦ; Ἔφθανε λοιπόν, καθὼς εἶπα, νὰ προβάλῃ ἕνα πρόσωπον δικαίου κριτοῦ· τώρα ὅμως παρουσιάζει ὠμὸν καὶ ἀσεβῆ καὶ μισάνθρωπον κριτήν, σκληρὸν ἔναντι τῶν ἄλλων, καλὸν καὶ πρᾶον πρὸς τοὺς παρακαλοῦντας αὐτόν, διὰ νὰ μάθῃς ὅτι κάθε παράκλησις καὶ πονηρὰν φύσιν τὴν σύρει εὐκόλως εἰς οἶκτον καὶ συμπάθειαν.

Διὰ ποῖον λοιπὸν λόγον τὸ ἔκαμεν αὐτὸ ὁ Χριστός; Διὰ νὰ μὴ ἀγνοῇ κανεὶς τὴν δύναμιν τῆς προσευχῆς. Διὰ τοῦτο παρουσίασε τὴν χήραν εἰς δικαστὴν πονηρότατον ἐξ ὅλων, καὶ μετέφερε τὴν εἰκόνα ἀπὸ τὸν πονηρὸν δικαστὴν εἰς τὸν Πατέρα του, τὸν ἀγαθόν, τὸν πρᾶον, τὸν ἥμερον, τὸν φιλάνθρωπον ποὺ παραβλέπει τὰς ἀνομίας, ποὺ συγχωρεῖ τὰς ἁμαρτίας, ποὺ ἐνῷ βλασφημεῖται καθημερινῶς τὸ ὑποφέρει, ποὺ ἀνέχεται νὰ βλέπῃ νὰ τιμῶνται οἱ δαίμονες, αὐτὸς δὲ νὰ ὑβρίζεται, νὰ βλασφημῆται ὁ Υἱὸς καὶ ἀναρίθμητα ἄλλα δεινὰ ρητὰ καὶ ἄρρητα· ἀφοῦ λοιπὸν ἀνέχεται μὲ τόσην πραότητα τὰς βλασφημίας, δὲν θὰ ἐλεήσῃ ἀμέσως ἐμᾶς, ἐὰν μᾶς ἰδῇ νὰ προσπίπτωμεν μὲ τὸν προσήκοντα φόβον; «Ἀκούσατε», λέγει, «τί λέγει ὁ κριτὴς τῆς ἀδικίας· ἂν καὶ δὲν φοβοῦμαι τὸν Θεὸν καὶ δὲν ἐντρέπομαι κανένα ἄνθρωπον, ἐπειδὴ μὲ ἐνοχλεῖ θὰ τῆς δώσω τὸ δίκαιόν της». Τί λέγεις; αὐτὸ ποὺ δὲν κατώρθωσεν ὁ φόβος, τὸ ἐπέτυχεν ἡ δέησις; Καὶ ἡ ἀπειλὴ μὲν καὶ ὁ φόβος τῆς τιμωρίας δὲν ἔφερε τὸν ἄνθρωπον εἰς τὴν δικαιοσύνην· ἡ χήρα ὅμως ποὺ παρουσιάσθη μὲ παρακλήσεις, ἡμέρωσε τὸν ἄγριον.

Τί ἁρμόζει λοιπὸν νὰ συμπεράνωμεν περὶ τοῦ φιλανθρώπου Θεοῦ, ἀφοῦ τὸν σκληρὸν αὐτὸν τὸν κατέστησεν ἡ χήρα τόσον πρᾶον μὲ τὰς δεήσεις της; Πόσην καλωσύνην, πόσην φιλανθρωπίαν θὰ ἐπιδείξῃ πρὸς ἡμᾶς ὁ Θεός, ὁ ὁποῖος θέλει πάντοτε μόνον νὰ ἐλεῇ καὶ ποτὲ νὰ τιμωρῇ; Ὁ ὁποῖος καὶ τὰς τιμωρίας ἐπισείει ἐναντίον μας διὰ τὴν μεγά-

πειλήσας ἡμῖν, καὶ μεγάλας ἑτοιμάσας τιμάς, ἵνα καὶ φόβος καὶ τιμῆς ἐλπίς, ἡ μὲν ἐπεγείρῃ πρὸς ἀρετήν, ὁ δὲ κωλύσῃ πονηρευμάτων; Οὐ δύναμαι τοῦ κριτοῦ τῆς ἀδικίας ἀποστῆσαι τὴν διάνοιαν, θεωρῶν ἐν τῇ ἐκείνου παρὰ φύσιν πρᾳότητι τὴν ἀμύθητον τοῦ Θεοῦ φιλανθρωπίαν. Εἰ γὰρ ὁ μηδέποτε μηδὲν χρηστὸν ἐπιδείξασθαι βουληθείς, ἄφνω μεταθέμενος, τὴν δεομένην ἠλέησε, πόσην ἡμῖν ἐξ οὐρανοῦ κηδεμονίαν αἱ προσευχαὶ κομίσουσιν;

Γνοίη δ' ἄν τις τὴν ἰσχύν, καὶ τὴν δύναμιν τῶν ἁγίων προσευχῶν, σκοπῶν καὶ θεωρῶν ὅσων ἀγαθῶν καθ' ἑκάστην ἡμέραν καὶ ὥραν ἀπολαύουσιν οἱ πάντοτε τῷ Θεῷ προσπίπτοντες. Τίς γὰρ οὐκ οἶδεν, ὅτι καὶ τοῦ ἡλίου τὸ φῶς, καὶ τῶν ἀστέρων, καὶ τῆς σελήνης, καὶ ἀέρων εὐκρασίαν, καὶ τροφὰς παντοίας, καὶ πλοῦτον, καὶ βίον, καὶ μυρία ἀγαθὰ πᾶσιν ἀνθρώποις ὁμοίως ὁ Θεὸς χαρίζεται, καὶ δικαίοις καὶ ἀσεβέσι, διὰ τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν, ᾗ κέχρηται πρὸς ἡμᾶς; Εἰ δὲ τοὺς μὴ δεομένους, μηδὲ αἰτοῦντας, οὕτως ἐλεεῖ καθ' ἡμέραν, καὶ ἀναπαύει, πόσων εἰκὸς ἀγαθῶν ἀπολαύεσθαι τοὺς ἐν εὐχαῖς καὶ δεήσεσι πάντα τὸν βίον ἐσχολακότας;

Φέρε δὴ ὅσοις τῶν δικαίων ὑπῆρξε διὰ προσευχῶν σῶσαι καὶ ἔθνη, καὶ πόλεις, καὶ τὴν οἰκουμένην ἅπασαν, εἴπωμεν πρὸς ὑμᾶς. Ἐν δὲ μνήμῃ προσευχῆς Παῦλος πρῶτος ἄξιος μνήμης, Παῦλος ὁ τῆς τοῦ Θεοῦ λατρείας ἀκόρεστος, ὁ κοινὸς πατήρ, καὶ πρόγονος τῶν δούλων τοῦ Χριστοῦ. Ἐκεῖνος τοίνυν ὁ φύλαξ τῆς οἰκουμένης, διὰ προσευχῆς, καὶ τῆς συνεχοῦς δεήσεως πάντα τὰ ἔθνη διέσωσε, λέγων ἀεὶ πρὸς ἡμᾶς, «Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξ οὗ πᾶσα πα-

λην του φιλανθρωπίαν, καὶ προητοίμασε δι' ἡμᾶς μεγάλας τιμάς, ὥστε καὶ ὁ φόβος καὶ ἡ προσδοκία τῆς τιμῆς, ἡ μὲν προσδοκία τῆς τιμῆς νὰ μᾶς κινῇ πρὸς τὴν ἀρετήν, ὁ δὲ φόβος να μᾶς ἐμποδίζῃ ἀπὸ τὰς πονηρὰς πράξεις; Δὲν ἠμπορῶ νὰ ἀπομακρύνω τὴν σκέψιν μου ἀπὸ τὸν δικαστὴν τῆς ἀδικίας, διότι βλέπω εἰς τὴν παρὰ φύσιν πραότητα τὴν μεγάλην φιλανθρωπίαν τοῦ Θεοῦ. Διότι ἐὰν ὁ ἄνθρωπος αὐτὸς ποὺ δὲν ἠθέλησε νὰ ἐπιδείξῃ ποτὲ κανένα καλόν, ξαφνικὰ μετεβλήθη καὶ εὐσπλαγχνίσθη τὴν δεομένην χήραν, πόσην φροντίδα θὰ φέρουν εἰς ἡμᾶς ἐξ οὐρανοῦ αἱ προσευχαί;

Ἠμπορεῖ κανεὶς νὰ ἀντιληφθῇ τὴν δύναμιν καὶ τὴν ἰσχὺν τῶν ἁγίων προσευχῶν ἀναλογιζόμενος καὶ παρατηρῶν πόσα ἀγαθὰ ἀπολαμβάνουν καθημερινῶς αὐτοὶ ποὺ προσπίπτουν πάντοτε εἰς τὸν Θεόν. Διότι ποῖος δὲν γνωρίζει ὅτι καὶ τὸ φῶς τοῦ ἡλίου καὶ τῶν ἀστέρων καὶ τῆς σελήνης καὶ τοὺς καλοὺς καιροὺς καὶ τὰς παντὸς εἴδους τροφάς, καὶ τὸν πλοῦτον, καὶ τὴν ζωήν, καὶ ἀναρίθμητα ἄλλα ἀγαθὰ χαρίζει ὁ Θεὸς καὶ εἰς τοὺς δικαίους καὶ εἰς τοὺς ἀδίκους διὰ τὴν μεγάλην του φιλανθρωπίαν, τὴν ὁποίαν ἔχει πρὸς ἡμᾶς; Ἂν δὲ ἔτσι ἐλεῇ καθημερινῶς καὶ ἀνακουφίζῃ αὐτοὺς ποὺ δὲν τὸν παρακαλοῦν καὶ δὲν τοῦ τὸ ζητοῦν, πόσα ἀγαθὰ εἶναι εὔλογον νὰ ἀπολαύσουν αὐτοὶ ποὺ διέρχονται ὅλην τὴν ζωήν των μὲ προσευχὰς καὶ δεήσεις;

Ἂς ἀναφέρω εἰς ἐσᾶς τώρα πόσοι δίκαιοι ἠμπόρεσαν μὲ τὰς προσευχάς των νὰ σώσουν καὶ ἔθνη καὶ πόλεις καὶ ὅλην τὴν οἰκουμένην. Ἀφοῦ ὁ λόγος περὶ προσευχῆς ἄξιος νὰ μνημονευθῇ εἶναι ὁ Παῦλος, ὁ ὁποῖος ἦτο ἄπληστος εἰς τὴν λατρείαν τοῦ Θεοῦ, αὐτὸς ὁ κοινὸς πατὴρ καὶ πρόγονος τῶν δούλων τοῦ Χριστοῦ. Ἐκεῖνος λοιπὸν ὁ φύλαξ τῆς οἰκουμένης, διέσωσεν ὅλα τὰ ἔθνη μὲ τὴν προσευχὴν καὶ τὴν συνεχῆ δέησιν λέγων πάντοτε πρὸς ἡμᾶς· «Δι' αὐτὸν τὸν λόγον γονατίζω ἐμπρὸς εἰς τὸν Πατέρα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ἀπὸ τὸν ὁποῖον ὅλα τὰ ἀγγελικὰ τάγματα εἰς τοὺς οὐρανοὺς καὶ ὅλα τὰ γένη τῶν ἀνθρώπων εἰς τὴν γῆν λαμβάνουν τὴν ὀνομασίαν τῆς φυλῆς καὶ πατριᾶς

τριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται· ἵνα δῴη ὑμῖν κατὰ τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ, δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ, εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ πίστεως ἐν ταῖς καρδίαις ὑμῶν».

Ὁρᾷς, ὅσον ἰσχύει προσευχὴ καὶ δέησις; Ναοὺς Χριστοῦ τοὺς ἀνθρώπους ἐργάζεται· καὶ ὥσπερ χρυσός, καὶ λίθοι πολυτίμητοι, καὶ μάρμαρα ποιοῦσι τοὺς οἴκους τῶν βασιλέων· οὕτω προσευχὴ ναοὺς τοῦ Χριστοῦ. «Κατοικῆσαι», φησί, «τὸν Χριστὸν ἐν ταῖς καρδίαις ὑμῶν. Τί μεῖζον ἂν γένοιτο προσευχῆς ἐγκώμιον, ἢ ὅτι ναοὺς ἀπεργάζεται Θεοῦ; Ὃν οὐ χωροῦσιν οὐρανοί, οὗτος εἰς ψυχὴν εἰσέρχεται ζῶσαν ἐν προσευχαῖς. «Ὁ οὐρανός μοι θρόνος», φησίν, «ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ποῖον οἶκον οἰκοδομήσετέ μοι; λέγει Κύριος· ἢ τίς τόπος τῆς καταπαύσεώς μου;». Ποῖον οἶκον ὁ Παῦλος οἰκοδομεῖ διὰ τῶν ἁγίων εὐχῶν; «Κάμπτω», φησί, «τὰ γόνατά μου πρὸς τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα κατοικήσῃ ὁ Χριστὸς διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν».

Καὶ μὴν κἀκεῖθεν ἴδοι τις ἂν τὴν δύναμιν τῶν ἁγίων εὐχῶν, ὅτι Παῦλος ὁ διὰ πάσης τῆς οἰκουμένης ὥσπερ ὑπόπτερος τρέχων, καὶ δεσμωτήριον οἰκῶν, καὶ μάστιγας ὑπομένων, καὶ φορῶν ἅλυσιν, καὶ ζῶν ἐν αἵματι καὶ κινδύνοις, καὶ δαίμονας ἐλαύνων, καὶ νεκροὺς ἐγείρων, καὶ παύων ἀρρωστήματα, οὐδενὶ τούτων ἐθάρρησεν εἰς σωτηρίαν τῶν ἀνθρώπων, ἀλλὰ ταῖς προσευχαῖς ἐτείχισε τὴν γῆν, καὶ μετὰ τὰ σημεῖα, καὶ τὴν τῶν νεκρῶν ἀνάστασιν, ἐπὶ τὰς προσευχὰς ἔτρεχεν, ὥσπερ τις ἀθλητὴς ἐπὶ παλαίστραν ἀπὸ στεφάνου. Καὶ γὰρ τῆς ἀναστάσεως τῶν νεκρῶν καὶ τῶν ἄλλων ἁπάντων ἡ προσευχὴ χορηγός· ἣν γὰρ ἐπὶ τῶν δένδρων ἰσχὺν ἔχει τὰ ὕδατα, ταύτην ἐπὶ τοῦ βίου τῶν ἁγίων αἱ προσευχαί. Ἐν τῇ νυκτὶ ταύτῃ ἄρδων τὴν ψυχὴν ὁ Παῦλος, πάντα ὑπέ-

2. Ἐφ. 3, 14-17.
3. Ἡσ. 66, 1.

καὶ τὸν παρακαλῶ νὰ σᾶς δώσῃ σύμφωνα μὲ τὸν ἔνδοξον πλοῦτον τῆς ἀπείρου τελειότητός του νὰ κραταιωθῆτε μὲ δύναμιν διὰ τοῦ Πνεύματός του εἰς τὸν ἐσωτερικὸν ἄνθρωπον διὰ νὰ κατοικήσῃ ὁ Χριστὸς διὰ τῆς πίστεως εἰς τὰς καρδίας σας»[2].

Βλέπεις πόσον ἰσχύει ἡ προσευχὴ καὶ ἡ δέησις; Καθιστᾷ τοὺς ἀνθρώπους ναοὺς τοῦ Χριστοῦ. Καὶ ὅπως ὁ χρυσὸς καὶ οἱ πολύτιμοι λίθοι καὶ τὰ μάρμαρα κάμουν τοὺς οἴκους τῶν βασιλέων ἔτσι καὶ ἡ προσευχὴ κάμει τοὺς ἀνθρώπους ναοὺς τοῦ Χριστοῦ. «Νὰ κατοικήσῃ», λέγει, «ὁ Χριστὸς εἰς τὰς καρδίας σας». Τί μεγαλύτερον ἐγκώμιον προσευχῆς ἠμπορεῖ νὰ ὑπάρξῃ ἀπὸ αὐτό, ὅτι δηλαδὴ κατασκευάζει ναοὺς Θεοῦ; Αὐτὸν τὸν ὁποῖον δὲν χωροῦν οἱ οὐρανοί, αὐτὸς εἰσέρχεται εἰς ψυχὴν ἡ ὁποία ζῇ μέσα εἰς τὰς προσευχάς. «Ὁ οὐρανὸς εἶναι θρόνος μου», λέγει, «καὶ ἡ γῆ εἶναι ὑποπόδιον τῶν ποδῶν μου. Ποῖον οἶκον θὰ μοῦ οἰκοδομήσετε; λέγει ὁ Κύριος· ἢ ποῖος ὁ τόπος τῆς διαμονῆς μου;»[3]. Ποῖον οἶκον οἰκοδομεῖ ὁ Παῦλος διὰ τῶν ἁγίων εὐχῶν; «Γονατίζω προσευχόμενος», λέγει, «πρὸς τὸν πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ νὰ κατοικήσῃ ὁ Χριστὸς διὰ τῆς πίστεως εἰς τὰς καρδίας σας».

Καὶ ἐκ τούτου ἀκόμη ἠμπορεῖ νὰ ἰδῇ κανεὶς τὴν δύναμιν τῶν ἁγίων προσευχῶν, ἐκ τοῦ ὅτι ὁ Παῦλος ὁ ὁποῖος διέτρεχε τὴν οἰκουμένην ὡς πτερωτὸς καὶ ἐκλείετο εἰς φυλακήν, καὶ ὑπέμενε μαστιγώσεις, καὶ ἐφόρει ἁλυσίδας, καὶ ἔζη μέσα εἰς τὸ αἷμα καὶ τοὺς κινδύνους, καὶ ἐξεδίωκε δαίμονας, καὶ ἀνέσταινε νεκρούς, καὶ κατέπαυε νόσους, εἰς οὐδὲν ἐκ τούτων ἐστήριζε τὴν σωτηρίαν τῶν ἀνθρώπων, ἀλλὰ ἐτείχισε τὴν γῆν μὲ προσευχάς, καὶ μετὰ τὰ θαύματα καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, ἔτρεχεν εἰς τὰς προσευχάς, ὡσὰν ἀθλητὴς εἰς τὴν παλαίστραν μετὰ τὴν νίκην. Διότι καὶ τῆς ἀναστάσεως τῶν νεκρῶν καὶ τῶν ἄλλων ὅλων χορηγὸς ὑπῆρξεν ἡ προσευχή· διότι ὅποιαν ἐπίδρασιν ἔχουν τὰ ὕδατα εἰς τὰ δένδρα τὴν ἰδίαν ἐπίδρασιν ἀσκοῦν αἱ προσευχαὶ εἰς τὴν ζωὴν τῶν ἁγίων. Κατὰ τὴν νύκτα ἐκείνην ποτίζων ὁ

μενεν εὐχερῶς τὰ δεινά, παρέχων τὰ νῶτα ταῖς πληγαῖς ὥσπερ ἀνδριάς. Οὕτως ἐν Μακεδονίᾳ τὸ δεσμωτήριον ἔσεισεν· οὕτω τὰ δεσμὰ διέρρηξεν ὥσπερ λέων, ταῖς προσευχαῖς· οὕτω τὸν τοῦ δεσμωτηρίου φύλακα τῆς πλάνης ἐξήρπασεν· οὕτω τὴν τυραννίδα τῶν δαιμόνων κατέλυσε.

Καὶ μὴν κἀκεῖνά γε ἴσμεν, ἃ γράφει πρὸς πάντας ἀνθρώπους, «Τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ, ἐν εὐχαριστίᾳ, προσευχόμενοι ἅμα καὶ περὶ ἐμοῦ, ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου ἐν παρρησίᾳ, λαλῆσαι τὸ μυστήριον τοῦ εὐαγγελίου». Τί λέγεις; Τοσαύτην ἡμῖν παρρησίαν αἱ προσευχαὶ διδόασιν, ὡς ὑπὲρ Παύλου τολμᾶν τὸν Θεὸν ἱκετεύειν; Τίς τολμᾷ στρατιώτης ὑπὲρ τοῦ μεγάλου στρατηγοῦ τὸν βασιλέα παρακαλεῖν; Καίτοι γε οὐδεὶς οὕτω στρατηγὸς τῷ βασιλεῖ φίλος, ὡς Παῦλος τῷ Θεῷ· ἀλλ' ὅμως εἰς τοσαύτην ἄγουσιν ἡμᾶς αἱ προσευχαὶ τιμήν, ὡς ὑπὲρ Παύλου τολμᾶν τὸν Θεὸν ἱκετεύειν.

Οὕτω καὶ ὁ Πέτρος ὁ μέγας, ὁ τοῦ οὐρανοῦ λαμπρότερος, τὸ δεσμωτήριον διέφυγε, μάλιστα μὲν διὰ τὴν οἰκείαν ἀρετήν, καὶ τὴν κοινὴν τῶν ἀνθρώπων σωτηρίαν, ἔπειτα μέντοι καὶ ἡ προσευχὴ τῆς Ἐκκλησίας κεκλεισμένας τοῦ δεσμωτηρίου τὰς θύρας ταχέως ἀνέῳξεν. Οὐ γὰρ εἰκῇ προσέγραψεν ὁ Λουκᾶς, ὅτι προσευχὴ δὲ ἦν ἐκτενὴς ὅλης τῆς Ἐκκλησίας ὑπὲρ τοῦ Πέτρου, ἀλλ' ἵνα μάθωμεν ἡμεῖς, ὅσην ἰσχὺν ἐν οὐρανοῖς αἱ προσευχαὶ κέκτηνται, ὡς Παῦλον καὶ Πέτρον κινδύνων ἀπαλλάττειν, τοὺς στύλους τῆς Ἐκκλησίας, τοὺς κορυφαίους τῶν ἀποστόλων, τοὺς περιβοήτους ἐν οὐρανῷ, τὸ τεῖχος τῆς οἰκουμένης, τὸ κοινὸν φυλακτήριον πάσης γῆς καὶ θαλάττης.

Εἰπέ μοι, πῶς ὁ Μωϋσῆς τὸν Ἰσραὴλ ἐν πολέμοις διέσωσεν; Οὐ τὰ μὲν ὅπλα, καὶ τὴν στρατιὰν τῷ μαθητῇ παρέ

4. Ἐδῶ ἐννοεῖται ἡ νύκτα τῆς φυλακίσεως τοῦ ἀποστόλου Παύλου καὶ τοῦ Σίλα εἰς τοὺς Φιλίππους τῆς Μακεδονίας. Πρβλ. Πράξ. κεφ. 16.
5. Κολ. 4, 2-3.

Παῦλος τὴν ψυχήν του μὲ τὴν προσευχὴν ὑπέμεινεν εὐκόλως ὅλα τὰ δεινά, παρέχων τὰ νῶτα εἰς μαστιγώσεις ὡσὰν νὰ ἦτο ἄγαλμα[4]. Ἔτσι εἰς τὴν Μακεδονίαν ἔσεισε τὸ δεσμωτήριον, ἔτσι ἔσπασε τὰ δεσμὰ ὡς λέων, μὲ τὰς προσευχάς· ἔτσι ἐλύτρωσεν ἀπὸ τὴν πλάνην τὸν φύλακα τοῦ δεσμωτηρίου· ἔτσι κατέλυσε τὴν τυραννίαν τῶν δαιμόνων.

Ἀκόμη γνωρίζομεν βέβαια καὶ ἐκεῖνα ποὺ γράφει εἰς ὅλους τοὺς ἀνθρώπους· «Ὅλοι σας νὰ καταγίνεσθε ἀκούραστα εἰς τὴν προσευχήν, νὰ ἀγρυπνῆτε εἰς αὐτὴν καὶ νὰ τὴν συνοδεύετε μὲ εὐχαριστίαν εἰς τὸν Θεόν, νὰ προσεύχεσθε δὲ συγχρόνως καὶ ὑπὲρ ἐμοῦ διὰ νὰ μοῦ δοθῇ λόγος νὰ ἀνοίξω τὸ στόμα μου νὰ ὁμιλῶ μὲ παρρησίαν, διὰ νὰ κηρύξω τὸ μυστήριον τοῦ εὐαγγελίου»[5]. Τί λέγεις; Μᾶς δίδουν τόσην παρρησίαν αἱ προσευχαί, ὥστε νὰ τολμῶμεν νὰ ἱκετεύωμεν τὸν Θεὸν ὑπὲρ τοῦ Παύλου; Ποῖος στρατιώτης τολμᾷ νὰ παρακαλέσῃ τὸν βασιλέα ὑπὲρ τοῦ μεγάλου στρατηγοῦ; Καίτοι βέβαια κανεὶς στρατηγὸς δὲν εἶναι τόσον φίλος μὲ τὸν βασιλέα, ὅσον εἶναι ὁ Παῦλος μὲ τὸν Θεόν· ἀλλ' ὅμως μᾶς ὁδηγοῦν εἰς τοιαύτην τιμὴν αἱ προσευχαί, ὥστε νὰ τολμῶμεν νὰ ἱκετεύωμεν τὸν Θεὸν ὑπὲρ τοῦ Παύλου.

Ἔτσι καὶ ὁ μέγας Πέτρος, ὁ ὁποῖος ὑπῆρξε λαμπρότερος τοῦ οὐρανοῦ, κατὰ τὸν ἴδιον τρόπον διέφυγε τὴν φυλακήν, κυρίως βέβαια διὰ τὴν ἰδικήν του ἀρετὴν καὶ τὴν κοινὴν σωτηρίαν τῶν ἀνθρώπων, ἀλλὰ ἔπειτα καὶ ἡ προσευχὴ τῆς ἐκκλησίας ἤνοιξε γρήγορα τὰς κλειστὰς θύρας τῆς φυλακῆς. Διότι δὲν ἔγραψεν ὁ Λουκᾶς ἄνευ λόγου ὅτι ἦτο διαρκὴς ἡ προσευχὴ ὅλης τῆς ἐκκλησίας ὑπὲρ τοῦ Πέτρου[6], ἀλλὰ διὰ νὰ μάθωμεν ἐμεῖς πόσην ἰσχὺν ἔχουν αἱ προσευχαὶ εἰς τοὺς οὐρανούς, ὥστε νὰ ἀπαλλάσσουν ἀπὸ τοὺς κινδύνους τοὺς κορυφαίους τῶν ἀποστόλων, τὸν Παῦλον καὶ τὸν Πέτρον, τοὺς στύλους τῆς ἐκκλησίας, τοὺς περιφήμους εἰς τὸν οὐρανόν, τὸ τεῖχος τῆς οἰκουμένης, τὸ κοινὸν φρούριον ὅλης τῆς γῆς καὶ τῆς θαλάσσης.

Εἰπέ μου, πῶς ὁ Μωυσῆς διέσωσεν εἰς τοὺς πολέμους τὸν Ἰσραήλ; Δὲν παρέδωσε τὰ ὅπλα καὶ τὴν στρατιὰν εἰς

δωκεν, αὐτὸς δὲ τὰς εὐχὰς ἀντέστησε τῷ πλήθει τῶν ἀντιπάλων; διδάσκων ἡμᾶς, ὅτι καὶ ὅπλων, καὶ ἵππων, καὶ χρημάτων, καὶ στρατοπέδων πολλῷ μείζονα δύναμιν ἔχουσιν αἱ προσευχαὶ τῶν δικαίων. Διὰ τοῦτο καὶ πᾶς ὁ στρατός, καὶ πολλαὶ μυριάδες, ἐν τῇ προσευχῇ τοῦ προφήτου τὴν ἐλπίδα τῆς σωτηρίας εἶχον. Προσευχομένου μὲν γὰρ τοῦ Μωσέως, ἐκράτουν Ἰουδαῖοι, πεπαυμένου δὲ τῆς προσευχῆς, ἔλαττον εἶχον τῶν ἀντιπάλων. Οὕτω δὴ καὶ ἡμεῖς προσευχόμενοι μέν, ῥᾳδίως τοῦ διαβόλου κρατήσομεν, ῥαθυμοῦντες δέ, καθ' ἑαυτῶν ἀσκοῦμεν τὸν πονηρόν. Καὶ μὴν καὶ τὸν λαὸν ἀσεβήσαντα, διὰ προσευχῆς μόνης διέσωσε Μωσῆς, καὶ τῶν θείων ὄψεων, καὶ μυρίων ἀγαθῶν διὰ ταύτης ἔτυχε μόνης. Αὕτη γὰρ αὐτῷ καὶ τὸν βίον παραπλήσιον ἐποίησε τοῖς οἰκοῦσι τὸν οὐρανόν. Προσευχὴ πυρὸς δύναμιν ἤλεγξε καὶ λέοντας ἡμέρωσε· τὸ μὲν ἐπὶ τοῦ Δανιήλ, τὸ δὲ ἐπὶ τῶν τριῶν ἐργασαμένη παίδων. Δι' ὧν, οἶμαι, καὶ δῆλον πεποίηκεν ἅπασιν, ὅτι πάντας, ὅσους ἂν λάβῃ κινδυνεύοντας, ῥᾳδίως ἐξαρπάζει τῶν ἐπηρτημένων δεινῶν.

Προσευχὴ σωτηρίας ἀφορμή, ἀθανασίας πρόξενος ψυχῆς, τῆς Ἐκκλησίας τεῖχος ἀρραγές, φυλακτήριον ἄσειστον, φοβερὸν μὲν τοῖς δαίμοσι, σωτήριον δὲ τοῖς εὐσεβέσιν ἡμῖν. Αὕτη τὸν ἅγιον προφήτην τὸν Σαμουὴλ ἐγέννησεν· ἐπειδὴ γὰρ ἡ φύσις ἠναντιοῦτο τῇ μητρὶ πρὸς γονάς, ἡ προσευχὴ φανεῖσα ταχέως ἐπανώρθωσε τὸ τῆς φύσεως ἐλάττωμα. Τοιοῦτος τῆς προσευχῆς ὁ καρπός, τοιοῦτον ἐφύτευσεν ἡ προσευχὴ προφήτην. Δι' ὃ περιβόητος ἐν οὐρανοῖς ὁ Σαμουὴλ ἐγένετο, κρείττων ἢ κατ' ἄνθρωπον ζηλωτὴς τῶν ἀγγέλων· ἔδει γάρ, οἶμαι, τοιοῦτον φανῆναι τῆς προσευχῆς τὸν ἀστάχυν, νικῶντα τοὺς ἄλλους τῇ καλοκαγαθίᾳ, καὶ ταῖς ἀρεταῖς

---

6. Πρβλ. Πράξ. 12, 5.
7. Τοῦτο συνέβη κατὰ τὴν εἰς Ραφιδὶν μάχην ἐναντίον τῶν Ἀμαληκιτῶν.
8. Πρβλ. Δαν. 6, 14 ἑ.
9. Πρβλ. Α' Βασ. 1.

τὸν μαθητήν, καὶ αὐτὸς προσέταξεν εἰς τὰ πλήθη τῶν ἀντιπάλων τὰς προσευχάς; Καὶ μᾶς διδάσκει ὅτι αἱ προσευχαὶ τῶν δικαίων ἔχουν πολὺ μεγαλυτέραν δύναμιν καὶ ἀπὸ τὰ ὅπλα καὶ ἀπὸ τοὺς ἵππους καὶ ἀπὸ τὰ χρήματα καὶ ἀπὸ τοὺς στρατούς. Διὰ τοῦτο καὶ ὅλος ὁ στρατὸς καὶ πολλαὶ μυριάδες, ἐστήριζαν τὴν ἐλπίδα τῆς σωτηρίας των εἰς τὴν προσευχὴν τοῦ προφήτου. Διότι ἐν ὅσῳ ὁ Μωυσῆς προσηύχετο, ἐνικοῦσαν οἱ Ἰουδαῖοι, ὅταν ὅμως ἐσταματοῦσε τὴν προσευχὴν ἐνικῶντο ἀπὸ τοὺς ἀντιπάλους[7]. Ἔτσι λοιπὸν καὶ ἐμεῖς μὲ τὴν προσευχὴν εὔκολα θὰ νικήσωμεν τὸν διάβολον, ἐνῷ μὲ τὴν ἀδιαφορίαν ἀσκοῦμεν ἐναντίον μας τὸν διάβολον. Ἀκόμη καὶ ὅταν ἠσέβησεν ὁ λαὸς τὸν διέσωσεν ὁ Μωυσῆς μὲ μόνην τὴν προσευχὴν καὶ τὰ θεῖα ὁράματα, καὶ τὰ ἄπειρα ἀγαθὰ μὲ αὐτὴν μόνον τὰ ἐπέτυχεν. Αὐτὴ ἔκαμε καὶ τὴν ζωήν του παραπλησίαν πρὸς τὴν ζωὴν αὐτῶν ποὺ κατοικοῦν εἰς τὸν οὐρανόν. Ἡ προσευχὴ ἐνίκησε τὴν δύναμιν τοῦ πυρὸς καὶ ἡμέρωσε τοὺς λέοντας· τὸν μὲν λέοντα ἡμέρωσεν εἰς τὴν περίπτωσιν τοῦ Δανιήλ[8], τὸ δὲ πῦρ τὸ ἐνίκησεν εἰς τὴν περίπτωσιν τῶν τριῶν παίδων. Μὲ αὐτά, νομίζω, ἔκαμε φανερὸν εἰς ὅλους, ὅτι ὅλους ὅσους εὕρῃ εἰς τοὺς κινδύνους τοὺς ἀπαλλάσσει ἀπὸ τὰ δεινὰ ποὺ τοὺς ἀπειλοῦν.

Ἡ προσευχὴ γίνεται ἀφορμὴ τῆς σωτηρίας μας, πρόξενος ἀθανασίας τῆς ψυχῆς, ἀρραγὲς τεῖχος τῆς ἐκκλησίας, ἀκλόνητον φρούριον, φοβερὸν μὲν εἰς τοὺς δαίμονας, σωτήριον δὲ εἰς ἡμᾶς τοὺς εὐσεβεῖς. Αὐτὴ ἐγέννησε τὸν ἅγιον προφήτην Σαμουήλ[9]· ἐπειδὴ ἡ φύσις ἀπέκλειεν εἰς τὴν μητέραν του τὰς γέννας, μόλις ἐφάνη ἡ προσευχὴ ἐπανώρθωσεν ἀμέσως τὸ ἐλάττωμα τῆς φύσεως. Τέτοιος εἶναι ὁ καρπὸς τῆς προσευχῆς, τέτοιον προφήτην ἐφύτευσεν ἡ προσευχή. Δι᾽ αὐτὸ ἔγινε περιβόητος ὁ Σαμουὴλ εἰς τοὺς οὐρανούς, ζηλωτὴς τῶν ἀγγέλων, ἀνώτερος ἀπὸ ὅ,τι θὰ ἠμποροῦσε νὰ γίνῃ ἄνθρωπος· διότι ἔπρεπε νὰ ἀναδειχθῇ τέτοιος ὁ στάχυς τῆς προσευχῆς, νὰ νικᾷ τοὺς ἄλλους εἰς τὴν καλοκαγαθίαν καὶ εἰς τὰς ἀρετὰς τῶν τρόπων καὶ νὰ ὑπερ-

τῶν τρόπων, καὶ τοσοῦτον τοὺς πρὸ αὐτοῦ νικᾶν ἁγίους, ὅσον ἐν τοῖς ληΐοις ὑπερέχουσιν οἱ τῶν ἀσταχύων εὖ πράττοντες.

Μετὰ ταύτης ὁ Δαυῒδ τοσούτους καὶ τοιούτους πολέμους ἀπώσατο, οὐχ ὅπλα κινῶν, οὐδὲ δόρυ σείων, οὐδὲ ξίφος ἕλκων, ἀλλ' εὐχαῖς τειχιζόμενος· μετὰ ταύτης Ἐζεκίας τὸ πλῆθος τῶν Περσῶν εἰς φυγὴν ὀξέως ἔτρεψε. Καὶ οἱ μὲν μηχανήματα τῷ τείχει προσῆγον, ὁ δὲ ταῖς προσευχαῖς τὸ τεῖχος ἐτείχισε· καὶ κατελύθη πόλεμος ἄνευ ὅπλων ἀπὸ τῆς προσευχῆς, σάλπιγγος μὲν οὐκ ἠχούσης, στρατιᾶς δὲ ἡσυχαζούσης, ὅπλων δὲ οὐ κινουμένων, γῆς δὲ οὐ φοινισσομένης, προσευχῆς δὲ ἀρκούσης εἰς φόβον τῶν ἀντιπάλων.

Προσευχὴ καὶ Νινευΐτας διέσωσε, καὶ τὴν ἐξ οὐρανοῦ φερομένην ὀργὴν ἀπεκρούσατο ταχέως, καὶ βίον διεφθαρμένον ἐπανώρθωσεν ὀξέως. Τοσαύτην γὰρ ἰσχὺν καὶ δύναμιν ἔχει, ὥστε ἔζησαν μὲν οἱ Νινευῖται πάντα τὸν βίον αἰσχρῶς καὶ πονηρῶς, εἰσελθοῦσα δὲ εἰς τὴν πόλιν ἡ προσευχὴ ταχέως πάντα μετέβαλε, καὶ σωφροσύνην, καὶ δικαιοσύνην, καὶ φιλίαν, καὶ ὁμόνοιαν, καὶ πτωχῶν πρόνοιαν, καὶ πάντα τὰ ἀγαθὰ συνεισήγαγεν ἑαυτῇ. Ὥσπερ γάρ τινος βασιλίδος εἰσιούσης εἰς πόλιν, πάντα τὸν πλοῦτον συνακολουθεῖν ἀνάγκη, οὕτω δὴ καὶ προσευχῆς εἰς ψυχὴν εἰσιούσης, πᾶσα ἀρετὴ συνεισέρχεται. Ὅπερ γάρ ἐστιν ἐν οἰκίᾳ θεμέλιος, τοῦτο ἐν ψυχῇ προσευχή.

Καὶ δεῖ ταύτην πρώτην, ὥσπερ κρηπῖδα καὶ ῥίζαν ἐν τῇ ψυχῇ πήξαντας, πάντας ἐποικοδομεῖν σπουδαίως καὶ σωφροσύνην καὶ πρᾳότητα, καὶ δικαιοσύνην, καὶ πρόνοιαν πτωχῶν, καὶ πάντας τοὺς νόμους τοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ σὺν τῷ ἁγίῳ Πνεύματι δόξα καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

10. Πρβλ. Δ' Βασ. 18.

βῇ τόσον πολὺ τοὺς πρὸ αὐτοῦ ἁγίους, ὅσον ὑπερέχουν οἱ ἀκμαῖοι στάχυες τῶν ἄλλων εἰς ἀθερίστους ἀγρούς.

Μὲ αὐτὴν ὁ Δαυὶδ διεξήγαγε νικηφόρως τόσους καὶ τέτοιους πολέμους, ὄχι μὲ τὰ ὅπλα, οὔτε μὲ τὸ νὰ σείῃ δόρυ, οὔτε μὲ τὸ νὰ σύρῃ ξίφος, ἀλλὰ ὀχυρούμενος διὰ τῶν προσευχῶν· μὲ αὐτὴν ὁ Ἐζεκίας ἔτρεψε γρήγορα εἰς φυγὴν τῶν Περσῶν τὸ πλῆθος. Καὶ ἐνῷ ἐκεῖνοι ἔφερον πολεμικὰς μηχανὰς κοντὰ εἰς τὸ τεῖχος, αὐτὸς ὠχύρωσε τὸ τεῖχος μὲ τὰς προσευχάς· καὶ ἐτελείωσεν ὁ πόλεμος, χωρὶς ὅπλα, μὲ τὴν προσευχήν, δίχως νὰ ἠχήσῃ ἡ σάλπιγξ, μὲ τὸν στρατὸν ἡσυχάζοντα, χωρὶς νὰ κινοῦνται τὰ ὅπλα, χωρὶς νὰ βραχῇ ἡ γῆ μὲ αἵματα, ἤρκεσε μόνον ἡ προσευχὴ νὰ ἐμπνεύσῃ φόβον εἰς τοὺς ἀντιπάλους[10].

Ἡ προσευχὴ διέσωσε καὶ τοὺς Νινευΐτας καὶ ἀπέκρουσε ταχέως τὴν ὀργὴν ποὺ ἤρχετο ἀπὸ τὸν οὐρανόν, καὶ ἐπανώρθωσε ταχέως μίαν διεφθαρμένην ζωήν. Διότι τόσην ἰσχὺν καὶ δύναμιν ἔχει, ὥστε ἐνῷ ὅλην των τὴν ζωὴν τὴν ἔζησαν οἱ Νινευΐται μὲ αἰσχρότηταν καὶ πονηρίαν, ὅταν εἰσῆλθεν εἰς τὴν πόλιν ἡ προσευχὴ ἀμέσως τὰ πάντα μετέβαλε καὶ σωφροσύνην καὶ δικαιοσύνην καὶ φιλίαν καὶ ὁμόνοιαν καὶ φροντίδα διὰ τοὺς πτωχοὺς καὶ ὅλα γενικῶς τὰ ἀγαθὰ τὰ ἔφερε μαζὶ μὲ αὐτήν. Ὅπως δηλαδὴ ἂν μία βασίλισσα εἰσέλθῃ εἰς τὴν πόλιν κατ' ἀνάγκην τὴν ἀκολουθεῖ καὶ ὅλος ὁ πλοῦτος, ἔτσι ὅταν εἰσέλθῃ καὶ ἡ προσευχὴ εἰς τὴν ψυχὴν εἰσέρχεται μαζὶ μὲ αὐτὴν καὶ κάθε ἀρετή. Ὅ,τι εἶναι διὰ τὴν οἰκίαν τὸ θεμέλιον τὸ ἴδιον εἶναι διὰ τὴν ψυχὴν ἡ προσευχή.

Πρέπει λοιπὸν αὐτὴν πρῶτα νὰ στερεώσωμεν εἰς τὴν ψυχὴν ὡς βάσιν καὶ θεμέλιον καὶ νὰ οἰκοδομοῦμεν ἐπάνω της μὲ ἐπιμέλειαν καὶ τὴν σωφροσύνην, καὶ τὴν πραότητα, καὶ τὴν δικαιοσύνην, καὶ τὴν φροντίδα διὰ τοὺς πτωχούς, καὶ ὅλους τοὺς νόμους τοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου δόξα καὶ δύναμις εἰς τὸν Πατέρα μαζὶ καὶ τὸ ἅγιον Πνεῦμα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

8

ΠΕΡΙ ΕΥΧΗΣ

1. Πρότερον διεξελθόντες ὑμῖν περὶ νηστείας, καὶ τὰ ταύτης πλεονκτήματα διηγησάμενοι κατὰ δύναμιν, καὶ πάλιν τῇ προτέρᾳ περὶ βαπτίσματος τῇ ὑμετέρᾳ διεξελθόντες φιληκοΐα, βουλόμεθα καὶ περὶ εὐχῆς ὑμῖν διηγήσασθαι σήμερον· τίς γε ἡ ταύτης δύναμις, καὶ τίς ἡ ἀπ' αὐτῆς ὠφέλεια περιγίνεται τοῖς ταύτην συνδιατελοῦσιν. Παρακαλῶ οὖν ὑμᾶς, εὐγνωμόνως καὶ εὐλαβῶς ἀκούσατε, τὴν ἀκοὴν εὔθεῖαν τοῖς λεγομένοις ὑποθέντες. Μεγίστη οὖσα ἀληθῶς καὶ πρεσβυτέρα, καὶ μήτηρ τῶν ἐντολῶν ἁπασῶν αὕτη τετύχηκεν, ἅπαντα τὰ τοῦ Κυρίου ἀπογεννῶσα προστάγματα.

Τίς γὰρ εὐχόμενος παριδεῖν τὸν πλησίον πενόμενον δύναται, ἵνα τὸν πόνον τὸν περὶ ταύτην ἀνόνητον ἔχῃ; Τίς δὲ τοιούτου πλούτου καὶ περιουσίας ὀρέγεσθαι δύναται, ἵνα τῷ σώματι μόνον ἀναδέχηται κάματον εἰκαῖον, ἀλλαχοῦ που τῆς καρδίας ἁλωμένης; Ἔοικε γὰρ τῆς φιλοχρηματίας ἡ νόσος πάθει τινὶ δυσιάτῳ καὶ παραμόνῳ, μήτε τάχιον ἐπάγοντι τὸν θάνατον, μήτε τελείαν τὴν ὑγείαν παρέχοντι, ἀλλὰ κατὰ βραχὺ τὸ σῶμα τῶν οἰκείων ὑπεκλύοντι τόνων, ἄχρις οὗ ταῖς ἐγγινομέναις ἐνολκαῖς ὑπορρεῦσαν μετὰ μυρίους καμάτους τῷ κοινῷ τοῦ θανάτου παραπέμψῃ πτώματι. Τίς δὲ τῆς εὐχῆς ἐραστὴς νηστείας ἀμελῆσαι δυνήσεται ὑπ' αὐτῆς τῆς Γραφῆς διδασκόμενος, ὅτι «Νηστεία καὶ δέησις ἐκ θανάτου ῥύεται»; Ἄλλως γε οὐ δυνατὸν ἐκ καρδίας ἐπικαλεῖσθαι

1. Τωβὶτ 12, 8, 9.

8
ΠΕΡΙ ΕΥΧΗΣ

1. Προηγουμένως άνεπτύξαμεν εἰς ἐσᾶς τὰ σχετικὰ περὶ τῆς νηστείας, καί κατὰ δύναμιν ἀναφέραμεν τὰ πλεονεκτήματα αὐτῆς· ἐπίσης τὴν προηγουμένην ἡμέραν ἀνεπτύξαμεν εἰς τὴν ἰδικήν σας φιληκοΐαν τὰ περὶ τοῦ βαπτίσματος, ἐπιθυμοῦμεν δὲ σήμερον νὰ ὁμιλήσωμεν καὶ περὶ προσευχῆς· ποία δηλαδὴ εἶναι ἡ δύναμις αὐτῆς, καὶ ποία ἡ ὠφέλεια ποὺ ἀποκομίζουν αὐτοὶ ποὺ εἶναι συνδεδεμένοι μὲ αὐτήν. Διὰ τοῦτο λοιπὸν σᾶς παρακαλῶ νὰ ἀκούσετε μὲ εὐλάβειαν καὶ μὲ καλὴν διάθεσιν, ἔχοντες τεταμένην τὴν ἀκοήν σας εἰς τὰ λεγόμενα. Καὶ καθὼς εἶναι ἡ πιὸ μεγάλη καὶ ἡ πρεσβυτέρα καὶ ἡ μητέρα ὅλων τῶν ἐντολῶν, γεννᾷ ὅλα τὰ παραγγέλματα τοῦ Κυρίου.

Διότι ποῖος προσευχόμενος ἠμπορεῖ νὰ παραβλέψη τὸν πλησίον του ποὺ εὑρίσκεται εἰς ἀθλίαν κατάστασιν, ὥστε νὰ ἔχη ἀνώφελον τὸν κόπον δι' αὐτήν; Ποῖος δὲ ἠμπορεῖ νὰ ἐπιθυμῇ τέτοιον πλοῦτον καὶ τέτοιαν περιουσίαν, ὥστε νὰ ἐπιφορτίζῃ μόνον τὸ σῶμα του μὲ μάταιον κόπον, ἐνῷ ἡ ψυχή του θὰ εἶναι δοσμένη κάπου ἀλλοῦ; Διότι ὁμοιάζει ἡ νόσος τῆς φιλοχρηματίας μὲ κάποιαν ἀθεράπευτον καὶ μόνιμον ἀσθένειαν ποὺ οὔτε ὁδηγεῖ ταχέως εἰς θάνατον, οὔτε παρέχει τελείαν ὑγείαν εἰς τὸ σῶμα, ἀλλ' ὀλίγον κατ' ὀλίγον τὸ κάμει νὰ ἀτονῇ μέχρις ὅτου, ἀφοῦ καταρρεύσῃ ἀπὸ τὰς ἐπελθούσας ταλαιπωρίας μὲ ἀναριθμήτους πόνους, τὸ παραπέμψῃ εἰς τὸ κοινὸν πτῶμα τοῦ θανάτου. Ποῖος ἐραστὴς τῆς προσευχῆς εἶναι δυνατὸν νὰ παραμελήσῃ τὴν νηστείαν, διδασκόμενος ἀπ' αὐτὴν τὴν ἰδίαν τὴν Γραφὴν ὅτι «Ἡ νηστεία καί ἡ προσευχὴ λυτρώνουν ἀπὸ τὸν θάνατον»[1]; Ἐξ ἄλλου βέβαια δὲν εἶναι δυνα-

τὸν Κύριον ἀδηφαγίᾳ καὶ κραιπάλῃ συζῶντα· καθὼς καὶ ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ τοῖς ἑαυτοῦ μαθηταῖς παρήγγειλεν· «Βλέπετε», φησίν, «μὴ βαρηθῶσιν αἱ καρδίαι ὑμῶν ἐν κραιπάλῃ καὶ μέθῃ».

Ἡ γὰρ ἀναθυμίασις τοῦ πλήθους τῶν εἰσπορευομένων τροφῶν περὶ τὰ κοῖλα τοῦ ἐγκεφάλου μέρη τὸ περὶ αὐτὸν τὸν λογισμὸν ἐπιθολοῖ χρήσιμον, αὐτὴν ἐπιταράττουσα τὴν καρδίαν. Οὕτως ἡ κατὰ ἀλήθειαν εὐχὴ πασῶν τῶν ἐντολῶν ἀφετηρία τις ὑπάρχει, συμπαρατρέχειν τῷ οἰκείῳ κόσμῳ πάσας καταναγκάζουσα. Κορυφαιότατον ἀγαθὸν εὐχὴ καὶ ὁμιλία Θεοῦ· κοινωνία γάρ ἐστι καὶ ἕνωσις πρὸς Θεόν· καὶ ὥσπερ οἱ τοῦ σώματος ὀφθαλμοὶ φῶς καθορῶντες φωτίζονται, οὕτω καὶ ψυχὴ πρὸς Θεὸν ἐκτεινομένη τῷ ἀνεκλαλήτῳ αὐτοῦ φωτὶ καταλαμπομένη φωτίζεται. Εὐχὴ οὖν οὐκ ἐν σχήματι γινομένη, ἀλλ' ἐκ καρδίας ἐπιτελουμένη· οὐ καιροῖς καὶ διαστήμασιν ὡρῶν περικλειομένη, ἀλλὰ νύκτωρ καὶ μεθ' ἡμέραν ἄπαυστον τὴν ἐργασίαν ἔχουσα. Οὐ γὰρ χρὴ μόνον ἐπὶ τὴν εὐχὴν ἀπιόντα ὀξέως ἀπάγειν τὸν λογισμὸν πρὸς τὸν Θεόν· ἀλλὰ δεῖ καὶ ἐπί τινας ἀσχολούμενον χρείας, ἢ περὶ κηδεμονίαν πτωχῶν, ἢ περὶ φροντίδας ἑτέρας, ἢ ἐπωφελεῖς εὐποιΐας τὸν πόθον καὶ τὴν μνήμην τοῦ Θεοῦ καταμίσγειν, ἵνα καθάπερ ἅλατι τῇ τοῦ Θεοῦ ἀρτυομένη ἀγάπῃ, βρῶμα ἥδυτατον τῷ πάντων Δεσπότῃ γίνωνται. Δυνάμεθα δὲ τὴν ἐκ ταύτης ὄνησιν παρὰ πάντα τὸν βίον ἀναφαίρετον κτήσασθαι, ταύτῃ τὸ πλεῖστον ἀπονέμοντες τοῦ καιροῦ.

---

2. Λουκᾶ 21, 34.

τὸν νὰ ἐπικαλῆσαι τὸν Κύριον μὲ ὅλην τὴν δύναμιν τῆς ψυχῆς σου, ὅταν συζῇς μὲ τὴν πολυφαγίαν καὶ τὴν μέθην, πρᾶγμα ποὺ καί ὁ Κύριος παρήγγειλεν εἰς τοὺς μαθητάς του εἰς τὸ εὐαγγέλιον· «Προσέχετε», λέγει, «μήπως γίνουν βαρεῖαι αἱ καρδίαι σας ἀπὸ τὴν κραιπάλην καί ἀπὸ τὴν μέθην»[2].

Διότι ὅπως ἡ ἀναθυμίασις τοῦ πλήθους τῶν τροφῶν ποὺ εἰσέρχονται ἐντός μας ἐπιδρᾷ εἰς τὸν ἐγκέφαλον καὶ θολώνει τὸν λογισμὸν εἰς τὸ νὰ παίρνῃ σωστὰς ἀποφάσεις καὶ διαταράσσει αὐτὴν τὴν ψυχήν, κατὰ τὸν ἴδιον τρόπον καὶ ἡ πραγματικὴ προσευχὴ ἀποτελεῖ κατὰ κάποιον τρόπον ἀφετηρίαν ὅλων τῶν ἐντολῶν καὶ ἀναγκάζει νὰ συμβαδίζουν ὅλαι αἱ ἐντολαὶ μὲ τὴν πρέπουσαν εὐκοσμίαν. Εἶναι τὸ ἀνώτατον ἀγαθὸν ἡ προσευχὴ καὶ ἡ συνομιλία μὲ τὸν Θεόν· διότι εἶναι κοινωνία καὶ ἕνωσις μὲ τὸν Θεόν, καὶ ὅπως οἱ σωματικοὶ ὀφθαλμοὶ φωτίζονται ὅταν βλέπουν πρὸς τὸ φῶς, ἔτσι καὶ ἡ ψυχὴ ποὺ ἀπευθύνεται πρὸς τὸν Θεὸν φωτίζεται καὶ καταλάμπει ἀπὸ τὸ ἀπερίγραπτον αὐτοῦ φῶς. Προσευχὴ λοιπὸν εἶναι ἐκείνη ποὺ δὲν γίνεται μόνον φαινομενικά, ἀλλὰ ποὺ γίνεται μέσα ἀπὸ τὰ βάθη τῆς ψυχῆς· προσευχὴ εἶναι ἐκείνη ποὺ δὲν περιορίζεται μέσα εἰς τὸν χρόνον καί τὰ διαστήματα τῶν ὡρῶν, ἀλλὰ ποὺ γίνεται ἀκατάπαυστα νύκτα καὶ ἡμέραν. Διότι δὲν πρέπει μόνον ὅταν ἀποσυρώμεθα διὰ προσευχὴν τότε κατ' ἐξοχὴν νὰ φέρωμεν τὸν νοῦν μας πρὸς τὸν Θεόν, ἀλλὰ καί ὅταν ἀσχολούμεθα μὲ τὰς διαφόρους φροντίδας ἢ μὲ τὴν φροντίδα τῶν πτωχῶν, ἢ μὲ ἄλλας φροντίδας ἢ μὲ ἔργα ἐπωφελῆ, πρέπει νὰ ἑνώνωμεν μὲ αὐτὰ τὴν ἐνθύμησιν καί τὸν πόθον τοῦ Θεοῦ ὥστε, ὡσὰν διὰ ἅλατος, ἀφοῦ εὐπρεπισθοῦν καὶ μὲ τὴν ἀγάπην πρὸς τὸν Θεόν, νὰ γίνουν βρῶμα γλυκύτατον εἰς τὸν Δεσπότην τῶν πάντων. Ἠμποροῦμεν δὲ τὴν ὠφέλειαν ἀπὸ τὴν προσευχὴν νὰ τὴν ἔχωμεν μόνιμον δι' ὅλην μας τὴν ζωήν, ἀφιερώνοντες εἰς αὐτὴν τὸν περισσότερον χρόνον μας.

2. Εὐχὴ φωτισμὸς ψυχῆς, ἀληθὴς Θεοῦ ἐπίγνωσις, Θεοῦ καὶ ἀνθρώπων μεσίτης, παθῶν ἰατρός, ἀλεξιφάρμακον νόσων, γαλήνη ψυχῆς, ὁδηγὸς οὐρανία, οὐ περὶ γῆν στρεφομένη, ἀλλ' εἰς αὐτὴν τῶν οὐρανῶν πορευομένη τὴν ἁψῖδα. Ὑπερπηδᾷ κτίσματα, τέμνει νοητῶς τὸν ἀέρα, ὑπὲρ τὸν ἀέρα πορεύεται, διαβαίνει τὰς τῶν ἄστρων χορείας, ἀνοίγει πύλας οὐρανῶν, ὑπὲρ τοὺς ἀγγέλους γίνεται, Θρόνους καὶ Κυριότητας παρέρχεται, διαβαίνει τὰ Χερουβίμ, καὶ ὑπεράνω πάσης φύσεως γενητῆς γενομένη, πρὸς αὐτὴν τὴν ἀπρόσιτον παραγίνεται Τριάδα. Ἐκεῖ προσκυνεῖ τῇ θεότητι, ἐκεῖ καταξιοῦται συνόμιλος γενέσθαι τῷ οὐρανίῳ βασιλεῖ. Δι' αὐτῆς ἡ ψυχὴ μετέωρος ἀρθεῖσα εἰς οὐρανούς, περιπλέκεται τῷ Κυρίῳ περιπλοκαῖς ἀρρήτοις, ὥσπερ νήπιον πρὸς ἰδίαν μητέρα μετὰ δακρύων βοᾷ τοῦ θείου γλιχομένη γάλακτος· αἰτεῖ δὲ τὰ οἰκεῖα θλήματα, καὶ λαμβάνει δωρεὰς κρείττονας πάσης ὁρατῆς φύσεως.

Πρέσβις γὰρ αἰδέσιμος ὑπάρχει εὐχή, χαροποιεῖ τὴν καρδίαν, ἀναπαύει τὴν ψυχήν, φόβον ἐγγενᾷ κολάσεως, βασιλείας οὐρανῶν ἐπιθυμίαν, ταπεινοφροσύνην διδάσκει, ἐπίγνωσιν ἁμαρτίας παρέχει, ἁπαξαπλῶς πᾶσι κατακοσμεῖ τοῖς ἀγαθοῖς τὸν ἄνθρωπον, ὥσπερ τινὰ πέπλον ποικίλον πᾶσαν φύσιν ἀρετῆς τῇ ψυχῇ περιτιθεῖσα. Αὐτὴ καὶ τῇ Ἄννῃ τὸν Σαμουὴλ ἐδωρήσατο, καὶ τοῦτον προφήτην τοῦ Κυρίου ἀπέδειξεν· αὐτὴ καὶ τὸν Ἠλίαν ζηλωτὴν τοῦ Κυρίου πεποίηκεν· καὶ τῆς ἐπὶ τὴν θυσίαν καθόδου τοῦ οὐρανίου πυρὸς ὁδηγὸς γεγένηται. Τῶν γὰρ ἱερέων τῆς Βάαλ πανημέριον ἐπικαλουμένων τὸ εἴδωλον, αὐτὸς ἐκ καθαρᾶς καρδίας τὴν φωνὴν ἀνατείνας, καὶ βοήσας καρδίᾳ καὶ στόματι, τὸ πῦρ κατήγα-

3. Α' Βασ. 1, 9 ἑ.

2. Ἡ προσευχὴ εἶναι φωτισμὸς τῆς ψυχῆς, ἀληθὴς ἐπίγνωσις τοῦ Θεοῦ, μεσίτης μεταξὺ Θεοῦ καὶ ἀνθρώπων, ἰατρὸς τῶν παθῶν, ἀντίδοτον ἐναντίον τῶν νόσων, γαλήνη τῆς ψυχῆς, ὁδηγὸς ποὺ φέρει εἰς τὸν οὐρανόν, ποὺ δὲν περιστρέφεται γύρω ἀπὸ τὴν γῆν, ἀλλὰ ποὺ πορεύεται πρὸς αὐτήν, τὴν ἁψῖδα τῶν οὐρανῶν. Ὑπερπηδᾷ τὰ κτίσματα, διασχίζει νοερῶς τὸν ἀέρα, πορεύεται ἐπάνω ἀπὸ τὸν ἀέρα, διασχίζει τὸ σύνολον τῶν ἀστέρων, ἀνοίγει τὰς πύλας τῶν οὐρανῶν, ξεπερνᾷ τοὺς ἀγγέλους, ὑπερβαίνει τοὺς θρόνους καὶ τὰς κυριότητας, διαβαίνει τὰ χερουβὶμ καὶ ἀφοῦ ἔλθῃ ὑπεράνω ὅλης τῆς κτιστῆς φύσεως, ἔρχεται πλησίον αὐτῆς τῆς ἀπροσίτου τριάδος. Ἐκεῖ προσκυνεῖ τὴν θεότητα, ἐκεῖ ἀξιώνεται νὰ γίνῃ συνομιλητὴς μὲ τὸν οὐράνιον βασιλέα. Δι' αὐτῆς ἡ ψυχὴ ἡ ὁποία ὑψώθη μετέωρος εἰς τοὺς οὐρανούς, ἐναγκαλίζεται τὸν Κύριον κατὰ τρόπον ἀνέκφραστον, ὅπως ἀκριβῶς τὸ νήπιον ἐναγκαλίζεται τὴν μητέρα του, καὶ μὲ δάκρυα φωνάζει δυνατά, ἐπιθυμοῦσα νὰ ἀπολαύσῃ τοῦ θείου γάλακτος· ζητεῖ δὲ αὐτὰ ποὺ πρέπει καὶ λαμβάνει δωρεὰς ἀνωτέρας ἀπὸ ὅλην τὴν ὁρατὴν φύσιν.

Ἡ προσευχὴ εἶναι σεβαστὸς ἀντιπρόσωπός μας. Χαροποιεῖ τὴν καρδίαν, ἀναπαύει τὴν ψυχήν, δημιουργεῖ ἐντός μας τὸν φόβον τῆς τιμωρίας, τὴν ἐπιθυμίαν τῆς βασιλείας τῶν οὐρανῶν, διδάσκει τὴν ταπεινοφροσύνην, παρέχει ἐπίγνωσιν τῆς ἁμαρτίας, γενικῶς στολίζει τὸν ἄνθρωπον μὲ ὅλα τὰ ἀγαθά, ὡσὰν κάποιο πέπλον στολισμένον μὲ ὅλας τὰς ἀρετὰς ποὺ περιτυλίγει τὴν ψυχήν. Αὐτὴ ἔφερε ὡς δῶρον εἰς τὴν Ἄνναν τὸν Σαμουήλ[3], καὶ ἀνέδειξε τοῦτον προφήτην τοῦ Κυρίου· αὐτὴ (ἡ προσευχὴ) ἔκαμε καὶ τὸν Ἠλίαν ζηλωτὴν τοῦ Κυρίου· καὶ αὐτὴ ἔγινεν ὁδηγὸς τῆς καθόδου τοῦ οὐρανίου πυρὸς διὰ τὴν θυσίαν. Διότι ἐνῷ οἱ ἱερεῖς τοῦ Βάαλ ἐπεκαλοῦντο ὅλην τὴν ἡμέραν τὸ εἴδωλον, αὐτὸς ἀφοῦ ὕψωσε τὴν φωνὴν ποὺ ἐξῆλθεν ἐκ τῆς καθαρᾶς καρδίας του καὶ ἐφώναξε διὰ τοῦ στόματος καὶ

γεν ἐξ οὐρανῶν, μαρτυρία τῆς εὐχῆς τῆς δικαίας. Καθάπερ γάρ τις ἀετὸς ἐπὶ τὸ θυσιαστήριον ἐπιπτάς, τῷ λάβρῳ τῆς φύσεως κατεκάρπωσεν ἅπαντα.

Τοῦτο δὲ πεποίηκεν ὁ μέγας θεράπων τοῦ Θεοῦ Ἠλίας ὁ ζηλωτής, ἡμᾶς ἐπὶ τὰ πνευματικὰ διὰ τῶν τότε παιδαγωγῶν, ἵνα καὶ ἡμεῖς ἐκ καρδίας πρὸς τὸν Θεὸν βοῶντες, τὸ ἄρρητον τοῦ Πνεύματος πῦρ ἐπὶ τὸ θυσιαστήριον τῆς ἡμετέρας καρδίας κατελθεῖν προτρεψώμεθα, διὰ τοῦτο τέλειον ὁλοκάρπωμα γινόμενοι τῷ Κυρίῳ. Εὐχὴ καὶ Μωϋσῆν τὸν νομοθέτην ἱλαστήριον τοῦ Θεοῦ πεποίηκε τὸ Ἰσραήλ, καὶ τρόπαια κατὰ τῶν ἐναντίων τοῖς Ἰσραηλίταις ἔπηξεν. Δι' αὐτῆς καὶ Ἰησοῦς, ὁ τοῦ Ναυῆ, τὸ μέγα καὶ περιφανέστατον ἐν τοῖς οὐρανοῖς ἄστρον τὸν ἥλιον, μέσον ἤδη τοῦ πόλου κατατέμνοντα τὸν αἰθέρα, ἐν αὐτῷ τῷ τόπῳ καιρὸν ἡμέρας διατρίψαι πεποίηκεν. Οὕτω δὴ ταύτῃ τὰ πρεσβεῖα τῶν ἐντολῶν ὁ Κύριος ἔδωκεν, ὥστε πόλεων καὶ κωμῶν καὶ τῶν ἰδίων ἀποφεύγοντα μαθητῶν, ἐν ταῖς ἐρήμοις ὑποχωρεῖν τῆς προσευχῆς ἕνεκεν, ἵνα ἐκτὸς θορύβων καὶ περιστάσεων ἀνθρωπίνων ἐν ἡσυχίᾳ ταύτῃ μετὰ μεγάλου πόθου προσομιλῇ, διδάσκων ἡμᾶς ἅμα, ὅτι χρὴ τὸν τοιαύτην ἐπαγγελλόμενον πολιτείαν, τόπους καταλαμβάνειν ἐρήμους, ἀπερισπάστως τὸ τοιοῦτον πράττοντας.

Δι' εὐχῆς καὶ τὸ μέγα τῶν ἀποστόλων σύστημα κατηξιώθη τὸν Παράκλητον δέξασθαι σήμερον· τούτου γὰρ ἕνεκεν περὶ αὐτῆς ὑμῖν ἠναγκάσθην σήμερον διεξελθεῖν. Εὐχή, τοῦ σώματος ἐπὶ γῆς κειμένου, τὴν ψυχὴν πρὸς ἐκείνην τὴν ἐπουράνιον ἀποκομίζει πηγήν, κἀκείνου τοῦ πόματος ἐμφορήσασα ταύτην ποιεῖ ἐν αὐτῇ πηγὴν ὕδατος ἀλλομένου εἰς ζωὴν

4. Πρβλ. Ἐξ. 17, 10-15.
5. Πρβλ. Ἰησ. Ναυῆ 10, 12-13.
6. Πρβλ. Λουκᾶ 5, 16· 9, 10.
7. Πρβλ. Πράξ. 2, 4 ἑ.

τῆς ψυχῆς του, κατεβίβασεν ἐκ τῶν οὐρανῶν τὸ πῦρ ὡς ἀπόδειξιν τῆς δικαίας προσευχῆς του. Διότι, ἀφοῦ ἐστάθη ὡς ἀετὸς ἐπάνω εἰς τὸ θυσιαστήριον, μὲ τὸ ὁρμητικὸν τῆς φύσεώς του τὰ προσέφερεν ὅλα ὡς θυσίαν.

Αὐτὸ δὲ τὸ ἔκαμεν ὁ μέγας ὑπηρέτης τοῦ Θεοῦ ὁ ζηλωτὴς Ἠλίας, παιδαγωγῶν ἡμᾶς διὰ τῶν ὅσων συνέβησαν τότε ἐπὶ τὰ πνευματικά, ὥστε καὶ ἡμεῖς φωνάζοντες δυνατὰ ἀπὸ τὰ βάθη τῆς ψυχῆς μας πρὸς τὸν Θεὸν νὰ παρακινήσωμεν τὸ ἀνέκφραστον πῦρ τοῦ ἁγίου Πνεύματος νὰ κατέλθῃ εἰς τὸ θυσιαστήριον τῆς καρδίας μας καὶ νὰ προσφέρωμεν πλήρως τὸν ἑαυτόν μας ὡς θυσίαν εἰς τὸν Θεόν. Διὰ τῆς προσευχῆς ὁ νομοθέτης Μωϋσῆς καὶ ἐξιλέωσε τὸν Ἰσραὴλ μὲ τὸν Θεὸν καὶ ἔστησε τρόπαια νίκης ἐναντίον τῶν ἐχθρῶν τῶν Ἰσραηλιτῶν[4]. Διὰ τῆς προσευχῆς καὶ ὁ Ἰησοῦς τοῦ Ναυῆ τὸ μέγα καὶ λαμπρότατον εἰς τὸν οὐρανὸν ἄστρον, τὸν ἥλιον, ἐνῷ εὑρίσκετο ἤδη εἰς τὸ μεσούρανον, τὸν ἔκαμε νὰ παραμείνῃ εἰς τὸ σημεῖον ἐκεῖνο μίαν ὁλόκληρον ἡμέραν[5]. Τοιουτοτρόπως λοιπὸν εἰς αὐτὴν ἔδωσεν ὁ Κύριος τὰ πρεσβεῖα τῶν ἐντολῶν, ὥστε καὶ ὁ ἴδιος νὰ φεύγῃ μακρυὰ ἀπὸ τὰς πόλεις καὶ τὰς κωμοπόλεις καὶ τοὺς μαθητάς του καὶ νὰ ἀποσύρεται εἰς τὰς ἐρήμους χάριν τῆς προσευχῆς[6], διὰ νὰ συνομιλῇ μὲ τὸν Πατέρα του μακρυὰ ἀπὸ θορύβους καὶ ἀνθρωπίνους περισπασμοὺς κατὰ τὴν ὥραν αὐτῆς, ἐν ἡσυχίᾳ καὶ μὲ μεγάλον πόθον, διδάσκων ἡμᾶς συγχρόνως ὅτι αὐτὸς ὁ ὁποῖος ὑπόσχεται τέτοιαν πολιτείαν πρέπει νὰ καταφεύγῃ εἰς τόπους ἐρήμους, ὥστε νὰ ἠμπορῇ ἐκεῖ ἀπερισπάστως νὰ προσευχηθῇ.

Διὰ τῆς προσευχῆς καὶ τὸ μέγα τῶν ἀποστόλων σύστημα ἠξιώθη νὰ δεχθῇ σήμερον τὴν χάριν τοῦ Παρακλήτου[7], καθ' ὅσον ἐξ αἰτίας αὐτοῦ τοῦ γεγονότος σᾶς ὡμίλησα περὶ τῆς προσευχῆς. Ἡ προσευχή, ἐνῷ εὑρίσκεται τὸ σῶμα εἰς τὴν γῆν, μεταφέρει τὴν ψυχὴν πρὸς τὴν ἐπουράνιον ἐκείνην πηγήν, καὶ ἀφοῦ τὴν γεμίσῃ ἀπὸ τὸ ὕδωρ ἐκεῖνο, τὴν κάμει πηγὴν ὕδατος μέσα ἀπὸ τὴν ὁποίαν ἀναβλύζει ζωὴ

αἰώνιον. Αὐτὴ τῶν μελλόντων ἀληθῆ δίδωσιν πληροφορίαν, κρείττονα λοιπὸν πίστεως τὴν ἐπίγνωσιν τῶν ἐκεῖσε παρεχομένη ἀγαθῶν· θησαυροὺς ἀποκρύφους, ἀοράτους, σκοτεινοὺς ἀνοίγει, δεικνύει σοι τὸν ἀντίπαλον· τέμνει τὰς τῶν ἀλλοφύλων παρατάξεις, τὰς ἀντικειμένας ἀφανίζει δυνάμεις καὶ πρὸς αὐτὸν ὁδηγεῖ τὸν βασιλέα.

Εὐχὴν ὅταν εἴπω, μὴ νομίσῃς λόγους εἶναι. Πόθος ἐστὶ πρὸς Θεόν, ἀγάπη ἀνεκλάλητος, οὐκ ἐξ ἀνθρώπων ἐπιτελουμένη, ἀλλ' ἐκ θείας ἐνεργουμένη χάριτος, περὶ ἧς καὶ ὁ Ἀπόστολος λέγει· «Τὸ γὰρ τί προσευξώμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν, ἀλλ' αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτους».

Τὴν τοιαύτην εὐχὴν ἐάν τινι χαρίσηται ὁ Κύριος, πλοῦτός ἐστιν ἀναφαίρετος, καὶ σίτισις οὐρανία κορεννύουσα τὴν ψυχήν· ἧς ὁ γευσάμενος τὸν πρὸς Κύριον πόθον ἀΐδιον κέκτηται, ὥσπερ πῦρ τι λάβρον τὴν αὐτοῦ καρδίαν ἐκκαῖον. Ταύτην δὲ πρωτοτύπως ἐπιτελῶν, ἐπιεικείᾳ καὶ καρδίᾳ ταπεινῇ, ζωγράφει τὸν οἶκόν σου, καταφαίδρυνε τῷ τῆς δικαιοσύνης φωτί, ἔργοις ἀγαθοῖς, ὥσπερ τινὶ δοκίμῃ πλακί, τὸν σεαυτοῦ διακόσμησον οἶκον, καὶ ἀντὶ τειχέων καὶ ψηφίδος πίστει καὶ μακροθυμίᾳ καλλώπισον· ἐπὶ πᾶσι τὴν εὐχὴν ὥσπερ ὄροφον εἰς ἀπαρτισμὸν ἐπιτιθεὶς τοῦ οἴκου, ἵνα τέλειον τὸν σαυτοῦ οἶκον παρασκευάσῃ τῷ Δεσπότῃ, καὶ ὥσπερ ἐν οἴκῳ βασιλικῷ καὶ περιφανεῖ τὸν Κύριον ὑποδέξῃ, καθάπερ ἄγαλμα λοιπὸν αὐτὸν ἐν τῷ τῆς ψυχῆς ναῷ καθιδρυμένον ἔχων διὰ τῆς χάριτος αὐτοῦ, ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

8. Προβλ. Ἰω. 4, 14.
9. Ρωμ. 8, 26.

αἰώνιος[8]. Αὐτὴ μᾶς δίδει ἀληθῆ πληροφορίαν διὰ τὰ μέλλοντα, καὶ κάμνει ἰσχυροτέραν τὴν πίστιν εἰς τὴν ἐπίγνωσιν τῶν ἐκεῖ ἀγαθῶν· φανερώνει θησαυροὺς ἀποκρύφους, ἀοράτους, σκοτεινούς, σοῦ δείχνει τὸν ἀντίπαλόν σου· διασχίζει τὰς παρατάξεις τῶν ἀλλοφύλων, ἐξαφανίζει τὰς ἐναντίους δυνάμεις καὶ ὁδηγεῖ πρὸς τὸν ἴδιον τὸν βασιλέα.

Ὅταν ὁμιλῶ περὶ προσευχῆς μὴ νομίσῃς ὅτι προσευχὴ εἶναι τὰ λόγια. Ἡ προσευχὴ εἶναι πόθος πρὸς τὸν Θεόν, ἀγάπη ἀνέκφραστος, ποὺ δὲν ἐπιτελεῖται ἀπὸ τοὺς ἀνθρώπους, ἀλλὰ ὑπὸ τῆς ἐνεργείας τῆς θείας χάριτος, περὶ τῆς ὁποίας καὶ ὁ ἀπόστολος λέγει· «Πράγματι ἡμεῖς δὲν γνωρίζομεν πῶς πρέπει νὰ προσευχηθῶμεν ἀλλ' αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον μεσιτεύει θερμῶς ὑπὲρ ἡμῶν, καὶ ἐμπνέει εἰς τὰς καρδίας μας στεναγμοὺς ἱερᾶς κατανύξεως, ποὺ δὲν εἶναι δυνατὸν νὰ ἐκφρασθοῦν μὲ λόγια»[9].

Αὐτὴν τὴν προσευχὴν ἂν τὴν κάμῃ εὐάρεστον ὁ Κύριος, εἶναι ἀναφαίρετος πλοῦτος καὶ οὐράνια τροφὴ ποὺ χορταίνει τὴν ψυχήν, καὶ τὴν ὁποίαν τροφὴν ὅποιος γευθῇ ἔχει κερδίσει τὸν αἰώνιον πόθον πρὸς τὸν Κύριον ποὺ καίει τὴν καρδίαν του ὡς πῦρ ὁρμητικόν. Κάμνων λοιπὸν αὐτὴν κατὰ τρόπον ὑποδειγματικὸν στόλιζε τὸν οἶκον σου μὲ ἐπιείκειαν καί ταπεινὴν καρδίαν, καταλάμπρυνέ τον μὲ τὸ φῶς τῆς δικαιοσύνης, μὲ τὰ ἀγαθὰ ἔργα, ὡσὰν κάποιαν ἀρίστην πλάκαν, στόλισε τὸν οἶκον σου, καὶ ἀντὶ πολυτελῶν τειχῶν καὶ ψηφίδων στόλιζέ τον μὲ τὴν πίστιν καὶ τὴν μακροθυμίαν. Εἰς ὅλα τὴν προσευχὴν νὰ θέσῃς ὡς ἐπιστέγασμα ὅπως θέτεις τὸν ὄροφον διὰ νὰ τελειώσῃς τὴν οἰκίαν σου, διὰ νὰ ἑτοιμάσῃς τὸν οἶκον σου τέλειον εἰς τὸν Δεσπότην καί νὰ ὑποδεχθῇς τὸν Κύριον ὡσὰν εἰς βασιλικὸν καὶ περίοπτον οἶκον, καὶ νὰ ἔχῃς αὐτὸν εἰς τὸ ἑξῆς ὡς ἄγαλμα ἐγκατεστημένον εἰς τὸν ναὸν τῆς ψυχῆς σου διὰ τῆς χάριτος αὐτοῦ, διότι εἰς αὐτὸν ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

9

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΜΕΛΛΟΝΤΩΝ

ἀπολαύσεως, καὶ τῆς τῶν παρόντων εὐτελείας.

1. Σφοδρὸν τὸ καῦμα, καὶ βαρὺς ὁ αὐχμός· ἀλλὰ τὴν προθυμίαν ὑμῶν οὐκ ἐξέλυσεν, οὐδὲ τὸν πόθον τῆς ἀκροάσεως ἐμάρανε. Τοιοῦτον γὰρ ἀκροατὴς θερμὸς καὶ διεγηγερμένος· τῷ τῆς ἀκροάσεως ἔρωτι νευρούμενος, πάντα ῥᾳδίως ἂν ἐνέγκαι, ὥστε τὴν ἐπιθυμίαν ἐμπλῆσαι ταύτην τὴν καλὴν καὶ πνευματικήν· καὶ οὔτε κρυμός, οὔτε αὐχμός, οὐ πραγμάτων ὄχλος, οὐ φροντίδων πλῆθος, οὐκ ἄλλο τῶν τοιούτων οὐδὲν ὑποσκελίσαι δύναιτ' ἄν· ὥσπερ οὖν τὸν ὕπτιον καὶ ἀναπεπτωκότα οὐκ ἀέρων εὐκρασίαι, οὐ σχολὴ καὶ ἄδεια, οὐ ῥᾳστώνη καὶ ἄνεσις διεγείρειεν ἄν, ἀλλὰ μένει καθεύδων ὕπνον τινὰ πολλῆς κατηγορίας ἄξιον.

᾿Αλλ᾿ οὐχ ὑμεῖς τοιοῦτοι, ἀλλὰ παρὰ τῶν τὴν πόλιν οἰκούντων ἡμῖν ἀμείνους. Καὶ γὰρ τὸ κεφάλαιον τῆς πόλεως ὑμεῖς, οὕτω συντεταμένοι καὶ νήφοντες, καὶ τοῖς λεγομένοις μετὰ ἀκριβείας παρακολουθοῦντες ἀεί.

Τοῦτο ἐμοὶ τὸ θέατρον τῶν βασιλικῶν αὐλῶν σεμνότερον. ᾿Εκεῖ μὲν γὰρ τὰ διδόμενα, οἷα ἂν ᾖ, τῷ παρόντι συγκαταλύεται βίῳ, καὶ θορύβου γέμει καὶ ταραχῆς ἐμπέπλησται. ᾿Ενταῦθα δὲ τοιοῦτον οὐδέν, ἀλλὰ καὶ ἀσφάλεια πᾶσα, καὶ τιμὴ ταραχῆς ἀπηλλαγμένη, καὶ ἀρχαὶ τέλος οὐκ ἔχουσαι, οὐδὲ αὐτῷ τῷ θανάτῳ διακοπτόμεναι, ἀλλὰ τότε ἀσφαλέστεραι γινομέναι. Μὴ γάρ μοι τὸν ἐπ᾿ ὀχήματος εἴπῃς καθήμενον, καὶ τὰς ὀφρῦς ἀνασπῶντα, καὶ πολλοὺς ἔχοντα δορυφόρους, μήτε τὴν ζώνην καὶ τὴν τοῦ κήρυκος φωνήν·

9
ΠΕΡΙ ΤΗΣ ΑΠΟΛΑΥΣΕΩΣ ΤΩΝ ΜΕΛΛΟΝΤΩΝ
ἀγαθῶν καὶ τῆς μικρᾶς ἀξίας τῶν παρόντων.

1. Εἶναι ὑπερβολικὸς ὁ καύσων καὶ ἀνυπόφορος ἡ ξηρασία· ἀλλὰ δὲν ἐξησθένησε τὴν προθυμίαν σας καὶ οὔτε ἐμάρανε τὴν ἐπιθυμίαν τῆς ἀκροάσεως. Ἔτσι εἶναι ὁ ἀκροατὴς ὁ θερμὸς καὶ ἐνθουσιώδης· ἐνδυναμοῦται διὰ τῆς ἐπιθυμίας τῆς ἀκροάσεως καὶ ἠμπορεῖ νὰ ὑποφέρῃ τὰ πάντα μὲ εὐκολίαν, διὰ νὰ ἱκανοποιήσῃ τὴν ἐπιθυμίαν αὐτὴν τὴν καλὴν καὶ πνευματικήν· καὶ οὔτε τὸ ψῦχος, οὔτε ἡ ξηρασία, οὔτε τὰ πολλὰ ζητήματα, οὔτε τὸ πλῆθος τῶν φροντίδων, οὔτε τίποτε ἄλλο τέτοιο ἠμπορεῖ νὰ τὸν καταβάλῃ· ὅπως τὸν ἀδρανῆ καὶ ράθυμον, οὔτε οἱ εὐχάριστοι καιροί, οὔτε ἡ ἀπραξία καὶ ἡ ἀσφάλεια, οὔτε ἡ ἀνάπαυσις καὶ ἡ ἄνεσις ἠμποροῦν νὰ διεγείρουν, ἀλλὰ παραμένει κοιμώμενος ὕπνον ἄξιον πολλῆς κατηγορίας.

Σεῖς ὅμως δὲν εἶσθε τέτοιοι, ἀλλὰ καλύτεροι ἀπὸ αὐτοὺς ποὺ κατοικοῦν εἰς τὴν πόλιν. Διότι σεῖς εἶσθε τὸ ἐκλεκτὸν μέρος τῆς πόλεως, καὶ μὲ προθυμίαν καὶ σωφροσύνην παρακολουθεῖτε πάντοτε τὰ λεγόμενα.

Αὐτὸ ἐδῶ τὸ θέαμα εἰς ἐμὲ εἶναι λαμπρότερον ἀπὸ τὰς βασιλικὰς αὐλάς. Διότι ἐκεῖ τὰ διδόμενα, ὅποια καὶ ἂν εἶναι, συνεξαφανίζονται μὲ τὴν παροῦσαν ζωήν, καὶ εἶναι γεμᾶτα ἀπὸ θόρυβον καὶ ταραχήν. Ἐδῶ ὅμως δὲν συμβαίνει τίποτε τέτοιο, ἀλλὰ ὑπάρχει κάθε ἀσφάλεια καὶ τιμὴ ἀπαλλαγμένη ἀπὸ ταραχήν, καὶ ἐξουσίαι ποὺ δὲν ἔχουν τέλος καὶ ποὺ δὲν διακόπτονται οὔτε ἀπὸ αὐτὸν τὸν θάνατον, μᾶλλον δὲ ποὺ γίνονται τότε περισσότερον ἀσφαλεῖς. Διότι μὴ μοῦ ἀναφέρῃς τὸν ἐπηρμένον, αὐτὸν ποὺ κάθεται ἐπάνω εἰς τὴν ἅμαξαν καὶ ἔχει πολλοὺς σωματοφύλακας, οὔτε τὴν ζώνην καὶ τὴν φωνὴν τοῦ κήρυκος· νὰ μὴ χαρακτη-

μὴ ἐντεῦθέν μοι τὸν ἄρχοντα χαρακτηρίσῃς, ἀλλ' ἀπὸ τῆς καταστάσεως τῆς κατὰ ψυχήν, εἰ τῶν ἑαυτοῦ παθῶν ἄρχει, εἰ τῶν νοσημάτων περιγίνεται· οἷον, εἰ χρημάτων ἐπιθυμίας κρατεῖ, εἰ σωμάτων ἀκόρεστον ἔρωτα ὑπέταξεν, εἰ μὴ τήκεται φθόνῳ, εἰ μὴ σύρεται τῷ χαλεπῷ τῆς κενοδοξίας πάθει, εἰ μὴ δέδοικε καὶ τρέμει πενίαν, εἰ μὴ τὴν ἐπὶ τὸ σκυθρωπότερον μεταβολήν, εἰ μὴ ἀποτέθνηκε τῷ δέει τούτῳ. Τοιοῦτόν μοι δεῖξον τὸν ἄρχοντα· τοῦτο γὰρ ἀρχή. Εἰ δὲ κρατεῖ μὲν ἀνθρώπων, δουλεύει δὲ πάθεσι, πάντων ἀνθρώπων δουλικώτερον τὸν τοιοῦτον εἴποιμι ἂν ἔγωγε. Καὶ καθάπερ τὸν ἐν τῷ βάθει τὸν πυρετὸν ἔχοντα κατακλειόμενον, κἂν μηδὲν τοιοῦτον ἡ ἐπιφάνεια τοῦ σώματος ἐνδείκνυται, πάντως μάλιστα φαῖεν ἂν πυρέττειν οἱ τῶν ἰατρῶν παῖδες, κἂν οἱ ἰδιῶται ἀγνοῶσιν.

Οὕτω δὴ κἀγὼ τὸν ψυχὴν ἔχοντα δούλην, καὶ τῶν παθῶν αἰχμάλωτον, κἂν μή τι τοιοῦτον ἡ ἔξωθεν ἐπιδείκνυται ὄψις, ἀλλὰ τοὐναντίον, ἁπάντων δουλικώτερον φαίην ἂν τὸν ἐν τῷ βάθει τὸν πυρετὸν τῶν κακῶν ἔχοντα, καὶ τὴν τυραννίδα τῶν παθῶν ἐν αὐτῇ ἱδρυμένην τῇ ψυχῇ· ἄρχοντα δὲ καὶ ἐλεύθερον, καὶ βασιλέων βασιλικώτερον, κἂν ῥάκια περιβεβλημένος ᾖ, κἂν δεσμωτήριον οἰκῇ, κἂν ἅλυσιν περικέηται, τὸν ταύτην ἀποδυσάμενον τὴν τυραννίδα, καὶ οὔτε ταῖς πονηραῖς ἐπιθυμίαις κατεχόμενον, οὔτε ἄλογον δέος πενίας καὶ ἀτιμίας, αὐτῶν τῶν δοκούντων εἶναι λυπηρῶν ἐν τῷ παρόντι βίῳ, δεδοικότα καὶ τρέμοντα.

2. Αὗται αἱ ἀρχαὶ οὐκ εἰσι χρημάτων ὠνηταί, οὐδὲ τοὺς φθονοῦντας ἔχουσι· ταύτην οὐκ οἶδε κατηγόρου γλῶττα, οὔτε βασκάνων ὀφθαλμός, οὐδὲ ἐπιβούλων μηχανήματα, ἀλλ'

ρίσῃς ἀπὸ αὐτὰ τὸν ἄρχοντα, ἀλλὰ ἀπὸ τὴν ψυχικήν του κατάστασιν, ἐὰν κυριεύῃ τὰ πάθη του, ἐὰν νικᾷ τὴν ἁμαρτίαν· ἂν δηλαδὴ ἐξουσιάζῃ τὸν πόθον τῶν χρημάτων, ἂν ὑπέταξε τὸν ἀχόρταστον ἔρωτα τῶν σωμάτων, ἂν δὲν λειώνῃ ἀπὸ φθόνον, ἂν δὲν παρασύρεται εἰς τὸ φοβερὸν πάθος τῆς ματαιοδοξίας, ἂν δὲν φοβῆται καὶ τρέμῃ τὴν πτωχείαν καὶ τὴν ἐπὶ τὸ χειρότερον μεταβολὴν καὶ ἂν δὲν ἔχῃ ἀποθάνῃ ἀπὸ τὸν φόβον ποὺ προέρχεται ἀπὸ αὐτό. Τέτοιον νὰ μοῦ δείξῃς τὸν ἄρχοντα, διότι αὐτὸ σημαίνει ἐξουσία. Ἐὰν μὲν ἄρχῃ τῶν ἀνθρώπων, εἶναι δὲ δοῦλος τῶν παθῶν, αὐτοῦ τοῦ εἴδους τὸν ἄρχοντα θὰ τὸν ὀνομάσω δουλικώτερον ἀπὸ ὅλους τοὺς ἀνθρώπους· ὅπως ἀκριβῶς καὶ δι' ἐκεῖνον ποὺ ἔχει κρυφὸν ἐντός του πυρετόν, ἂν καὶ τίποτε τέτοιο δὲν φανερώνει ἡ ἐξωτερικὴ ἐμφάνισις τοῦ σώματός του, θὰ ἠμποροῦσαν μετὰ βεβαιότητος οἱ ἰατροὶ νὰ εἰποῦν ὅτι ἔχει ὑψηλὸν πυρετόν, καὶ ἂν ἀκόμη τὸ ἀγνοοῦν αὐτὸ οἱ ἀδαεῖς.

Ἔτσι λοιπὸν καὶ ἐγὼ αὐτὸν ποὺ ἔχει ὑποδουλωμένην τὴν ψυχήν του, καὶ αἰχμάλωτον εἰς τὰ πάθη, καὶ ἂν ἀκόμη δὲν φανερώνῃ κάτι τέτοιο ἡ ἐξωτερική του ἐμφάνισις, ἀλλὰ τὸ ἀντίθετον, ἠμπορῶ νὰ ἰσχυρισθῶ ὅτι εἶναι δουλικώτερος ὅλων αὐτὸς ποὺ ἔχει εἰς τὸ βάθος τῆς ψυχῆς του τὸν πυρετὸν τῶν κακῶν, καὶ ἔχει ἱδρυμένην εἰς τὴν ψυχήν του τὴν τυραννικὴν ἐξουσίαν τῶν παθῶν· θὰ ὠνόμαζα δὲ ἄρχοντα καὶ ἐλεύθερον καὶ βασιλικώτερον τῶν βασιλέων, καὶ ἂν ἀκόμη εἶναι ἐνδεδυμένος μὲ κουρέλια, καὶ ἂν κατοικῇ εἰς φυλακήν, καὶ ἂν εἶναι δεμένος μὲ ἁλυσίδα, αὐτὸν ποὺ ἀπέβαλε τὴν τυραννίαν τῶν παθῶν, καὶ δὲν εἶναι κυριευμένος ἀπὸ πονηρὰς ἐπιθυμίας, καὶ οὔτε φοβᾶται καὶ τρέμει ἀπὸ παράλογον φόβον πτωχείας καὶ ἀτιμίας, ποὺ θεωροῦνται ὅτι εἶναι λυπηρὰ εἰς τὴν παροῦσαν ζωήν.

2. Τὰ ἀξιώματα αὐτὰ δὲν ἀγοράζονται μὲ χρήματα, καὶ οὔτε ἔχουν κανένα ποὺ τὰ φθονεῖ· ἡ δύναμις αὐτὴ δὲν ἐπηρεάζεται ἀπὸ γλῶσσαν κατηγόρου, οὔτε ἀπὸ μάτια φθονερῶν ἀνθρώπων, οὔτε ἀπὸ ἐπινοήματα κακοβούλων, ἀλλὰ

ὥσπερ ἐν ἀσύλῳ χωρίῳ τινὶ τῷ τῆς φιλοσοφίας ἐνδιαιτωμένη, μένει διηνεκῶς ἀχείρωτος, οὐ μόνον ταῖς ἄλλαις τῶν πραγμάτων περιστάσεσιν, ἀλλ' οὐδὲ αὐτῇ εἴκουσα τῇ τελευτῇ.

Καὶ δεικνύουσι ταῦτα οἱ μάρτυρες, ὧν τὰ σώματα μὲν διελύθη καὶ κόνις γέγονε καὶ τέφρα, ἡ δὲ ἀρχὴ καθ' ἑκάστην ζῇ τὴν ἡμέραν καὶ ἐνεργεῖ, δαίμονας ἀπελαύνουσα, καὶ νοσήματα δραπετεύειν παρασκευάζουσα, καὶ πόλεις ὁλοκλήρους ἀναπτεροῦσα, καὶ δήμους ἐνταῦθα ἄγουσα. Τοσαύτη τῆς ἀρχῆς ταύτης ἡ δύναμις, οὐχὶ ζώντων τῶν ἀρχόντων μόνον, ἀλλὰ καὶ τελευτησάντων, ὡς ἀνάγκῃ μὲν μηδένα, γνώμῃ δὲ καὶ πόθῳ πάντας ἐνταῦθα ἐλθεῖν, καὶ μηδενὶ μαραίνεσθαι χρόνῳ.

Ὁρᾶτε ὡς οὐ μάτην τουτὶ τὸ θέατρον σεμνότερον ἔφην εἶναι τῶν βασιλικῶν αὐλῶν; Τὰ μὲν γὰρ ἐκεῖ φύλλοις ἔοικε μαραινομένοις, καὶ σκιαῖς παρατρεχούσαις· τὰ δὲ ἐνταῦθα διδόμενα τὸν ἀδάμαντα μιμεῖται, μᾶλλον δὲ κἀκείνου στερρότερα, ἅτε ἀθάνατα ὄντα καὶ ἀκίνητα καὶ οὐδεμιᾷ εἴκοντά ποτε μεταβολῇ, καὶ τοῖς ἐρῶσιν αὐτῶν ἀδεῶς ἐπιόντα, μάχης ἀπηλλαγμένα καὶ φιλονεικίας, καὶ φθόνου καὶ δικαστηρίων, καὶ ἐπιβούλων καὶ συκοφαντίας.

Τὰ μὲν γὰρ βιωτικὰ πολλοὺς ἔχει τοὺς φθονοῦντας· τὰ δὲ πνευματικά, ὅσον ἂν εἰς πλείονας ἔλθῃ, τοσοῦτον μᾶλλον τὴν εὐπορίαν ἐνδείκνυται τὴν ἑαυτῶν. Καὶ τοῦτο ἔξεστιν ὑμῖν ἐκ τοῦ λόγου τούτου μαθεῖν. Τὸν γὰρ λόγον, ὃν εἰς πάντας ἐκχέω, ἂν μὲν οἴκοι κατάσχω παρ' ἐμαυτῷ, ἀπορώτερος γίνομαι· ἂν δὲ εἰς πάντας ἐκχέω, ὥσπερ εἰς ἄρουραν καθαρὰν βάλλων τὰ σπέρματα, ἐπιτείνω μου τὴν εὐπορίαν, πλείονα ποιῶ τὸν πλοῦτον, ἅπαντας ὑμᾶς εὐπορωτέρους ἐργαζόμενος, αὐτὸς δὲ οὐδὲν ἐν ταύτῃ πενέστερος γινόμενος,

μένει συνεχῶς ἀκυρίευτος, ὡσὰν νὰ κατοικῇ εἰς κάποιον ἀπάτητον τόπον τῆς φιλοσοφίας, καὶ δὲν ὑποχωρεῖ ὄχι μόνον εἰς τὰς ἄλλας δυσχερεῖς περιστάσεις, ἀλλ' οὔτε καὶ ἐμπρὸς εἰς αὐτὸν τὸν θάνατον.

Καὶ αὐτὰ τὰ ἀποδεικνύουν οἱ μάρτυρες, τῶν ὁποίων τὰ μὲν σώματα διελύθησαν καὶ ἔγιναν σκόνη καὶ στάχτη, ἡ δὲ δύναμίς των καθημερινῶς ζῇ καὶ ἐνεργεῖ, ἐκδιώκουσα δαιμόνια, ἀπομακρύνουσα τὰς ἀσθενείας, ἐμψυχώνουσα πόλεις ὁλοκλήρους καί συναθροίζουσα ἐδῶ πλῆθος. Τόση εἶναι ἡ δύναμις τῆς ἐξουσίας αὐτῆς, ὄχι μόνον ὅταν ζοῦν οἱ ἄρχοντες, ἀλλὰ καὶ ὅταν ἀποθάνουν, ὥστε διὰ τῆς βίας μὲν κανεὶς δὲν ἔρχεται εἰς αὐτήν, διὰ τῆς ἰδικῆς των δὲ προαιρέσεως καὶ ἐπιθυμίας ἔρχονται ὅλοι πρὸς αὐτήν, καὶ οὔτε χάνει τὴν δύναμίν της ἀπὸ τὸν χρόνον.

Βλέπετε, λοιπόν, ὅτι δὲν τὸ εἶπα χωρὶς λόγον ὅτι τὸ θέαμα τοῦτο εἶναι λαμπρότερον ἀπὸ τὰς βασιλικὰς αὐλάς; Διότι ὅσα συμβαίνουν ἐκεῖ ὁμοιάζουν μὲ φύλλα ποὺ μαραίνονται καὶ μὲ σκιὰς ποὺ περνοῦν καὶ χάνονται· αὐτὰ δὲ ποὺ δίδονται ἐδῶ ὁμοιάζουν μὲ διαμάντι, μᾶλλον δὲ εἶναι στερεότερα καὶ ἀπὸ ἐκεῖνο, καθόσον εἶναι ἀθάνατα καὶ ἀκλόνητα καὶ δὲν ὑποχωροῦν ποτὲ εἰς οὐδεμίαν μεταβολήν, καὶ ἔρχονται ἀφόβως εἰς αὐτοὺς ποὺ τὰ ἀγαποῦν πολύ, καὶ εἶναι ἀπαλλαγμένα ἀπὸ διαμάχην καὶ φιλονεικίαν, ἀπὸ φθόνον καὶ δικαστήρια καὶ ἀπὸ κακοβούλους καὶ συκοφαντίας.

Διότι τὰ μὲν κοσμικὰ ἔχουν πολλοὺς ποὺ τὰ φθονοῦν, τὰ δὲ πνευματικὰ εἰς ὅσους πιὸ πολλοὺς ἔλθουν, τόσον περισσότερον φανερώνουν τὴν ἰδικήν των ἀφθονίαν. Καὶ αὐτὸ ἠμπορεῖτε νὰ τὸ μάθετε σεῖς ἀπὸ τὸν λόγον τοῦτον. Διότι τὰ λόγια τὰ ὁποῖα μεταδίδω εἰς ὅλους, ἐὰν τὰ κρατήσω εἰς τὴν οἰκίαν πλησίον μου, γίνομαι πτωχότερος· ἂν ὅμως τὰ μεταδώσω εἰς ὅλους, ὅπως ἀκριβῶς ὡσὰν νὰ σπέρνω εἰς εὔφορον ἀγρόν, ἐπαυξάνω τὴν ἀφθονίαν τῶν ἀγαθῶν, κάμνω περισσότερον τὸν πλοῦτον μου καὶ ἐσᾶς καθιστῶ πλουσιωτέρους, χωρὶς ὁ ἴδιος νὰ γίνω πτωχότερος, ἐξ αἰτίας τῆς

ἀλλὰ καὶ πλουσιώτερος μειζόνως· ὅπερ ἐπὶ χρημάτων οὐκ ἔνι, ἀλλὰ τοὐναντίον ἅπαν. Εἰ γὰρ ἔχων χρυσίον ἀποκείμενον, εἰς πάντας αὐτὸ διανεῖμαι ἑλοίμην, οὐκέτι ἂν δυναίμην ἔχειν τὴν προτέραν εὐπορίαν, τῇ διαιρέσει ταύτης ἐλαττουμένης.

3. Ἐπεὶ οὖν τοσαῦτα τῶν πνευματικῶν τὰ ἐξαίρετα, καὶ πολλὴν ἔχει τὴν εὐκολίαν, ἅτε πᾶσι τοῖς βουλομένοις δωρεὰν παραγινόμενα, τούτων μᾶλλον ἐρῶμεν, τὰς σκιὰς ἀφέντες, καὶ μὴ τοὺς κρημνοὺς καὶ τοὺς σκοπέλους διώκοντες. Καὶ γὰρ ἵνα τοῦτον τὸν ἔρωτα ὁ Θεὸς ἐπιτείνῃ, καὶ πρὸ τῆς τελευτῆς τοῦ κεκτημένου ταῦτα ἀνθρώπου θάνατον αὐτοῖς συνεκλήρωσεν. Οἷόν τι λέγω· οὐχ ὅταν ὁ κεκτημένος ταῦτα τελευτήσῃ, τότε καὶ αὐτὰ τελευτᾷ, ἀλλὰ καὶ ζῶντος ἔτι μαραίνεται ταῦτα καὶ ἀποθνήσκει, ἵνα τὸ ἐπίκηρον αὐτῶν καὶ τοὺς σφόδρα αὐτῶν ἐρῶντας καὶ περὶ αὐτὰ μεμηνότας τῆς χαλεπῆς ταύτης ἀπαγάγῃ λύττης, παιδεύοντα αὐτῶν τὴν φύσιν, καὶ διδάσκοντα διὰ τῆς πείρας, ὅτι σκιᾶς ἐστιν ἀδρανέστερα, καὶ ταύτῃ τὸν ἔρωτα καταλύοντα.

Οἷον ὡς ἐπὶ παραδείγματος· ὁ πλοῦτος οὐχὶ τοῦ πλουτοῦντος μόνον τελευτῶντος καταλύεται, ἀλλὰ καὶ ζῶντος μᾶλλον ἀπέστη. Ἡ νεότης τὸν ἔχοντα οὐχὶ τελευτήσαντα μόνον, ἀλλὰ καὶ ἐμπνέοντα ἔτι ἀπολιποῦσα οἴχεται, ἐν τῇ τῆς ἡλικίας ὁδῷ καταλύουσα, καὶ τῷ γήρᾳ παραχωροῦσα. Τὸ κάλλος ὁμοῦ καὶ ἡ εὐμορφία, ἔτι ζώσης τῆς γυναικός, ἐτελεύτησε, καὶ πρὸς ἀμορφίαν μετέστη· αἱ δόξαι, αἱ δυναστεῖαι πάλιν ὁμοίως· αἱ τιμαί, αἱ ἀρχαί, ἐφήμεροι καὶ πρόσκαιροι, καὶ τῶν ἐχόντων αὐτὰ ἀνθρώπων θνητότεραι· καὶ ὥσπερ σωμάτων θανάτους ἐστὶ καθημερινοὺς ὁρᾶν, οὕτω καὶ πραγμάτων. Τοῦτο δὲ γέγονεν, ἵνα τῶν παρόντων ὑπερορῶντες, τῶν μελλόντων

ἰδικῆς σας εὐπορίας, ἀλλὰ μᾶλλον περισσότερον πλούσιος, διότι δὲν συμβαίνει τὸ ἴδιον ὅπως μὲ τὰ χρήματα, ἀλλὰ ἀκριβῶς τὸ ἀντίθετον. Διότι ἐὰν εἶχα ἀποταμιευμένα χρήματα, καὶ ἤθελα νὰ τὰ διανείμω εἰς ὅλους, δὲν θὰ ἠμποροῦσα νὰ ἔχω τὴν προηγουμένην ἀφθονίαν μετὰ τὴν διανομήν, διότι θὰ ἐλαττωθοῦν ἐξ αἰτίας τῆς διανομῆς.

3. Ἐπειδὴ λοιπὸν εἶναι τόσον ὑπέροχα τὰ πνευματικὰ ἀγαθά, καὶ εἶναι πολὺ εὔκολος ἡ ἀπόκτησίς των, καθόσον εἰς ὅλους ποὺ θέλουν δίδονται δωρεάν, περισσότερον αὐτὰ νὰ ἀγαπῶμεν, καὶ νὰ ἀφήνωμεν τὰς σκιὰς καὶ νὰ μὴ ἐπιδιώκωμεν τοὺς σκοπέλους καὶ τοὺς κρημνούς. Καὶ διὰ νὰ ἐνισχύσῃ αὐτὴν τὴν ἀγάπην ὁ Θεός, πρὶν ἀκόμη ἀποθάνῃ ὁ ἄνθρωπος ποὺ τὰ κατέχει ἐπισυνῆψεν εἰς αὐτὰ τὸν θάνατον. Τοῦτο θέλω νὰ εἰπῶ· δὲν ἐξαφανίζονται αὐτὰ μόνον ὅταν ἀποθάνῃ αὐτὸς ποὺ τὰ κατέχει, ἀλλὰ καὶ ἐνῷ ἀκόμη ζῇ μαραίνονται καὶ ἀφανίζονται, διὰ νὰ δηλώσουν τὴν προσωρινότητά των, καὶ αὐτοὺς ποὺ τὰ ἀγαποῦν πολὺ καὶ ἐμμένουν εἰς αὐτά, νὰ τοὺς ἀπομακρύνουν ἀπὸ τὴν φοβερὰν αὐτὴν μανίαν, μὲ τὸ νὰ φανερώνουν τὴν φύσιν αὐτῶν καί νὰ διδάσκουν διὰ τῆς πείρας ὅτι εἶναι πιὸ ἀσθενέστερα ἀπὸ σκιάς, καὶ ἔτσι νὰ ἐξαφανίσουν τὴν ἀγάπην πρὸς αὐτά.

Καὶ διὰ νὰ ὁμιλήσω διὰ παραδείγματος· ὁ πλοῦτος δὲν ἐγκαταλείπει τὸν πλούσιον ὅταν ἀποθάνῃ μόνον αὐτός, ἀλλὰ καὶ ὅταν ἀκόμα ζῇ χάνεται πολλὲς φορές. Ἡ νεότης δὲν ἐγκαταλείπει τὸν νέον μόνον ὅταν αὐτὸς ἀποθάνῃ, ἀλλὰ καὶ ὅταν εὑρίσκεται εἰς τὴν ζωὴν τὸν ἐγκαταλείπει καταστρεφομένη μὲ τὴν πάροδον τῆς ἡλικίας καὶ παραχωροῦσα τὴν θέσιν της εἰς τὸ γῆρας. Τὸ κάλλος καὶ ἡ εὐμορφία, καὶ ὅταν ἀκόμη ζῇ ἡ γυναίκα, χάνονται καὶ μεταβάλλονται εἰς ἀσχημίαν· αἱ δόξαι καὶ αἱ δυναστεῖαι πάλιν ὁμοίως· αἱ τιμαὶ καὶ αἱ ἐξουσίαι εἶναι ἐφήμεροι καὶ πρόσκαιροι καὶ πιὸ φθαρταὶ ἀπὸ τοὺς ἀνθρώπους ποὺ τὰς ἔχουν, καὶ ὅπως βλέπομεν νὰ ὑπάρχουν καθημερινὰ θάνατοι τῶν σωμάτων, ἔτσι ὑπάρχουν καὶ θάνατοι τῶν πραγμάτων. Τοῦτο δὲ συμβαίνει διὰ νὰ παραβλέπωμεν τὰ παρόντα καὶ νὰ

ἐχώμεθα, καὶ τῆς ἐκείνων ἐκκρεμώμεθα ἀπολαύσεως, καὶ ἐν τῇ γῇ βαδίζοντες, τῷ πόθῳ ἐν οὐρανοῖς διατρίβωμεν. Καὶ γὰρ δύο τούτους αἰῶνας ἐποίησεν ὁ Θεός, τὸν μὲν παρόντα, τὸν δὲ μέλλοντα· τὸν μὲν ὁρατόν, τὸν δὲ ἀόρατον· τὸν μὲν αἰσθητόν, τὸν δὲ νοητόν· τὸν μὲν σωματικὴν ἔχοντα ἀνάπαυσιν, τὸν δὲ ἀσώματον· τὸν μὲν ἐν πείρᾳ, τὸν δὲ ἐν πίστει· τὸν μὲν ἐν χερσί, τὸν δὲ ἐν ἐλπίσι· καὶ τὸν μὲν εἶναι στάδιον ἐκέλευσε, τὸν δὲ βραβεῖον· καὶ τούτῳ μὲν σκάμματα καὶ πόνους καὶ ἱδρῶτας συνεκλήρωσεν, ἐκείνῳ δὲ στεφάνους καὶ ἔπαθλα καὶ ἀμοιβάς· τὸν μὲν πέλαγος, τὸν δὲ λιμένα κατεσκεύασε· καὶ τὸν μὲν βραχύν, τὸν δὲ ἀγήρω καὶ ἀθάνατον.

Ἐπεὶ οὖν πολλοὶ τῶν ἀνθρώπων τῶν νοητῶν ἐκείνων τὰ αἰσθητὰ προετίμων, συνεκλήρωσε τούτοις τὸ ἐπίκηρον καὶ τὸ πρόσκαιρον, ἵνα ταύτῃ τῶν παρόντων ἀπαγαγών, τῷ ἔρωτι τῶν μελλόντων μετὰ πολλῆς αὐτοὺς προσδήσῃ τῆς ἀκριβείας Εἶτα ἐπειδὴ ἀόρατα ἦν ἐκεῖνα καὶ νοερά, καὶ ἐν πίστει καὶ ἐν ἐλπίσιν, ὅρα τί ποιεῖ. Παραγενόμενος ἐνταῦθα, καὶ τὴν σάρκα λαβὼν τὴν ἡμετέραν, καὶ τὴν θαυμαστὴν ἐκείνην οἰκονομίαν ἐργασάμενος, ὑπ' ὄψιν ἄγει τὰ μέλλοντα, τὰς παχυτέρας καὶ ταύτῃ πληροφορῶν διανοίας. Ἐπειδὴ γὰρ ἦλθε κομίζων πολιτείαν ἀγγελικήν, καὶ τὴν γῆν οὐρανὸν ἐργαζόμενος, καὶ ταῦτα ἐπιτάττων, ἃ τοῖς ἀσωμάτοις ἐξωμοίουν δυνάμεσι τοὺς μετιόντας, καὶ τοὺς ἀνθρώπους ἀγγέλους ἐποίησε, καὶ πρὸς τὰς ἐλπίδας ἐκάλει τὰς ἄνω, καὶ μακρὰ σκάμματα διέτεινε, καὶ ὑψηλότερα ἵπτασθαι ἐκέλευσε, καὶ πρὸς αὐτὰς ἀναβαίνειν τῶν οὐρανῶν τὰς ἁψῖδας, καὶ πρὸς δαίμονας ἀποδύεσθαι, καὶ πρὸς ἅπασαν τοῦ διαβόλου τὴν φάλαγγα παρατάττεσθαι, σῶμα ἔχοντας, σαρκὶ συμπεπλεγμέ-

ἀφοσιωνώμεθα εἰς τὰ μέλλοντα, καὶ νὰ εἴμεθα ἐξηρτημένοι ἀπὸ τὴν ἀπόλαυσιν ἐκείνων, καὶ ἐνῷ εὑρισκόμεθα εἰς τὴν γῆν νὰ εὑρισκώμεθα μὲ τὸν πόθον εἰς τοὺς οὐρανούς. Διότι δύο κόσμους ἔκαμε ὁ Θεός, τὸν μὲν ἕνα παρόντα, τὸν δὲ ἄλλον μέλλοντα· τὸν μὲν ὁρατόν, τὸν δὲ ἀόρατον· τὸν μὲν ἀντιληπτὸν διὰ τῶν αἰσθήσεων, τὸν δὲ διὰ τοῦ νοῦ· τὸν μὲν ἔχοντα ἀνάπαυσιν σωματικήν, τὸν δὲ πνευματικήν· τὸν μὲν ἀντιλαμβανόμεθα διὰ τῆς ἐμπειρίας, τὸν δὲ διὰ τῆς πίστεως· τὸν μὲν ἕνα τὸν ἔχομεν βέβαιον, τὸν δὲ ἄλλον τὸν ἐλπίζομεν· καὶ τὸν μὲν ἕνα καθώρισε νὰ εἶναι τόπος ἀγώνων, τὸν δὲ ἄλλον βραβεῖον· καὶ εἰς αὐτὸν μὲν ἐπισυνῆψεν ἀγῶνας καὶ πόνους καὶ ἱδρῶτας, εἰς ἐκεῖνον δὲ στεφάνους καὶ βραβεῖα καὶ ἀμοιβάς· καὶ τὸν μὲν ἔκαμε πέλαγος, τὸν δὲ λιμένα· τὸν μὲν σύντομον, τὸν δὲ ἀτελεύτητον καὶ ἀθάνατον.

Ἐπειδὴ λοιπὸν πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους προτιμοῦσαν ἀπὸ τὰ νοητὰ ἐκεῖνα τὰ αἰσθητά, ἐπισυνῆψεν εἰς αὐτὰ τὸ φθαρτὸν καὶ τὸ πρόσκαιρον διὰ νὰ τοὺς ἀπομακρύνῃ ἀπὸ τὰ παρόντα καὶ νὰ τοὺς προσηλώσῃ ὁλοψύχως εἰς τὴν ἀγάπην τῶν μελλόντων. Ἔπειτα ἐπειδὴ ἦσαν ἐκεῖνα ἀόρατα καί νοερὰ καὶ πραγματούμενα διὰ τῆς πίστεως καὶ τῆς ἐλπίδος, βλέπε τί πράττει. Ἀφοῦ ἦλθεν ἐπὶ τῆς γῆς καὶ ἔλαβεν ἀνθρώπινον σῶμα καὶ ἐπραγματοποίησε τὸ θαυμαστὸν σχέδιον τοῦ Θεοῦ, μᾶς γνωστοποιεῖ, πληροφορῶν καὶ τὰς πλέον παχυλοτέρας διανοίας, δι' αὐτοῦ. Διότι ἀφοῦ ἦλθεν, ἔφερε ἀγγελικὴν πολιτείαν καὶ μετέβαλε τὴν γῆν εἰς οὐρανόν, καὶ διέτασσεν αὐτὰ πού, ὅσοι ἦσαν πρόθυμοι νὰ τὰ πράξουν, τοὺς ἐξωμοίωναν μὲ ἀσωμάτους δυνάμεις, καὶ ἔκαμε τοὺς ἀνθρώπους ἀγγέλους, καὶ προσεκάλει πρὸς τὴν δόξαν τῶν μελλόντων, καὶ ὥριζε μικροὺς ἀγῶνας, καὶ προέτρεψε νὰ πετοῦν ὑψηλότερα καὶ νὰ ἀνεβαίνουν πρὸς αὐτὰς τὰς ἀψῖδας τῶν οὐρανῶν καὶ νὰ ἀγωνίζωνται ἐναντίον τῶν δαιμόνων καὶ νὰ ἀντιμετωπίζουν ὁλόκληρον τὴν φάλαγγα τοῦ διαβόλου, καὶ ἐνῷ ἔχουν σῶμα καὶ εἶναι συνδεδεμένοι μὲ σάρκα, νὰ νεκρώνουν τὰ σώματα καὶ νὰ διώ-

νους, καὶ τὰ σώματα νεκροῦν, καὶ τῶν παθῶν ἐξορίζειν τὸν θόρυβον, καὶ τὴν σάρκα ἁπλῶς περικεῖσθαι, τὴν ἅμιλλαν δὲ πρὸς τὰς ἀσωμάτους δυνάμεις τείνασθαι.

4. Ἐπειδὴ ταῦτα ἐπέταξεν, ὅρα τί ποιεῖ, πῶς εὔκολον τὸν ἄγωνα ἐργάζεται. Μᾶλλον δέ, εἰ δοκεῖ, πρότερον εἴπωμεν τῶν ἐπιταγμάτων τὸ μέγεθος, καὶ πῶς ὑψηλὸν τὸ πτερὸν κατεσκεύαζε, καὶ τῆς ἀνθρωπίνης σχεδὸν ἐξοικίζων φύσεως, πρὸς οὐρανὸν μεθωρμίσθαι πάντας ἐκέλευσε. Τοῦ γὰρ νόμου κελεύοντος ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, αὐτός φησιν· «Ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην». Οὐκ εἶπε, φέρε γενναίως μόνον καὶ πρᾴως τὴν παροινίαν, ἀλλὰ καὶ πρόϊθι περαιτέρω τὴν φιλοσοφίαν, καὶ μείζονα παρασκευάζου πάσχειν, ἢ ἐκεῖνος ποιῆσαι ἐπιθυμεῖ· τῇ δαψιλείᾳ τῆς φιλοσοφίας νίκησον αὐτοῦ τὸ προπετὲς τῆς παροινίας, ἵνα αἰδεσθείς σου τὴν ὑπερβάλλουσαν ἐπιείκειαν, ἀναχωρήσῃ. Καὶ πάλιν φησίν· «Εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς· εὔχεσθε ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν· καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς». Τὴν περὶ τῆς παρθενίας πάλιν εἰσήγαγε συμβουλὴν λέγων· «Ὁ δυνάμενος χωρεῖν, χωρείτω». Ἐπειδὴ γὰρ ἐκ παραδείσου τὸ πρᾶγμα ἀπέπτη, καὶ μετὰ τὴν παρακοὴν ἀνεχώρησε κατιὼν ἐκ τοῦ οὐρανοῦ, πάλιν αὐτὴν ἐπανήγαγε, καθάπερ φυγάδα πρὸς τὴν ἀρχαίαν ἐπαναγαγὼν πατρίδα, καὶ τῆς μακρᾶς ἐξορίας ἀπαλλάττων. Καὶ ἐλθὼν πρῶτον ἐκ παρθένου ἐτίκτετο, καὶ τοὺς τῆς φύσεως ἐκίνει νόμους, ἐκ προοιμίων τιμῶν αὐτήν, καὶ μητέρα τὴν παρθένον ἀποφαίνων.

Ἐπειδὴ τοίνυν παραγενόμενος τοιαῦτα ἐπέταττε, καὶ ὑψηλὴν τὴν πολιτείαν εἰργάζετο, ἄξια καὶ τὰ ἔπαθλα τῶν πόνων ἐδίδου, μᾶλλον δὲ πολλῷ μείζονα καὶ ὑψηλότερα. Ἀλλ' ἦν καὶ ταῦτα ἀόρατα, καὶ ἐν ἐλπίσι καὶ ἐν πίστει καὶ ἐν προσδοκίᾳ τῇ τῶν μελλόντων. Ἐπεὶ οὖν τὰ μὲν ἐπιτάγματα ἐπί-

1. Ματθ. 5, 39.
2. Ματθ. 5, 44.
3. Ματθ. 19, 12.

χνουν μακρυὰ τὴν ταραχὴν ποὺ προέρχεται ἀπὸ τὰ πάθη, καὶ νὰ φέρουν μόνον τὴν σάρκα, καὶ νὰ ἁμιλλῶνται πρὸς τὰς ἀσωμάτους δυνάμεις.

4. Ἀφοῦ λοιπὸν αὐτὰ διέταξε, βλέπε τί πράττει, πόσον εὔκολον καθιστᾷ τὸν ἀγῶνα. Μᾶλλον δὲ προηγουμένως νὰ ἀναφέρωμεν, ἂν θέλετε, τὸ μέγεθος τῶν προσταγμάτων καὶ πόσον ἰσχυρὰς ἔκαμε τὰς πτέρυγας, καὶ ἀποξενώνων σχεδὸν ἡμᾶς ἀπὸ τὴν ἀνθρωπίνην φύσιν, προέτρεψεν ὅλους νὰ κατευθύνωνται πρὸς τὸν οὐρανόν. Διότι ἐνῷ ὁ νόμος προστάζει ὀφθαλμὸν ἀντί ὀφθαλμοῦ, αὐτὸς λέγει· «ὅποιος σὲ κτυπήσῃ εἰς τὸ δεξιὸν μέρος τῆς σιαγόνος, νὰ τοῦ στρέψῃς καὶ τὸ ἄλλο μέρος»[1]. Δὲν εἶπε νὰ ὑπομένῃς μόνον μὲ γενναιότητα καὶ μὲ πραότητα τὴν ἀδικίαν, ἀλλὰ καὶ νὰ προχωρήσῃς περισσότερον τὴν φιλοσοφίαν καὶ νὰ προετοιμάζεσαι νὰ πάθῃς μεγαλύτερα κακὰ ἀπὸ ὅσα ἐκεῖνος ἐπιθυμεῖ νὰ σοῦ προξενήσῃ· διὰ τῆς μεγάλης σου ὑπομονῆς νὰ νικήσῃς τὴν θρασύτητα τῆς ὕβρεως, διὰ νὰ φύγῃ μακρυὰ κατεντροπιασμένος ἀπὸ τὴν ὑπερβολικήν σου καλωσύνην. Καὶ πάλιν λέγει «νὰ προσεύχεσθε δι' ἐκείνους ποὺ σᾶς κακομεταχειρίζονται· νὰ προσεύχεσθε διὰ τοὺς ἐχθρούς σας· νὰ εὐεργετῆτε ἐκείνους ποὺ σᾶς μισοῦν»[2]. Τὴν συμβουλὴν πάλιν περὶ τῆς παρθενίας εἰσήγαγε λέγων· «ὅποιος ἠμπορεῖ νὰ τὸ δεχθῇ, ἂς τὸ δεχθῇ[3]. Ἐπειδὴ ἔφυγεν ἀπὸ τὸν παράδεισον αὐτὴ καὶ μετὰ τὴν παρακοὴν ἀνεχώρησε κατελθὼν ἐκ τοῦ οὐρανοῦ, τὴν ἐπανέφερε πάλιν ὡς φυγάδα εἰς τὴν προηγουμένην πατρίδα της, καὶ τὴν ἀπήλλαξεν ἀπὸ τὴν μακροχρόνιον ἐξορίαν. Καὶ ὅταν ἦλθεν, ἐγεννήθη κατ' ἀρχὴν ἐκ Παρθένου καὶ μετέβαλε τοὺς νόμους τῆς φύσεως, φανερώνων ἐξ ἀρχῆς τὴν πρὸς αὐτὴν τιμὴν καὶ ἀποδεικνύων τὴν παρθένον μητέρα.

Ἐπειδὴ λοιπὸν ὅταν ἦλθεν ἐδῶ τέτοια παρήγγελε, καὶ ἔκαμε τὸν βίον ἀνώτερον, ἔδιδεν ἀντάξια καὶ τὰ ἔπαθλα τῶν ἀγώνων, μᾶλλον δὲ πολὺ μεγαλύτερα καὶ λαμπρότερα. Ἦσαν ὅμως καὶ αὐτὰ ἀόρατα καὶ παρέμενον εἰς τὴν ἐλπίδα, τὴν πίστιν καὶ τὴν προσδοκίαν τῶν μελλόντων. Ἐ-

πονα καὶ ὑψηλά, τὰ δὲ ἔπαθλα καὶ τὰ βραβεῖα ἐν πίστει, ὅρα τί ποιεῖ· πῶς εὔκολον τὸν ἀγῶνα ἐργάζεται· πῶς ῥάδια τὰ σκάμματα. Πῶς καὶ τίνι τρόπῳ; Δύο δὴ ταύταις ὁδοῖς· μιᾷ μέν, τὸ αὐτὸν αὐτὰ μετελθεῖν· ἑτέρᾳ δέ, τὸ αὐτὸν δεῖξαι τὰ βραβεῖα καὶ ὑπ' ὄψιν ἀγαγεῖν. Τῶν γὰρ παρ' αὐτοῦ λεγομένων τὰ μὲν ἐντολὴ ἦν, τὰ δὲ ἔπαθλα· ἐντολὴ μέν, «Εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων»· ἔπαθλον δέ, «Ὅπως γένησθε υἱοὶ τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς». Πάλιν, «Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι. Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς». Εἶδες τὸ μέν, ἐντολήν, τὸ δέ, ἔπαθλον; Πάλιν, «Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ». Εἶδες ἄλλην ἐντολήν, καὶ ἔπαθλον; Τὸ μὲν γὰρ αὐτοὺς ἐκέλευσε ποιεῖν, τὸ δὲ αὐτὸς ἡτοίμασεν, ὅπερ ἦν μισθὸς καὶ ἀντίδοσις. Καὶ πάλιν, «Ὅστις ἀφῆκεν οἰκίας καὶ ἀδελφούς, καὶ ἀδελφάς»· τοῦτο ἐντολή· «Ἑκατονταπλασίονα λήψεται καὶ ζωὴν αἰώνιον κληρονομήσει»· τοῦτο βραβεῖον καὶ στέφανος.

5. Ἐπεὶ οὖν καὶ τὰ ἐπιτάγματα μεγάλα ἦν, καὶ τὰ ἔπαθλα αὐτῶν οὐ φαινόμενα, ὅρα τί ποιεῖ· αὐτὸς αὐτὰ διὰ τῶν ἔργων ἐπιδείκνυται, καὶ τοὺς στεφάνους ἐπ' ὄψιν ἄγει. Ὥσπερ γὰρ ὁ κελευόμενος ἀτριβῆ βαδίζειν ὁδόν, ἐὰν ἴδῃ πρότερόν τινα βαδίσαντα, εὐκολώτερον ἄπεισι, καὶ πλείονα λαμβάνει τὴν προθυμίαν· οὕτω καὶ ἐν ταῖς ἐντολαῖς, οἱ τοὺς προηγουμένους ὁρῶντες, ῥᾳδίως ἕπονται. Ἵν' οὖν εὐκολώτερον ἡ ἡμετέρα φύσις ἀκολουθήσῃ, ταύτην λαβὼν τὴν σάρκα, καὶ

---

4. Ματθ. 5, 44.
5. Ματθ. 5, 45.
6. Ματθ. 5, 11-12.
7. Ματθ. 19, 21.
8. Ματθ. 19, 29.

πειδὴ λοιπὸν τὰ μὲν παραγγέλματα ἦσαν ἐπίπονα καὶ δύσκολα, τὰ δὲ ἔπαθλα καὶ βραβεῖα ἀντικείμενον πίστεως μόνον, βλέπε τί πράττει, πόσον εὔκολον κάμει τὸν ἀγῶνα, πόσον εὐκολώτερα τὰ ἀγωνίσματα. Πῶς καὶ μὲ ποῖον τρόπον; Διὰ δύο ὁδῶν· ἀφ' ἑνὸς μὲν μὲ τὸ νὰ μετέλθῃ ὁ ἴδιος αὐτά, ἀφ' ἑτέρου δὲ μὲ τὸ νὰ μᾶς δείξῃ τὰ βραβεῖα καὶ νὰ τὰ θέσῃ ὑπ' ὄψιν μας. Διότι τὰ λεγόμενα ἀπ' αὐτὸν ἄλλα μὲν ἦσαν ἐντολή, ἄλλα δὲ ἔπαθλα· ἐντολὴ μὲν ἦτο τὸ «προσεύχεσθε δι' ἐκείνους ποὺ σᾶς κακομεταχειρίζονται καὶ σᾶς καταδιώκουν»[4], ἔπαθλον δὲ τὸ «διὰ νὰ γίνετε παιδιὰ τοῦ Πατέρα σας, ποὺ εἶναι εἰς τοὺς οὐρανούς»[5]. Πάλιν· «Μακάριοι θὰ εἶσθε, ὅταν θὰ σᾶς ὑβρίσουν καὶ θὰ σᾶς καταδιώξουν καὶ θὰ εἰποῦν ἐναντίον σας κάθε κακὸ πρᾶγμα ψευδόμενοι. Νὰ χαίρετε τότε καὶ νὰ ἀγαλλιᾶσθε διότι ἡ ἀνταμοιβή σας θὰ εἶναι μεγάλη εἰς τοὺς οὐρανούς»[6]. Εἶδες τὴν ἐντολὴν καὶ τὸ ἔπαθλον; Πάλιν· «Ἐὰν θέλῃς νὰ εἶσαι τέλειος, πήγαινε καὶ πούλησε ὅσα ἔχεις καὶ μοίρασέ τα εἰς τοὺς πτωχούς, καὶ ἔλα νὰ μὲ ἀκολουθήσῃς, καὶ θὰ ἔχῃς θησαυρὸν εἰς τοὺς οὐρανούς»[7]. Εἶδες ἄλλην ἐντολὴν καὶ ἄλλο βραβεῖον; Διότι τὴν μὲν ἐντολὴν τοὺς προέτρεψε νὰ τηροῦν, τὸ δὲ ἔπαθλον ποὺ ἦτο μισθὸς καὶ ἀνταπόδοσις τὸ ἑτοίμασεν αὐτός. Καὶ πάλιν· «καὶ ὅποιος ἄφησε σπίτια ἢ ἀδελφοὺς ἢ ἀδελφάς»· αὐτὸ εἶναι ἐντολή· «θὰ πάρῃ ἑκατὸ φορὲς περισσότερα καὶ θὰ κληρονομήσῃ ζωὴν αἰώνιον»[8]· αὐτὸ εἶναι τὸ βραβεῖον καὶ ὁ στέφανος.

5. Ἐπειδὴ λοιπὸν τὰ παραγγέλματα ἦσαν μεγάλα καὶ τὰ ἔπαθλα αὐτῶν δὲν ἐφαίνοντο, βλέπε τί πράττει· ὁ ἴδιος τὰ ἐφαρμόζει καὶ μᾶς παρουσιάζει τοὺς στεφάνους. Διότι ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ διατάσσεται νὰ βαδίζῃ ἄβατον ὁδόν, ἐὰν ἰδῇ προηγουμένως κάποιον ποὺ ἔχει βαδίσει αὐτόν, εὐκολώτερα ἀκολουθεῖ καὶ προσαρμόζεται καὶ ἔχει μεγαλυτέραν προθυμίαν, ἔτσι καὶ εἰς τὰς ἐντολὰς αὐτοὶ ποὺ βλέπουν τοὺς προηγουμένους ἀκολουθοῦν εὐκολώτερα. Διὰ νὰ ἀκολουθήσῃ εὐκολώτερα ἡ ἰδική μας φύσις, ἔλαβεν αὐτὸς αὐτὴν τὴν σάρκα καὶ τὴν φύσιν τὴν ἰδικήν μας καὶ ἔτσι

τὴν φύσιν τὴν ἡμετέραν, οὕτως αὐτὴν ἐβάδισε, καὶ τὰς ἐντολὰς διὰ τῶν ἔργων ἐπεδείξατο. Τὸ γάρ, «Ἐάν τίς σε ῥαπίσῃ ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην», αὐτὸς ἐποίησεν, ὅταν αὐτὸν ἐρράπισεν ὁ δοῦλος τοῦ ἀρχιερέως. Οὐ γὰρ ἠμύνατο αὐτόν, ἀλλὰ τοσαύτην ἐπιείκειαν ἐπεδείξατο, ὡς εἰπεῖν «Εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις;». Εἶδες πραότητα φρίκης γέμουσαν; εἶδες ταπεινοφροσύνην ἔκπληξιν ἔχουσαν; Ἐτύπτετο, οὐ παρ' ἐλευθέρου τινός, ἀλλὰ παρ' οἰκέτου, μαστιγίου, καὶ οἰκοτρίβου, καὶ μετὰ τοσαύτης ἀποκρίνεται τῆς ἐπιεικείας ταῦτα. Οὕτω καὶ ὁ Πατὴρ αὐτοῦ τοῖς Ἰουδαίοις ἔλεγε· «Λαός μου, τί ἐποίησά σοι; ἢ τί σε ἐλύπησα; ἢ τί παρηνόχλησά σοι; ἀποκρίθητι». Ὥσπερ αὐτός φησι, «Μαρτύρησον περὶ τοῦ κακοῦ», οὕτω καὶ ὁ Πατὴρ αὐτοῦ, «Ἀποκρίθητί μοι»· καὶ ὥσπερ αὐτός φησι· «Τί με δέρεις;», οὕτω καὶ ὁ Πατήρ, «Τί ἐλύπησά σε, ἢ τί παρηνόχλησα;».

Πάλιν ἀκτημοσύνην παιδεύων, ὅρα πῶς διὰ τῶν ἔργων αὐτὴν ἐπιδείκνυται λέγων· «Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίναι». Εἶδες ἀκτημοσύνης ἐπίτασιν; Οὐ τράπεζα ἦν αὐτῷ, οὐ λυχνία, οὐκ οἶκος, οὐ δίφρος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν.

Ἐδίδασκε περὶ τοῦ κακῶς ἀκούοντας φέρειν γενναίως, ὅπερ διὰ τῶν ἔργων ἐπεδείξατο. Ὅτε γὰρ δαιμονῶντα αὐτὸν ἐκάλουν καὶ Σαμαρείτην, δυνάμενος αὐτοὺς πάλιν ἀπολέσαι, καὶ τῆς ὕβρεως αὐτῶν ἀποτῖσαι δίκην, οὐδὲν ἐποίει τοιοῦτον, ἀλλὰ καὶ εὐηργέτει, καὶ τοὺς δαίμονας αὐτῶν ἀπήλαυνε. Καὶ εἰπών, «Εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς», εἰς τὸν σταυρὸν τοῦτο ἀναβὰς ἐποίησεν. Ἐπειδὴ γὰρ αὐτὸν ἐσταύρωσαν καὶ προσήλωσαν, κρεμάμενος ἔλεγεν, «Ἄφες

---

9. Ματθ. 5, 39.
10. Ἰω. 18, 23.
11. Μιχ. 6, 3.
12. Ματθ. 8, 20.
13. Ματθ. 5, 44.

ἐβάδισεν αὐτὴν τὴν ὁδὸν καὶ ἀπέδειξε τὰς ἐντολὰς διὰ τῶν ἔργων. Διότι τὸ «ἐὰν κάποιος σὲ κτυπήσῃ εἰς τὸ δεξιὸν μέρος τῆς σιαγόνος, νὰ τοῦ στρέψῃς καὶ τὸ ἄλλο μέρος»[9], τὸ ἐφήρμοσεν αὐτὸς ὅταν τὸν ἐρράπισεν ὁ δοῦλος τοῦ ἀρχιερέως, καθόσον δὲν ἠμύνθη, ἀλλὰ ἔδειξε τόσην ἐπιείκειαν, ὥστε εἶπεν· «ἐὰν ὡμίλησα κακῶς, ἀπόδειξε τὸ κακόν· ἐὰν ὅμως ὡμίλησα καλῶς, διατί μὲ δέρνεις;»[10]. Εἶδες πραότητα ποὺ προκαλεῖ τρόμον; Εἶδες ταπεινοφροσύνην ποὺ ἐκπλήσσει; Ἐκτυπᾶτο ὄχι ἀπὸ κάποιον ἐλεύθερον, ἀλλὰ ἀπὸ δοῦλον καὶ ὑπηρέτην, καὶ ἀποκρίνεται αὐτὸς μὲ τόσην ἀγαθότητα. Ἔτσι ἔλεγε καὶ ὁ Πατέρας του εἰς τοὺς Ἰουδαίους· «Λαέ μου, τί κακὸν σοῦ ἔκαμα, ἢ εἰς τί σὲ ἐλύπησα καὶ σὲ ἠνώχλησα; Ἀπάντησέ μου»[11]. Ὅπως αὐτὸς λέγει «ἀπόδειξε ἐὰν ὡμίλησα κακῶς», ἔτσι καὶ ὁ Πατέρας του «ἀπάντησέ μου»· καὶ ὅπως αὐτὸς λέγει «διατί μὲ δέρνεις» ἔτσι καί ὁ Πατέρας του «εἰς τί σὲ ἐλύπησα, ἢ εἰς τί σὲ ἠνώχλησα».

Θέλων πάλιν νὰ διδάξῃ διὰ τὴν ἀκτημοσύνην, βλέπε πῶς ἐπιδεικνύει αὐτὴν διὰ τῶν ἔργων λέγων· «οἱ ἀλεποῦδες ἔχουν τρύπας ποὺ τὰς χρησιμοποιοῦν ὡς φωλεάς, καὶ τὰ πτηνὰ τοῦ οὐρανοῦ μέρη ποὺ κουρνιάζουν, ἐνῷ ὁ Υἱὸς τοῦ ἀνθρώπου δὲν ἔχει οὔτε ποῦ νὰ ἀκουμβήσῃ τὴν κεφαλήν του»[12]. Εἶδες ἀπόλυτον ἀκτημοσύνην; Δὲν εἶχε οὔτε τράπεζαν, οὔτε λυχνίαν, οὔτε οἰκίαν, οὔτε κάθισμα, οὔτε τίποτε ἄλλο ἀπὸ αὐτά.

Ἐδίδασκεν ὅτι πρέπει νὰ ὑποφέρωμεν μὲ καρτερίαν τὰς συκοφαντίας καὶ τὸ ἀπέδειξεν ἐμπράκτως. Διότι ὅταν τὸν ὠνόμαζον δαιμονισμένον καὶ Σαμαρείτην, καὶ ἐνῷ ἠμποροῦσε νὰ τοὺς καταστρέψῃ, καὶ νὰ τοὺς τιμωρήσῃ διὰ τὴν ὕβριν των, τίποτε τέτοιο δὲν ἔκαμεν, ἀλλὰ ἀντιθέτως καὶ τοὺς εὐεργετοῦσε καὶ τὰ δαιμόνιά τους ἐξεδίωκεν. Καὶ λέγων «νὰ προσεύχεσθε δι' ἐκείνους ποὺ σᾶς κακομεταχειρίζονται»[13] τὸ ἔκαμεν ὅταν ἀνέβη εἰς τὸν σταυρόν. Ὅταν τὸν ἐσταύρωσαν καὶ τὸν ἐκάρφωσαν, καὶ ἐνῷ ἦτο σταυρωμένος ἔλεγεν· «Πατέρα, συγχώρησέ τους, διότι δὲν ξέ-

αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσι». Ταῦτα ἔλεγεν οὐκ ἀτονῶν αὐτὸς ἀφιέναι, ἀλλ' ἡμᾶς παιδεύων εὔχεσθαι ὑπὲρ τῶν ἐχθρῶν. Ἐπειδὴ γὰρ οὐ λόγῳ μόνῳ, ἀλλὰ καὶ ἔργῳ τὴν διδασκαλίαν ἐπεδείκνυτο, διὰ τοῦτο καὶ τὴν εὐχὴν προσέθηκε.

Μηδεὶς τοίνυν τῶν αἱρετικῶν, διὰ τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν, ἀσθένειαν καταγινωσκέτω τῶν εἰρημένων· αὐτὸς γάρ ἐστιν ὁ λέγων, «Ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἐπὶ τῆς γῆς ἁμαρτίας». Ἀλλ' ἐπειδὴ παιδεύειν ἐβούλετο (ὁ δὲ παιδεύων οὐ δι' ὧν λέγει μόνον, ἀλλὰ καὶ δι' ὧν ποιεῖ τὴν διδασκαλίαν προάγει), τούτου χάριν καὶ τὴν εὐχὴν προσέθηκεν. Ἐπεὶ καὶ τῶν μαθητῶν τοὺς πόδας ἔνιπτεν, οὐχ ὡς ἐλάττων ὤν, ἀλλὰ Θεὸς ὢν καὶ Δεσπότης εἰς τοσοῦτο κατέβη ταπεινοφροσύνης.

6. Διὰ δὴ τοῦτο ἔλεγε· «Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ». Ἑτέρως πάλιν τὸ τὰ βραβεῖα αὐτὰ καὶ τὰ ἔπαθλα εἰς μέσον ἀγαγεῖν, καὶ ὑπὸ ὀφθαλμοὺς δεικνύναι, ἄκουσον. Ὑπέσχετο σωμάτων ἀνάστασιν, ἀφθαρσίαν, τὴν εἰς ἀέρα ἀπάντησιν, τὴν ἐν νεφέλαις ἁρπαγήν· ταῦτα διὰ τῶν πραγμάτων ἔδειξε. Πῶς καὶ τίνι τρόπῳ; Ἀποθανὼν ἀνέστη· διὸ καὶ τεσσαράκοντα ἡμέρας αὐτοῖς συνῆν, ἵνα αὐτοὺς πληροφορήσῃ καὶ δείξῃ ἡλίκα ἡμῶν εἶναι μέλλει τὰ σώματα μετὰ τὴν ἀνάστασιν. Πάλιν λέγω διὰ τοῦ Παύλου, ὅτι «Ἐν νεφέλαις ἁρπαγησόμεθα εἰς ἀπάντησιν αὐτοῦ εἰς ἀέρα», καὶ τοῦτο ἔδειξεν ἔργοις. Μετὰ γὰρ τὴν ἀνάστασιν, ἡνίκα ἔμελλεν ἀνιέναι εἰς οὐρανούς, παρόντων αὐτῶν «Ἐπήρθη», φησί, «καὶ νεφέλη ὑπέβαλεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν καὶ ὡς ἀτενίζοντες ἦσαν, πορευομένου αὐτοῦ». Οὕτως οὖν καὶ τὸ ἡμέτερον σῶμα ὁμοούσιον ἔσται ἐκείνῳ τῷ

---

14. Λουκᾶ 23, 34.
15. Ματθ. 9, 6.
16. Ματθ. 11, 29.
17. Α' Θεσ. 4, 17.
18. Πράξ. 1, 9.

ρουν τί κάνουν»[14]. Αὐτὰ ἔλεγεν ὄχι ἐπειδὴ δὲν ἠμποροῦσεν ὁ ἴδιος νὰ τοὺς συγχωρήσῃ, ἀλλὰ διὰ νὰ μᾶς διδάξῃ νὰ προσευχώμεθα ὑπὲρ τῶν ἐχθρῶν μας. Ἐπειδὴ λοιπὸν ὄχι μόνον διὰ τοῦ λόγου, ἀλλὰ καὶ διὰ τῶν ἔργων μᾶς ἐδείκνυε τὴν διδασκαλίαν του δι' αὐτὸ προσέθεσε καὶ τὴν προσευχήν.

Κανεὶς λοιπὸν ἀπὸ τοὺς αἱρετικοὺς ἂς μὴ νομίσῃ ὅτι αὐτὰ ποὺ ἐλέχθησαν ὑποδηλοῦν ἀδυναμίαν, ἀλλὰ ὅτι αὐτὰ ὅλα ἔγιναν ἐξ αἰτίας τῆς μεγάλης του φιλανθρωπίας· διότι αὐτὸς εἶναι ποὺ λέγει· «διὰ νὰ μάθετε ὅτι ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔχει ἐξουσίαν νὰ συγχωρῇ ἁμαρτίας ἐπὶ τῆς γῆς»[15]. Ἀλλὰ ἐπειδὴ ἤθελε νὰ μᾶς διδάξῃ (αὐτὸς δὲ ποὺ διδάσκει ὄχι μόνον μὲ τὰ λόγια, ἀλλὰ καὶ μὲ τὰ ἔργα ἀποδεικνύει τὴν διδασκαλίαν του) διὰ τοῦτο προσέθεσε καὶ τὴν προσευχήν. Διότι καὶ τὰ πόδια τῶν μαθητῶν του ἔπλυνεν, ὄχι ἐπειδὴ ἦτο κατώτερος, ἀλλὰ ἐνῷ ἦτο Θεὸς καὶ Δεσπότης κατῆλθεν εἰς τοιαύτην ταπεινοφροσύνην, διὰ νὰ μᾶς διδάξῃ.

6. Διὰ τοῦτο λοιπὸν ἔλεγεν· «μάθετε ἀπὸ ἐμὲ ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς εἰς τὴν καρδίαν»[16]. Ἄκουσε πάλι λοιπὸν πῶς ἐπαρουσίασε τὰ βραβεῖα αὐτὰ καὶ τὰ ἔπαθλα, καὶ τὰ ἔθετε ὑπ' ὄψιν τῶν πιστῶν. Ὑπέσχετο ἀνάστασιν σωμάτων, ἀφθαρσίαν, τὴν συνάντησιν εἰς τὸν οὐρανόν, τὴν ἁρπαγὴν εἰς τὰς νεφέλας· αὐτὰ ὅλα τὰ ἀπέδειξεν. Πῶς καὶ μὲ ποῖον τρόπον; Ἐνῷ ἀπέθανεν, ἀνεστήθη· διὰ τοῦτο δὲ συνανεστρέφετο μὲ αὐτοὺς τεσσαράκοντα ἡμέρας, διὰ νὰ τοὺς πληροφορήσῃ καὶ νὰ τοὺς δείξῃ ποῖα πρόκειται νὰ εἶναι τὰ σώματά μας μετὰ τὴν ἀνάστασιν. Λέγων πάλιν διὰ τοῦ Παύλου ὅτι «θὰ ἁρπαχθοῦμε μέσα εἰς νεφέλας πρὸς προϋπάντησιν τοῦ Κυρίου εἰς τὸν ἀέρα»[17] ἐμπράκτως καὶ τοῦτο τὸ ἀπέδειξεν. Διότι μετὰ τὴν ἀνάστασιν, ὅταν ἐπρόκειτο νὰ ἀνέλθῃ εἰς τοὺς οὐρανούς, ἐνῷ ἦσαν παρόντες οἱ ἀπόστολοι λέγει, «ἐσηκώθη εἰς τὸν ἀέρα, καὶ ἕνα σύννεφον τὸν ἀπέκρυψεν ἀπὸ τὰ μάτια τους, καὶ ἐκοίταζαν πρὸς τὸν οὐρανόν, ἐνῷ αὐτὸς ἀνυψώνετο»[18]. Ἔτσι λοιπὸν καὶ τὸ ἰδικόν μας σῶμα θὰ εἶναι ὁμοούσιον μὲ τὸ σῶμα ἐκεῖνο, καθόσον προέρχεται ἐκ τοῦ

σώματι, ἅτε ἐκ τοῦ φυράματος ὄν· ὥσπερ γὰρ ἡ κεφαλή, οὕτω καὶ τὸ σῶμα· ὥσπερ ἡ ἀρχή, οὕτω καὶ τὸ τέλος. Καὶ τοῦτο σαφέστερον ὁ Παῦλος δηλῶν ἔλεγεν· «Ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ». Εἰ τοίνυν σύμμορφον γίνεται, καὶ τὴν αὐτὴν ὁδὸν βαδιεῖται, καὶ ὁμοίως ἐπὶ νεφελῶν ἀρθήσεται. Ταῦτα προσδόκα καὶ αὐτὸς ἐν τῇ ἀναστάσει.

Ἐπειδὴ γὰρ ἄδηλον ἦν τοῖς ἀκούουσι τέως τὸ βῆμα τῆς βασιλείας, διὰ τοῦτο ἀνελθὼν ἐν τῷ ὄρει μετεμορφώθη ἔμπροσθεν τῶν μαθητῶν αὐτοῦ, παρανοίγων αὐτοῖς τῶν μελλόντων τὴν δόξαν, καὶ ὡς ἐν αἰνίγματι καὶ ἀμυδρῶς ἐπιδεικνὺς οἷον ἔσται τὸ σῶμα τὸ ἡμέτερον. Ἀλλὰ τότε μὲν μετὰ ἱματίων ἐφάνη, ἐν δὲ τῇ ἀναστάσει οὐχ οὕτως. Οὐ γὰρ δεῖται τὸ σῶμα ἡμῶν ἱματίων, οὐδὲ στέγης, οὐδὲ ὀρόφου, οὐδὲ ἄλλου τῶν τοιούτων οὐδενός. Εἰ γὰρ ὁ Ἀδὰμ πρὸ τῆς παραβάσεως γυμνὸς ὢν οὐκ ᾐσχύνετο, δόξῃ ἠμφιεσμένος, πολλῷ μᾶλλον τὰ σώματα τὰ ἡμέτερα, ὅσα ἐπὶ μείζονα καὶ ἀμείνω λῆξιν βαδιεῖται, οὐδενὸς τούτων δεηθήσεται. Διὰ δὴ τοῦτο καὶ αὐτὸς ἀνιστάμενος, τὰ ἱμάτια ἐπὶ τοῦ τάφου καὶ τῆς σοροῦ κεῖσθαι εἴασε, γυμνὸν ἀναστήσας τὸ σῶμα, δόξης ἀφάτου καὶ μακαριότητος ἐμπεπλησμένον.

Ταῦτα οὖν εἰδότες, ἀγαπητοί, καὶ διὰ λόγων παιδευθέντες, καὶ δι' ὀφθαλμῶν διδαχθέντες, τοιαύτην ἐπιδειξώμεθα πολιτείαν, ἵνα ἐν νεφέλαις ἁρπαγέντες ἀεὶ μετ' αὐτοῦ διατρίβοντες ὦμεν, σωζόμενοι καὶ τῇ αὐτοῦ χάριτι, καὶ τῶν μελλόντων ἀπολαύοντες ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τὸ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, προσκύνησις, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

19. Φιλιπ. 3, 21.

ἰδίου φυράματος· διότι ὅπως εἶναι ἡ κεφαλὴ ἔτσι καὶ τὸ σῶμα, ὅπως ἡ ἀρχὴ ἔτσι καὶ τὸ τέλος. Καὶ τοῦτο θέλων νὰ δηλώσῃ σαφέστερα ὁ Παῦλος ἔλεγεν· «ὁ ὁποῖος θὰ μεταμορφώσῃ τὸ ταπεινόν μας σῶμα, ὥστε νὰ λάβῃ τὴν ἰδίαν μορφὴν πρὸς τὸ ἔνδοξον σῶμα του»[19]. Ἀφοῦ λοιπὸν θὰ γίνῃ ὅμοιον, συνέπεια τούτου εἶναι ὅτι καὶ θὰ βαδίσῃ τὴν ἰδίαν ὁδὸν καὶ θὰ ὑψωθῇ εἰς τὰς νεφέλας ὁμοίως. Αὐτὰ νὰ ἀναμένῃς καὶ σὺ εἰς τὴν ἀνάστασιν.

Ἐπειδὴ λοιπὸν δὲν ἦταν φανερὸς ὁ λόγος περὶ τῆς βασιλείας τῶν οὐρανῶν εἰς τοὺς ἀκούοντας τότε, διὰ τοῦτο ἀνῆλθεν εἰς τὸ ὄρος καὶ μετεμορφώθη ἐνώπιον τῶν μαθητῶν του, δεικνύων εἰς αὐτοὺς τὴν δόξαν τῶν μελλόντων καὶ αἰνιγματωδῶς καὶ ἀμυδρῶς ποῖο θὰ εἶναι τὸ ἰδικόν μας σῶμα. Τότε ὅμως ἐφάνη μὲ ἐνδύματα, εἰς τὴν ἀνάστασιν ὅμως δὲν θὰ εἶναι ἔτσι. Διότι δὲν χρειάζεται τὸ σῶμα μας ἐνδύματα, οὔτε στέγην, οὔτε πάτωμα, οὔτε τίποτε ἄλλο ἀπὸ αὐτά. Καὶ ἀφοῦ λοιπὸν ὁ Ἀδάμ, πρὸ τῆς παρακοῆς, ἐνῷ ἦταν γυμνὸς δὲν ἐντρέπετο, διότι ἦταν ἐνδεδυμένος διὰ δόξης, πόσον μᾶλλον τὰ ἰδικά μας σώματα, ὅσα θὰ βαδίσουν εἰς μεγαλύτερον καὶ καλύτερον τέλος, δὲν ἔχουν ἀνάγκην ἀπὸ αὐτά. Διὰ τοῦτο λοιπὸν καὶ αὐτὸς ὅταν ἀνεστήθη, ἄφησε τὰ ἐνδύματα ἐπὶ τοῦ τάφου καὶ τῆς σοροῦ, ἀναστήσας τὸ σῶμα γυμνόν, πλῆρες δόξης ἀνεκφράστου καὶ μακαριότητος.

Αὐτὰ λοιπὸν ἀφοῦ ἐγνωρίσαμεν, ἀγαπητοί, καὶ ἐμάθαμεν διὰ λόγων καὶ ἐδιδάχθημεν διὰ τῶν ὀφθαλμῶν, ἂς ἐπιδείξωμεν τέτοιον βίον, διὰ νὰ ἁρπαγῶμεν εἰς τὰ σύννεφα καὶ νὰ εἴμεθα πάντοτε μὲ αὐτόν, καὶ νὰ σωθῶμεν διὰ τῆς χάριτος αὐτοῦ, καὶ νὰ ἀπολαύσωμεν τὰ μέλλοντα ἀγαθά, τὰ ὁποῖα εἴθε ὅλοι ἐμεῖς νὰ ἐπιτύχωμεν διὰ τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα συγχρόνως καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον ἀνήκει δόξα, τιμή, δύναμις, προσκύνησις, καὶ τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

10

ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΗΜΟΣΙΕΥΕΙΝ

τὰ ἁμαρτήματα τῶν ἀδελφῶν, μηδὲ κατεύχεσθαι τῶν ἐχθρῶν.

1. Μακαρίζω τῆς σπουδῆς ὑμᾶς, ἀγαπητοί, μεθ' ἧς εἰς τὸν πατρῷον οἶκον συντρέχετε. Ἀπὸ γὰρ τῆς σπουδῆς ταύτης καὶ περὶ τῆς ὑγιείας ὑμῶν τῆς κατὰ ψυχὴν ἔχω θαρρεῖν· καὶ γὰρ ἰατρεῖον θαυμαστὸν τῆς Ἐκκλησίας τὸ διδασκαλεῖόν ἐστιν· ἰατρεῖον, οὐχὶ σωμάτων, ἀλλὰ ψυχῶν. Πνευματικὸν γάρ ἐστι, καὶ οὐχὶ τραύματα σαρκός, ἀλλ' ἁμαρτήματα διανοίας διορθοῦται· τῶν δὲ ἁμαρτημάτων τούτων καὶ τῶν τραυμάτων τὸ φάρμακον ὁ λόγος ἐστί. Τοῦτο τὸ φάρμακον οὐκ ἐκ βοτανῶν τῶν ἐπὶ γῆς, ἀλλ' ἀπὸ τῶν ῥημάτων τῶν ἐξ οὐρανοῦ σύγκειται· τοῦτο οὐκ ἰατρῶν χεῖρες, ἀλλὰ προφητῶν κατεσκεύασαν γλῶτται. Διὰ τοῦτο διαρκές ἐστι, καὶ οὔτε πλήθει χρόνων ἀμαυροῦται, οὔτε δυνάμει νοσημάτων ἐλέγχεται. Τὰ μὲν γὰρ τῶν ἰατρῶν φάρμακα ἀμφότερα ταῦτα ἔχει τὰ ἐλαττώματα· νεαρὰ μὲν γὰρ ὄντα τὴν ἰσχὺν ἐπιδείκνυται τὴν ἑαυτῶν· ὅταν δὲ χρόνος παρέλθῃ πολύς, καθάπερ τὰ γεγηρακότα τῶν σωμάτων, ἀσθενέστερα γίνεται· πολλάκις δὲ αὐτὰ καὶ δυσκολία ἀρρωστημάτων διήλεγξεν· ἀνθρώπινα γάρ ἐστι· τὸ δὲ θεῖον φάρμακον οὐ τοιοῦτον, ἀλλὰ χρόνου διαγενομένου πολλοῦ, τὴν οἰκείαν ἰσχὺν ἔχει πᾶσαν.

Ἐξ ὅτου γοῦν ἐγένετο Μωϋσῆς (ἐξ ἐκείνου γὰρ ἡ ἀρχὴ τῶν Γραφῶν), τοσούτους ἐθεράπευσεν ἀνθρώπους, καὶ τὴν οἰκείαν δύναμιν οὐκ ἀπέβαλεν· ἀλλ' οὐδὲ νόσημα αὐτοῦ περιεγένετο πώποτε. Τοῦτο τὸ φάρμακον οὐκ ἔστιν ἀργύριον

10
ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΔΕΝ ΠΡΕΠΕΙ ΝΑ ΓΝΩΣΤΟΠΟΙΟΥΜΕΝ
τὰ ἁμαρτήματα τῶν συνανθρώπων μας, καὶ οὔτε νὰ ἐκφέρωμεν κατάρας ἐναντίον τῶν ἐχθρῶν

1. Σᾶς μακαρίζω, ἀγαπητοί, διὰ τὴν προθυμίαν μὲ τὴν ὁποίαν τρέχετε εἰς τὸν πατρικὸν οἶκον. Διότι ἀπὸ τὸν ζῆλον σας αὐτὸν ἠμπορῶ νὰ στηρίζωμαι καὶ εἰς τὴν ψυχικήν σας ὑγείαν, καθόσον εἶναι θαυμαστὸν ἰατρεῖον τὸ διδασκαλεῖον τῆς ἐκκλησίας· εἶναι ἰατρεῖον ὄχι τῶν σωμάτων, ἀλλὰ τῶν ψυχῶν. Διότι εἶναι πνευματικὸν καὶ θεραπεύει ὄχι σωματικὰ τραύματα, ἀλλὰ ἁμαρτήματα τῆς ψυχῆς· τὸ φάρμακον δὲ τῶν ἁμαρτημάτων καὶ τῶν τραυμάτων τούτων εἶναι ὁ λόγος. Τὸ φάρμακον αὐτὸ δὲν κατασκευάζεται ἀπὸ βότανα τῆς γῆς, ἀλλὰ ἀπὸ λόγια ποὺ προέρχονται ἀπὸ τὸν οὐρανόν· δὲν τὸ κατεσκεύασαν χέρια ἰατρῶν, ἀλλὰ γλῶσσαι προφητῶν. Διὰ τοῦτο εἶναι διαρκές, καὶ δὲν χάνει τὴν δύναμίν του, οὔτε μὲ τὴν πάροδον πολλῶν ἐτῶν, οὔτε ἀποδεικνύεται ἀνίσχυρον ἀπὸ τὴν δύναμιν τῶν νοσημάτων. Διότι τὰ μὲν φάρμακα τῶν ἰατρῶν ἔχουν καὶ τὰς δύο αὐτὰς ἀδυναμίας· καὶ ἐν ὅσῳ εἶναι καινούργια μᾶς φανερώνουν τὴν δύναμίν των, ὅταν ὅμως παρέλθῃ ἀρκετὸς χρόνος, ὅπως ἀκριβῶς τὰ σώματα ποὺ ἔχουν γεράσει, γίνονται ἀσθενέστερα· πολλὲς φορὲς δὲ αὐτὰ τὰ ἀποδεικνύει ἀνίσχυρα ἡ σφοδρότης τῶν ἀσθενειῶν· ἄλλωστε εἶναι ἀνθρώπινα κατασκευάσματα. Τὸ θεῖον ὅμως φάρμακον δὲν εἶναι τέτοιο, ἀλλὰ καὶ ἂν ἀκόμη περάσῃ πολὺς χρόνος, διατηρεῖ ὅλην τὴν δύναμίν του.

Ἀφ᾿ ὅτου λοιπὸν ἐγεννήθη ὁ Μωυσῆς (διότι ἀπὸ ἐκεῖνον ἀρχίζουν αἱ Γραφαί) ἐθεράπευσε τόσους ἀνθρώπους, καὶ δὲν ἔχασε τὴν δύναμίν του, ἀλλὰ καὶ οὔτε ἀσθένεια ὑπερίσχυσε ποτὲ αὐτοῦ. Τὸ φάρμακον αὐτὸ δὲν τὸ παίρνει

καταβαλόντα λαβεῖν, ἀλλ' ὁ προαίρεσιν καὶ διάθεσιν γνησίαν ἐπιδειξάμενος, ἅπαν ἔχων ἀπῆλθε. Διὰ τοῦτο καὶ πλούσιοι καὶ πένητες ὁμοίως τῆς ἰατρείας ἀπολαύουσι ταύτης. Ἔνθα μὲν γὰρ ἀνάγκη καταθεῖναι χρήματα, ὁ μὲν εὔπορος μετέχει τῆς ὠφελείας· ὁ δὲ πένης πολλάκις ἀπεστερημένος τοῦ κέρδους ἀπέρχεται, οὐκ ἀρκούσης αὐτῷ τῆς προσόδου πρὸς τὴν τοῦ φαρμάκου κατασκευήν. Ἐνταῦθα δέ, ἐπειδὴ ἀργύριον οὐκ ἔστι καταβαλεῖν, ἀλλὰ πίστιν ἐπιδείξασθαι δεῖ καὶ προαίρεσιν, ὁ ταῦτα καταβαλὼν μετὰ προθυμίας, οὗτος καρποῦται μάλιστα τὴν ὠφέλειαν· ἐπειδὴ καὶ ταῦτα τῆς ἰατρείας ἐστὶν ὁ μισθός.

Καὶ ὁ πλούσιος καὶ ὁ πένης τῆς ὠφελείας κοινωνοῦσιν ὁμοίως· μᾶλλον δὲ οὐχ ὁμοίως κοινωνοῦσι τῆς ὠφελείας, ἀλλὰ πολλάκις πλείονος ἀπολαύσας ὁ πένης ἀπέρχεται. Τί δήποτε; Ὅτι ὁ μὲν πλούσιος πολλαῖς προκατειλημμένος φροντίσιν, ἔχων τὴν ἀπόνοιαν καὶ τὸ φύσημα τὸ τῆς εὐπορίας, ὀλιγωρίᾳ συζῶν καὶ ῥᾳθυμίᾳ, οὐ μετὰ πολλῆς τῆς ἀκριβείας, οὐδὲ μετὰ πολλῆς τῆς σπουδῆς τὸ φάρμακον τῆς ἀκροάσεως τῶν Γραφῶν δέχεται· ὁ δὲ πένης τρυφῆς καὶ ἀδηφαγίας καὶ ῥᾳθυμίας ἀπηλλαγμένος, ἅπαντα τὸν χρόνον ἐν τῇ τῶν χειρῶν ἐργασίᾳ καὶ τοῖς δικαίοις ἀναλίσκων πόνοις, καὶ πολλὴν ἐντεῦθεν τῇ ψυχῇ συλλέγων φιλοσοφίαν, προσεκτικώτερός τε καὶ εὐτονώτερος γίνεται, καὶ μετὰ πλείονος προσέχει ἀκριβείας τοῖς λεγομένοις· ὅθεν καὶ πλείονα καταβαλὼν τὸν μισθόν, πλείονα τὴν ὠφέλειαν καρπωσάμενος ἄπεισιν.

2. Οὐ τῶν πλουτούντων ἁπλῶς κατηγορῶν ταῦτα εἶπον, οὐδὲ τοὺς πένητας ἁπλῶς ἐπαινῶν· οὔτε γὰρ ὁ πλοῦτος κακόν, ἀλλὰ τὸ κακῶς κεχρῆσθαι τῷ πλούτῳ· οὔτε ἡ πενία καλόν, ἀλλὰ τὸ καλῶς κεχρῆσθαι τῇ πενίᾳ. Ἐκολάζετο ὁ πλούσιος ἐκεῖνος ὁ ἐπὶ τοῦ Λαζάρου, οὐκ ἐπειδὴ πλούσιος ἦν,

κανείς καταβάλλων χρήματα, ἀλλὰ αὐτὸς ποὺ θὰ ἐπιδείξῃ θέλησιν καὶ διάθεσιν γνησίαν, φεύγει ἀπὸ ἐδῶ ἀφοῦ τὸ λάβῃ ὅλον. Διὰ τοῦτο πλούσιοι καὶ φτωχοὶ καθ' ὅμοιον τρόπον δέχονται τὴν θεραπείαν αὐτήν. Διότι ἐκεῖ ποὺ εἶναι ἀναγκαῖον νὰ πληρώσῃ κανεὶς χρήματα, ὁ μὲν εὔπορος ὠφελεῖται, ὁ δὲ πτωχὸς πολλάκις φεύγει χωρὶς νὰ ὠφεληθῇ, διότι δὲν ἀρκοῦν εἰς αὐτὸν τὰ χρήματα διὰ τὴν ἀπόκτησιν τοῦ φαρμάκου. Ἐδῶ δὲ ἐπειδὴ δὲν καταβάλλει κανεὶς χρήματα, ἀλλὰ πρέπει νὰ ἐπιδείξῃ πίστιν καὶ θέλησιν, αὐτὸς ποὺ καταβάλλει αὐτὰ μὲ προθυμίαν, αὐτὸς ὠφελεῖται πολὺ περισσότερον, ἐπειδὴ εἶναι καὶ αὐτὰ τῆς ἰατρείας ὁ μισθός.

Καὶ ὁ πλούσιος καὶ ὁ πτωχὸς συμμετέχουν εἰς τὴν ὠφέλειαν καθ' ὅμοιον τρόπον, μᾶλλον δὲ ὄχι καθ' ὅμοιον τρόπον, ἀλλὰ πολλὲς φορὲς φεύγει ὁ πτωχὸς ἀφοῦ ἔχει ἀπολαύσει περισσότερα ἀπὸ τὸν πλούσιον. Διατί ἆρά γε; Διότι ὁ μὲν πλούσιος κατεχόμενος ἀπὸ πολλὰς φροντίδας καὶ ἔχων τὴν ὑπερηφάνειαν καὶ τὴν ἀλαζονείαν ποὺ προέρχεται ἀπὸ τὴν εὐπορίαν, ζῶν μὲ ἀδιαφορίαν καὶ νωθρότητα, δὲν δέχεται τὸ φάρμακον ποὺ προέρχεται ἀπὸ τὴν ἀκρόασιν τῶν Γραφῶν μὲ μεγάλον ζῆλον, οὔτε μὲ πολλὴν προθυμίαν· ὁ δὲ πτωχὸς ὁ ὁποῖος εἶναι ἀπηλλαγμένος ἀπὸ μαλθακότητα, πολυφαγίαν καὶ νωθρότητα, καὶ καταναλίσκει ὅλον τὸν χρόνον του εἰς χειρωνακτικὴν ἐργασίαν καὶ εἰς τοὺς δικαίους κόπους, καὶ ἀπὸ ἐκεῖ συγκεντρώνει πολλὴν φιλοσοφίαν διὰ τὴν ψυχήν, γίνεται πιὸ προσεκτικὸς καὶ πιὸ δραστήριος καὶ προσέχει μὲ μεγαλυτέραν ἀκρίβειαν εἰς τὰ λεγόμενα· διὰ τοῦτο καὶ φεύγει ἀφοῦ ἔχει καρπωθῇ μεγαλυτέραν ὠφέλειαν, διότι ἔχει καταβάλει μεγαλύτερον τίμημα.

2. Δὲν τὰ εἶπα αὐτὰ διὰ νὰ κατηγορήσω ἁπλῶς τοὺς πλουσίους, οὔτε διὰ νὰ ἐπαινέσω τοὺς πτωχούς· διότι οὔτε ὁ πλοῦτος εἶναι κακόν, ἀλλὰ ἡ κακὴ χρῆσις τοῦ πλούτου· οὔτε ἡ πτωχεία εἶναι καλή, ἀλλὰ ἡ καλὴ χρῆσις τῆς πτωχείας. Ἐτιμωρεῖτο ὁ πλούσιος ἐκεῖνος εἰς τὴν περίπτωσιν τοῦ Λαζάρου, ὄχι ἐπειδὴ ἦταν πλούσιος, ἀλλὰ ἐπειδὴ ἦ-

ἀλλ' ἐπειδὴ ὠμὸς ἦν καὶ ἀπάνθρωπος. Ἐπῃνεῖτο ὁ πένης ἐκεῖνος ὁ ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ, οὐκ ἐπειδὴ πένης ἦν, ἀλλ' ἐπειδὴ μετ' εὐχαριστίας τὴν πενίαν ἤνεγκε. Τῶν γὰρ πραγμάτων (προσέχετε δὲ μετὰ ἀκριβείας τούτῳ τῷ λόγῳ· ἱκανὴν γὰρ ὑμῖν ἐνθεῖναι φιλοσοφίαν δυνήσεται, καὶ πάντα διεφθαρμένον λογισμὸν ἐκβαλεῖν, καὶ ποιῆσαι περὶ τῶν ὄντων ὀρθὴν ἔχειν τὴν κρίσιν), τῶν τοίνυν πραγμάτων τὰ μέν ἐστι φύσει καλά, τὰ δὲ τὸ ἐναντίον· τὰ δὲ οὔτε καλά, οὔτε κακά, ἀλλὰ τὴν μέσην τάξιν ἐπέχει.

Καλὸν ἡ εὐσέβεια φύσει, κακὸν ἡ ἀσέβεια· καλὸν ἡ ἀρετή, κακὸν ἡ πονηρία· ὁ δὲ πλοῦτος καὶ ἡ πενία καθ' ἑαυτὰ μὲν οὔτε τοῦτό ἐστιν, οὔτε ἐκεῖνο· παρὰ δὲ τὴν προαίρεσιν τῶν χρωμένων ἢ τοῦτο ἢ ἐκεῖνο γίνεται. Ἂν μὲν γὰρ πρὸς φιλανθρωπίαν χρήσῃ τῷ πλούτῳ, γέγονέ σοι καλοῦ τὸ πρᾶγμα ὑπόθεσις· ἂν δὲ εἰς ἁρπαγὰς καὶ πλεονεξίας καὶ ὕβριν, πρὸς τὸ ἐναντίον ἔτρεψας αὐτοῦ τὴν χρῆσιν· ἀλλ' οὐχ ὁ πλοῦτος αἴτιος, ἀλλ' ὁ πρὸς ὕβριν τῷ πλούτῳ χρησάμενος. Οὕτω καὶ περὶ τῆς πενίας ἐστὶν εἰπεῖν· ἂν μὲν γὰρ γενναίως αὐτὴν ἐνέγκῃς εὐχαριστῶν τῷ Δεσπότῃ, γέγονέ σοι στεφάνων τὸ πρᾶγμα ἀφορμὴ καὶ ὑπόθεσις· ἂν δὲ βλασφημῇς διὰ τοῦτο τὸν πεποιηκότα, καὶ κατηγορῇς αὐτοῦ τῆς προνοίας, ἐπὶ κακῷ πάλιν ἐχρήσω τῷ πράγματι. Ἀλλ' ὥσπερ ἐκεῖ τῆς πλεονεξίας οὐχ ὁ πλοῦτος αἴτιος, ἀλλ' ὁ κακῶς τῷ πλούτῳ χρησάμενος· οὕτω καὶ ἐνταῦθα τῆς βλασφημίας οὐ τὴν πενίαν αἰτιασόμεθα, ἀλλὰ τὸν μὴ βουληθέντα σωφρόνως τὸ πρᾶγμα ἐνεγκεῖν. Πανταχοῦ γὰρ καὶ ὁ ἔπαινος καὶ ὁ ψόγος τῆς γνώμης τῆς ἡμετέρας καὶ τῆς προαιρέσεώς ἐστιν. Ἀγαθὸς ὁ πλοῦτος, ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ᾧ μή ἐστιν ἁμαρτία· καὶ πάλιν, πονηρὰ ἡ πενία, ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ἐν στόματι ἀσεβοῦς, ἐπειδὴ δυσχεραίνει, ἐπειδὴ βλασφημεῖ, ἐπειδὴ ἀγανακτεῖ, ἐπειδὴ κατηγορεῖ τοῦ πεποιηκότος.

ταν σκληρὸς καὶ ἀπάνθρωπος. Ἐπῃνεῖτο ὁ πτωχὸς ἐκεῖνος, ὁ εὑρισκόμενος εἰς τοὺς κόλπους τοῦ Ἀβραάμ, ὄχι ἐπειδὴ ἦταν πτωχός, ἀλλ' ἐπειδὴ ὑπέφερε τὴν πτωχείαν μὲ εὐχαρίστησιν. Διότι ἀπὸ τὰ πράγματα (προσέχετε δὲ μὲ ἀκρίβειαν εἰς τὰ λόγια αὐτά, διότι θὰ ἠμπορέσουν νὰ σᾶς ἐμβάλουν ἀρκετὴν φιλοσοφίαν καὶ νὰ ἐκδιώξουν κάθε ἐσφαλμένην σκέψιν καὶ νὰ σᾶς κάμουν νὰ ἔχετε δι' αὐτὰ ὀρθὴν κρίσιν), ἀπὸ τὰ πράγματα λοιπόν, ἄλλα μὲν εἶναι ἐκ φύσεως καλά, ἄλλα δὲ ἀντιθέτως· καὶ ἄλλα οὔτε καλά, οὔτε κακά, ἀλλὰ ἔχουν μίαν μέσην θέσιν.

Εἶναι καλὸν πρᾶγμα ἡ εὐσέβεια ἐκ φύσεως, κακὸν δὲ ἡ ἀσέβεια· καλὸν ἡ ἀρετή, κακὸν ἡ πονηρία· ὁ δὲ πλοῦτος καὶ ἡ πτωχεία αὐτὰ καθ' ἑαυτὰ δὲν εἶναι οὔτε τοῦτο, οὔτε ἐκεῖνο· γίνεται δὲ τοῦτο ἢ ἐκεῖνο ἀπὸ τὴν διάθεσιν ἐκείνων ποὺ τὰ χρησιμοποιοῦν. Διότι ἐὰν μὲν χρησιμοποιήσῃς τὸν πλοῦτον σου διὰ φιλανθρωπίαν, σοῦ ἔχει γίνει ἀφορμὴ καλοῦ· ἂν δὲ εἰς ἁρπαγὰς καὶ πλεονεξίας καί αὐθαιρεσίας, μετέτρεψες τὴν χρῆσιν του πρὸς τὸ ἀντίθετον· ὅμως δὲν εἶναι αἴτιος ὁ πλοῦτος, ἀλλὰ αὐτὸς ποὺ ἐχρησιμοποίησε τὸν πλοῦτον δι' αὐθαιρεσίαν. Τὰ ἴδια ἠμποροῦμεν νὰ εἴπουμεν καὶ διὰ τὴν πτωχείαν· διότι ἂν μὲν μὲ γενναιοψυχίαν ὑποφέρῃς αὐτήν, εὐχαριστῶν τὸν Δεσπότην, σοῦ ἔχει γίνει αὕτη ἀφορμὴ καὶ ὑπόθεσις στεφάνων· ἂν ὅμως βλασφημῇς δι' αὐτὸ αὐτὸν ποὺ τὴν ἔκαμε καὶ κατηγορῇς τὴν πρόνοιαν αὐτοῦ, ἔκαμες πάλιν κακὴν χρῆσιν τοῦ πράγματος. Ἀλλὰ ὅπως ἐκεῖ δὲν ἦταν αἰτία τῆς πλεονεξίας ὁ πλοῦτος, ἀλλ' αὐτὸς ποὺ ἔκαμε κακὴν χρῆσιν τοῦ πλούτου, ἔτσι καὶ ἐδῶ διὰ τὴν βλασφημίαν δὲν θὰ κατηγορήσωμεν τὴν πτωχείαν, ἀλλὰ ἐκεῖνον ποὺ δὲν ἤθελε νὰ τὴν ὑπομείνῃ μὲ σωφροσύνην. Διότι παντοῦ καὶ ὁ ἔπαινος καὶ ἡ κατάκρισις προέρχονται ἐκ τῆς ἰδικῆς μας γνώμης καὶ προθέσεως. Καλὸς εἶναι ὁ πλοῦτος, ἀλλ' ὄχι ἐν γένει, ἀλλ' εἰς ἐκεῖνον ποὺ δὲν ἔχει ἁμαρτίαν· πονηρὰ εἶναι πάλιν ἡ πενία, ἀλλ' ὄχι γενικῶς, ἀλλὰ εἰς τὸ στόμα τοῦ ἀσεβοῦς, ἐπειδὴ δυστροπεῖ, ἐπειδὴ βλασφημεῖ, ἐπειδὴ ἀγανακτεῖ, ἐπειδὴ κατηγορεῖ τὸν Δημιουργόν.

3. Μὴ τοίνυν κατηγορῶμεν πλούτου, μηδὲ κακίζωμεν πενίαν ἁπλῶς, ἀλλὰ τοὺς οὐκ ἐθέλοντας τούτοις χρῆσθαι καλῶς· αὐτὰ γὰρ τὰ πράγματα ἐν μέσῳ κεῖται. Ἀλλ' ὅπερ ἔλεγον (καλὸν γὰρ ἐπανελθεῖν ἐπὶ τὴν προτέραν ὑπόθεσιν), ὅτι καὶ πλούσιος καὶ πένης μετὰ τῆς αὐτῆς ἀδείας καὶ παρρησίας τῶν ἐνταῦθα φαρμάκων ἀπολαύουσι· πολλάκις δὲ μετὰ πλείονος σπουδῆς ὁ πένης. Οὐδὲ γὰρ τοῦτο μόνον ἐστὶ τὸ ἐξαίρετον τῶν φαρμάκων, ὅτι ψυχὰς θεραπεύει, ὅτι μήκει χρόνου οὐ διαφθείρεται, ὅτι ὑπὸ νοσήματος οὐχ ἡττᾶται, ὅτι δωρεὰν πρόκειται ἡ ὠφέλεια, ὅτι ἐξ ἴσου καὶ πλουσίοις καὶ πένησι τὸ τῆς θεραπείας· ἀλλ' ἔχει τι καὶ ἕτερον οὐκ ἔλαττον τούτων τῶν ἀγαθῶν. Ποῖον δὴ τοῦτο;

Τοὺς ἐρχομένους εἰς τὸ ἰατρεῖον τοῦτο οὐ δημοσιεύομεν ἡμεῖς. Οἱ μὲν γὰρ εἰς τὰ ἰατρεῖα τὰ ἔξωθεν ἀπιόντες, πολλοὺς ἔχουσι τοὺς τὰ τραύματα θεωροῦντας· κἂν μὴ ἀποκαλύψῃ πρότερον ὁ ἰατρὸς τὸ ἕλκος, τὸ φάρμακον οὐκ ἐπιτίθησιν· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ μυρίους ὁρῶντες κάμνοντας, λανθανόντως ποιούμεθα τὴν θεραπείαν αὐτῶν. Οὐ γὰρ εἰς μέσον ἄγοντες τοὺς ἡμαρτηκότας, οὕτω δημοσιεύομεν αὐτῶν τὰ ἁμαρτήματα· ἀλλὰ κοινὴν ἅπασι προθέντες τὴν διδασκαλίαν, τῷ τῶν ἀκροωμένων συνειδότι καταλιμπάνομεν, ὥστε ἕκαστον τὸ κατάλληλον φάρμακον τῷ οἰκείῳ τραύματι ἐκ τῶν λεγομένων ἐπισπάσασθαι. Πρόεισι μὲν γὰρ ὁ λόγος τῆς διδασκαλίας ἀπὸ τῆς γλώττης τοῦ λέγοντος, ἔχων κατηγορίαν κακίας, ἔπαινον ἀρετῆς, μέμψιν ἀσελγείας, ἐγκώμιον σωφροσύνης, ψόγον ἀπονοίας, ἐπιεικείας ἔπαινον, καθάπερ ποικίλον καὶ παντοδαπὸν φάρμακον ἐξ ἁπάντων εἰδῶν συγκείμενον· τὸ δὲ πρόσφορον ἑαυτῷ καὶ χρήσιμον λαβεῖν,

3. Λοιπὸν ἂς μὴ κατηγοροῦμεν τὸν πλοῦτον, οὔτε νὰ κακίζωμεν ἐν γένει τὴν πτωχείαν, ἀλλ' ἐκείνους ποὺ δὲν θέλουν νὰ κάμουν καλὴν χρῆσιν αὐτῶν· διότι αὐτὰ τὰ πράγματα εὑρίσκονται εἰς τὸ μέσον. Ἀλλ' ἐκεῖνο τὸ ὁποῖον ἔλεγα (διότι εἶναι καλὸν νὰ ἐπανέλθω εἰς ἐκεῖνο ποὺ εἶπα προηγουμένως), ὅτι καὶ ὁ πλούσιος καὶ ὁ πτωχὸς ἀπολαμβάνουν μὲ τὴν ἰδίαν ἀφοβίαν καὶ θάρρος τῶν εἰς τὴν ἐκκλησίαν φαρμάκων, πολλάκις δὲ μὲ μεγαλύτερον ζῆλον ὁ πτωχός. Δὲν εἶναι μόνον αὐτὸ τὸ ἀξιοθαύμαστον τῶν φαρμάκων τὸ ὅτι θεραπεύουν τὰς ψυχάς, τὸ ὅτι δὲν καταστρέφονται ἀπὸ τὸν χρόνον, τὸ ὅτι δὲν νικῶνται ἀπὸ τὴν ἀσθένειαν, τὸ ὅτι ἡ ἐξ αὐτῶν ὠφέλεια παρέχεται δωρεάν, τὸ ὅτι ἐξ ἴσου καὶ εἰς τοὺς πλουσίους καὶ εἰς τοὺς πτωχοὺς παρέχουν τὴν θεραπείαν, ἀλλὰ ἔχουν καὶ κάτι ἄλλο ὄχι κατώτερον ἀπὸ τὰ καλὰ αὐτά. Ποῖον λοιπὸν εἶναι τοῦτο;

Αὐτοὺς ποὺ ἔρχονται εἰς τὸ ἰατρεῖον ἐμεῖς δὲν τοὺς κοινολογοῦμεν. Διότι ὅσοι πηγαίνουν εἰς τὰ ἐξωτερικὰ ἰατρεῖα πρὸς σωματικὴν θεραπείαν, ἔχουν πολλοὺς ποὺ βλέπουν τὰς πηγάς των· καὶ ἂν δὲν ἀποκαλύψῃ προηγουμένως ὁ ἰατρὸς τὴν πληγήν, δὲν ἐπιθέτει τὸ φάρμακον. Ἐδῶ ὅμως δὲν συμβαίνει ἔτσι, ἀλλὰ καίτοι βλέπομεν ἀναριθμήτους ἀσθενεῖς, τοὺς θεραπεύομεν δίχως νὰ τοὺς φανερώσωμεν. Διότι δὲν ὁδηγοῦμεν εἰς τὸ μέσον αὐτοὺς ποὺ ἔχουν ἁμαρτήσει δημοσιεύοντες ἔτσι τὰ ἁμαρτήματά των, ἀλλὰ παραθέτομεν εἰς ὅλους κοινὴν τὴν διδασκαλίαν καὶ τὴν ἀφήνωμεν εἰς τὴν συνείδησιν τῶν ἀκροατῶν, ὥστε κάθε ἕνας νὰ λάβῃ τὸ κατάλληλον φάρμακον ἀπὸ τὰ λεγόμενα διὰ τὸ ἀνάλογον τραῦμα. Διότι ἐξέρχεται μὲν ὁ λόγος τῆς διδασκαλίας ἀπὸ τὴν γλῶσσαν τοῦ ὁμιλοῦντος καὶ περιέχει τὴν κατηγορίαν τῆς κακίας, τὸν ἔπαινον τῆς ἀρετῆς, τὴν ἐπίπληξιν τῆς ἀσελγίας, τὸ ἐγκώμιον τῆς σωφροσύνης, τὴν κατάκρισιν τῆς ὑπερηφανείας, τὸν ἔπαινον τῆς ἀγαθότητος, ὡσὰν ποικίλον καὶ πολυσύνθετον φάρμακον ποὺ ἀποτελεῖται ἀπὸ ὅλα τὰ εἴδη. Τὸ νὰ λάβῃ δὲ κανεὶς τὸ κατάλληλον καὶ χρήσιμον διὰ τὸν ἑαυτόν του φάρμακον εἶναι

ἑκάστου τῶν ἀκουόντων ἐστί. Πρόεισι μὲν οὖν φανερῶς ὁ λόγος, εἰς δὲ τὸ ἑκάστου συνειδὸς ἐγκαθεζόμενος, λανθανόντως καὶ τὴν παρ' ἑαυτοῦ θεραπείαν παρέχει, καὶ πρὶν ἢ δημοσιευθῆναι τὸ νόσημα, τὴν ὑγίειαν πολλάκις ἐπήγαγεν.

4. Ἠκούσατε γοῦν χθές, πῶς ἐπῄνεσα τῆς εὐχῆς τὴν δύναμιν, πῶς ἐκάκισα τοὺς μετὰ ῥᾳθυμίας εὐχομένους, οὐδένα αὐτῶν δημοσιεύσας. Οἱ μὲν οὖν συνειδότες ἑαυτοῖς σπουδήν, ἐδέξαντο τὸ ἐγκώμιον τῆς εὐχῆς, καὶ ἐγένοντο σπουδαιότεροι τοῖς ἐπαίνοις· οἱ δὲ συνειδότες ἑαυτοῖς ῥᾳθυμίαν, ἐδέξαντο πάλιν τὴν ἐπιτίμησιν, καὶ τὴν ὀλιγωρίαν ἀπέθεντο. Ἀλλ' οὔτε τούτους, οὔτε ἐκείνους ἴσμεν· ἡ δὲ ἄγνοια ἀμφοτέροις χρήσιμος αὕτη. Πῶς, ἐγὼ λέγω.

Ὁ τῶν ἐγκωμίων ἀκούσας τῆς εὐχῆς, καὶ συνειδὼς ἑαυτῷ σπουδήν, εἰ πολλοὺς εἶχε μάρτυρας τῶν ἐγκωμίων, πρὸς ἀπόνοιαν ἂν ἐξωλίσθησε· νυνὶ δὲ λανθανόντως δεξάμενος τὸν ἔπαινον, πάσης ἀλαζονείας ἀπήλλακται. Πάλιν ὁ συνειδὼς ἑαυτῷ ῥᾳθυμίαν, τῆς κατηγορίας ἀκούσας, ἐγένετο βελτίων ἀπὸ τῆς κατηγορίας οὐδένα σχὼν τῆς ἐπιτιμήσεως γνωστῶν ἀνθρώπων· τοῦτο δὲ αὐτὸν οὐχ ὡς ἔτυχεν ὤνησε. Διὰ γὰρ τὸ πρὸς τὴν τῶν πολλῶν ἐπτοῆσθαι δόξαν, ἕως μὲν ἂν λανθάνειν νομίζωμεν ὄντες κακοί, σπουδάζομεν γίνεσθαι βελτίους· ἐπειδὰν δὲ πᾶσι γενώμεθα κατάδηλοι, καὶ τὴν ἐκ τοῦ λανθάνειν ἀπολέσωμεν παραμυθίαν, ἀναισχυντότεροι καὶ ῥᾳθυμότεροι μᾶλλον γινόμεθα. Καὶ καθάπερ τὰ ἕλκη γυμνούμενα, καὶ ἀέρι ψυχρῷ συχνῶς ὁμιλοῦντα, χαλεπώτερα γίνονται· οὕτω καὶ ἡ ψυχὴ ἡμαρτηκυῖα, ἂν μεταξὺ πολλῶν ἐλέγχηται ἐφ' οἷς ἐπλημμέλησεν, ἀναισχυντοτέρα γίνεται. Ἵν' οὖν μὴ τοῦτο γένηται, λανθανόντως ὁ λόγος ὑμᾶς ἐθεράπευσε.

Καὶ ἵνα μάθητε, ὅτι ἡ λανθάνουσα αὕτη ἰατρεία πολὺ τὸ

ἔργον ἑνὸς ἑκάστου τῶν ἀκουόντων. Ἐξέρχεται μὲν λοιπὸν φανερὰ ὁ λόγος καὶ ἀφοῦ εἰσδύσῃ μέσα εἰς τὴν συνείδησιν τοῦ καθενός, λανθανόντως καὶ τὴν ἰδικήν του θεραπείαν παρέχει, καὶ πρὶν νὰ γίνῃ γνωστὴ ἡ ἀσθένεια πολλὲς φορὲς ἐπαναφέρει τὴν ὑγείαν.

4. Ἀκούσατε λοιπὸν χθὲς πῶς ἐπήνεσα τὴν δύναμιν τῆς προσευχῆς, πῶς ἐκάκισα αὐτοὺς ποὺ προσεύχονται μὲ νωθρότητα, δίχως νὰ ἀναφέρω κανένα ἀπὸ αὐτούς. Ὅσοι λοιπὸν συνῃσθάνοντο τοὺς ἑαυτούς των προθύμους, ἐδέχθησαν τὸ ἐγκώμιον τῆς προσευχῆς καὶ ἔγιναν σπουδαιότεροι διὰ τῶν ἐπαίνων· ὅσοι δὲ συνῃσθάνοντο τοὺς ἑαυτούς των νωθρούς, ἐδέχθησαν πάλιν τὴν κατηγορίαν καὶ ἀπεμάκρυναν τὴν ἀδιαφορίαν. Ἀλλὰ οὔτε τούτους οὔτε ἐκείνους γνωρίζομεν· αὐτὴ δὲ ἡ ἄγνοια εἶναι χρήσιμος καὶ διὰ τοὺς δύο· τὸ πῶς δὲ θὰ σᾶς εἰπῶ.

Ἐκεῖνος ποὺ ἤκουσε τοὺς ἐπαίνους τοὺς διὰ τὴν προσευχὴν καὶ συνῃσθάνετο τὸν ἑαυτόν του πρόθυμον, ἐὰν εἶχε πολλοὺς μάρτυρας τῶν ἐπαίνων του, θὰ ἠμποροῦσε νὰ κατρακυλήσῃ πρὸς τὴν ὑπερηφάνειαν· τώρα ὅμως ποὺ ἐδέχθη τὸν ἔπαινον δίχως νὰ τὸν ἀντιληφθοῦν οἱ ἄλλοι ἔχει ἀπαλλαγῆ ἀπὸ κάθε ἀλαζονείαν. Ἐκεῖνος πάλιν ποὺ γνωρίζει τὴν νωθρότητά του, ὅταν ἤκουσε τὴν ἐπίπληξιν, ἔγινε καλύτερος ἐξ αἰτίας τῆς ἐπιτιμήσεως, χωρίς κανεὶς νὰ λάβῃ γνῶσιν τῆς πρὸς αὐτὸν ἐπιτιμήσεως. Τοῦτο δὲ τὸν ὠφέλησεν ὄχι ὀλίγον. Διότι ἐξ αἰτίας τοῦ ὅτι φοβούμεθα τὴν γνώμην τῶν πολλῶν, καθ' ὃν χρόνον νομίζομεν ὅτι διαφεύγομεν τῆς προσοχῆς των, ἐνῷ εἴμεθα κακοί, προσπαθοῦμε νὰ γίνωμεν καλύτεροι· ὅταν ὅμως γίνωμεν φανεροὶ εἰς ὅλους καὶ χάσωμε τὴν παρηγορίαν ποὺ εἴχομεν ὡς ἀγνοούμενοι ὑπὸ τῶν ἄλλων, γινόμεθα τότε πιὸ ἀναιδεῖς καὶ πιὸ ράθυμοι. Καὶ ὅπως ὅταν γυμνώνωνται αἱ πληγαὶ καὶ ἐκτίθενται συχνὰ εἰς ψυχρὸν ἀέρα γίνονται χειρότεραι, ἔτσι καὶ ἡ ψυχὴ ποὺ ἔχει ἁμαρτήσει, ἂν ἐλέγχεται μεταξὺ πολλῶν δι' ὅσα ἡμάρτησεν, γίνεται πιὸ ἀναιδής. Διὰ νὰ μὴ συμβῇ λοιπὸν τοῦτο σᾶς ἐθεράπευσεν ὁ λόγος κρυφά.

Καὶ διὰ νὰ μάθετε **ὅτι ἡ κρυφὴ** αὐτὴ θεραπεία ἔχει

κέρδος ἔχει, ἀκούσατε τί φησιν ὁ Χριστός· «Ἐὰν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ἔλεγξον αὐτόν»· καὶ οὐκ εἶπε, μεταξὺ σοῦ καὶ τῆς πόλεως, οὐδὲ μεταξὺ σοῦ καὶ τοῦ δήμου, ἀλλά, «Μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου». Ἀμάρτυρος ἔστω, φησίν, ἡ κατηγορία, ἵνα εὔκολος γένηται ἡ πρὸς διόρθωσιν μεταβολή. Μέγα ἄρα ἀγαθόν, τὸ ποιεῖσθαι τὴν παραίνεσιν μὴ δημοσιευομένην. Ἀρκεῖ τὸ συνειδός, ἀρκεῖ ὁ κριτὴς ἐκεῖνος ὁ ἀδέκαστος. Οὐχ οὕτω σὺ ἐπιτιμᾷς τῷ ἡμαρτηκότι, ὡς τὸ συνειδὸς ἑαυτοῦ (πικρότερός ἐστιν ὁ κατήγορος ἐκεῖνος), οὔτε ἀκριβέστερον εἰδὼς τὰ πεπλημμελημένα. Μὴ τοίνυν προσθῇς τραῦμα τραύμασι, δημοσιεύων τὸν ἡμαρτηκότα, ἀλλ' ἀμάρτυρον ποιοῦ τὴν παραίνεσιν.

Τοῦτο τοίνυν καὶ ἡμεῖς ποιοῦμεν νῦν, ὅπερ καὶ Παῦλος ἐποίησεν, ἀμάρτυρον κατασκευάζων τοῦ παρὰ Κορινθίοις ἡμαρτηκότος τὴν κατηγορίαν. Καὶ ἄκουε πῶς. «Διὰ τοῦτο», φησίν, «ἀδελφοί, μετεσχημάτισα ταῦτα εἰς ἐμαυτὸν καὶ Ἀπολλώ». Καὶ μὲν οὐχὶ αὐτός, οὐδὲ Ἀπολλὼ ἦσαν οἱ σχίσαντες τὸν δῆμον καὶ τὴν Ἐκκλησίαν διατεμόντες· ἀλλ' ὅμως συνεσκίασε τὴν κατηγορίαν, καὶ καθάπερ προσωπείοις τισί, τοῖς αὐτοῦ καὶ Ἀπολλὼ ὀνόμασι τὰς τῶν ὑπευθύνων ἀποκρύψας ὄψεις, ἐξουσίαν αὐτοῖς ἐδίδου μεταβαλέσθαι ἐκ τῆς πονηρίας ἐκείνης. Καὶ πάλιν, «Μήπως ἐλθόντα με ὁ Θεὸς ταπεινώσῃ, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ καὶ ἀσελγείᾳ ᾗ ἔπραξαν»· Ὅρα πῶς καὶ ἐνταῦθα ἀδιορίστως λέγει τοὺς ἡμαρτηκότας, ἵνα μὴ φανερὰν ποιήσας τὴν κατηγορίαν, ἀναισχυντοτέραν ἐργάσηται τὴν τῶν ἡμαρτηκότων ψυχήν. Ὥσπερ οὖν ἡμεῖς μετὰ τοσαύτης φειδοῦς τοὺς ἐλέγχους ποιούμεθα, οὕτω, παρακαλῶ, καὶ ὑμεῖς μετὰ πάσης σπουδῆς δέχεσθε τὴν διόρθωσιν, καὶ μετὰ ἀκριβείας τοῖς λεγομένοις προσέχετε.

5. Διελέχθημεν ὑμῖν χθὲς περὶ τῆς δυνάμεως τῆς κατὰ

---

1. Ματθ. 18, 15.
2. Ματθ. 18, 15.
3. Α' Κορ. 4, 6.
4. Β' Κορ. 12, 21.

πολὺ μεγάλην ὠφέλειαν, ἀκούσατε τί λέγει ὁ Χριστός· «ἐὰν ὁ ἀδελφός σου ἁμαρτήσῃ πήγαινε καὶ ἔλεγξέ τον»[1]. Δὲν εἶπε μεταξὺ σοῦ καὶ τῆς πόλεως, οὔτε μεταξὺ σοῦ καὶ τοῦ πλήθους, ἀλλὰ «ὅταν θὰ εἶσθε οἱ δυό σας μόνοι»[2]. Ἂς εἶναι χωρὶς μάρτυρας ἡ κατηγορία, λέγει, διὰ νὰ γίνῃ εὔκολη ἡ ἀλλαγὴ πρὸς διόρθωσιν. Ἄρα λοιπὸν εἶναι πολὺ μεγάλο καλὸ τὸ νὰ κάμῃς τὴν συμβουλήν, χωρὶς νὰ τὴν δημοσιεύσῃς. Ἀρκεῖ ἡ συνείδησις, ἀρκεῖ ὁ κριτὴς ἐκεῖνος ὁ ἀμερόληπτος. Δὲν ἐπιπλήττεις κατὰ τὸν ἴδιον τρόπον ἐσὺ αὐτὸν ποὺ ἡμάρτησεν, ὅπως ἡ συνείδησίς του (εἶναι δριμύτερος ὁ κατήγορος ἐκεῖνος), οὔτε γνωρίζεις μὲ ἀκρίβειαν τὰ ἁμαρτήματα. Λοιπὸν μὴ προσθέσῃς τραῦμα ἐπάνω εἰς τραύματα, γνωστοποιῶν αὐτὸν ποὺ ἡμάρτησεν, ἀλλὰ νὰ κάμῃς τὴν συμβουλὴν ἀμαρτύρητον.

Αὐτὸ λοιπὸν πράττομεν καὶ ἡμεῖς τώρα, ὅπως ἔπραξε καὶ ὁ Παῦλος ποὺ ἔκαμεν ἀμαρτύρητον τὴν κατηγορίαν τοῦ ἁμαρτήσαντος εἰς τοὺς Κορινθίους. Καὶ ἄκουε πῶς. «Διὰ τοῦτο», λέγει, «ἀδελφοί, αὐτὰ ποὺ σᾶς εἶπα τὰ μετέτρεψα ὥστε νὰ ἐφαρμόζουν εἰς τὸν ἑαυτόν μου καὶ τὸν Ἀπολλώ»[3]. Καὶ ὅμως δὲν ἦτο οὔτε αὐτός, οὔτε ὁ Ἀπολλὼ ποὺ διέσπασαν τὸν λαὸν εἰς πολλὰς μερίδας καί διῄρεσαν τὴν ἐκκλησίαν· ὅμως συνεκάλυψε τὴν κατηγορίαν, καὶ ὡσὰν μὲ κάποια προσωπεῖα, εἰς τὸ ὄνομα αὐτοῦ καὶ τοῦ Ἀπολλώ, ἀπέκρυψε τὰ πρόσωπα τῶν ὑπευθύνων καὶ ἔδωσε τὸ δικαίωμα εἰς αὐτοὺς νὰ ἀπαλλαγοῦν ἀπὸ τὴν πονηρίαν ἐκείνην. Καὶ πάλιν· «Μήπως ὅταν ἔλθω πάλιν, μὲ ταπεινώσει ὁ Θεός μου καὶ πενθήσω πολλοὺς ποὺ ἡμάρτησαν προηγουμένως καὶ δὲν μετενόησαν διὰ τὴν ἀκαθαρσίαν καὶ τὴν ἀσέλγειαν ποὺ διέπραξαν»[4]. Βλέπε πῶς ὁμιλεῖ καὶ ἐδῶ ἀπροσδιορίστως δι' αὐτοὺς ποὺ ἡμάρτησαν, διὰ νὰ μὴ κάμῃ φανερὰν τὴν κατηγορίαν καὶ κάμῃ θρασυτέρας τὰς ψυχὰς τῶν ἁμαρτησάντων. Ὅπως λοιπὸν ἐμεῖς μὲ τόσην φειδὼ κάμνομεν τοὺς ἐλέγχους ἔτσι, παρακαλῶ, καὶ ἐσεῖς μὲ πολλὴν ζῆλον νὰ δέχεσθε τὴν διόρθωσιν καὶ νὰ προσέχετε μὲ προσοχὴν εἰς αὐτὰ ποὺ λέγονται.

5. Σᾶς ὡμίλησα χθὲς περὶ τῆς δυνάμεως τῆς προσευ-

τὴν εὐχήν. Ἔδειξα πῶς ὁ διάβολος τότε ἐφεδρεύει κακοῦργος ὤν. Ἐπειδὴ γὰρ μέγιστον κέρδος ἐκ τῆς εὐχῆς ὁρᾷ γινόμενον ἡμῖν, τότε μάλιστα ἐπιτίθεται· ἵνα ἡμᾶς ἐκκρούσῃ τῆς ἀπολογίας, ἵνα κεναῖς οἴκαδε ἀποπέμψῃ χερσί. Καὶ καθάπερ ἐπὶ τῶν ἀρχόντων, ἐπειδὰν οἱ τῆς τάξεως καὶ περὶ αὐτὸν ὄντες τὸν ἄρχοντα ἀπεχθῶς ἔχωσι πρὸς τοὺς ἐντυγχάνοντας, διὰ τῶν ῥάβδων πόρρωθεν αὐτοὺς ἀπελαύνουσι, κωλύοντες προσελθεῖν καὶ ἀποδύρασθαι καὶ φιλανθρωπίας τυχεῖν· οὕτω καὶ ὁ διάβολος, ἐπειδὰν ἴδῃ προσιόντας τῷ δικαστῇ, πόρρωθεν ἀπελαύνει, οὐ διὰ ῥάβδου, ἀλλὰ διὰ ῥᾳθυμίας. Οἶδε γάρ, οἶδε σαφῶς, ὅτι ἂν προσέλθωσι νήφοντες, καὶ εἴπωσι τὰ ἡμαρτημένα, καὶ ἀποδύρωνται ζεούσῃ τῇ ψυχῇ, πολλὴν λαβόντες συγγνώμην ἀπέρχονται· φιλάνθρωπος γάρ ἐστιν ὁ Θεός· καὶ διὰ τοῦτο προλαμβάνει, καὶ ἀπάγει τῆς ἐντεύξεως αὐτούς, ἵνα μηδενὸς ὧν δέονται ἐπιτύχωσιν. Ἀλλ' οἱ μὲν στρατιῶται τῶν ἀρχόντων μετὰ βίας ἀποσοβοῦσι τοὺς ἐντυγχάνοντας· ὁ δὲ οὐ μετὰ ἀνάγκης, ἀλλ' ἀπατῶν ἡμᾶς καὶ εἰς ῥᾳθυμίαν ἐμβάλλων. Διὰ τοῦτο οὐδὲ συγγνώμης ἐσμὲν ἄξιοι, ἑκόντες ἑαυτοὺς ἀποστεροῦντες τῶν ἀγαθῶν.

Φῶς ἐστι διανοίας καὶ ψυχῆς ἡ μετὰ σπουδῆς εὐχή, φῶς ἄσβεστον καὶ διηνεκές. Διὰ τοῦτο μυρίους συρφετοὺς λογισμῶν ἐμβάλλει ταῖς ἡμετέραις διανοίαις, καὶ ἅπερ οὐδέποτε ἐλογισάμεθα, ταῦτα συνάγων ἐν τῷ καιρῷ τῆς εὐχῆς καταχεῖ ταῖς ψυχαῖς ἡμῶν. Καὶ καθάπερ ἄνεμοι πολλάκις ἀπεναντίας προσπίπτοντες, λυχνιαῖον πῦρ ἀναπτόμενον ῥιπίσαντες ἔσβεσαν· οὕτω καὶ ὁ διάβολος, ἐπειδὰν ἴδῃ τὴν φλόγα τῆς εὐχῆς ἡμῖν ἀναπτομένην, μυρίαις φροντίσιν ἔνθεν καὶ ἔνθεν ῥιπίζων, οὐ πρότερον ἀφίσταται ἕως ἂν σβέσῃ τὸ φῶς. Ἀλλ'

χῆς. Σᾶς ἔδειξα ὅτι τότε ὁ Διάβολος παραμονεύει, διότι εἶναι κακοῦργος. Διότι, ἐπειδὴ βλέπει νὰ γίνεται εἰς ἐμᾶς μεγάλη ὠφέλεια ἀπὸ τὴν προσευχήν, τότε κυρίως μᾶς ἐπιτίθεται, διὰ νὰ μᾶς στερήσῃ τὴν ἀπολογίαν, διὰ νὰ μᾶς ἀποστείλῃ εἰς τὸ σπίτι μας μὲ ἄδεια χέρια. Καὶ ὅπως συμβαίνει εἰς τοὺς ἄρχοντας, ὅταν ἐκεῖνοι ποὺ εἶναι διὰ τὴν διατήρησιν τῆς τάξεως καὶ διὰ τὴν ἀσφάλειαν τοῦ ἄρχοντος ἐχθρεύωνται τοὺς πρὸς αὐτὸν ἐρχομένους, τοὺς διώχνουν ἀπὸ μακρυὰ διὰ τῶν ράβδων, καὶ τοὺς ἐμποδίζουν νὰ ἔλθουν νὰ εὐεργετηθοῦν καὶ τοὺς κτυποῦν, ἔτσι καὶ ὁ Διάβολος ὅταν ἰδῇ ἀνθρώπους νὰ προσέρχωνται εἰς τὸν δικαστὴν τοὺς διώχνει ἀπὸ μακρυά, ὄχι διὰ τῆς ράβδου, ἀλλὰ διὰ τῆς ραθυμίας. Διότι γνωρίζει — καὶ τὸ γνωρίζει καλὰ — ὅτι ἂν προσέλθουν μὲ σωφροσύνην καὶ εἰποῦν τὰ ἁμαρτήματα καὶ θρηνήσουν μὲ θερμὴν τὴν ψυχήν, φεύγουν τελείως συγχωρημένοι, διότι εἶναι φιλάνθρωπος ὁ Θεός. Διὰ τοῦτο λοιπὸν προλαμβάνει ὁ Διάβολος καὶ ἀπομακρύνει αὐτοὺς ἀπὸ τὴν μετὰ τοῦ Θεοῦ ἀναστροφήν, διὰ νὰ μὴ ἐπιτύχουν τίποτε ἀπὸ ὅσα ἔχουν ἀνάγκην. Καὶ οἱ μὲν στρατιῶται τῶν βασιλέων ἐκδιώκουν μὲ βίαν ἐκείνους ποὺ τοὺς πλησιάζουν, αὐτὸς ὅμως ὄχι μὲ βίαν, ἀλλὰ ἀφοῦ μᾶς ἐξαπατήσῃ καὶ βάλῃ ἐντός μας τὴν νωθρότητα. Διὰ τοῦτο δὲν εἴμεθα οὔτε ἄξιοι συγχωρήσεως, διότι ἀποστεροῦμεν ἑκουσίως τοὺς ἑαυτούς μας ἀπὸ τὰ ἀγαθά.

Φῶς τοῦ νοῦ καὶ τῆς ψυχῆς εἶναι ἡ προσευχὴ ποὺ γίνεται μὲ ζῆλον, εἶναι φῶς ἄσβεστον καὶ διαρκές. Διὰ τοῦτο ἀναριθμήτους φαύλους λογισμοὺς ἐμβάλλει ὁ Διάβολος εἰς τὰς ψυχάς μας, καὶ ἐκεῖνα ποὺ οὐδέποτε ἔχομεν σκεφθῆ, αὐτὰ συγκεντρώνει κατὰ τὴν ὥραν τῆς προσευχῆς καὶ τὰ ἐκχύνει εἰς τὰς ψυχάς μας. Καὶ καθὼς πολλὲς φορὲς ἄνεμοι ποὺ πνέουν ἐκ διαφόρων κατευθύνσεων φῶς λύχνου, ποὺ ἀνάβει, διὰ τῆς σφοδρότητός των σβήνουν, ἔτσι καὶ ὁ διάβολος, ὅταν βλέπῃ νὰ ἀνάβῃ ἡ φλόγα τῆς προσευχῆς σὲ ἐμᾶς, μὲ πολλὰς φροντίδας τὴν προσβάλλει ἀπὸ ὅλα τὰ μέρη καὶ δὲν ἀπομακρύνεται ἀπὸ ἐκεῖ παρὰ τότε μόνον ἀφοῦ προηγουμένως σβήσῃ τὸ φῶς. Ἀλλὰ ὅ,τι κάμνουν οἱ

ὅπερ οἱ τοὺς λύχνους ἐκείνους ἀνάπτοντες ποιοῦσι, τοῦτο καὶ ἡμεῖς ποιήσωμεν. Τί δὲ ἐκεῖνοι ποιοῦσιν;

Ἐπειδὰν ἴδωσιν ἄνεμον προσιόντα σφοδρόν, τὸν δάκτυλον ἐπιθέντες τῇ ὀπῇ τοῦ λύχνου ἀποτειχίζουσι τῷ πνεύματι τὴν εἴσοδον. Ἕως μὲν γὰρ ἂν ἔξωθεν προσβάλλῃ, δυνησόμεθα ἀντιστῆναι· ἐπειδὰν δὲ ἀνοίξωμεν αὐτῷ τὰς θύρας τῆς διανοίας, καὶ ἔνδον δεξώμεθα τὸν ἐχθρόν, οὐκ ἔτι λοιπὸν οὐδὲ μικρὸν ἀντιστῆναι δυνάμεθα· ἀλλὰ πανταχόθεν κατασβέσας ἡμῶν τὴν μνήμην, ὥσπερ λύχνον καπνιζόμενον, ἀφίησι τὸ στόμα ῥήματα προφέρειν κενά.

Ἀλλ' ὥσπερ ἐκεῖνοι τὸν δάκτυλον ἐπιτιθέασι τῇ ὀπῇ τοῦ λύχνου, οὕτως ἡμεῖς ἐπιθῶμεν τὸν λογισμὸν τῇ ἡμετέρᾳ διανοίᾳ· ἀποφράξωμεν τοῦ πονηροῦ πνεύματος τὴν εἴσοδον, ἵνα μὴ σβέσῃ ἡμῶν τὸ φῶς τῆς εὐχῆς.

Μέμνησθε τούτων ἀμφοτέρων τῶν παραδειγμάτων, καὶ τοῦ τῶν στρατιωτῶν, καὶ τοῦ ἄρχοντος, καὶ τοῦ κατὰ τὸν λύχνον; Διὰ γὰρ τοῦτο ταῦτα λέγομεν ὑμῖν τὰ παραδείγματα, ἐν οἷς στρεφόμεθα, ἐν οἷς ἐσμεν, ἵνα καὶ ἐντεῦθεν ἀναχωρήσαντες καὶ οἴκοι γονόμενοι, ἀπὸ τῶν ἐν χερσὶ πραγμάτων ὑπόμνησιν λαμβάνωμεν τῶν εἰρημένων. Μέγα ὅπλον εὐχή, καὶ μεγάλη ἀσφάλεια.

6. Ἠκούσατε χθές, πῶς οἱ τρεῖς παῖδες πεπεδημένοι κατέλυσαν τὴν τοῦ πυρὸς δύναμιν, πῶς κατεπάτησαν τὴν φλόγα, πῶς περιεγένοντο τῆς καμίνου, καὶ τῆς ἐνεργείας ἐκράτησαν τοῦ στοιχείου; Ἀκούσατε σήμερον πάλιν, πῶς ὁ γενναῖος καὶ μέγας Ἰσαὰκ αὐτῆς περιεγένετο τῆς τῶν σωμάτων φύσεως δι' εὐχῆς. Ἐκεῖνοι κατέλυσαν τοῦ πυρὸς τὴν δύναμιν, οὗτος σήμερον τῆς φύσεως πεπηρωμένης ἔλυσε τὰ δεσμά. Καὶ μάθε πῶς τοῦτο ἐποίει. «Ἐδέετο», φησίν, «Ἰσαὰκ περὶ τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν». Ταῦτα σήμερον ὑμῖν ἀνεγνώσθη· χθὲς περὶ εὐχῆς ὁ λόγος, καὶ σήμερον πάλιν

5. Γεν. 25, 21.

ἀνάπτοντες τοὺς λύχνους ἐκείνους, καὶ ἐμεῖς τὸ ἴδιον θὰ κάμωμεν. Τί κάμνουν λοιπὸν ἐκεῖνοι;

Ὅταν ἴδουν ὅτι ἐπέρχεται δυνατὸς ἄνεμος, ἀφοῦ θέσουν τὸν δάκτυλόν τους εἰς τὴν ὀπὴν τοῦ λύχνου ἀποφράσσουν τὴν εἴσοδον εἰς τὸν ἄνεμον. Διότι καθ' ὃν χρόνον θὰ μᾶς ἐπιτίθεται ἀπὸ ἔξω, θὰ ἠμπορέσωμεν νὰ ἀντισταθῶμεν, ὅταν ὅμως ἀνοίξωμεν εἰς αὐτὸν τὰς θύρας τοῦ λογισμοῦ καὶ δεχθῶμεν ἐντὸς τὸν ἐχθρόν, δὲν δυνάμεθα νὰ ἀντισταθῶμεν καθόλου καὶ ἀφοῦ σβήσῃ ἐντελῶς τὴν μνήμην μας θὰ ἀφήσῃ νὰ προσφέρῃ τὸ στόμα λόγια κενά, ὡσὰν τὸν λύχνον ποὺ καπνίζει.

Ἀλλὰ ὅπως ἐκεῖνοι τοποθετοῦν τὸν δάκτυλον εἰς τὴν ὀπὴν τοῦ λύχνου, ἔτσι καὶ ἐμεῖς ἂς ἐπιθέσωμεν τὸν λογισμὸν εἰς τὴν ἰδικήν μας διάνοιαν, καὶ ἂς κλείσωμεν τὴν εἴσοδον εἰς τὸ πονηρὸν πνεῦμα, διὰ νὰ μὴ μᾶς σβήσῃ τὸ φῶς τῆς προσευχῆς.

Ἐνθυμεῖσθε τὰ δύο παραδείγματα αὐτά, καὶ τὸ παράδειγμα τῶν στρατιωτῶν καὶ τοῦ ἄρχοντος καὶ τὸ παράδειγμα τοῦ λύχνου; Δι' αὐτὸ λοιπὸν λέγων εἰς ἐσᾶς αὐτὰ τὰ παραδείγματα εἰς τὰ ὁποῖα ἐξακολουθοῦμεν νὰ ἐνδιατρίβωμεν καὶ νὰ εὑρισκώμεθα, διὰ νὰ ἐνθυμούμεθα τὰ λεχθέντα ἀπὸ τὰ παραδείγματα αὐτά, ὅταν θὰ ἀναχωρήσωμεν ἀπὸ ἐδῶ καὶ θὰ εἴμεθα εἰς τὰς οἰκίας μας. Εἶναι μεγάλο ὅπλον ἡ προσευχὴ καὶ μεγάλη ἀσφάλεια.

6. Ἀκούσατε χθὲς πῶς οἱ τρεῖς παῖδες δεσμευμένοι κατέλυσαν τὴν δύναμιν τοῦ πυρός, πῶς περιεφρόνησαν τὴν φλόγα καὶ ὑπερίσχυσαν τῆς καμίνου, πῶς ἐνίκησαν τὴν ἐνέργειαν τοῦ στοιχείου; Ἀκούσατε σήμερα πάλιν πῶς ὁ γενναῖος καὶ μέγας Ἰσαὰκ ὑπερίσχυσεν αὐτῆς τῆς φύσεως τῶν σωμάτων διὰ τῆς προσευχῆς. Ἐκεῖνοι κατέλυσαν τὴν δύναμιν τοῦ πυρός, αὐτὸς σήμερα κατήργησε τὰ δεσμὰ τῆς ἀναπήρου φύσεως. Καὶ μάθε πῶς τὸ ἔκαμε αὐτό. «Προσηύχετο», λέγει, «ὁ Ἰσαὰκ πρὸς τὸν Θεὸν διὰ τὴν γυναῖκα του, διότι ἦταν στεῖρα»[5]. Αὐτὰ σήμερα εἰς ἐσᾶς ἀνεγνώσθησαν· χθὲς περὶ τῆς προσευχῆς ἦτο ὁ λόγος καὶ σήμερα πάλι ἀπο-

ἀπόδειξις τῆς δυνάμεως τῆς εὐχῆς. Ὁρᾶτε πῶς ἡ τοῦ Πνεύματος ᾠκονόμησε χάρις σύμφωνα τοῖς χθὲς εἰρημένοις ἀναγνωσθῆναι τὰ τήμερον; «Ἐδέετο», φησίν, «Ἰσαὰκ περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν». Τοῦτο πρῶτον ἄξιον ζητῆσαι, τίνος ἕνεκεν στεῖρα ἦν. Βίου ἦν θαυμαστοῦ καὶ πολλῆς γέμοντος σωφροσύνης καὶ αὐτή, καὶ ὁ ἀνήρ. Οὐκ ἔχομεν ἐπιλαβέσθαι τῆς ζωῆς τῶν δικαίων, καὶ εἰπεῖν, ὅτι ἔργον ἁμαρτιῶν ἡ στείρωσις. Καὶ οὐκ αὐτὴ στεῖρα μόνον, ἀλλὰ καὶ ἡ μήτηρ αὐτοῦ ἡ Σάρρα, ἡ τεκοῦσα αὐτόν· οὐχ ἡ μήτηρ δὲ αὐτοῦ μόνον στεῖρα ἦν, οὐδὲ ἡ γυνή, ἀλλὰ καὶ ἡ νύμφη, ἡ τοῦ Ἰακὼβ γυνὴ ἡ Ῥαχήλ. Τί βούλεται τῶν στειρῶν τούτων ὁ χορός; Πάντες δίκαιοι, πάντες ἐν ἀρετῇ ζῶντες, πάντες ὑπὸ τοῦ Θεοῦ ἐμαρτυρήθησαν. Περὶ γὰρ αὐτῶν ἔλεγεν· «Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ». Περὶ τῶν αὐτῶν καὶ Παῦλος οὕτω πως λέγει· «Δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ὁ Θεός, Θεὸς καλεῖσθαι αὐτῶν».

Πολλὰ αὐτῶν τὰ ἐγκώμια ἐν τῇ Καινῇ, πολλοὶ αὐτῶν οἱ ἔπαινοι ἐν τῇ Παλαιᾷ. Πανταχόθεν λαμπροὶ καὶ εὐδόκιμοι, καὶ πάντες στείρας ἔσχον γυναῖκας, καὶ ἐν ἀπαιδίᾳ μέχρι πολλοῦ διετέλεσαν χρόνου. Ὅταν οὖν ἴδῃς, ἄνδρα καὶ γυναῖκα ἀρετῇ συζῶντας, ὅταν ἴδῃς θεοφιλεῖς, εὐσεβείας ἐπιμελουμένους, καὶ ἀπαιδίαν νοσοῦντας, μὴ νομίσῃς ἁμαρτιῶν εἶναι πάντως τὴν ἀπαιδίαν ἀνταπόδοσιν. Πολλοὶ γὰρ τῆς οἰκονομίας οἱ τοῦ Θεοῦ λόγοι καὶ ἡμῖν ἀπόρρητοι, καὶ ὑπὲρ πάντων εὐχαριστεῖν δεῖ, καὶ μόνους ἐκείνους ταλανίζειν τοὺς ἐν κακίᾳ ζῶντας, οὐχὶ τοὺς παιδία μὴ κεκτημένους. Πολλάκις ὁ Θεὸς ποιεῖ συμφερόντως· ἡμεῖς δὲ τὴν αἰτίαν τῶν γινομένων οὐκ ἴσμεν. Διὰ τοῦτο πανταχοῦ θαυμάζειν χρὴ αὐτοῦ τὴν σοφίαν, καὶ δοξάζειν τὴν φιλανθρωπίαν αὐτοῦ τὴν ἄφατον.

---

6. Γεν. 25, 21.
7. Ἐξ. 3, 6.
8. Ἑβρ. 11, 16.

δεικνύεται ἡ δύναμις τῆς προσευχῆς. Βλέπετε πῶς τὰ ἐξοικονόμησεν ἡ χάρις τοῦ Πνεύματος, ὥστε σύμφωνα μὲ τὰ λεχθέντα χθές, νὰ ἀκουσθοῦν τὰ σημερινά; «Προσηύχετο», λέγει, «ὁ Ἰσαὰκ διὰ τὴν Ρεβέκκαν τὴν γυναῖκα του, διότι ἦταν στεῖρα»[6]. Πρέπει νὰ ἀναζητήσωμεν πρῶτα τοῦτο· διὰ ποίαν αἰτίαν ἦτο στεῖρα. Ὁ βίος των ἦτο ἀξιοθαύμαστος καὶ πλήρης σωφροσύνης, καὶ αὐτῆς καὶ τοῦ ἀνδρός της. Δὲν ἠμποροῦμεν νὰ κατηγορήσωμεν τὴν ζωὴν τῶν δικαίων τούτων καὶ νὰ εἰποῦμεν ὅτι ἡ στείρωσις ἦτο ἀποτέλεσμα τῶν ἁμαρτιῶν. Καὶ δὲν ἦτο μόνον αὐτὴ στεῖρα, ἀλλὰ καὶ ἡ μητέρα του ἡ Σάρρα ποὺ τὸν ἐγέννησεν καὶ ὄχι μόνον ἡ μητέρα του ἦτο στεῖρα, ὄχι μόνον ἡ γυναῖκα του, ἀλλὰ καὶ ἡ νύφη του, ἡ γυναῖκα τοῦ υἱοῦ του Ἰακώβ, ἡ Ραχήλ. Τί θέλει ὁ χορὸς τῶν στειρῶν τούτων; Ὅλοι ἦσαν δίκαιοι, ὅλοι ἐνάρετοι, ὅλοι ἔχουν μαρτυρηθῆ ὡς ἐνάρετοι ἀπὸ τὸν Θεόν. Διότι περὶ αὐτῶν ἔλεγεν· «Ἐγὼ εἶμαι ὁ Θεὸς τοῦ Ἀβραὰμ καὶ ὁ Θεὸς τοῦ Ἰσαὰκ καὶ ὁ Θεὸς τοῦ Ἰακώβ»[7]. Περὶ αὐτῶν καὶ ὁ Παῦλος λέγει τὰ ἑξῆς· «διὰ τὸν λόγον αὐτὸν δὲν ἐντρέπεται ὁ Θεὸς νὰ ὀνομάζεται Θεός των»[8].

Πολλὰ εἶναι τὰ ἐγκώμια αὐτῶν εἰς τὴν Καινὴν Διαθήκην, πολλοὶ οἱ ἔπαινοι αὐτῶν εἰς τὴν Παλαιὰν Διαθήκην. Εἰς ὅλα ἦσαν λαμπροὶ καὶ ἔνδοξοι καὶ ὅλοι εἶχον στείρας γυναῖκας, καὶ ἦσαν ἄτεκνοι ἐπί πολὺ χρονικὸν διάστημα. Ὅταν λοιπὸν βλέπῃς ἀνδρόγυνον νὰ συζῇ ἐνάρετα, ὅταν βλέπῃς νὰ ἀγαποῦν τὸν Θεόν, νὰ φροντίζουν διὰ τὴν εὐσέβειαν καὶ νὰ μὴ ἠμποροῦν νὰ ἀποκτήσουν τέκνα, νὰ μὴ νομίσῃς ὅτι ὁπωσδήποτε ἡ ἀτεκνία εἶναι ἀνταπόδοσις τῶν ἁμαρτιῶν. Διότι εἶναι πολλοὶ οἱ λόγοι τῆς οἰκονομίας τοῦ Θεοῦ καὶ εἰς ἐμᾶς ἀπόρρητοι, καὶ δι᾽ ὅλα πρέπει νὰ τὸν εὐχαριστοῦμεν καὶ μόνον ἐκείνους ποὺ ζοῦν εἰς τὴν κακίαν πρέπει νὰ ἐλεεινολογοῦμεν, καὶ ὄχι αὐτοὺς ποὺ δὲν ἔχουν τέκνα. Πολλάκις ὁ Θεὸς ἐνεργεῖ πρὸς τὸ συμφέρον μας, ἐμεῖς ὅμως τὸν λόγον διὰ τὸν ὁποῖον γίνονται δὲν γνωρίζομεν. Διὰ τοῦτο παντοῦ πρέπει νὰ θαυμάζωμεν τὴν σοφίαν του καὶ νὰ δοξάζωμεν τὴν ἀνέκφραστον φιλανθρωπίαν του.

7. Ἀλλὰ οὗτος μὲν εἰς ἦθος ὁ λόγος ἡμᾶς παιδεῦσαι δύναται· δεῖ δὲ καὶ τὴν αἰτίαν εἰπεῖν, δι' ἣν ἦσαν αἱ γυναῖκες ἐκεῖναι στεῖραι. Τίς οὖν ἡ αἰτία; Ἵν', ὅταν ἴδῃς τὴν παρθένον τίκτουσαν τὸν κοινὸν ἡμῶν Δεσπότην, μὴ ἀπιστήσῃς. Οὐκοῦν γύμνασόν σου τὴν διάνοιαν ἐν τῇ μήτρᾳ τῶν στειρῶν· ἵν', ὅταν ἴδῃς πεπηρωμένην καὶ δεδεμένην τὴν μήτραν πρὸς παιδοποιΐαν ἀνοιγομένην ἐκ τῆς τοῦ Θεοῦ χάριτος, μὴ θαυμάσῃς ἀκούων ὅτι παρθένος ἔτεκε. Μᾶλλον δὲ καὶ θαύμασον, καὶ ἐκπλάγηθι, ἀλλὰ μὴ ἀπιστήσῃς τῷ θαύματι. Ὅταν λέγῃ πρὸς σὲ ὁ Ἰουδαῖος, πῶς ἔτεκεν ἡ παρθένος; εἰπὲ πρὸς αὐτόν, πῶς ἔτεκεν ἡ στεῖρα καὶ γεγηρακυῖα; Δύο κωλύματα τότε ἦν, τό τε ἄωρον τῆς ἡλικίας, καὶ τὸ ἄχρηστον τῆς φύσεως· ἐπὶ δὲ τῆς παρθένου ἓν κώλυμα μόνον ἦν, τὸ μὴ μετασχεῖν γάμου. Προοδοποιεῖ τοίνυν τῇ παρθένῳ ἡ στεῖρα. Καὶ ἵνα μάθῃς ὅτι διὰ τοῦτο αἱ στεῖραι προέλαβον, ἵνα πιστευθῇ τῆς παρθένου ὁ τόκος, ἄκουσον τῶν ῥημάτων τοῦ Γαβριὴλ τῶν πρὸς αὐτήν. Ἐπειδὴ γὰρ ἦλθε καὶ εἶπεν αὐτῇ, «Συλλήψῃ ἐν γαστρί, καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν», ἐξεπλάγη ἡ παρθένος καὶ ἐθαύμασε, καὶ εἶπε· «Πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω;». Τί οὖν ὁ ἄγγελος; «Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ». Μὴ ζήτει φύσεως ἀκολουθίαν, φησίν, ὅταν ὑπὲρ φύσιν ᾖ τὸ γινόμενον· μὴ περιβλέπου γάμον καὶ ὠδῖνα, ὅταν μείζων γάμου τῆς γενέσεως ὁ τρόπος ᾖ. «Καὶ πῶς ἔσται τοῦτο», φησίν, «ἐπεὶ ἄνδρα οὐ γινώσκω;». Καὶ μὴν διὰ τοῦτο ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκεις. Εἰ γὰρ ἐγίνωσκες ἄνδρα, οὐκ ἂν κατηξιώθης ὑπηρετήσασθαι τῇ διακονίᾳ ταύτῃ.

Ὥστε δι' ὃ ἀπιστεῖς, διὰ τοῦτο πίστευε. Οὐκ ἂν δὲ κατηξιώθης τοιαύτῃ διακονίᾳ ὑπηρετήσασθαι, οὐκ ἐπειδὴ κακὸν ὁ γάμος, ἀλλ' ἐπειδὴ κρείσσων ἡ παρθενία· τὴν δὲ τοῦ Δε-

9. Λουκᾶ 1, 31.
10. Λουκᾶ 1, 34.
11. Λουκᾶ 1, 35.
12. Λουκᾶ 1, 34.

7. Ἀλλὰ αὐτὸς μὲν ὁ λόγος ἠμπορεῖ νὰ μᾶς ὠφελήσῃ ἠθικῶς, πρέπει ὅμως νὰ εἴπουμεν καὶ τὴν αἰτίαν διὰ τὴν ὁποίαν ἦσαν αἱ γυναῖκες ἐκεῖναι στεῖραι. Ποία λοιπὸν ἦτο ἡ αἰτία; Διὰ νὰ μὴ ἀπιστήσῃς, ὅταν θὰ ἰδῇς τὴν Παρθένον νὰ γεννᾷ τὸν κοινὸν ἡμῶν Δεσπότην. Λοιπὸν προετοίμασε τὴν διάνοιάν σου διὰ τῆς μήτρας τῶν στειρῶν, ὥστε, ἀφοῦ θὰ ἰδῇς ἀνάπηρον καὶ κλειστὴν μήτραν νὰ παιδοποιῇ διὰ τῆς χάριτος τοῦ Θεοῦ, νὰ μὴ ἐκπλαγῇς ὅταν ἀκούσῃς ὅτι παρθένος ἐγέννησεν. Μᾶλλον δὲ νὰ θαυμάσῃς καὶ νὰ ἀπορήσῃς, ἀλλὰ νὰ μὴ ἀπιστήσῃς εἰς τὸ θαῦμα.

Ὅταν λέγῃ πρὸς ἐσὲ ὁ Ἰουδαῖος, πῶς ἐγέννησεν ἡ παρθένος; Νὰ εἰπῇς πρὸς αὐτόν, πῶς ἐγέννησεν ἡ στεῖρα καὶ συγχρόνως γραῖα; Δύο ἦσαν τότε τὰ ἐμπόδια πρὸς τοκετόν· ἀφ' ἑνὸς τὸ παράκαιρον τῆς ἡλικίας, ἀφ' ἑτέρου ἡ ἀχρήστευσις τῆς φύσεως. Εἰς τὴν Παρθένον ὑπῆρχε μόνον ἕνα ἐμπόδιον, τὸ ὅτι δὲν ἦλθεν εἰς γάμον. Διανοίγει λοιπὸν ἡ στεῖρα τὴν ὁδὸν εἰς τὴν Παρθένον. Καὶ διὰ νὰ μάθῃς ὅτι διὰ τοῦτο προηγήθησαν αἱ στεῖραι, διὰ νὰ πιστευθῇ ὁ τόκος τῆς Παρθένου, ἄκουσε τὰ λόγια τοῦ ἀρχαγγέλου Γαβριὴλ πρὸς αὐτήν. Ὅταν δηλαδὴ ἦλθε πρὸς αὐτὴν καὶ εἶπε «θὰ συλλάβῃς, καὶ θὰ γεννήσῃς υἱόν, καὶ θὰ τὸν ὀνομάσῃς Ἰησοῦν»[9], ἐξεπλάγη ἡ Παρθένος, ἠπόρησε καὶ εἶπεν· «πῶς θὰ γίνῃ τοῦτο, ἀφοῦ δὲν ἔχω ἄνδρα;»[10]. Τί ἀπήντησε λοιπὸν ὁ ἄγγελος; «Πνεῦμα ἅγιον θὰ ἔλθῃ εἰς ἐσέ»[11]. Μὴ ζητῇς τάξιν φυσικήν, λέγει, ὅταν αὐτὸ ποὺ γίνεται εἶναι ὑπὲρ φύσιν· μὴ παρατηρῇς γάμον καὶ πόνους τοκετοῦ, ὅταν εἶναι ὁ τρόπος τῆς γεννήσεως ἀνώτερος τοῦ γάμου. «Καὶ πῶς θὰ γίνῃ τοῦτο», λέγει, «ἀφοῦ δὲν ἔχω ἄνδρα;»[12]. Ἀκριβῶς διὰ τοῦτο θὰ γίνῃ αὐτὸ ἐπειδὴ δὲν γνωρίζεις ἄνδρα. Διότι ἐὰν ἐγνώριζες ἄνδρα, δὲν θὰ εἶχες ἀξιωθῇ νὰ προσφέρῃς τὴν ὑπηρεσίαν αὐτήν.

Ὥστε δι' ἐκεῖνο ποὺ ἀπιστεῖς, δι' αὐτὸ νὰ πιστεύῃς. Δὲν θὰ εἶχες ἀξιωθῇ νὰ προσφέρῃς τὴν ὑπηρεσίαν αὐτήν, ὄχι ἐπειδὴ εἶναι κακὸς ὁ γάμος, ἀλλ' ἐπειδὴ εἶναι καλυτέρα ἡ παρθενία· ἡ δὲ εἴσοδος τοῦ Δεσπότου ἔπρεπε νὰ εἶναι

σπότου εἴσοδον σεμνοτέραν ἐχρῆν εἶναι τῆς ἡμετέρας· βασιλικὴ γὰρ ἦν· ὁ δὲ βασιλεὺς διὰ σεμνοτέρας εἰσέρχεται. Ἔδει καὶ κοινωνεῖν τὴν γέννησιν ἐκεῖνον, καὶ ἐξηλλάχθαι τῆς ἡμετέρας. Οὐκοῦν ἀμφότερα ταῦτα οἰκονομεῖται. Τὸ μὲν γὰρ ἀπὸ μήτρας γενέσθαι, κοινὸν πρὸς ἡμᾶς· τὸ δὲ χωρὶς γάμων γενέσθαι, μεῖζον ἢ καθ' ἡμᾶς. Καὶ τὸ μὲν ἐν γαστρὶ κυηθῆναι καὶ συλληφθῆναι, τῆς φύσεως τῆς ἀνθρωπίνης· τὸ δὲ χωρὶς μίξεως γενέσθαι τὴν κύησιν, σεμνότερον τῆς φύσεως τῆς ἀνθρωπίνης. Διὰ τοῦτο δὲ ἀμφότερα ταῦτα γέγονεν, ἵνα καὶ τὴν ὑπεροχὴν καὶ τὴν κοινωνίαν τὴν πρὸς σὲ μάθῃς τοῦ τικτομένου.

8. Καὶ σκόπει μοι τὴν σοφίαν τῶν γινομένων. Οὔτε ἡ ὑπεροχὴ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν καὶ συγγένειαν ἐλυμήνατο, οὔτε ἡ πρὸς ἡμᾶς συγγένεια τὴν ὑπεροχὴν ἠμαύρωσεν, ἀλλ' ἑκάτερα ἐδείκνυτο διὰ τῶν πραγμάτων ἁπάντων· καὶ τὰ μὲν ὁλόκληρα εἶχεν ἡμέτερα, τὰ δὲ ἐξηλλαγμένα πρὸς ἡμᾶς.

Ἀλλ' ὅπερ ἔλεγον, ὅτι διὰ τοῦτο προέλαβον αἱ στεῖραι, ἵνα πιστευθῇ τῆς παρθένου ὁ τόκος, ἵνα αὐτὴ χειραγωγηθῇ πρὸς τὴν πίστιν τῆς ἐπαγγελίας καὶ τῆς ὑποσχέσεως ἐκείνης, ἧς ἤκουσε παρὰ τοῦ ἀγγέλου λέγοντος, «Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι»· οὕτω, φησίν, ἔχεις τεκεῖν. Μὴ βλέπε πρὸς τὴν γῆν· ἀπὸ τῶν οὐρανῶν ἡ ἐνέργεια ἔρχεται. Πνεύματός ἐστι χάρις τὸ γινόμενον, μὴ ζήτει μοι φύσιν καὶ νόμους γάμων. Ἀλλ' ἐπειδὴ μείζονα ταύτης ἐκεῖνα ἦν τὰ ῥήματα, βούλεται καὶ ἑτέραν παρασχεῖν ἀπόδειξιν. Σὺ δέ μοι παρατήρει, πῶς ἡ στεῖρα αὐτὴν ὁδηγεῖ πρὸς τὴν πίστιν τούτου. Ἐπειδὴ γὰρ ἐκείνη ἡ ἀπόδειξις μείζων ἦν τῆς διανοίας τῆς παρθένου, ἄκουσον πῶς καὶ ἐπὶ τὰ ταπεινότερα κατήγαγε τὸν λόγον, διὰ τῶν αἰσθητῶν αὐτὴν χειραγωγῶν. «Ἰδοὺ γάρ», φησίν, «Ἐλισάβετ ἡ

---

13. Λουκᾶ 1, 35.

λαμπροτέρα ἀπὸ τὴν ἰδικήν μας, διότι ἦτο βασιλική, ὁ δὲ βασιλεὺς εἰσέρχεται διὰ λαμπροτέρας ὁδοῦ. Ἔπρεπε καὶ νὰ γεννηθῇ ἐκεῖνος καὶ νὰ διαφέρῃ ἡ γέννησίς του ἀπὸ τὴν ἰδικήν μας. Λοιπὸν καὶ τὰ δύο αὐτὰ οἰκονομοῦνται. Διότι τὸ ὅτι ἐγεννήθη ἐκ μήτρας εἶναι κοινὸν πρὸς τὴν γέννησίν μας, τὸ ὅτι δὲ ἐγεννήθη χωρὶς νὰ ἔχῃ προηγηθῆ προηγουμένως γάμος εἶναι ἀνώτερον ἀπὸ τὴν ἰδικήν μας γέννησιν. Καὶ τὸ νὰ συλληφθῇ καὶ νὰ κυηθῇ εἰς τὴν κοιλίαν εἶναι ἴδιον τῆς ἀνθρωπίνης φύσεως, τὸ νὰ γίνῃ ὅμως ἡ κύησις χωρὶς μῖξιν εἶναι ἀνώτερον ἀπὸ τὴν ἀνθρωπίνην φύσιν. Διὰ τοῦτο ἔγιναν καὶ τὰ δύο αὐτά, διὰ νὰ μάθῃς καὶ τὴν ὑπεροχὴν καὶ τὴν συμμετοχὴν τοῦ τικτομένου εἰς τὴν ἰδίαν γέννησιν.

8. Καὶ παρατήρησε, παρακαλῶ, τὴν σοφίαν τῶν γενομένων. Οὔτε ἡ ὑπεροχὴ ἔβλαψε τὴν ὁμοίωσιν καὶ τὴν πρὸς ἡμᾶς συγγένειαν, οὔτε ἡ πρὸς ἡμᾶς συγγένεια ἠμαύρωσε τὴν ὑπεροχήν, ἀλλὰ κάθε μία ἀπὸ τὰς δύο καθίστατο γνωστὴ δι' ὅλων τῶν πραγμάτων· καὶ κατ' ἄλλα μὲν ἦτο τελείως ὅμοιος πρὸς ἡμᾶς, κατ' ἄλλα δὲ διάφορος ἡμῶν.

Ἀλλὰ ἂς συνεχίσω ἐκεῖνο ποὺ σᾶς ἔλεγα, ὅτι δι' αὐτὸ προηγήθησαν αἱ στεῖραι διὰ νὰ πιστευθῇ ὁ τόκος τῆς Θεοτόκου, διὰ νὰ χειραγωγηθῇ αὐτὴ εἰς τὴν πίστιν τῆς ἐπαγγελίας ἐκείνης καὶ τῆς ὑποσχέσεως τὴν ὁποίαν ἤκουσεν ἀπὸ τὸν ἄγγελον ποὺ ἔλεγεν· «Πνεῦμα ἅγιον θὰ ἔλθῃ εἰς ἐσὲ καὶ δύναμις ὑψίστου θὰ σὲ σκιάσῃ»[18]· ἔτσι θὰ γεννήσῃς, λέγει. Μὴ παρατηρῇς αὐτὰ ποὺ γίνονται εἰς τὴν γῆν· ἀπὸ τοὺς οὐρανοὺς ἔρχεται ἡ ἐνέργεια. Τὸ γενόμενον συμβαίνει χάρις εἰς τὴν δύναμιν τοῦ ἁγίου Πνεύματος· μὴ ἐρευνᾷς τὴν φύσιν καὶ τοὺς νόμους τῶν γάμων. Ἀλλ' ἐπειδὴ ἦσαν ἀκατάληπτα εἰς αὐτὴν τὰ λόγια ἐκεῖνα θέλει νὰ παράσχῃ εἰς αὐτὴν καὶ ἄλλην ἀπόδειξιν. Σὺ ὅμως παρατήρησε πῶς ὁδηγεῖ αὐτὴν ἡ στεῖρα πρὸς τὴν πίστιν αὐτοῦ τοῦ πράγματος. Ἐπειδὴ δηλαδὴ ἡ ἀπόδειξις ἐκείνη ὑπερέβαινε τὴν διάνοιαν τῆς Παρθένου, ἄκουσε πῶς ἔφερε τὸν λόγον πιὸ κοντὰ χειραγωγῶν αὐτὴν διὰ φανερῶν πραγμάτων. Διότι

συγγενής σου, καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρᾳ αὐτῆς· καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ».

Ὁρᾷς ὅτι ἡ στεῖρα διὰ τὴν παρθένον; ἐπεί, τίνος ἕνεκεν παρήγαγεν αὐτῇ τὸν τόκον τῆς συγγενίδος; τίνος ἕνεκεν ἔλεγεν, «Ἐν γήρᾳ αὐτῆς»; τίνος ἕνεκεν ἐπήγαγε, «Τῇ καλουμένῃ στείρᾳ»; Διὰ πάντων τούτων ἐνάγων αὐτήν· δηλονότι πρὸς τὸ πιστεῦσαι τῷ εὐαγγελισμῷ. Διὰ τοῦτο καὶ τὴν ἡλικίαν εἶπε, καὶ τὴν πήρωσιν τῆς φύσεως· διὰ τοῦτο καὶ τὸν χρόνον ἀνέμεινε τὸν ἀπὸ τῆς συλλήψεως· οὐ γὰρ ἐκ προοιμίων αὐτῇ εὐθέως εὐηγγελίσατο, ἀλλ' ἀνέμεινεν ἑξαμηνιαῖον χρόνον τῇ στείρᾳ γενέσθαι· ἵνα ὁ τῆς γαστρὸς ὄγκος λοιπὸν τὴν κύησιν ἐγγυήσηται, καὶ ἀναμφισβήτητος ἀπόδειξις γένηται τῆς συλλήψεως.

Καὶ θέα μοι πάλιν τὴν σύνεσιν τοῦ Γαβριήλ. Οὐδὲ γὰρ ἀνέμνησεν αὐτῆς τῆς Σάρρας, οὐδὲ τῆς Ρεβέκκας, οὐδὲ τῆς Ραχήλ· καίτοι καὶ αὗται στεῖραι ἦσαν, καὶ αὗται γεγηρακυῖαι, καὶ θαῦμα τὸ γινόμενον ἦν, ἀλλὰ παλαιὰ τὰ διηγήματα ἦν. Τῶν δὲ ἀρχαίων τὰ νέα καὶ πρόσφατα καὶ κατὰ τὴν γενεὰν συμβαίνοντα τὴν ἡμετέραν μᾶλλον ἡμᾶς εἰς πίστιν τῶν θαυμάτων ἐνάγειν εἴωθε. Διὰ τοῦτο ἐκείνας ἀφείς, ἀπ' αὐτῆς ἐννοῆσαι τῆς συγγενίδος τῆς Ἐλισάβετ τὸ ἐπ' αὐτῇ προεβάλλετο, ὥστε ἀπ' ἐκείνης πρὸς τὸν οἰκεῖον αὐτὴν τόκον ἐναγαγεῖν τὸν φρικωδέστατον ἐκεῖνον καὶ σεμνότατον. Μέσος γὰρ τοῦ τε ἡμετέρου καὶ τοῦ δεσποτικοῦ ὁ τόκος ὁ τῆς στείρας ἦν, ἐλάττων μὲν τοῦ τῆς παρθένου, μείζων δὲ τοῦ ἡμετέρου. Διὰ τοῦτο, ὥσπερ διά τινος γεφύρας, μέσης τῆς Ἐλισάβετ, ἀπὸ τῶν κατὰ φύσιν ὠδίνων ἐπὶ τοὺς ὑπὲρ φύσιν ἀνάγει τῆς παρθένου τὴν διάνοιαν.

---

14. Λουκᾶ 1, 36.

λέγει· «νὰ καὶ ἡ Ἐλισάβετ ἡ συγγενής σου, συνέλαβε καὶ αὐτὴ υἱὸν εἰς τὰ γεράματά της, καὶ αὐτὴ ποὺ θεωρεῖται στεῖρα, εἶναι τώρα εἰς τὸν ἕκτον μῆνα τῆς κυήσεως»[14].

Βλέπεις ὅτι ἡ στεῖρα προηγήθη διὰ τὴν Παρθένον; Διότι διὰ ποῖον λόγον ἔφερεν ὡς παράδειγμα εἰς αὐτὴν τὸν τόκον τῆς συγγενοῦς της; διὰ ποῖον λόγον ἔλεγεν «εἰς τὰ γεράματά της»; διὰ ποῖον λόγον ἀνέφερεν «αὐτὴ ποὺ θεωρεῖται στεῖρα»; Δι' ὅλων τούτων ἤθελε νὰ ὁδηγήσῃ αὐτὴν νὰ πιστεύσῃ εἰς τὸν εὐαγγελισμόν της. Δι' αὐτὸ ἀνέφερε καὶ τὴν ἡλικίαν καὶ τὴν ἀναπηρίαν τῆς φύσεως, διὰ τοῦτο ἀνέμενε καὶ τὸ χρονικὸν διάστημα τὸ μεσολαβῆσαν ἀπὸ τὴν σύλληψιν, διότι δὲν εὐηγγελίσθη εἰς αὐτὴν εὐθὺς ἐξ ἀρχῆς, ἀλλὰ ἐπερίμενε νὰ περάσῃ χρονικὸν διάστημα ἓξ μηνῶν διὰ νὰ ἀποτελῇ ἀπόδειξιν διὰ τὴν κύησιν τὸ μέγεθος τῆς κοιλίας, καὶ διὰ νὰ εἶναι ἀναμφισβήτητος ἀπόδειξις τῆς συλλήψεως.

Καὶ βλέπε πάλιν, παρακαλῶ, τὴν σύνεσιν τοῦ Γαβριήλ, διότι δὲν ἐνεθύμησεν εἰς αὐτὴν οὔτε τὴν Σάρραν, οὔτε τὴν Ρεβέκκαν, οὔτε τὴν Ραχήλ, καίτοι καὶ αὐταὶ ἦσαν στεῖραι καὶ εἶχαν γηράσει, καὶ ἦτο θαῦμα αὐτὸ ποὺ ἔγινεν εἰς αὐτάς· ἀλλὰ τὰ παραδείγματα αὐτὰ ἦσαν παλαιά. Τὰ νέα καὶ πρόσφατα καὶ αὐτὰ ποὺ συμβαίνουν εἰς τὴν ἰδικήν μας γενεάν, περισσότερον ἀπὸ τὰ παλαιὰ παραδείγματα συνήθως μᾶς ὁδηγοῦν εἰς τὴν πίστιν τῶν θαυμάτων. Διὰ τοῦτο ἀφοῦ ἄφησεν ἐκείνας προσεπάθησε νὰ τὴν κάμῃ νὰ ἐννοήσῃ ἀπὸ αὐτὴν τὴν συγγενῆ της τὴν Ἐλισάβετ αὐτὸ ποὺ ἔγινεν εἰς αὐτήν, ὥστε ἀπὸ τὸν τοκετὸν ἐκείνη νὰ τὴν φέρῃ εἰς τὸν ἰδικόν της ποὺ εἶναι πολὺ πιὸ φρικώδης καὶ πιὸ ἔνδοξος ἀπὸ ἐκεῖνον. Διότι εἶναι εἰς τὸ μέσον, μεταξὺ τῆς ἰδικῆς μας καὶ τῆς δεσποτικῆς, ἡ γέννησις τῆς στείρας· εἶναι μὲν κατώτερη ἀπὸ τὴν γέννησιν τῆς Παρθένου, ἀνώτερη δὲ ἀπὸ τὴν ἰδικήν μας. Διὰ τοῦτο, διὰ μέσου τῆς Ἐλισάβετ, ὡσὰν μὲ κάποιαν γέφυραν, ἀπὸ τοὺς φυσικοὺς πόνους τοῦ τοκετοῦ ὁδηγεῖ τὴν σκέψιν τῆς Παρθένου εἰς τὸν ὑπερφυσικὸν τόκον.

9. Ἐβουλόμην πλείονα εἰπεῖν, καὶ ἑτέρους λόγους ὑμᾶς διδάξαι, δι' οὓς στεῖρα ἡ Ρεβέκκα καὶ ἡ Ραχὴλ ἦν· ἀλλ' ὁ καιρὸς οὐκ ἀφίησι κατεπείγων τὸν λόγον πρὸς τὴν τῆς εὐχῆς δύναμιν. Διὰ γὰρ τοῦτο καὶ ταῦτα πάντα ἐκινήσαμεν, ἵνα μάθητε, πῶς τὴν στείρωσιν τῆς γυναικὸς ἔλυσε τοῦ Ἰσαὰκ ἡ εὐχή, καὶ εὐχὴ τοσούτου χρόνου. «Ἐδέετο», φησίν, «Ἰσαὰκ περὶ Ρεβέκκας τῆς γυναικὸς αὐτοῦ, καὶ ἐπήκουσεν αὐτοῦ ὁ Θεός». Μὴ γὰρ νομίσῃς ὅτι ἐκάλεσε τὸν Θεόν, καὶ εὐθέως εἰσηκούσθη· πολὺν γὰρ ἀνάλωσε χρόνον δεόμενος τοῦ Θεοῦ.

Καὶ εἰ βούλεσθε μαθεῖν πόσον, ἐγὼ ὑμῖν καὶ τοῦτο μετὰ ἀκριβείας ἐρῶ. Εἴκοσι ἐτῶν ἀριθμὸν ἀνάλωσε δεόμενος τοῦ Θεοῦ. Πόθεν τοῦτο δῆλον; Ἐκ τῆς ἀκολουθίας αὐτῆς. Βουλομένη γὰρ ἡ Γραφὴ τὴν πίστιν καὶ τὴν ὑπομονὴν καὶ τὴν φιλοσοφίαν δεῖξαι τοῦ δικαίου, οὐδὲ τὸν χρόνον ἀπεσιώπησεν, ἀλλὰ καὶ αὐτὸν δῆλον ἡμῖν ἐποίησε, λανθανόντως μέν, ὥστε διεγεῖραι ἡμῶν τὴν ῥᾳθυμίαν, πλὴν ἀλλ' οὐκ ἀφῆκεν εἶναι ἀφανῆ. Ἄκουσον γοῦν πῶς λανθανόντως ἡμῖν τὸν χρόνον ἐδήλωσεν. «Ἰσαὰκ δὲ ἦν ἐτῶν τεσσαράκοντα», φησίν, «ὅτε ἔλαβε τὴν Ρεβέκκαν θυγατέρα Βαθουὴλ τοῦ Σύρου». Ἔμαθες πόσων ἐτῶν ἦν, ὅτε τὴν γυναῖκα ἠγάγετο; Τεσσαράκοντα ἐτῶν, φησίν, ἦν ὅτε ἔλαβε τὴν Ρεβέκκαν. Ἀλλ' ἐπειδὴ ἐμάθομεν πόσων ἐτῶν ὢν ἔγημε τὴν γυναῖκα, μάθωμεν καὶ πότε ἐγένετο λοιπὸν πατήρ, καὶ πόσων ἐτῶν ἦν τότε, ὅτε ἐγέννησε τὸν Ἰακώβ· καὶ δυνησόμεθα ἰδεῖν πόσον ἔμεινε χρόνον στεῖρα ἡ γυνή, καὶ ὅτι τοῦτον ἅπαντα ἐδέετο τοῦ Θεοῦ τὸν χρόνον. Πόσων οὖν ἐτῶν ἦν, ὅτε ἐγέννησε τὸν Ἰακώβ; «Ἐξῆλθε», φησίν, «Ἰακὼβ ἐπειλημμένος τῇ δεξιᾷ τῆς πτέρνης τοῦ ἀδελφοῦ αὐτοῦ· διὰ τοῦτο ἐκάλεσεν αὐτὸν Ἰακώβ, ἐκεῖνον δὲ Ἡσαῦ. Ἰσαὰκ δὲ ἦν ἐτῶν ἑξήκοντα, ὅτε ἐγέννη-

---

15. Γεν. 25, 21.
16. Γεν. 25, 20.

9. Ἤθελα νὰ εἰπῶ περισσότερα, καὶ νὰ σᾶς ἀναφέρω καὶ ἄλλους λόγους διὰ τοὺς ὁποίους ἦτο στεῖρα ἡ Ρεβέκκα καὶ ἡ Ραχήλ, ἀλλὰ δὲν μᾶς ἐπιτρέπει ὁ χρόνος καὶ μὲ βιάζει νὰ ἐπαναφέρω τὸν λόγον διὰ νὰ σᾶς ὁμιλήσω διὰ τὴν δύναμιν τῆς προσευχῆς. Διὰ τοῦτο ἄλλωστε ὅλα αὐτὰ τὰ ἀνεφέραμεν, διὰ νὰ μάθετε πῶς ἔλυσε τὴν στείρωσιν τῆς γυναικός του ἡ προσευχή, καὶ μάλιστα προσευχὴ μακροχρόνιος. «Προσηύχετο», λέγει, «ὁ Ἰσαὰκ διὰ τὴν Ρεβέκκαν τὴν γυναῖκα του καὶ ἡ προσευχή του εἰσηκούσθη ἀπὸ τὸν Θεόν»[15]. Καὶ μὴ νομίσῃς ὅτι παρεκάλεσε τὸν Θεὸν καὶ ἀμέσως εἰσηκούσθη, ἀλλὰ ἀφιέρωσε πολὺν χρόνον παρακαλῶν τὸν Θεόν.

Καὶ ἐὰν θέλετε νὰ μάθετε πόσον χρόνον θὰ σᾶς εἰπῶ μὲ ἀκρίβειαν. Εἴκοσι ἔτη κατηνάλωσε παρακαλῶν τὸν Θεόν. Ἀπὸ ποῦ γίνεται τοῦτο φανερόν; Ἀπὸ τὴν ἰδίαν συνέχειαν τῆς διηγήσεως. Διότι ἐπειδὴ ἤθελεν ἡ Γραφὴ νὰ φανερώσῃ τὴν πίστιν καὶ τὴν ὑπομονὴν καὶ τὴν ἐνάρετον ζωὴν ἐκείνου, δὲν ἀπεσιώπησεν οὔτε τὸν χρόνον, ἀλλὰ καὶ αὐτὸν μᾶς ἐγνωστοποίησεν συγκεκαλυμένα μέν, ὥστε νὰ διεγείρῃ τὴν ραθυμίαν μας, πλὴν ὅμως δὲν ἄφησε τοῦτον ἀφανῆ. Ἄκουσε λοιπὸν πῶς ἔμμεσα ἐφανέρωσε εἰς ἡμᾶς τὸ χρονικὸν διάστημα τῆς προσευχῆς· «Ὁ Ἰσαὰκ ἦταν σαράντα ἐτῶν», λέγει, «ὅταν ἐνυμφεύθη τὴν Ρεβέκκαν, θυγατέρα τοῦ Βαθουὴλ τοῦ Σύρου»[16]. Ἔμαθες πόσων ἐτῶν ἦτο ὅταν ἐνυμφεύθη; Τεσσαράκοντα ἐτῶν, λέγει ἡ Γραφή, ἦταν ὅταν ἔλαβε τὴν Ρεβέκκαν. Καὶ ἀφοῦ ἐμάθαμεν πόσων ἐτῶν ἦτο, ὅταν ἐνυμφεύθη, ἂς μάθωμεν καὶ πότε ἔγινε πατέρας, καὶ πόσων ἐτῶν ἦτο τότε, ὅταν ἐγέννησε τὸν Ἰακώβ, καὶ θὰ ἠμπορέσωμεν νὰ ἰδοῦμεν πόσον χρόνον ἔμεινε στεῖρα ἡ γυναῖκα, καὶ ὅτι καθ' ὅλον αὐτὸ τὸ διάστημα παρεκάλει τὸν Θεόν. Πόσων ἐτῶν λοιπὸν ἦτο ὅταν ἐγέννησε τὸν Ἰακώβ; «Ἐξῆλθε» λέγει «ὁ Ἰακὼβ κρατῶν μὲ τὸ δεξί του χέρι τὴν πτέρναν τοῦ ἀδελφοῦ του· διὰ τοῦτο τὸν ὠνόμασεν Ἰακώβ, ἐκεῖνον δὲ Ἠσαῦ. Ὁ Ἰσαὰκ δὲ ἦτο ἑξήκοντα

σεν αὐτούς». Εἰ τοίνυν, ὅτε μὲν ἠγάγετο τὴν Ρεβέκκαν, τεσσαράκοντα ἐτῶν ἦν, ὅτε δὲ ἐγέννησε τοὺς υἱούς, ἑξήκοντα, εὔδηλον ὅτι εἴκοσι ἔτη μεταξὺ στεῖρα ἔμεινεν ἡ γυνή, καὶ τοῦτον ἅπαντα τὸν χρόνον ἐδέετο τοῦ Θεοῦ ὁ Ἰσαάκ.

10. Εἶτα οὐκ αἰσχυνόμεθα, οὐδὲ ἐγκαλυπτόμεθα, τὸν μὲν δίκαιον ὁρῶντες εἴκοσι ἔτη παραμένοντα καὶ οὐκ ἀφιστάμενον· ἡμεῖς δὲ ἐκ πρώτης αἰτήσεως ἢ δευτέρας πολλάκις ἀπαγορεύοντες καὶ δυσχεραίνοντες; Καίτοι ὁ μὲν πολλὴν πρὸς τὸν Θεὸν εἶχε τὴν παρρησίαν, καὶ ὅμως οὐκ ἐδυσχαίραινε πρὸς τὴν ἀναβολὴν τῆς δόσεως, ἀλλ' ἔμενε καρτερῶν· ἡμεῖς δὲ μυρίων ἁμαρτημάτων γέμοντες, πονηρῷ συνειδότι συζῶντες, οὐδεμίαν εὔνοιαν περὶ τὸν Δεσπότην ἐπιδεικνύμενοι ἂν μή, πρὶν ἢ φθέγξασθαι, ἀκουσθῶμεν, ἀλύομεν, ἀποδυσπετοῦμεν, ἀφιστάμεθα τῆς αἰτήσεως· διὰ τοῦτο κεναῖς ἀεὶ ἀναχωροῦμεν χερσί. Τίς εἴκοσι ἔτη ὑπὲρ ἑνὸς πράγματος παρεκάλεσε τὸν Θεόν, καθάπερ οὗτος ὁ δίκαιος; μᾶλλον δὲ τίς εἴκοσι μῆνας μόνους;

Χθὲς μὲν οὖν ἔλεγον, ὅτι πολλοί εἰσιν οἱ μετὰ ῥαθυμίας εὐχόμενοι, καὶ χασμώμενοι, καὶ διατεινόμενοι, καὶ μεταστρεφόμενοι συνεχῶς, καὶ ὀλιγωρίᾳ πάσῃ περὶ τὰς εὐχὰς κεχρημένοι· σήμερον δὲ καὶ ἑτέραν βλάβην εὗρον ταῖς εὐχαῖς προσγινομένην ὀλεθριωτέραν ἐκείνης. Πολλοὶ γὰρ πρηνεῖς ἑαυτοὺς ῥιπτοῦντες, καὶ τῷ μετώπῳ τὴν γῆν τύπτοντες, καὶ θερμὰ προχέοντες δάκρυα, καὶ πικρὸν κάτωθεν στενάζοντες, καὶ τὰς χεῖρας ἐκτείνοντες, καὶ πολλὴν σπουδὴν ἐπιδεικνύμενοι, τῇ θερμότητι ταύτῃ καὶ τῇ προθυμίᾳ κατὰ τῆς οἰκείας κέχρηνται σωτηρίας. Οὐ γὰρ ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων παρακαλοῦσι τὸν Θεόν, οὐδὲ συγγνώμην αἰτοῦσι τῶν πλημμεληθέντων αὐτοῖς, ἀλλὰ τὴν σπουδὴν ταύτην κατὰ τῶν

17. Γεν. 25, 25-26.

ἐτῶν ὅταν τοὺς ἐγέννησεν»[17]. Ἐὰν λοιπόν, ὅταν ἐνυμφεύθη τὴν Ρεβέκκαν ἦτο σαράντα ἐτῶν, ὅταν δὲ ἐγέννησε τὰ τέκνα ἦτο ἑξήντα, εἶναι φανερὸν ὅτι εἴκοσι χρόνια ἔμεινε στεῖρα ἡ γυναῖκα του, καὶ καθ' ὅλον αὐτὸ τὸ χρονικὸν διάστημα παρεκάλει τὸν Θεὸν ὁ Ἰσαάκ.

10. Ἔπειτα δὲν ἐντρεπόμεθα καὶ δὲν κρυπτόμεθα ὅταν βλέπωμεν τὸν δίκαιον νὰ ἐπιμένῃ εἴκοσι ἔτη καὶ νὰ μὴ ἀπομακρύνεται, καὶ ἐμεῖς μὲ τὴν πρώτην παράκλησιν ἢ τὸ πολὺ μὲ τὴν δευτέραν νὰ ἐξαντλούμεθα καὶ νὰ δυσανασχετοῦμεν; Καίτοι αὐτὸς εἶχε πολλὴν παρρησίαν πρὸς τὸν Θεόν, ἐν τούτοις δὲν δυσανασχετοῦσεν ἐξ αἰτίας τῆς ἀναβολῆς τῆς ἐκπληρώσεως τοῦ σκοποῦ του, ἀλλὰ ἀνέμενε καρτερικά· ἐμεῖς ὅμως καίτοι εἴμεθα πλήρεις ἀναριθμήτων ἁμαρτιῶν καὶ ἔχομεν πονηρὰν συνείδησιν καὶ δὲν ἐπιδεικνύομεν οὐδεμίαν συμπάθειαν πρὸς τὸν Δεσπότην, ἂν δὲν εἰσακουσθῶμεν, προτοῦ ἀκόμη νὰ ὁμιλήσωμεν, στενοχωρούμεθα, ἀπελπιζόμεθα, ἀπομακρυνόμεθα ἀπὸ τὴν παράκλησιν· διὰ τοῦτο φεύγομεν πάντοτε χωρὶς καμμίαν ὠφέλειαν. Ποῖος παρεκάλεσε τὸν Θεὸν εἴκοσι ἔτη διὰ ἕνα πρᾶγμα ὅπως ὁ δίκαιος αὐτός; Μᾶλλον δὲ ὄχι εἴκοσι ἔτη, ἀλλὰ εἴκοσι μῆνας μόνον;

Χθὲς μὲν λοιπὸν σᾶς ἔλεγα ὅτι εἶναι πολλοὶ αὐτοὶ ποὺ προσεύχονται μὲ νωθρότητα καὶ χασμουρητὰ καὶ τεντώνονται καὶ στρέφονται ἀπὸ ἐδῶ καὶ ἀπὸ ἐκεῖ συνεχῶς, καὶ προσεύχονται μὲ μεγάλην ἀδιαφορίαν· σήμερα δὲ παρετήρησα νὰ γίνεται καὶ ἄλλη κατάχρησις ἐπὶ πλέον κατὰ τὴν ὥραν τῶν προσευχῶν, πιὸ καταστρεπτικὴ ἀπὸ ἐκείνην. Διότι πολλοὶ μὲ τὸ νὰ πίπτουν πρηνεῖς κάτω καὶ νὰ κτυποῦν τὸ μέτωπον εἰς τὴν γῆν καὶ νὰ χύνουν πικρὰ δάκρυα, καὶ νὰ ἀναστενάζουν πικρὰ ἀπὸ κάτω καὶ νὰ σηκώνουν τὰ χέρια καὶ νὰ ἐπιδεικνύουν μεγάλην προθυμίαν, χρησιμοποιοῦν τὸν ζῆλον καὶ τὴν προθυμίαν αὐτὴν ἐναντίον τῆς ἰδίας των σωτηρίας. Διότι δὲν παρακαλοῦν τὸν Θεὸν διὰ τὰ ἰδικά των ἁμαρτήματα, οὔτε ζητοῦν συγχώρησιν διὰ τὰ πλημμελήματα αὐτῶν, ἀλλὰ τὸν ζῆλον των αὐτὸν ὅλον τὸν στρέφουν

ἐχθρῶν κινοῦσιν ἅπασαν, ταὐτὸν ποιοῦντες, ὥσπερ ἂν εἴ τις τὸ ξίφος ἀκονήσας, μὴ κατὰ τῶν πολεμίων χρῷτο τῷ ὅπλῳ, ἀλλὰ διὰ τῆς οἰκείας αὐτὸ δέρης ὠθοῖ. Οὕτω καὶ οὗτοι οὐχ ὑπὲρ τῆς ἀφέσεως τῶν οἰκείων ἁμαρτημάτων, ἀλλὰ κατὰ τῆς τιμωρίας τῶν ἐχθρῶν ταῖς εὐχαῖς κέχρηνται· ὅπερ ἐστὶ καθ' ἑαυτῶν τὸ ξίφος ὠθεῖν.

Ἐπενόησε δὲ καὶ τοῦτο ὁ πονηρς, ἵνα πάντοθεν ἑαυτοὺς ἀπολλύωμεν, καὶ διὰ ῥαθυμίας, καὶ διὰ σπουδῆς. Οἱ μὲν γὰρ τῇ περὶ τὰς εὐχὰς ὀλιγωρίᾳ παροξύνουσι τὸν Θεόν, τὴν καταφρόνησιν διὰ τῆς ῥαθυμίας ἐπιδεικνύμενοι· οἱ δὲ ἐπειδὴ σπουδὴν ἐπιδείκνυνται, τὴν σπουδὴν πάλιν κατὰ τῆς ἑαυτῶν ἐπιδείκνυνται σωτηρίας. Ὁ δεῖνα, φησί, ῥαθυμεῖ· ἀρκεῖ μοι πρὸς τὸ μηδενὸς αὐτὸν ἐπιτυχεῖν· οὗτος σπουδαῖός ἐστι καὶ διεγηγερμένος· τί οὖν ἵνα γένηται; Οὐ δύναμαι ἐκλῦσαι τὴν σπουδήν, οὐδὲ εἰς ὀλιγωρίαν ἐμβαλεῖν· ἑτέρως αὐτοῦ περιοδεύσω τὴν ἀπώλειαν. Πῶς; Εἰς παρανομίαν τῇ σπουδῇ χρήσασθαι παρασκευάσω· τὸ γὰρ κατὰ τῶν ἐχθρῶν εὔχεσθαι, παράνομόν ἐστιν. Ἀπελεύσεται τοίνυν οὐ μόνον οὐδὲν κερδάνας ἀπὸ τῆς σπουδῆς, ἀλλὰ καὶ πλείονα τὴν βλάβην ὑπομείνας τῆς διὰ ῥαθυμίας. Τοιαῦται αἱ τοῦ διαβόλου μηχαναί· τοὺς μὲν διὰ τῆς ῥαθυμίας, τοὺς δὲ δι' αὐτῆς ἀπόλλυσι τῆς σπουδῆς, ὅταν μὴ κατὰ νόμους αὕτη γίνηται.

11. Ἀλλὰ καὶ αὐτῶν ἄξιον ἀκοῦσαι τῶν ῥημάτων τῆς εὐχῆς, καὶ πῶς παιδικῆς ἐστι διανοίας τὰ ῥήματα, πῶς νηπιώδους ψυχῆς. Αἰσχύνομαι μὲν οὖν αὐτὰ μέλλων ἐρεῖν, πλὴν ἀνάγκη πάντως εἰπεῖν καὶ μιμήσασθαι τὴν ἀπαίδευτον γλῶτταν ἐκείνην. Τίνα οὖν ἐστι τὰ ῥήματα; Ἐκδίκησόν με ἐκ τῶν ἐχθρῶν μου· δεῖξον αὐτοῖς, ὅτι Θεὸν ἔχω κἀγώ. Οὐ τότε μανθάνουσι, ἄνθρωπε, ὅτι Θεὸν ἔχομεν, ὅταν ἀγανακτῶμεν, καὶ ὀργιζώμεθα, καὶ δυσχεραίνωμεν· ἀλλ' ὅταν ἐπιεικεῖς ὦμεν, καὶ πρᾶοι, καὶ ἥμεροι, καὶ πᾶσαν ἀσκῶμεν

ἐναντίον τῶν ἐχθρῶν, καὶ κάμνουν τὸ ἴδιον, ὡσὰν κάποιος νὰ ἀκονίσῃ τὸ ξίφος καὶ νὰ μή χρησιμοποιήσῃ τὸ ὅπλον ἐναντίον τῶν ἐχθρῶν, ἀλλὰ νὰ τὸ βυθίσῃ εἰς τὸν λαιμόν του. Ἔτσι καὶ αὐτοί δὲν προσεύχονται διὰ τὴν ἄφεσιν τῶν ἰδικῶν των ἁμαρτιῶν, ἀλλὰ διὰ τὴν τιμωρίαν τῶν ἐχθρῶν, τὸ ὁποῖον σημαίνει ὅτι ὠθοῦν τὸ ξίφος ἐναντίον τῶν ἰδίων.

Ἐπενόησε δὲ καὶ αὐτὸ τὸ μέσον ὁ διάβολος, διὰ νὰ καταστρέφωμεν ἀπὸ παντοῦ τοὺς ἑαυτούς μας, καὶ διὰ τῆς ραθυμίας καὶ διὰ τοῦ ζήλου. Διότι ἄλλοι μὲν διὰ τῆς ἀδιαφορίας των εἰς τὰς προσευχὰς παροργίζουν τὸν Θεὸν καὶ κάμνουν γνωστὴν τὴν καταφρόνησιν διὰ τῆς ραθυμίας των, ἄλλοι δὲ ἐπειδὴ ἐπιδεικνύουν ζῆλον, ἐπιδεικνύουν τὸν ζῆλον ἐναντίον τῆς ἰδικῆς των σωτηρίας. Ὁ τάδε, λέγει ὁ Διάβολος, εἶναι νωθρός, μοῦ εἶναι ἀρκετὸν ὥστε νὰ μὴ ἐπιτύχῃ τίποτε αὐτός· αὐτὸς εἶναι πρόθυμος καὶ ἐπιμελής. Τί νὰ κάμω λοιπόν; Δὲν ἠμπορῶ νὰ χαλαρώσω τὸν ζῆλον, οὔτε νὰ ἐμβάλω εἰς αὐτὸν τὴν ἀδιαφορίαν· ἄλλον τρόπον θὰ μεταχειρισθῶ διὰ τὴν καταστροφήν του· Πῶς; Θὰ τὸν κάμω νὰ χρησιμοποιήσῃ τὸν ζῆλον του πρὸς παρανομίαν, διότι τὸ νὰ προσευχώμεθα ἐναντίον τῶν ἐχθρῶν εἶναι παρανομία. Ἀπομακρύνεται λοιπὸν ὄχι μόνον χωρὶς νὰ ὠφεληθῇ τίποτε ἀπὸ τὸν ζῆλον του, ἀλλὰ καὶ μὲ περισσοτέραν βλάβην ἀπὸ ἐκείνην ποὺ προξενεῖται διὰ τῆς ραθυμίας. Τέτοια εἶναι τὰ τεχνάσματα τοῦ διαβόλου· ἄλλους μὲν διὰ τῆς ραθυμίας, ἄλλους δὲ δι' αὐτῆς τῆς προθυμίας τῆς προσευχῆς καταστρέφει, ὅταν δὲν γίνεται αὐτὴ σωστά.

11. Ἀλλὰ ἀξίζει νὰ ἀκούσετε τὰ ἴδια τὰ λόγια τῆς προσευχῆς των, καὶ πῶς εἶναι λόγια παιδικῆς ἡλικίας καὶ νηπιώδους ψυχῆς. Ἐντρέπομαι μὲν ὅταν πρόκειται νὰ τὰ εἰπῶ, πλὴν ὅμως εἶναι ἀνάγκη νὰ τὰ εἰπῶ καὶ νὰ μιμηθῶ τὴν κακὴν ἐκείνην γλῶσσαν. Ποία λοιπὸν εἶναι τὰ λόγια; Νὰ ἐκδικηθῇς τοὺς ἐχθρούς μου· δεῖξε εἰς αὐτοὺς ὅτι καὶ ἐγὼ ἔχω Θεόν. Δὲν μανθάνουν, ὦ ἄνθρωπε, τότε ὅτι ἔχομεν Θεόν, ὅταν ἀγανακτοῦμεν καὶ ὀργιζώμεθα καὶ δυσανασχετοῦμεν, ἀλλὰ ὅταν εἴμεθα ἐπιεικεῖς καὶ πρᾶοι καὶ ἤπιοι

φιλοσοφίαν. Οὕτω καὶ ὁ Θεὸς εἶπε· «Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». Οὐκ ἐννοεῖς ὅτι ὕβρις ἐστὶν εἰς τὸν Θεόν, τὸ αἰτεῖν κατὰ τῶν ἐχθρῶν τὸν Θεόν; Καὶ πῶς ὕβρις ἐστί; φησίν. Ὅτι αὐτὸς εἶπεν, «Εὔχεσθε ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν», καὶ τὸν θεῖον τοῦτον εἰσήγαγε νόμον. Ὅταν οὖν τὸν νομοθέτην ἀξιοῖς τοὺς οἰκείους παραλύειν νόμους, καὶ παρακαλῇς αὐτὸν ἀντινομοθετεῖν αὐτῷ, καὶ τόν σε κωλύσαντα κατεύχεσθαι τῶν ἐχθρῶν ἱκετεύῃς ἀκοῦσαί σου κατευχομένου τῶν ἐχθρῶν, οὐκ εὔχῃ τοῦτο ποιῶν, οὐδὲ παρακαλεῖς, ἀλλ' ὑβρίζεις τὸν νομοθέτην, καὶ παροινεῖς εἰς τὸν μέλλοντα διδόναι σοι τὰ ἀγαθὰ τὰ ἀπὸ τῆς εὐχῆς.

Καὶ πῶς δυνατὸν ἀκουσθῆναι εὐχόμενον, εἰπέ μοι, ὅταν τὸν μέλλοντα ἀκούειν παροξύνῃς; Ταῦτα γὰρ ποιῶν εἰς βάραθρον τὴν οἰκείαν ὠθεῖς σωτηρίαν, καὶ κατὰ κρημνοῦ φέρῃ, τὸν ἐχθρὸν ἐπ' ὄψεσι τύπτων τοῦ βασιλέως. Εἰ γὰρ καὶ μὴ ταῖς χερσὶ τοῦτο ποιεῖς, τοῖς ῥήμασιν αὐτὸν τύπτεις· ὅπερ οὐδὲ ἐπὶ τῶν ὁμοδούλων ποιῆσαι τολμᾷς. Τόλμησον γοῦν ἐπὶ ἄρχοντος τοῦτο ποιῆσαι· κἂν μυρία ᾖς κατωρθωκώς, τὴν ἐπὶ θάνατον εὐθέως ἀπαχθήσῃ πάντως.

Εἶτα ἐπὶ ἄρχοντος μὲν οὐ τολμᾷς τὸν ὁμότιμον ὑβρίσαι, ἐπὶ δὲ τοῦ Θεοῦ τοῦτο ποιῶν, εἰπέ μοι, οὐ φρίττεις, οὐδὲ δέδοικας ἐν καιρῷ δεήσεως καὶ εὐχῆς ἀγριαίνων οὕτω καὶ ἐκθηριούμενος, καὶ μείζονα ἀγνωμοσύνην ἐπιδεικνύμενος τοῦ τὰ ἑκατὸν ἀπαιτοῦντος δηνάρια; Ὅτι γὰρ ἐκείνου σὺ μᾶλλον ὑβρίζεις, αὐτῆς ἄκουσον τῆς ἱστορίας. Μύρια τάλαντα ὤφειλέ τις τῷ δεσπότῃ· εἶτα οὐκ ἔχων ἀποδοῦναι, ἠξίου

---

18. Ματθ. 5, 16.
19. Ματθ. 5, 44.
20. Νομισματικὴ συμβατικὴ ποσότης, ποικίλλουσα κατὰ τὰς διαφόρους ἐποχὰς καὶ ἐπικρατείας. Τὸ τάλαντον ἦτο χρυσοῦν, ἀργυροῦν καὶ χάλκινον. Ὅταν ὁμιλῶμεν περὶ ταλάντου χρυσοῦ ἢ ἀργυροῦ, πρέπει νὰ ἐννοῶμεν πάντοτε βάρος, καὶ νὰ ἔχωμεν ὑπ' ὄψιν μας ὅτι ἡ ἀξία του ἐποίκιλλε κατὰ χώρας. Εἶναι δύσκολον νὰ δοθῇ ἀκριβὲς ἀντίστοιχον εἰς σύγχρονα νομίσματα.

καὶ ἐξασκοῦμεν ὅλην μας τὴν φιλοσοφίαν. Τοιουτοτρόπως καὶ ὁ Θεὸς εἶπεν· «νὰ λάμψῃ τὸ φῶς σας ἐμπρὸς εἰς τοὺς ἀνθρώπους, διὰ νὰ ἰδοῦν τὰ καλά σας ἔργα καὶ νὰ δοξάσουν τὸν Πατέρα σας ποὺ εἶναι εἰς τὸν οὐρανόν»[18]. Δὲν καταλαβαίνεις ὅτι ὑβρίζεις τὸν Θεόν, ὅταν τὸν παρακαλῇς νὰ βλάψῃ τοὺς ἐχθρούς σου; Καὶ πῶς ὑβρίζω; λέγει. Διότι αὐτὸς εἶπε «νὰ προσεύχεσθε διὰ τοὺς ἐχθρούς σας»[19] καὶ μᾶς ἔδωσε τὸν θεῖον αὐτὸν νόμον. Ὅταν λοιπὸν ἔχῃς τὴν ἀξίωσιν νὰ καταλύῃ ὁ νομοθέτης τοὺς ἰδικούς του νόμους, καὶ παρακαλῇς αὐτὸν νὰ νομοθετῇ ἀντίθετα πρὸς τὸν ἑαυτόν του καὶ ἱκετεύῃς αὐτὸν ποὺ σὲ ἐμποδίζει νὰ προσεύχεσαι ἐναντίον τῶν ἐχθρῶν σου νὰ σὲ εἰσακούσῃ, ὅταν κατακρίνῃς τοὺς ἐχθρούς σου, δὲν κάμνεις τότε προσευχήν, οὔτε τὸν παρακαλεῖς, ἀλλὰ ὑβρίζεις τὸν νομοθέτην καὶ φέρεσαι ὡς παράφρων εἰς ἐκεῖνον ποὺ πρόκειται νὰ σοῦ δώσῃ τὰ ἀγαθὰ τὰ προερχόμενα ἀπὸ τὴν προσευχήν.

Καὶ εἰπέ μου, πῶς εἶναι δυνατὸν νὰ εἰσακουσθῇ αὐτὸς ποὺ προσεύχεται ὅταν ἐξοργίζῃ αὐτὸν ποὺ θὰ τὸν ἀκούσῃ; Διότι ὅταν πράττῃς αὐτὰ ὠθεῖς τὴν σωτηρίαν σου εἰς βάραθρον καὶ φέρεσαι εἰς κρημνόν, διότι κτυπᾶς τὸν ἐχθρόν σου κάτω ἀπὸ τὰ βλέμματα τοῦ βασιλέως. Διότι ἂν καὶ δὲν τὸ κάμεις αὐτὸ μὲ τὰ χέρια σου, τὸν κτυπᾷς μὲ τὰ λόγια, πρᾶγμα ποὺ δὲν τολμᾷς νὰ τὸ κάμῃς οὔτε ἐνώπιον τῶν συνδούλων σου. Τόλμησε λοιπὸν νὰ τὸ κάμῃς αὐτὸ εἰς τὸν βασιλέα, καὶ ἂν ἀκόμη ἔχῃς κατορθώσει ἀναρίθμητα πράγματα, ἐξάπαντος ἀμέσως θὰ τιμωρηθῇς διὰ θανάτου.

Ἔπειτα δὲν τολμᾷς νὰ ὑβρίσῃς τὸν ὁμότιμόν σου ἐνώπιον τοῦ ἄρχοντος, ἐνώπιον δὲ τοῦ Θεοῦ ὅταν πράττῃς τοῦτο, εἰπέ μου, δὲν τρομάζεις οὔτε φοβᾶσαι ὅτι εἰς ὥραν προσευχῆς καὶ δεήσεως ἀγριεύεις ἔτσι καὶ γίνεσαι ὡσὰν θηρίον καὶ ἐπιδεικνύεις μεγαλυτέραν ἀχαριστίαν ἀπὸ ἐκείνην τοῦ δούλου ποὺ ἀπαιτοῦσε τὰ ἑκατὸν δηνάρια; Τὸ ὅτι περισσότερον σὺ τὸν ὑβρίζεις ἀπὸ ἐκεῖνον, ἄκουσε αὐτὴν τὴν διήγησιν. Κάποιος χρεωστοῦσε δέκα χιλιάδες τάλαντα[20] εἰς τὸν κύριόν του. Ἔπειτα ἐπειδὴ δὲν εἶχε νὰ τοῦ τὰ

μακροθυμῆσαι, ἵνα πραθείσης αὐτοῦ τῆς γυναικὸς καὶ τῆς οἰκίας καὶ τῶν παίδων, διαλύσηται τὸ ὄφλημα τὸ δεσποτικόν. Ἰδὼν δὲ αὐτὸν ὀδυρόμενον ὁ δεσπότης κατηλέησε καὶ τὰ μύρια ἀφῆκε τάλαντα. Ἐξελθὼν ἐκεῖνος καὶ εὑρὼν οἰκέτην ἕτερον ὀφείλοντα αὐτῷ δηνάρια ἑκατόν, ἄγχων ἀπήτει μετὰ πολλῆς τῆς ὠμότητος καὶ τῆς ἀπανθρωπίας. Ἀκούσας ταῦτα ὁ δεσπότης ἐνέβαλεν αὐτὸν εἰς τὸ δεσμωτήριον, καὶ ὃ πρότερον ἀφῆκεν ὄφλημα τῶν μυρίων ταλάντων, ἐπέθηκεν αὐτῷ πάλιν, καὶ τῆς εἰς τὸν σύνδουλον ὠμότητος ἔδωκε τὴν τιμωρίαν ἐκεῖνος.

12. Σὺ δὲ κἀκείνου θέα πόσον ἀγνωμονέστερος καὶ ἀναισθητότερος γέγονας, τῶν ἐχθρῶν κατευχόμενος. Ἐκεῖνος οὐχὶ τὸν δεσπότην ἠξίου ἀπαιτῆσαι, ἀλλ' αὐτὸς ἀπήτει τὰ ἑκατὸν δηνάρια· σὺ δὲ καὶ τὸν Δεσπότην ἐπὶ τὴν ἀπαίτησιν ταύτην τὴν ἀναίσχυντον καὶ κεκωλυμένην παρακαλεῖς. Κἀκεῖνος μὲν οὐκ ἐπ' ὄψεσι τοῦ κυρίου, ἀλλ' ἔξω τὸν σύνδουλον ἦγχε· σὺ δὲ ἐν αὐτῷ τῷ καιρῷ τῆς εὐχῆς πρὸ τοῦ βασιλέως ἑστὼς ταῦτα ποιεῖς. Εἰ δὲ ἐκεῖνος οὔτε τὸν δεσπότην παρακαλέσας ἐπὶ τὴν ἀπαίτησιν, καὶ μετὰ τὸ ἐξελθεῖν ταῦτα ποιῶν, οὐδεμιᾶς ἔτυχε συγγνώμης, σὺ καὶ τὸν Δεσπότην ἐπὶ τὴν κεκωλυμένην ταύτην ἔκτισιν διεγείρων καὶ ἐπ' ὄψεσιν αὐτοῦ ταῦτα ποιῶν, ποίαν οὐ δώσεις τιμωρίαν, εἰπέ μοι;

Ἀλλὰ φλεγμαίνει σου τῇ μνήμῃ τῆς ἔχθρας ἡ διάνοια καὶ οἰδεῖ, καὶ ἀνέστηκεν ἡ καρδία, καὶ τοῦ λελυπηκότος ἀναμιμνησκόμενος οὐ δύνασαι καταστεῖλαι τὸ οἴδημα τῶν λογισμῶν; Ἀλλ' ἀντίστησον τῇ φλεγμονῇ ταύτῃ τὴν ἀπὸ τῶν σῶν ἁμαρτημάτων μνήμην, τὸν ἀπὸ τῆς μελλούσης κολάσεως φόβον. Ἀναμνήσθητι πόσων ὑπεύθυνος εἶ τῷ Δεσπότῃ, καὶ

---

21. Ρωμαϊκὸν ἀργυροῦν νόμισμα. Ἡ τιμή του περιελάμβανε δέκα ἀσσάρια, τὰ ὁποῖα ἦσαν νομίσματα ἐκ χαλκοῦ μικρᾶς ἀξίας.

δώση παρεκάλεσε τὸν κύριόν του νὰ μακροθυμήση, διὰ νὰ μὴ πωλήση τὴν γυναῖκα του, τὸ σπίτι του καὶ τὰ παιδιά του, καὶ γίνῃ τέτοια ἐξόφλησις τοῦ χρέους τοῦ κυρίου του. Ὅταν εἶδεν ὁ κύριός του νὰ κλαίῃ, τὸν εὐσπλαγχνίσθη καὶ τοῦ ἐχάρισε τὰ μύρια τάλαντα. Ὅταν ὅμως αὐτὸς ἐβγῆκεν ἔξω καὶ εὑρῆκε κάποιον ἄλλον δοῦλον ποὺ ἐχρεωστοῦσεν εἰς αὐτὸν ἑκατὸν δηνάρια[21], τὸν ἐπίεζε ζητῶν αὐτὰ μὲ μεγάλην σκληρότητα καὶ ἀπανθρωπίαν. Ὅταν ἤκουσεν αὐτὰ ὁ κύριός του τὸν ἐνέκλεισεν εἰς τὴν φυλακὴν καὶ ἐπέβαλε πάλιν εἰς αὐτὸν τὸ χρέος τῶν μυρίων ταλάντων, τὸ ὁποῖον προηγουμένως τοῦ ἐχάρισε καὶ τὸν ἐτιμώρησε διὰ τὴν σκληρότητά του πρὸς τὸν σύνδουλόν το.

12. Ἐσὺ ὅμως πρόσεξε πόσον πιὸ ἀγνώμων καὶ πιὸ ἀναίσθητος ἔχεις γίνει καὶ ἀπὸ ἐκεῖνον μὲ τὸ νὰ προσεύχεσαι ἐναντίον τῶν ἐχθρῶν σου. Ἐκεῖνος δὲν εἶχε τὴν ἀξίωσιν νὰ ἀπαιτήσῃ ὁ κύριός του τὰ ἑκατὸν δηνάρια, ἀλλ' ὁ ἴδιος τὰ ἀπαιτοῦσε· ἐσὺ ὅμως ἐπὶ πλέον καὶ τὸν Δεσπότην παρακαλεῖς διὰ τὴν ἀπαίτησίν σου αὐτὴν τὴν ἀναίσχυντον καὶ ἀπηγορευμένην. Καὶ ἐκεῖνος μὲν δὲν ἐπίεζε τὸν σύνδουλόν του μπροστὰ εἰς τὸν κύριόν του, ἀλλὰ ἔξω· ἐσὺ ὅμως κατ' αὐτὴν τὴν ὥραν τῆς προσευχῆς ἱστάμενος πρὸ τοῦ βασιλέως τὰ κάμνεις αὐτά. Ἐὰν δὲ ἐκεῖνος, ποὺ ἐνῷ δὲν παρεκάλεσε τὸν κύριόν του διὰ τὴν ἀπαίτησίν του, ἀλλὰ τὸ ἔκαμεν αὐτὸ ἀφοῦ ἐβγῆκεν ἔξω ἀπὸ τὸ σπίτι του, δὲν ἔτυχε καμμιᾶς συγχωρήσεως, εἰπέ μου, ἐσὺ ποίαν τιμωρίαν θὰ ὑποστῇς, ποὺ καὶ τὸν Δεσπότην διεγείρεις νὰ κάμῃ τὴν ἀπηγορευμένην αὐτὴν πληρωμήν, καὶ τὰ κάνεις αὐτὰ ἐνώπιον αὐτοῦ;

Ἀλλὰ φλέγεται ἡ σκέψις σου ἀπὸ τὴν ἐνθύμησιν τῆς ἔχθρας καὶ ἐξογκοῦται καὶ ἐρεθίζεται ἡ καρδία σου καὶ δὲν ἠμπορεῖς νὰ κατευνάσῃς τὴν ταραχὴν τῶν λογισμῶν, ὅταν ἐνθυμῆσαι αὐτὸν ποὺ σὲ ἐλύπησεν. Ἀλλὰ τότε νὰ ἀντιπαρατάξῃς εἰς τὴν φλεγμονὴν αὐτὴν τὴν ἐνθύμησιν ποὺ προέρχεται ἀπὸ τὰ ἰδικά σου ἁμαρτήματα καὶ τὸν φόβον ποὺ προέρχεται ἀπὸ τὴν μέλλουσαν τιμωρίαν. Νὰ ἐνθυμηθῇς

ὅτι πάντων ἐκείνων δίκας ὀφείλεις αὐτῷ, καὶ κρατήσει πάντως οὗτος ὁ φόβος τῆς ὀργῆς ἐκείνης, ἐπειδὴ καὶ πολὺ δυνατώτερον τοῦτο ἐκείνου τοῦ πάθους. Ἀναμνήσθητι γεέννης καὶ κολάσεως καὶ τιμωρίας κατὰ τὸν καιρὸν τῆς εὐχῆς, καὶ οὐδὲ εἰς νοῦν λαβεῖν δυνήσῃ τὸν ἐχθρόν. Σύντριψον τὴν διάνοιαν, ταπείνωσον τὴν ψυχὴν τῇ μνήμῃ τῶν σοι πεπλημμελημένων, καὶ οὐδὲ ἐνοχλῆσαι δυνήσεταί σοι θυμός.

Ἀλλὰ τοῦτό ἐστι τὸ πάντων αἴτιον τῶν κακῶν, ὅτι τὰ μὲν τῶν ἄλλων ἁμαρτήματα μετὰ πολλῆς ἐξετάζομεν τῆς ἀκριβείας, τὰ δὲ ἡμέτερα μετὰ πολλῆς παραπεμπόμεθα τῆς ῥαθυμίας. Τοὐναντίον δὲ ποιεῖν ἐχρῆν· τὰ μὲν οἰκεῖα κακὰ ἄληστα ἔχειν, τῶν δὲ ἀλλοτρίων μηδέποτε ἔννοιαν λαμβάνειν. Ἂν τοῦτο ποιῶμεν, καὶ τὸν Θεὸν ἕξομεν ἵλεων, καὶ τοῖς πλησίον πανσόμεθα ἀθάνατα ὀργιζόμενοι, καὶ ἐχθρὸν οὐδένα οὐδέποτε ἕξομεν· εἰ δὲ καὶ σχοίη μέν ποτε, ταχέως καὶ τὴν ἀπέχθειαν καταλύσομεν, καὶ τῶν οἰκείων ἁμαρτημάτων ταχεῖαν λάβωμεν συγχώρησιν. Ὥσπερ γὰρ ὁ τῷ πλησίον μνησικακῶν οὐ ἀφίησι τὴν ἐπὶ τοῖς οἰκείοις ἁμαρτήμασι καταλυθῆναι κόλασιν, οὕτως ὁ καθαρὸς ὢν ὀργῆς, καθαρὸς καὶ ἁμαρτημάτων ἔσται ταχέως. Εἰ γὰρ ἡμεῖς οἱ πονηροὶ καὶ θυμῷ δουλεύοντες, διὰ τὸ τοῦ Θεοῦ πρόσταγμα πάντα τὰ εἰς ἡμᾶς παρορῶμεν ἁμαρτήματα, πολλῷ μᾶλλον ὁ φιλάνθρωπος καὶ ἀγαθὸς καὶ παντὸς καθαρὸς ὢν πάθους παραβλέψεται ἡμῶν τὰ πλημμελήματα, τῆς εἰς τὸν πλησίον φιλοφροσύνης, ἐν τῇ τῶν οἰκείων ἁμαρτημάτων συγχωρήσει, τὴν ἀμοιβὴν ἡμῖν ἀποδιδούς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

διὰ πόσα πράγματα εἶσαι ὑπεύθυνος εἰς τὸν Δεσπότην καὶ ὅτι δι' ὅλα ἐκεῖνα πρέπει νὰ τιμωρηθῇς ἀπὸ αὐτόν, καὶ θὰ νικήσῃ ὁπωσδήποτε ὁ φόβος αὐτὸς ἐκείνην τὴν ὀργήν σου, ἐπειδὴ εἶναι πολὺ ἰσχυρότερον τοῦτο ἀπὸ τὸ πάθος ἐκεῖνο. Νὰ ἐνθυμηθῇς τὴν γέενναν τοῦ πυρός, τὴν κόλασιν καὶ τὴν τιμωρίαν κατὰ τὴν ὥραν τῆς προσευχῆς καὶ δὲν θὰ ἠμπορέσῃς νὰ βάλῃς εἰς τὴν σκέψιν σου τὸν ἐχθρόν. Σύντριψε τὸν λογισμόν σου, ταπείνωσε τὴν ψυχήν σου μὲ τὴν ἐνθύμησιν τῶν ἁμαρτημάτων σου καὶ δὲν θὰ ἠμπορέσῃ οὔτε νὰ σὲ ἐνοχλήσῃ ὁ θυμός.

Ἀλλὰ αὐτὴ εἶναι ἡ αἰτία ὅλων τῶν κακῶν, τὸ ὅτι παρατηροῦμεν μὲ μεγάλην λεπτομέρειαν τὰ ἁμαρτήματα τῶν ἄλλων, τὰ ἰδικά μας δὲ τὰ παρατρέχομεν μὲ πολλὴν ραθυμίαν. Ἔπρεπεν ὅμως νὰ κάμωμεν τὸ ἀντίθετον· τὰ μὲν ἁμαρτήματά μας νὰ μὴ λησμονοῦμεν, τῶν δὲ ἄλλων οὔτε νὰ τὰ βάζωμεν εἰς τὸν νοῦν μας. Ἂν κάμωμεν αὐτὸ καὶ τὸν Θεὸν θὰ ἔχωμεν βοηθὸν καὶ θὰ παύσωμεν νὰ ὀργιζώμεθα συνεχῶς κατὰ τῶν ἄλλων, καὶ κανένα ἐχθρὸν ποτὲ δὲν θὰ ἔχωμεν· ἂν ὅμως κάποτε ἀποκτήσωμεν καὶ ἐχθρὸν πολὺ γρήγορα καὶ τὴν ἔχθραν θὰ ἐξαφανίσωμεν καὶ τῶν ἁμαρτημάτων μας ταχεῖαν συγχώρησιν θὰ ἔχωμεν. Διότι ὅπως αὐτὸς ποὺ μνησικακεῖ εἰς τὸν πλησίον του δὲν ἐπιτρέπει νὰ ἀπαλλαγῇ ἀπὸ τὴν τιμωρίαν ποὺ ἐπισύρουν τὰ ἰδικά του ἁμαρτήματα, ἔτσι καὶ αὐτὸς ποὺ εἶναι καθαρὸς ἀπὸ θυμόν, θὰ εἶναι καὶ καθαρὸς ἀπὸ ἁμαρτήματα συντόμως. Διότι ἂν ἐμεῖς οἱ πονηροὶ καὶ ὑποδουλωμένοι εἰς τὸν θυμόν, ἐξ αἰτίας τῆς προσταγῆς τοῦ Θεοῦ παραθεωροῦμεν ὅλα τὰ ἐναντίον μας ἁμαρτήματα, πολὺ περισσότερον ὁ φιλάνθρωπος καὶ ἀγαθὸς καὶ καθαρὸς ἀπὸ κάθε πάθος θὰ παραβλέψῃ τὰ ἁμαρτήματά μας, ἕνεκα τῆς πρὸς τὸν πλησίον φιλοφροσύνης, καὶ διὰ τῆς συγχωρήσεως τῶν ἁμαρτημάτων μας θὰ ἀποδώσῃ εἰς ἡμᾶς τὴν ἀμοιβήν, τὴν ὁποίαν εἴθε ὅλοι ἐμεῖς νὰ ἐπιτύχωμεν διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει δόξα καὶ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

11
ΠΕΡΙ ΤΟΥ ΜΗ ΑΠΟΓΙΝΩΣΚΕΙΝ

τινὰς ἑαυτῶν, μηδὲ κατεύχεσθαι τῶν ἐχθρῶν, μηδὲ ἀπαγορεύειν ἐν τῷ μὴ λαμβάνειν αἰτοῦντας· καὶ πρὸς ἄνδρας περὶ τῆς πρὸς τὰς γυναῖκας εἰρήνης.

1. Πολλὰς ὑμῖν ἔχω χάριτας, ὅτι μετὰ προθυμίας τοὺς περὶ τῆς εὐχῆς ἐδέξασθε λόγους, ὅτι με μακάριον ἐποιήσατε. «Μακάριος γὰρ ὁ λέγων εἰς ὦτα ἀκουόντων». Οὐκ ἀπὸ τῶν κρότων καὶ τῶν ἐπαίνων μόνον, ἀλλὰ καὶ ἀφ' ὧν ποιοῦντας εἶδον, ἐπείσθην. Ὅτε γὰρ ὑμῖν παρήνουν μὴ κατεύχεσθαι τῶν ἐχθρῶν, καὶ ἔλεγον ὅτι τὸν Θεὸν παροξύνομεν τοῦτο ποιοῦντες, καὶ ἀντινομοθετοῦμεν αὐτῷ (αὐτὸς γὰρ εἶπεν, Εὔχεσθε ὑπὲρ τῶν ἐχθρῶν, ἡμεῖς δὲ κατευχόμενοι τῶν ἐχθρῶν, ἀξιοῦμεν αὐτὸν τὸν ἑαυτοῦ λῦσαι νόμον), ὅτε οὖν ταῦτα καὶ τὰ τοιαῦτα ἔλεγον, πολλοὺς ἐν ὑμῖν εἶδον πρόσωπα τύπτοντας καὶ στήθη, στενάζοντας πικρῶς, εἰς τὸν οὐρανὸν τὰς χεῖρας ἀνατείνοντας, συγγνώμην αἰτοῦντας περὶ τῶν τοιούτων εὐχῶν. Τότε δὲ καὶ ἐγὼ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἀνατείνας, ηὐχαρίστησα τῷ Θεῷ, ὅτι οὕτω ταχέως ὁ λόγος τῆς διδασκαλίας τὸν καρπὸν ἡμῖν ἤνεγκε.

Τοιοῦτον γὰρ ὁ σπόρος ὁ πνευματικός· οὐ δεῖται ἐνιαυτῶν, οὐδὲ χρόνων, οὐδὲ ἡμερῶν, ἀλλὰ ἂν ἐπιλάβηται ψυχῆς γενναίας, εὐθέως τὸν στάχυν ἀκμάζοντα καὶ ἀπηρτισμένον δείκνυσιν· ὃ δὲ καὶ χθὲς γέγονεν ὑφ' ὑμῶν. Κατέβαλον λό-

1. Ἐκκλ. 25, 12.

11
ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΔΕΝ ΠΡΕΠΕΙ ΝΑ ΑΠΟΓΟΗΤΕΥΩΜΕΘΑ

καὶ δὲν πρέπει νὰ προσευχώμεθα κατὰ τῶν ἐχθρῶν· καὶ περὶ τοῦ ὅτι δὲν πρέπει νὰ ἀπελπιζώμεθα ὅταν ζητοῦμε κάτι καὶ δὲν τὸ λαμβάνομεν· καὶ πρὸς τοὺς ἄνδρας περὶ τῆς εἰρηνικῆς συμβιώσεως μὲ τὰς γυναῖκας.

1. Σᾶς ὀφείλω πολλὰς εὐχαριστίας, διότι μετὰ προθυμίας ἠκούσατε τὰς ὁμιλίας περὶ προσευχῆς, καὶ διότι μὲ ἐκάματε εὐτυχῆ· διότι «εἶναι εὐτυχὴς ἐκεῖνος ποὺ ὁμιλεῖ εἰς ὦτα ἀκουόντων»[1]. Δὲν ἐπείσθην δὲ μόνον ἀπὸ τὰ χειροκροτήματα καὶ τοὺς ἐπαίνους, ἀλλὰ καὶ ἀπὸ ὅσα εἶδα νὰ πράττετε. Διότι ὅταν σᾶς συμβούλευα νὰ μὴ προσεύχεσθε ἐναντίον τῶν ἐχθρῶν, καὶ σᾶς ἔλεγα ὅτι παροργίζομεν τὸν Θεὸν πράττοντες τοῦτο, καὶ νομοθετοῦμεν ἀντίθετα πρὸς τὸ θέλημα αὐτοῦ (διότι ὁ Θεὸς εἶπε νὰ προσεύχεσθε διὰ τοὺς ἐχθρούς σας, ἐμεῖς ὅμως ὅταν προσευχώμεθα κατὰ τῶν ἐχθρῶν μας ἀξιοῦμεν ἀπὸ αὐτὸν νὰ καταργήσῃ τὸν νόμον του), ὅταν λοιπὸν σᾶς ἔλεγα αὐτὰ ἢ τέτοια πράγματα, εἶδα πολλοὺς ἀπὸ ἐσᾶς νὰ κτυποῦν τὰ πρόσωπά των καὶ τὰ στήθη, νὰ ἀναστενάζουν μὲ θλῖψιν, νὰ ὑψώνουν τὰ χέρια πρὸς τὸν οὐρανὸν καὶ νὰ ζητοῦν συγγνώμην διὰ τὰς τοιούτου εἴδους προσευχάς των. Τότε λοιπὸν καὶ ἐγὼ ἀφοῦ ὕψωσα τοὺς ὀφθαλμούς μου πρὸς τὸν οὐρανὸν εὐχαρίστησα τὸν Θεόν, διότι τόσον γρήγορα ἐκαρποφόρησεν ὁ λόγος τῆς διδασκαλίας.

Διότι τέτοιος εἶναι ὁ σπόρος ὁ πνευματικός· δὲν ἔχει ἀνάγκην οὔτε μεγάλων χρονικῶν περιόδων, οὔτε χρόνων, οὔτε ἡμερῶν, ἀλλ᾽ ἂν εἰσέλθῃ εἰς ψυχὴν ἀγαθὴν ἐμφανίζει ἀμέσως τὸν στάχυν ὥριμον καὶ πλήρη· αὐτὸ δὲ ἔγινε χθὲς εἰς ἐσᾶς. Ἔρριψα εἰς τὰς καρδίας σας λόγους ποὺ διεγεί-

γον κατανύξεως, καὶ ἐβλάστησε στεναγμὸς ἐξομολογήσεως, στεναγμὸς πολὺν ἔχων τὸν πλοῦτον τῶν ἀγαθῶν. Εἰ γὰρ ὁ τελώνης ἐκεῖνος, ἵνα τὸ στῆθος τύπτων εἴπῃ, «Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ», ἀπῆλθε δεδικαιωμένος ὑπὲρ τὸν Φαρισαῖον, πόσην εἰκὸς ἡμᾶς κτήσασθαι παρρησίαν, ἐν βραχεῖ χρόνῳ τοσαύτην κατάνυξιν ἐπιδειξαμένους;

Καίτοι τελώνου χεῖρον οὐδέν· οὗτος γὰρ ἔσχατος ὅρος κακίας ἐστίν· ὅπερ οὖν καὶ ὁ Χριστὸς παραδηλῶν, εἰς παράδειγμα τῶν ἐσχάτων κακῶν τὰς πόρνας καὶ τοὺς τελώνας ἄγει συνεχῶς. Πεπαρρησιασμένη γάρ ἐστι βία, ἀνεπιτίμητος ἁρπαγή, ἀναίσχυντος πλεονεξίας τρόπος, πραγματεία λόγον οὐκ ἔχουσα, ἀναιδὴς ἐμπορία· ἀλλ' ὅμως ὁ τοσούτοις συζῶν κακοῖς, ἴσχυσεν ἀπὸ ψιλῶν ῥημάτων ἀπορρίψασθαι τὰ ὀνείδη, καὶ πλέον ὧν ᾔτησε λαβεῖν. Αὐτὸς μὲν γὰρ ἠξίου λέγων, «Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ»· ὁ δὲ Θεὸς οὐχ ἵλεως μόνον, ἀλλὰ καὶ ἐδικαίωσεν αὐτὸν ὑπὲρ τὸν Φαρισαῖον. Διὰ τοῦτό φησιν ὁ Παῦλος· «Τῷ δὲ δυναμένῳ πάντα ποιῆσαι ὑπὲρ ἐκ περισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν». Καίτοι ὁ Φαρισαῖος ηὔξατο, καὶ ἐν τῷ ἱερῷ ἔστη, καὶ τὸν αὐτὸν ἐκάλεσε Θεόν, καὶ πλείονα εἶπε ῥήματα, καὶ ἀπὸ εὐχαριστίας τὸ προοίμιον ἐποιήσατο τῆς εὐχῆς. Πόθεν οὖν ἐκεῖνος μὲν καὶ ἃ εἶχεν ἀπώλεσε καλά, οὗτος δὲ καὶ ἣν οὐκ εἶχε προσέλαβε παρρησίαν; Ὅτι οὐ τῆς εὐχῆς ὁ αὐτὸς τρόπος ἦν. Ὁ μὲν γὰρ ἀλαζονείας ἔγεμε καὶ τύφου καὶ ἀπονοίας, οὗτος δὲ εὐγνωμοσύνης πολλῆς· διὰ τοῦτο οὗτος μὲν μυρία ἁμαρτημάτων φορτία ἔχων, πάντα ἀπέθετο, καὶ δικαιοσύνην ἔλαβεν· ἐκεῖνος δὲ πλήρη τὴν ναῦν κατορθωμάτων ἀναγαγών, καὶ ἐλεημοσύνης, καὶ νηστείας, καθάπερ τινὶ σκοπέλῳ προσαράξας τῷ τῆς κενοδοξίας καὶ ἀπονοίας φρονήμασι, ἐν αὐτῷ τῷ λιμένι τὸ ναυά-

---

2. Λουκᾶ 18, 13.
3. Ἐφεσ. 3, 20.

ρουν τὴν ψυχήν, καὶ ἐβλάστησεν ἐπιθυμία καὶ ἀναστεναγμὸς ἐξομολογήσεως, ἀναστεναγμὸς τέτοιος ποὺ εἶχε πολὺν πλοῦτον ἀγαθῶν. Διότι ἐὰν ὁ τελώνης μὲ τὸ νὰ εἰπῇ «συγχώρεσέ με τὸν ἁμαρτωλὸν»[2] ἔφυγε περισσότερον δικαιωμένος ἀπὸ τὸν Φαρισαῖον, πόσην παρρησίαν εἶναι ἑπόμενον νὰ ἔχωμεν ἀποκτήσει ἐμεῖς ποὺ ἔχομεν ἐπιδείξει ἐντὸς ὀλίγου χρονικοῦ διαστήματος τόσην κατάνυξιν;

Καὶ ὅμως χειρότερον τοῦ τελώνου δὲν εἶναι τίποτε, διότι τὸ ἔργον του εἶναι τὸ ἀνώτατον ὅριον κακίας· τοῦτο καὶ ὁ Χριστὸς θέλων νὰ φανερώσῃ ἔφερε συνεχῶς ὡς παράδειγμα τῶν χειρίστων κακῶν τὰς πόρνας καὶ τοὺς τελώνας· διότι τὸ ἐπάγγελμα τοῦ τελώνου εἶναι αὐθαίρετος ἐκβιασμός, ἁρπαγὴ ἀτιμώρητος, ἀναιδὴς τρόπος πλεονεξίας, ἐργασία ἄδικος, ἀναίσχυντον ἐμπόριον· καὶ ὅμως αὐτὸς ποὺ συνέζῃ μὲ τόσας κακίας ἠμπόρεσε μὲ ἁπλᾶ λόγια νὰ ἀποβάλῃ τὰς κατηγορίας καὶ νὰ λάβῃ περισσότερα ἀπὸ ὅσα ἐζήτησεν. Διότι αὐτὸς μὲν παρεκάλει τὸν Θεὸν λέγων «συγχώρεσέ με τὸν ἁμαρτωλόν», ὁ δὲ Θεός, ὄχι μόνον ἔδειξεν εὐμένειαν πρὸς αὐτόν, ἀλλὰ καὶ τὸν ἐδικαίωσε περισσότερον ἀπὸ τὸν Φαρισαῖον. Διὰ τοῦτο λέγει ὁ ἀπόστολος Παῦλος· «εἰς ἐκεῖνον δὲ ποὺ ἠμπορεῖ νὰ κάνῃ πολὺ περισσότερα ἀπὸ ὅλα ὅσα ζητοῦμεν ἢ σκεπτόμεθα»[3]. Καίτοι ὁ Φαρισαῖος προσηυχήθη καὶ ἐστάθη εἰς τὸν ἱερὸν καὶ παρεκάλεσε τὸν ἴδιον Θεόν, καὶ εἶπε περισσότερα λόγια ἀπὸ ὅσα ὁ τελώνης καὶ ἤρχισε τὴν προσευχήν του ἀπὸ τὴν εὐχαριστίαν πρὸς τὸν Θεόν. Διατί λοιπὸν ἔχασε ἐκεῖνος ὅσα καλὰ εἶχε, αὐτὸς δὲ ἔλαβε ἐπὶ πλέον καὶ παρρησίαν τὴν ὁποίαν δὲν εἶχεν; Ἀπὸ τὸν τρόπον τῆς προσευχῆς, διότι δὲν ἦτο ἴδιος ὁ τρόπος τῆς προσευχῆς ἑκάστου. Ὁ μὲν Φαρισαῖος ἦτο πλήρης καυχήσεως, ἐπάρσεως καὶ ὑπερηφανείας, ὁ δὲ Τελώνης ἦτο πλήρης συνέσεως· διὰ τοῦτο καὶ αὐτὸς ἔχων ἀναρίθμητον φορτίον ἁμαρτημάτων τὸ ἀπέθεσε καὶ ἐδικαιώθη ἀπὸ τὸν Θεόν, ἐκεῖνος δὲ φέρων τὸ πλοῖον πλῆρες κατορθωμάτων ἐλεημοσύνης καὶ νηστείας, ὡς νὰ προσέκρουσεν εἰς κάποιον σκόπελον, διὰ τοῦ φρονήματος τῆς ματαιοδοξίας καὶ τῆς ὑπερηφανείας, ἐναυάγησε μέσα εἰς τὸ λιμάνι·

γιον ὑπέμεινε· τὸ γὰρ ἐν εὐχῇ ζημιωθῆναι, ἐν λιμένι ναυάγιόν ἐστιν ὑπομεῖναι. Ἀλλ' οὐ παρὰ τὴν φύσιν τῆς εὐχῆς τοῦτο γέγονεν, ἀλλὰ παρὰ τὴν προαίρεσιν τὴν αὐτοῦ.

2. Ὁρᾷς πῶς οὐκ ἀρκεῖ πρὸς σωτηρίαν ἡμῖν ἡ εὐχή, ἐὰν μὴ προσῇ τὸ κατ' ἐκείνους εὔξασθαι τοὺς νόμους, οὓς τέθεικεν ὁ Χριστός; Τίνας δὲ τέθεικε νόμους; Ὑπὲρ τῶν ἐχθρῶν εὔχεσθαι, καὶ τῶν πολλὰ λυπούντων. Κἂν μὴ τοῦτο ποιῶμεν, ἀπολλύμεθα πάντως· καὶ δῆλον ἐκ τοῦ παραδείγματος τοῦ κατὰ τὸν Φαρισαῖον. Εἰ γὰρ οὗτος, οὐχὶ τῶν ἐχθρῶν κατευξάμενος, ἀλλὰ κενοδοξήσας μόνον, τοσαύτην ἔδωκε δίκην, τίς μένει τιμωρία τοὺς μακροὺς καὶ πολλοὺς κατὰ τῶν ἐχθρῶν ἀποτείνοντας λόγους;

Τί ποιεῖς, ἄνθρωπε; Ἕστηκας συγγνώμην αἰτῶν ἁμαρτημάτων, καὶ θυμοῦ πληροῖς τὴν διάνοιαν; Ὅτε πάντων ἡμερωτέρους εἶναι χρή, Δεσπότῃ διαλεγομένους, ὑπὲρ οἰκείων πλημμελημάτων παρακαλοῦντας, ἔλεον καὶ φιλανθρωπίαν καὶ συγγνώμην αἰτοῦντας, τότε ἀγριούμεθα, καὶ πρὸς θηριωδίαν ἐκπίπτομεν, καὶ πικρίας τὸ στόμα πληροῦμεν; Καὶ πῶς δυνησόμεθα, εἰπέ μοι, τῆς σωτηρίας ἐπιτυχεῖν, σχῆμα μὲν ἱκετῶν προβαλλόμενοι, ῥήματα δὲ ἀπονοίας φέροντες, καὶ καθ' ἑαυτῶν παροξύνοντες τὸν Δεσπότην; Εἰσῆλθες τὰ οἰκεῖα θεραπεῦσαι τραύματα, οὐχὶ τὰ τοῦ πλησίον χαλεπώτερα ἐργάσασθαι· ἱλασμοῦ καιρός ἐστιν, εὐχῆς καιρός, καὶ στεναγμοῦ, οὐχὶ ὀργῆς· δακρύων, οὐχὶ θυμοῦ· κατανύξεως, οὐχὶ ἀγανακτήσεως. Τί συγχέεις τὴν τάξιν; τί σαυτῷ πολεμεῖς; τί καταλύεις σου τὴν οἰκοδομήν; Τὸν εὐχόμενον πρὸ τῶν ἄλλων ἁπάντων ἥμερον ἔχειν χρὴ διάνοιαν, κατεσταλμένον νοῦν, συντετριμμένην καρδίαν· ὁ δὲ τῶν ἐχθρῶν καταβοῶν οὐκ

διότι τὸ νὰ ζημιωθῇς εἰς τὴν προσευχὴν εἶναι ὡς νὰ ναυαγῇς μέσα εἰς λιμάνι. Δὲν συνέβη ὅμως αὐτὸ ἐξ αἰτίας τῆς φύσεως τῆς προσευχῆς, ἀλλὰ ἐξ αἰτίας τῆς ἰδικῆς του προθέσεως.

2. Βλέπεις λοιπὸν ὅτι δὲν ἀρκεῖ ἡ προσευχὴ διὰ τὴν σωτηρίαν μας, ἂν δὲν γίνῃ σύμφωνα μὲ τοὺς κανόνας ἐκείνους ποὺ ἔθεσεν ὁ Χριστός; Ποίους νόμους ἔχει θέσει; Νὰ προσευχώμεθα ὑπὲρ τῶν ἐχθρῶν καὶ ὑπὲρ ἐκείνων οἱ ὁποῖοι μᾶς ἐνοχλοῦν καὶ μᾶς θλίβουν πολύ. Καὶ ἂν δὲν κάμνωμεν τοῦτο, ἐξάπαντος θὰ χαθῶμεν· καὶ αὐτὸ γίνεται φανερὸν ἀπὸ τὸ παράδειγμα τοῦ Φαρισαίου. Διότι ἂν αὐτὸς ὁ ὁποῖος δὲν προσηυχήθη ἐναντίον τῶν ἐχθρῶν του, ἀλλὰ ἐξ αἰτίας τῆς ματαιοδοξίας του μόνον ἐτιμωρήθη τόσον, ποία τιμωρία ἀπομένει δι' ἐκείνους οἱ ὁποῖοι ἀπευθύνουν πρὸς τὸν Θεὸν μεγάλους καὶ πολλοὺς λόγους ἐναντίον τῶν ἐχθρῶν των;

Τί κάμεις ἄνθρωπε; ζητεῖς συγχώρησιν τῶν ἁμαρτιῶν σου καὶ πληροῖς τὴν σκέψιν σου μὲ θυμόν; Ὅταν περισσότερον ἀπὸ κάθε ἄλλην φορὰν πρέπει νὰ εἴμεθα ἠπιώτεροι, διότι συνομιλοῦμεν μὲ τὸν Θεόν, παρακαλοῦντες διὰ τὰ παραπτώματά μας, ζητοῦντες εὐσπλαγχνίαν, φιλανθρωπίαν καὶ συγγνώμην, τότε ἐξαγριωνόμεθα καὶ περιπίπτομεν εἰς θηριωδίαν καὶ πληροῦμεν ἀπὸ πικρίαν τὸ στόμα; Καὶ πῶς θὰ ἠμπορέσωμεν, εἰπέ μου, νὰ ἐπιτύχωμεν τὴν σωτηρίαν μας ἀφ' ἑνὸς μὲν παρουσιάζοντες εἰκόνα ἱκετῶν, ἀφ' ἑτέρου δὲ προσφέροντες λόγους ὑπερηφανείας, ἐξοργίζοντες τὸν Κύριον ἐναντίον μας; Ἦλθες διὰ νὰ θεραπεύσῃς τὰ ἰδικά σου τραύματα, καὶ ὄχι διὰ νὰ κάμῃς βαρύτερα τὰ τραύματα τοῦ πλησίον· εἶναι καιρὸς συγχωρήσεως, καιρὸς προσευχῆς καὶ στεναγμοῦ, καὶ ὄχι ὀργῆς· εἶναι καιρὸς δακρύων, ὄχι θυμοῦ, καιρὸς συντριβῆς τῆς καρδίας καὶ ὄχι ὀργῆς. Διατί συγχέεις τὴν τάξιν; Διατί πολεμᾷς τὸν ἑαυτόν σου; Διατί καταστρέφεις τὸ πνευματικόν σου οἰκοδόμημα; Αὐτὸς ποὺ προσεύχεται πρέπει νὰ ἔχῃ ἀγαθὴν ψυχὴν περισσότερον ἀπὸ ὅλους τοὺς ἄλλους, ταπεινόφρονα νοῦν, συντετριμμένην καρδίαν· ἐκεῖνος δὲ ποὺ

ἂν δυνηθείη τοῦτο κατορθῶσαί ποτε· θυμοῦ γάρ ἐστι πεπληρωμένος, καὶ οὐχ οἷός τέ ἐστιν ἔχειν κατεσταλμένην διάνοιαν.

Μὴ τοίνυν κατευχώμεθα τῶν ἐχθρῶν, ἀλλὰ μηδὲ τῶν κατορθωμάτων τῶν ἡμετέρων μνημονεύωμεν, ἵνα μὴ πάθωμεν ὅπερ ὁ Φαρισαῖος. Ὥσπερ γὰρ ἁμαρτημάτων μεμνῆσθαι, καλόν, οὕτω κατορθωμάτων ἐπιλελῆσθαι, καλόν. Τίνος ἕνεκεν; Ὅτι ἡ μὲν τῶν κατορθωμάτων μνήμη πρὸς ἀλαζονείαν ἡμᾶς ἐπαίρει, ἡ δὲ τῶν ἁμαρτημάτων μνήμη καταστέλλει τὴν διάνοιαν καὶ ταπεινοῖ· καὶ ἐκείνη μὲν ῥαθυμοτέρους ποιεῖ, αὕτη δὲ σπουδαιοτέρους ἐργάζεται. Καὶ γὰρ ὅσοι μηδὲν νομίζουσιν ἔχειν καλόν, προθυμότεροι γίνονται πρὸς τὸ κτήσασθαι τὰ καλά· οἱ δὲ πολλὴν ἑαυτοῖς ἀποτεθεῖσθαι τὴν ἐμπορίαν ἡγούμενοι, θαρροῦντες τῇ ταύτης περιουσίᾳ, οὐκ ἂν πολλὴν ἐπιδείξαιντο σπουδὴν πρὸς τὸν πλείονα περιλαβέσθαι πάλιν.

3. Μὴ τοίνυν μνησθῇς τῶν κατορθωμάτων, ἵνα μνησθῇ αὐτῶν ὁ Θεός. «Λέγε γάρ», φησί, «τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς». Καὶ πάλιν· «Οὐ μὴ μνησθῶ τῶν ἀνομιῶν σου», φησί· «σὺ δὲ μνήσθητι».

Ἀλλὰ τίνος ἕνεκεν τοῦ τελώνου οὕτω ταχέως ἐπήκουσεν ὁ Θεός, τὸν δὲ Ἰσαὰκ ἀφῆκεν εἴκοσιν ἔτη δέεσθαι καὶ παρακαλεῖν αὐτὸν περὶ τῆς γυναικὸς αὐτοῦ, καὶ τότε ἐπένευσε ταῖς εὐχαῖς τοῦ δικαίου; Ἀνάγκη γὰρ τῆς χθὲς διδασκαλίας ἀποδοῦναι ὑμῖν τὰ λείψανα. Τίνος οὖν ἕνεκεν τοῦτο γέγονεν; Ἵνα ἀπὸ μὲν τῶν κατὰ τὸν τελώνην μάθῃς τὴν φιλανθρωπίαν τοῦ Δεσπότου ταχέως ἐπακούσαντος, ἀπὸ δὲ τῶν κατὰ τὸν Ἰσαὰκ μάθῃς τὴν ὑπομονὴν τοῦ δούλου βραδέως λαβόντος, καὶ οὐκ ἀποστάντος τῆς ἱκετηρίας· ἵνα, κἂν ἁμαρτωλὸς ᾖς, μὴ ἀπογνῷς, κἂν δίκαιος ᾖς, μὴ ἐπαρθῇς. «Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες». Κακῶς εἶχεν

---

4. Ἠσ. 43, 26.
5. Ἠσ. 43, 25.
6. Ματθ. 9, 12.

κατακραυγάζει ἐναντίον τῶν ἐχθρῶν, δὲν θὰ ἠμπορέσῃ ποτὲ νὰ τὸ κατορθώσῃ αὐτό, διότι εἶναι πλήρης θυμοῦ, καὶ δὲν ἠμπορεῖ νὰ ἔχῃ κατεσταλμένην διάνοιαν.

Ἄς μὴ προσευχώμεθα λοιπὸν ἐναντίον τῶν ἐχθρῶν μας, ἀλλ' οὔτε πάλιν νὰ ἀναφέρωμεν τὰ ἰδικά μας ἐπιτεύγματα, διὰ νὰ μὴ πάθωμεν ὅ,τι ὁ Φαρισαῖος. Διότι ὅπως ἀκριβῶς εἶναι καλὸν νὰ ἐνθυμούμεθα τὰ ἁμαρτήματά μας, ἔτσι πάλιν εἶναι καλὸν νὰ λησμονῶμεν τὰ κατορθώματά μας. Διὰ ποῖον λόγον; Διότι ἡ μὲν ἀνάμνησις τῶν κατορθωμάτων μᾶς ὁδηγεῖ εἰς ὑπερηφάνειαν, ἡ δὲ ἐνθύμησις τῶν ἁμαρτημάτων καταστέλλει καὶ ταπεινώνει τὸν νοῦν μας. Καὶ ἐκείνη μὲν μᾶς κάνει νωθρούς, αὐτὴ δὲ μᾶς κάμει προθυμοτέρους. Διότι ὅσοι νομίζουν ὅτι δὲν ἔχουν κανένα καλόν, ἐπιδεικνύουν μεγαλύτερον ζῆλον διὰ νὰ ἀποκτήσουν τὰ καλά· ὅσοι δὲ πάλιν νομίζουν ὅτι ἔχουν ἐναποθέσει πολὺν πλοῦτον διὰ τοὺς ἑαυτούς των, ἔχοντες θάρρος εἰς τὴν περιουσίαν αὐτήν, δὲν θὰ ἐπιδείξουν μεγάλην προθυμίαν εἰς τὸ νὰ ἀποκτήσουν περισσότερον.

3. Μὴ μνημονεύῃς λοιπὸν τὰ κατορθώματά σου, διὰ νὰ τὰ ἐνθυμηθῇ ὁ Θεός, διότι λέγει· «λέγε τὰς ἁμαρτίας σου πρῶτος, διὰ νὰ δικαιωθῇς»[4]· καὶ πάλιν λέγει· «δὲν θὰ ἐνθυμηθῶ τὰς ἁμαρτίας σου ἐγώ, ἀλλὰ νὰ τὰς ἐνθυμηθῇς ἐσύ»[5].

Ἀλλὰ διὰ ποῖον λόγον τόσον γρήγορα ἐπήκουσεν ὁ Θεὸς τὸν Τελώνην, τὸν δὲ Ἰσαὰκ τὸν ἄφησε νὰ τὸν παρακαλῇ καὶ νὰ τὸν ἱκετεύῃ διὰ τὴν γυναῖκα του εἴκοσι ἔτη, καὶ μόνον τότε εἰσήκουσε τὰς προσευχὰς τοῦ δικαίου; Εἶναι ἀναγκαῖον νὰ σᾶς συμπληρώσω τὴν χθεσινὴν διδασκαλίαν. Διὰ ποῖον λοιπὸν λόγον ἔγινε τοῦτο; Ὅσον ἀφορᾷ τὰ γενόμενα εἰς τὸν Τελώνην, διὰ νὰ μάθῃς τὴν φιλανθρωπίαν τοῦ Κυρίου, ὁ ὁποῖος γρήγορα ἐπήκουσεν αὐτόν· ὅσον ἀφορᾷ τὰ γενόμενα εἰς τὸν Ἰσαάκ, διὰ νὰ μάθῃς τὴν ὑπομονὴν τοῦ δούλου ὁ ὁποῖος ἔλαβεν ἀργὰ τὰ ζητούμενα καὶ δὲν ἀπεμακρύνθη ἀπὸ τὴν παράκλησιν. Διὰ νὰ μὴ ἀπελπισθῇς, ἂν εἶσαι ἁμαρτωλός, καὶ διὰ νὰ μὴ καυχηθῇς, ἂν εἶσαι δίκαιος. «Δὲν ἔχουν ἀνάγκην ἀπὸ ἰατρὸν οἱ ὑγιεῖς ἀλλὰ οἱ ἀσθενεῖς»[6]. Ὁ Τελώνης ἦτο ἀσθενής, διὰ τοῦτο γρήγορα

ὁ τελώνης· διὰ τοῦτο ταχέως αὐτῷ ὤρεξε χεῖρα· ὁ δὲ Ἰσαὰκ ἰσχυρότερος ἦν, καὶ διὰ τοῦτο αὐτὸν εἴασεν, ἵνα αὐτοῦ τὴν ὑπομονὴν ἐπιτείνῃ. Ἀλλ' οὗτος μὲν ἐκ περιουσίας ἡμῖν ὁ λόγος εἰρήσθω.

Τίνος δὲ ἕνεκεν ἡ γυνὴ στεῖρα ἦν, ἀναγκαῖον εἰπεῖν, ἵν', ὅταν ἴδῃς παρθένον μητέρα γινομένην μὴ ἀπιστήσῃς· ἵν', ὅταν εἴπῃ σοι ὁ Ἰουδαῖος, πῶς ἔτεκεν ἡ Μαρία; εἴπῃς αὐτῷ, πῶς ἔτεκεν ἡ Σάρρα, καὶ ἡ Ρεβέκκα, καὶ ἡ Ραχήλ; Ὅταν γὰρ μέλλῃ τι θαυμαστὸν καὶ μέγα γίνεσθαι θαῦμα, πολλοὶ προτρέχουσι τύποι. Καὶ καθάπερ βασιλέως εἰσιόντος, προτρέχουσι στρατιῶται, ὥστε μὴ ἀθρόον ἀπαρασκευάστως δέξασθαι τὸν βασιλέα· οὕτω καὶ θαύματος μέλλοντος γίνεσθαι παραδόξου, προτρέχουσι τύποι, ὥστε ἡμᾶς προμελετήσαντας μὴ καταπλαγῆναι ἀθρόον, μηδὲ ἐκστῆναι τῷ παραδόξῳ τοῦ γινομένου.

Τοῦτο καὶ ἐπὶ τοῦ θανάτου. Προέδραμεν Ἰωνᾶς, καὶ ἐγύμνασεν ἡμῶν τὴν διάνοιαν. Καθάπερ γὰρ ἐκεῖνον μετὰ τρεῖς ἡμέρας τὸ κῆτος ἤμεσεν, οὐχ εὑρὸν ἐν αὐτῷ τὴν οἰκείαν τροφὴν καὶ κατάλληλον· οἰκεία γὰρ τροφὴ καὶ κατάλληλος θανάτου τῆς ἁμαρτίας ἡ φύσις· ἐντεῦθεν ἐτέχθη, ἐντεῦθεν ἐρριζώθη, ἐντεῦθεν καὶ τρέφεται. Καθάπερ οὖν ἐφ' ἡμῶν, ἐπειδὰν λίθον καταπίωμεν οὐκ εἰδότες, τότε μὲν πρῶτον ἐπιχειρεῖ πέψαι τοῦτον ἡ τοῦ στομάχου δύναμις· ἐπειδὰν δὲ εὕρῃ ἀλλοτρίαν αὐτῷ οὖσαν τροφήν, ὁμιλήσασα ἐπὶ πλέον αὐτῷ τῇ πεπτικῇ δυνάμει, ἐκεῖνον μὲν οὐ διαφθείρει, τὴν δὲ ἑαυτῆς ἀπόλλυσιν ἰσχύν, ὅθεν οὐδὲ τὴν προτέραν δύναται κατέχειν τροφήν, ἀλλὰ ἀτονήσασα κἀκείνην αὐτῷ συνεξεμεῖ μετὰ πολλῆς τῆς ὀδύνης· οὕτω καὶ ἐπὶ τοῦ θανάτου γέγονε. Κατέπιε τὸν λίθον τὸν ἀκρογωνιαῖον, καὶ οὐκ ἴσχυσεν αὐτὸν πέψαι· ἠσθένησεν αὐτοῦ πᾶσα ἡ δύναμις· διὰ τοῦτο μετ' αὐτοῦ καὶ τὴν λοιπήν, ἣν εἶχε, συνεξέβαλε τροφήν, τῶν ἀνθρώ-

εἰς αὐτὸν ἥπλωσε τὴν χεῖρα, ὁ δὲ Ἰσαὰκ ἦτο ἰσχυρότερος καὶ διὰ τοῦτο τὸν ἄφησε διὰ νὰ ἐπαυξήσῃ τὴν ὑπομονήν του. Ἀλλὰ αὐτὰ τὰ λόγια ἔχουν λεχθῆ μὲ τὸ παραπάνω.

Εἶναι ἀνάγκη νὰ ὁμιλήσω διὰ ποῖον λόγον ἦτο ἡ γυναῖκα του στεῖρα, ὥστε νὰ μὴ ἀπιστήσῃς, ὅταν θὰ ἰδῇς τὴν Παρθένον νὰ γίνεται μητέρα· ὅταν δὲ σὲ ἐρωτήσῃ ὁ Ἰουδαῖος πῶς ἐγέννησεν ἡ Μαρία; Νὰ εἰπῇς εἰς αὐτόν· πῶς ἐγέννησεν ἡ Σάρρα καὶ ἡ Ρεβέκκα καὶ ἡ Ραχήλ; Διότι ὅταν πρόκειται νὰ γίνῃ κάτι τὸ ἀξιοθαύμαστον καὶ πολὺ ὑπερφυσικόν, τοῦ γεγονότος τούτου προηγοῦνται πολλὰ παραδείγματα. Καὶ ὅπως ἀκριβῶς ὅταν εἰσέρχεται ὁ βασιλεὺς προηγοῦνται στρατιῶται, ὥστε νὰ μὴ ὑποδεχθῶμεν τὸν βασιλέα ξαφνικὰ καὶ ἀπροετοίμαστοι, ἔτσι καὶ ὅταν πρόκειται νὰ γίνῃ κάποιο παράξενον θαῦμα, προηγοῦνται παραδείγματα, ὥστε ἀφοῦ προπαρασκευασθῶμεν νὰ μὴ ἐκπλαγῶμεν ἔξαφνα, οὔτε νὰ ἀποροῦμεν διὰ τὸ παράδοξον ποὺ ἔγινεν.

Αὐτὸ συνέβη καὶ ὡς πρὸς τὸν θάνατον. Προηγήθη ὁ Ἰωνᾶς καὶ προετοίμασε τὴν σκέψιν μας. Διότι ὅπως ἀκριβῶς ἐκεῖνον μετὰ ἀπὸ τρεῖς ἡμέρας τὸν ἐξέβαλε τὸ κῆτος, ἔτσι καί τὸ μνῆμα ἀπέδωσε τὸν Χριστόν, μὴ εὑρὸν εἰς αὐτὸν τὴν ἁρμόζουσαν καὶ κατάλληλον τροφήν, διότι προσιδιάζουσα καὶ κατάλληλος τροφὴ τοῦ θανάτου εἶναι ἡ φύσις τῆς ἁμαρτίας· ἀπὸ αὐτὴν ἐγεννήθη, δι' αὐτῆς ἐρριζοβόλησε καὶ ἀπὸ αὐτὴν τρέφεται. Ὅπως λοιπὸν εἰς ἐμᾶς ὅταν, χωρὶς νὰ τὸ γνωρίζωμεν, καταπίωμεν λίθον τότε κατ' ἀρχὴν ἐπιχειρεῖ νὰ τὸ χωνεύσῃ ἡ δύναμις τοῦ στομάχου· ὅταν ὅμως εὕρῃ τὴν τροφὴν νὰ εἶναι ξένη δι' αὐτόν, ἀκόμη καὶ ἂν ἐπιχειρήσῃ μὲ περισσοτέραν πεπτικὴν δύναμιν νὰ τὸν χωνεύσῃ, ἐκεῖνον μὲν δὲν καταστρέφει, χάνει δὲ τὴν ἰδικήν του δύναμιν, καὶ οὔτε λοιπὸν τὴν προηγουμένην τροφὴν ἠμπορεῖ νὰ κατακρατήσῃ, ἀλλὰ ἀφοῦ ἀτονίσῃ συνεκβάλλει καὶ ἐκείνην μὲ αὐτὸν μὲ πολλὴν πόνον. Τὸ ἴδιον συνέβη καὶ εἰς τὸν θάνατον. Κατέπιε τὸν ἀκρογωνιαῖον λίθον καὶ δὲν ἠμπόρεσε νὰ τὸν χωνέψῃ, καὶ ἐξησθένησεν ὅλη ἡ δύναμίς του· διὰ τοῦτο μὲ αὐτὸν καὶ τὴν ὑπόλοιπον συνεξέβαλε τροφήν, τὴν ὁποίαν εἶχε, καὶ οὕτω συνεξέρασε καὶ τὴν ἀν-

πων συνεξεμέσας τὴν φύσιν. Οὐδὲ γὰρ ταύτην κατασχεῖν δυνήσεται λοιπὸν εἰς τέλος.

Διὰ τοῦτο καὶ αἱ στεῖραι προέδραμον, ἵνα ὁ τόκος πιστωθῇ· μᾶλλον δὲ οὐχ ἵνα ὁ τόκος πιστωθῇ μόνον, ἀλλ' ἐὰν ἀκριβῶς ἐξετάσωμεν, καὶ αὐτοῦ τοῦ θανάτου τὴν στείρωσιν τύπον οὖσαν εὑρήσομεν.

4. Ἀλλὰ προσέχετε· λεπτὸν γὰρ τὸ ῥηθησόμενον· μέλλομεν γὰρ ἐρεῖν, πῶς πρὸς τὴν πίστιν τῆς ἀναστάσεως ἡμᾶς ἡ μήτρα τῆς Σάρρας στειρωθεῖσα χειραγωγεῖ. Πῶς οὖν ἡμᾶς χειραγωγεῖ; Καθάπερ αὕτη νεκρὰ οὖσα ἐκ τῆς τοῦ Θεοῦ χάριτος ἀνέστη, καὶ σῶμα ἐβλάστησε ζῶν τὸ τοῦ Ἰσαάκ· οὕτω καὶ ὁ Χριστὸς νεκρωθεὶς ἠγέρθη τῇ οἰκείᾳ δυνάμει. Καὶ ὅτι οὐ βεβίασται τὸ εἰρημένον, ἄκουσον αὐτοῦ τοῦ Παύλου λέγοντος. Εἰπὼν γὰρ περὶ τοῦ Ἀβραάμ, ὅτι «Οὐκ ἐνενόησε τὴν νέκρωσιν τῆς μήτρας Σάρρας, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ Θεῷ, καὶ πληροφορηθεὶς ὅτι ὃ ἐπήγγελται δυνατός ἐστι καὶ ποιῆσαι», τοῦτ' ἔστιν, ἀπὸ τῶν νεκρῶν σωμάτων ζῶντα ποιῆσαι γεννηθῆναι υἱόν· εἶτα ἀπ' ἐκείνης εἰς ταύτην ἡμᾶς τὴν πίστιν χειραγωγῶν ἐπήγαγεν· «Οὐκ ἐγράφη δι' ἐκεῖνον μόνον, ὅτι ἐλογίσθη αὐτῷ, ἀλλὰ καὶ δι' ἡμᾶς». Διὰ τί; «Οἷς μέλλει», φησί, «λογίζεσθαι τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν Κύριον ἡμῶν ἐκ νεκρῶν». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι. Τὸν Ἰσαὰκ ἀπὸ νεκρῶν σωμάτων ἤγειρεν· οὕτω καὶ τὸν Υἱὸν ἀνέστησε, νεκρὸν γενόμενον.

Βούλει καὶ ἑτέρου πράγματος μαθεῖν σύμβολον οὖσαν τὴν στείρωσιν; Ἤμελλεν ἡ Ἐκκλησία τὸ πλῆθος ἀποκυῆσαι τῶν πιστῶν· ἵν' οὖν μὴ ἀπιστῇς, πῶς ἡ ἄγονος, ἡ ἄκαρπος, ἡ στεῖρα ἔτεκε, προέλαβεν ἡ φύσει στεῖρα, προοδοποιοῦσα τῇ προαιρέσει στείρᾳ, καὶ ἡ Σάρρα τῆς Ἐκκλησίας ἐγένετο τύπος. Ὥσπερ γὰρ ἐκείνη στεῖρα οὖσα ἔτεκεν ἐν γήρᾳ, οὕτω

7. Ρωμ. 4, 19-21.
8. Ρωμ. 4, 23-24.
9. Νεκρὸν ὀνομάζει τὸ σῶμα τῆς Σάρρας ἐπειδὴ καὶ λόγῳ τοῦ προκεχωρημένου τῆς ἡλικίας καὶ λόγῳ τῆς στειρώσεως δὲν ἠμποροῦσε νὰ κυοφορήσῃ.

θρωπίνην φύσιν, καὶ οὔτε θὰ δυνηθῇ νὰ τὴν κατακρατήσῃ διὰ παντός.

Δι' αὐτὸ λοιπὸν προηγήθησαν καὶ αἱ στεῖραι, διὰ νὰ πιστευθῇ ἡ γέννησις τῆς Παρθένου, καὶ μᾶλλον ὄχι διὰ νὰ πιστευθῇ ἡ γέννησις, ἀλλὰ ἂν ἐπακριβῶς ἐξετάσωμεν, θὰ εὕρωμεν ὅτι ἡ στείρωσις εἶναι τύπος καὶ αὐτοῦ τοῦ θανάτου.

4. Ἀλλὰ προσέχετε, διότι αὐτὸ ποὺ θὰ λεχθῇ εἶναι λεπτόν, διότι πρόκειται νὰ εἴπουμεν πῶς ἡ στειρωθεῖσα μήτρα τῆς Σάρρας μᾶς καθοδηγεῖ εἰς τὴν πίστιν τῆς ἀναστάσεως. Πῶς λοιπὸν μᾶς καθοδηγεῖ; Ὅπως αὐτή, ἐνῷ ἦτο νεκρή, ἀνεζωογονήθη διὰ τῆς χάριτος τοῦ Θεοῦ καὶ ἐβλάστησε τὸ ζῶν σῶμα τοῦ Ἰσαάκ, ἔτσι καὶ ὁ Χριστός, ἐνῷ ἀπέθανεν, ἀνεστήθη μὲ τὴν ἰδικήν του δύναμιν. Καὶ τὸ ὅτι δὲν εἶναι βεβιασμένον αὐτὸ ποὺ ἔχει λεχθῆ ἄκουσε τὸν ἴδιον τὸν Παῦλον ποὺ λέγει. Διότι ὅταν εἶπε διὰ τὸν Ἀβραὰμ «δὲν ἐσκέφθη τὴν νεκρὰν μήτραν τῆς Σάρρας, ἀλλὰ ἔγινε σταθερώτερος διὰ τῆς πίστεως, ἀποδώσας δόξαν εἰς τὸν Θεόν, ἀπολύτως πεπεισμένος ὅτι εἶναι δυνατὸς νὰ ἐκτελέσῃ ἐκεῖνο ποὺ ἔχει ὑποσχεθῇ»[7], ὅτι δηλ. ἀπὸ νεκρὰ σώματα θὰ κάμῃ νὰ γεννηθῇ ζῶν υἱός, ἔπειτα ἀπὸ ἐκείνην ὁδηγῶν μᾶς ἐπανέφερεν αὐτὴν τὴν πίστιν. «Δὲν ἐγράφη δὲ μόνον δι' αὐτὸν ὅτι τοῦ ἐλογαριάσθη, ἀλλὰ καὶ δι' ἡμᾶς». Διατί; «εἰς τοὺς ὁποίους», λέγει, «εἰς τὸ ἑξῆς θὰ λογαριάζεται, εἰς ὅσους δηλαδὴ πιστεύουν εἰς τὸν Θεὸν ποὺ ἀνέστησεν ἐκ νεκρῶν τὸν Ἰησοῦν τὸν Κύριόν μας»[8]. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τοῦτο· τὸν Ἰσαὰκ ἀπὸ νεκρὰ σώματα[9] ἔφερεν εἰς τὴν ζωήν, ἔτσι καὶ τὸν Χριστόν, ποὺ εἶχεν ἀποθάνει, ἀνέστησεν.

Θέλεις νὰ μάθῃς ὅτι εἶναι ἡ στείρωσις συμβολισμὸς καὶ ἄλλου πράγματος; Ἐπρόκειτο ἡ Ἐκκλησία νὰ γεννήσῃ τὸ πλῆθος τῶν πιστῶν· διὰ νὰ μὴ ἀπιστῇς λοιπὸν πῶς ἐγέννησεν ἡ ἄγονος, ἡ ἄκαρπος, ἡ στεῖρα, προηγήθη ἡ ἐκ φύσεως στεῖρα προετοιμάζουσα τὴν ἐκ προαιρέσεως στεῖραν καὶ ἡ Σάρρα ἔγινε τύπος τῆς Ἐκκλησίας. Διότι ὅπως ἐκείνη, ἐνῷ ἦτο στεῖρα ἐγέννησεν εἰς βαθὺ γῆρας, ἔτσι καὶ αὐτή, ἐνῷ ἦτο στεῖρα ἐγέννησε κατὰ τοὺς τελευταίους

καὶ αὕτη στεῖρα οὖσα ἔτεκεν ἐπ' ἐσχάτων τῶν καιρῶν. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἄκουσον Παύλου λέγοντος· «Ἡμεῖς δὲ τῆς ἐλευθέρας τέκνα ἐσμέν». Ἐπειδὴ γὰρ ἡ Σάρρα τύπος ἐστὶ τῆς Ἐκκλησίας, ἡ ἐλευθέρα, διὰ τοῦτο ἐπήγαγεν, ὅτι «Τῆς ἐλευθέρας τέκνα ἐσμέν». Καὶ πάλιν· Ἄρα, ἀδελφοί, κατὰ Ἰσαὰκ ἐπαγγελίας τέκνα ἐσμέν. Τί ἐστιν, «Ἐπαγγελίας»; Ὥσπερ ἐκεῖνον οὐκ ἔτεκε φύσις, οὐδὲ ἡμᾶς φύσις ἔτεκεν, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ. Καὶ πάλιν· «Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ ἡμῶν»· αὕτη δέ ἐστιν ἡ Ἐκκλησία. «Προσεληλύθατε γὰρ Σιὼν ὄρει», φησί, καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ Ἐκκλησίᾳ πρωτοτόκων». Εἰ τοίνυν ἄνω Ἱερουσαλὴμ ἡ Ἐκκλησία ἐστί, τῆς δὲ ἄνω Ἱερουσαλὴμ τύπος ἐστὶν ἡ Σάρρα, καθὼς εἶπεν, ὅτι «Δύο εἰσί, μία μὲν εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ· ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ ἡμῶν», εὔδηλον ὅτι τῆς ἄνω Ἱερουσαλὴμ τύπος ἐστὶν ἡ Σάρρα κατὰ τὸν τόκον καὶ τὴν στείρωσιν.

5. Οἶδα ὅτι λεπτότερα τὰ εἰρημένα· ἀλλ' ἐὰν λάβωμεν, οὐδὲν ἡμᾶς παραδραμεῖται τῶν λεγομένων. Οὗτοι μὲν οὖν μυστικώτεροι καὶ δογματικώτεροι οἱ λόγοι· εἰ δὲ βούλεσθε, καὶ ἠθικώτερον μετὰ τούτων ἐρῶ.

Στεῖρα ἦν ἡ γυνή, ἵνα μάθῃς τοῦ ἀνδρὸς τὴν σωφροσύνην· ὅτι οὔτε ἐκείνην ἐξέβαλε, καίτοι οὐδενὸς τότε κωλύοντος νόμου, οὔτε ἑτέραν λαβών, τῇ ἐλευθέρᾳ ἐπεισήγαγεν· ὃ δὴ πολλοὶ ποιοῦσι προφάσει παιδοποιίας, τὴν ἀσέλγειαν τὴν ἑαυτῶν πληροῦντες, καὶ τὰς μὲν ἐκβάλλοντες, τὰς δὲ εἰσάγοντες· οἱ δὲ καὶ παλλακίδας ἐφοπλίζοντες, καὶ μυρίων τὰς οἰκίας πληροῦντες πολέμων. Ἀλλ' οὐκ ἐκεῖνος ὁ δίκαιος οὕτως, ἀλλ' ἔμενε στέργων τὴν κληρωθεῖσαν αὐτῷ παρὰ τοῦ Θεοῦ γυναῖκα, καὶ παρεκάλει τὸν τῆς φύσεως Δεσπότην

10. Γαλ. 4, 31.
11. Γαλ. 4, 28.
12. Γαλ. 4, 26.
13. Ἑβρ. 12, 22.
14. Γαλ. 4, 24-26.
15. Γυναίκα ποὺ συζεῖ μὲ ἄνδρα χωρὶς γάμον.

χρόνους. Καὶ ὅτι τοῦτο εἶναι ἀληθὲς ἄκουσε τὸν Παῦλον ποὺ λέγει· «ἐμεῖς δὲ εἴμεθα παιδιὰ τῆς ἐλευθέρας»[10]. Ἐπειδὴ ἡ Σάρρα εἶναι προεικόνισις τῆς Ἐκκλησίας, δηλαδὴ ἡ ἐλευθέρα, διὰ τοῦτο συνεπέρανεν ὅτι «εἴμεθα παιδιὰ τῆς ἐλευθέρας». Καὶ πάλιν· «Ἄρα, ἀδελφοί, εἴμεθα, ὅπως καὶ ὁ Ἰσαάκ, παιδιὰ ὑποσχέσεως»[11]. Τί σημαίνει «ἐπαγγελίας»; Ὅπως ἐκεῖνος δὲν ἐγεννήθη μὲ φυσικὸν τρόπον, οὔτε καὶ ἐμεῖς ἐγεννήθημεν ἔτσι, ἀλλὰ διὰ τῆς χάριτος τοῦ Θεοῦ. Καὶ πάλιν· «ἡ ἄνω Ἰερουσαλὴμ εἶναι ἐλευθέρα, καὶ αὐτὴ εἶναι μητέρα ὅλων μας»[12]· αὐτὴ δὲ εἶναι ἡ Ἐκκλησία. «Σεῖς ὅμως ἔχετε προσέλθει εἰς τὸ ὄρος τῆς Σιών», λέγει, «καὶ εἰς τὴν πόλιν τοῦ ζωντανοῦ Θεοῦ, τὴν ἐπουράνιον Ἰερουσαλὴμ καὶ τὴν ἐκκλησίαν τῶν πρωτοτόκων»[13]. Ἂν λοιπὸν ἡ ἐκκλησία εἶναι ἄνω Ἰερουσαλήμ, ἡ δὲ Σάρρα εἶναι προεικόνισις τῆς ἄνω Ἰερουσαλήμ, καθὼς εἶπεν ὅτι «Εἶναι δύο, ἡ μὲν μία γεννᾷ παιδιὰ διὰ δουλείαν, αὐτὴ εἶναι ἡ Ἄγαρ· ἡ ἄνω ὅμως Ἰερουσαλὴμ εἶναι ἐλευθέρα, καὶ αὐτὴ εἶναι μητέρα ὅλων μας»[14], εἶναι εὐνόητον ὅτι ἡ Σάρα εἶναι προεικόνισις τῆς ἄνω Ἰερουσαλὴμ καὶ κατὰ τὴν γέννησιν καὶ κατὰ τὴν στείρωσιν.

5. Γνωρίζω ὅτι εἶναι λεπτότερα αὐτὰ ποὺ ἔχουν λεχθῆ, ἀλλ' ἂν τὰ συλλάβωμεν δὲν θὰ μᾶς διαφύγῃ τίποτε ἀπὸ τὰ λεγόμενα. Οἱ λόγοι λοιπὸν αὐτοί εἶναι μυστικώτεροι καὶ δογματικώτεροι· ἐὰν δὲ θέλετε καὶ ἠθικώτερον μαζὶ μὲ αὐτοὺς θὰ σᾶς ὁμιλήσω.

Ἦτο στεῖρα ἡ γυναίκα διὰ νὰ μάθῃς τὴν σωφροσύνην τοῦ ἀνδρός· διότι οὔτε τὴν ἔδιωξεν ἐκείνην, καίτοι κανεὶς νόμος δὲν τὸν ἠμπόδιζεν, οὔτε πάλιν ἔλαβεν ἄλλην καὶ τὴν εἰσήγαγεν εἰς τὸν οἶκον Του ὡς δευτέραν μαζὶ μὲ τὴν ἐλευθέραν, πρᾶγμα ποὺ πολλοὶ κάμνουν μὲ δικαιολογίαν τὴν παιδοποιΐαν ἱκανοποιοῦντες τὴν ἀσέλγειάν των, καὶ ἄλλας μὲν ἐκδιώκουν, ἄλλας δὲ εἰσάγουν· πολλοὶ δὲ προσλαμβάνουν καὶ παλλακίδας[15] καὶ γεμίζουν τὰ σπίτια των μὲ ἀναριθμήτους ἐχθρούς. Ὅμως ὁ δίκαιος ἐκεῖνος δὲν ἔκαμεν ἔτσι, ἀλλὰ ἐξακολουθοῦσε νὰ μένῃ εὐχαριστημένος μὲ τὴν γυναῖκα ποὺ τοῦ ἐδόθη ἀπὸ τὸν Θεὸν καὶ

διορθῶσαι τῆς φύσεως τὰ δεσμά, καὶ οὐκ ὠνείδισε τῇ γυναικί. Καὶ πόθεν, ὅτι οὐκ ὠνείδισεν; Ἐξ αὐτῆς τῆς Γραφῆς. Εἰ ὠνείδισεν, εἶπεν ἂν ἡ Γραφὴ καὶ τοῦτο, καὶ οὐκ ἐσιώπησε· καὶ γὰρ τὰ κατορθώματα λέγει τῶν δικαίων, καὶ τὰ ἐλαττώματα, ἵνα τὰ μὲν φύγωμεν, τὰ δὲ ζηλώσωμεν.

Ὅτε γοῦν πρὸς τὸν υἱὸν αὐτοῦ ἡ νύμφη ἡ Ραχὴλ ἀπωδύρετο, κἀκεῖνος ἐπέπληξεν, ἀμφότερα τέθεικε, καὶ οὐκ ἀπέκρυψεν ἡ Γραφή. Ἐπειδὴ γὰρ εἶπε, «Δός μοι τέκνα, εἰ δὲ μή, ἀποθανοῦμαι»· τί φησιν ἐκεῖνος; «Μὴ Θεὸς ἐγώ, ὃς ἐστέρησέ σε καρποῦ κοιλίας;». Δός μοι τέκνα. Γυναικώδης ἡ αἴτησις καὶ ἀλόγιστος. Τῷ ἀνδρὶ λέγεις, «Δός μοι τέκνα», παραδραμοῦσα τὸν τῆς φύσεως Δεσπότην; Διὰ τοῦτο καὶ ἐκεῖνος πληκτικώτερον ἀποκρινάμενος κατέστειλεν αὐτῆς τὴν ἄλογον αἴτησιν, καὶ ἐδίδαξε παρὰ τίνος δεῖ αἰτεῖν. Ἀλλ' οὐχ οὕτως, οὔτε αὐτὸς οὐδὲν τοιοῦτον εἶπεν, οὔτε ἐκείνη πρὸς τοῦτον ἀπωδύρατο καὶ ἐθρήνησεν. Ἐντεῦθεν σωφροσύνην παιδευόμεθα καὶ πίστιν. Τὸ μὲν γὰρ δεηθῆναι τοῦ Θεοῦ, τὴν πίστιν αὐτοῦ δείκνυσι· τὸ δὲ μὴ ἐκβαλεῖν τὴν γυναῖκα, τὴν σωφροσύνην ἡμῖν καθίστησι φανεράν· τὸ δὲ μήτε ὀνειδίσαι, μήτε ἀπογνῶναι, καὶ τὴν ὑπομονὴν καὶ τὴν φιλοσοφίαν καὶ τὴν πολλὴν ἐπιείκειαν καὶ τὴν φιλοστοργίαν τὴν πρὸς τὴν γυναῖκα δήλην ποιεῖ. Οὐδὲ γάρ, καθάπερ πολλοὶ ποιοῦσι νῦν ἐν ταῖς τοιαύταις περιστάσεσιν εἰς μαγγανείας καὶ γοητείας καταφεύγοντες, τὰ περιττὰ ταῦτα καὶ ἀνόνητα καὶ βλαβερά, καὶ ψυχὴν ἀπολλύντα, ἐκεῖνος ἐποίησεν, ἀλλὰ ἅπαντα ταῦτα ἀφείς, καὶ πάντων τῶν ἀνθρωπίνων καταγελάσας, πρὸς τὸν τῆς φύσεως Δεσπότην τὸν δυνάμενον ταῦτα διορθοῦν μόνον ἀνέδραμεν.

6. Ἀκούσατε ταῦτα, ἄνδρες, παιδεύθητε, γυναῖκες, μιμησώμεθα τὸν δίκαιον ἅπαντες. Μηδὲν ἔστω γυναικὶ ἀνδρὸς

---

16. Γεν. 30, 1-2.

παρακαλοῦσε τὸν Δεσπότην τῆς φύσεως νὰ λύση τὰ δεσμὰ τῆς φύσεως, καὶ δὲν κατηγόρησε τὴν γυναῖκα του διὰ τὴν στείρωσιν. Καὶ ἀπὸ ποῦ συμπεραίνομεν ὅτι δὲν τὴν κατηγόρησεν; Ἀπὸ αὐτὴν ταύτην τὴν Γραφήν. Ἐὰν τὴν κατηγοροῦσε θὰ τὸ ἔλεγε καὶ τοῦτο ἡ Γραφὴ καὶ δὲν θὰ τὸ ἀποσιωποῦσε, διότι λέγει καὶ τὰ κατορθώματα καὶ τὰ ἐλαττώματα τῶν δικαίων· τὰ μὲν διὰ νὰ τὰ μιμηθοῦμεν, τὰ δὲ διὰ νὰ τὰ ἀποφύγωμεν.

Ὅταν λοιπὸν ἐθρηνοῦσεν ἡ Ραχήλ, ἡ νύμφη του, πρὸς τὸν ἐγγονόν του τὸν Ἰακώβ, καὶ ἐκεῖνος τὴν ἐπέπληξεν, ἀνέφερε καὶ τὰ δύο, καὶ δὲν τὰ ἀπέκρυψεν ἡ Γραφή. Διότι ὅταν εἶπε, «Δῶσε μου παιδιὰ διότι ἀλλοιῶς θὰ πεθάνω», τί εἶπεν ἐκεῖνος· «Μήπως εἶμαι ἐγὼ Θεὸς ὁ ὁποῖος σὲ ἐστέρησεν ἀπὸ τῆς τεκνογονίας;»[16]. Δῶσε μου παιδιά· γυναικεία ἡ παράκλησις καὶ ἀπερίσκεπτος. Εἰς τὸν ἄνδρα λέγεις «δῶσε μου παιδιὰ» παραβλέπουσα τὸν Δεσπότην τῆς φύσεως; Διὰ τοῦτο καὶ ἐκεῖνος μὲ περισσοτέραν ἐπίπληξιν ἀπεκρίθη καὶ κατέστειλε τὴν παράλογόν της παράκλησιν καὶ ἐδίδαξεν ἀπὸ ποῖον πρέπει νὰ ζητοῦμεν. Ἀλλὰ δὲν συνέβη τὸ ἴδιο μὲ αὐτόν, οὔτε αὐτὸς εἶπε τίποτε τέτοιο, οὔτε ἐκείνη ἔκλαυσε καὶ ἐθρήνησε πρὸς αὐτόν· ἀπὸ αὐτὰ διδασκόμεθα σωφροσύνην καὶ πίστιν. Διότι μὲ τὸ νὰ παρακαλέση τὸν Θεὸν ἀποδεικνύει τὴν πίστιν του, μὲ τὸ νὰ μὴ ἐκδιώξη τὴν γυναῖκα του μᾶς φανερώνει τὴν σωφροσύνην του, μὲ τὸ νὰ μὴ κατηγορήση οὔτε νὰ τὴν φέρη εἰς ἀπόγνωσιν μᾶς φανερώνει καὶ τὴν ὑπομονὴν καὶ τὴν φιλοσοφίαν του καὶ τὴν πολλὴν ἐπιείκειαν καὶ ἀγάπην πρὸς τὴν γυναῖκα του. Διότι δὲν ἔπραξεν ἔτσι ὅπως κάμουν πολλοὶ τώρα εἰς παρομοίας περιπτώσεις, ποὺ καταφεύγουν εἰς τὰς μαγείας καὶ τὰς γοητείας, αὐτὰ τὰ περιττὰ καὶ ἀνόητα καὶ βλαβερὰ ποὺ καταστρέφουν καὶ τὴν ψυχήν, ἀλλὰ ἀφοῦ ἐγκατέλειψεν ὅλα αὐτὰ καὶ περιεφρόνησεν ὅλα τὰ ἀνθρώπινα ἀνέτρεξεν εἰς τὸν Δεσπότην τῆς φύσεως ποὺ αὐτὸς μόνον ἠμπορεῖ νὰ θεραπεύση αὐτά.

6. Ἀκούσατε αὐτὰ ἄνδρες, διδαχθῆτε γυναῖκες, ἂς μιμηθοῦμεν ὅλοι τὸν δίκαιον. Τίποτε νὰ μὴ εἶναι εἰς τὴν

τιμιώτερον, μηδὲ ἀνδρὶ γυναικὸς ποθεινότερον. Τοῦτο πάντων ἡμῶν συγκρατεῖ τὴν ζωήν, τὸ ὁμονοεῖν γυναῖκα πρὸς ἄνδρα· τοῦτο συνέχει τὸν κόσμον ἅπαντα. Καθάπερ γὰρ τοῦ θεμελίου σαλευθέντος, πᾶσα ἡ οἰκοδομὴ καταφέρεται· οὕτω καὶ γάμων στασιαζόντων, ἅπας ὁ βίος ἡμῶν ἀνατρέπεται. Ὅρα γάρ· ὁ κόσμος ἐκ τῶν πόλεων συνέστηκεν, αἱ πόλεις ἐκ τῶν οἰκιῶν, αἱ οἰκίαι ἐξ ἀνδρῶν καὶ γυναικῶν. Ἂν τοίνυν ἐπεισέλθῃ πόλεμος μεταξὺ τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν, εἰς τὰς οἰκίας εἰσῆλθεν ὁ πόλεμος· τούτων δὲ ταραττομένων, καὶ αἱ πόλεις ἀνάστατοι γίνονται· πόλεων δὲ στασιαζουσῶν, καὶ τὴν οἰκουμένην πᾶσαν ἀνάγκη ταραχῆς ἐμπεπλῆσθαι, καὶ πολέμου, καὶ μάχης.

Διὰ τοῦτο ὁ Θεὸς πολλὴν ἐποίησε τοῦ πράγματος τούτου τὴν πρόνοιαν· διὰ τοῦτο οὐκ ἀφίησιν ἐκβαλεῖν γυναῖκα, ἀλλ' ἢ ἐπὶ πορνείᾳ μόνον. Τί οὖν ἂν λοίδορος ᾖ, φησίν, ἂν δαπανηρὰ καὶ πολυτελής, καὶ μυρία ἕτερα ἐλαττώματα ἔχῃ; Φέρε πάντα γενναίως, καὶ μὴ ἐκβάλῃς διὰ τὰ ἐλαττώματα, ἀλλὰ διόρθωσον τὰ ἐλαττώματα. Διὰ τοῦτο κεφαλῆς ἐπέχεις χώραν, ἵνα εἰδῇς θεραπεύειν τὸ σῶμα. Καὶ γὰρ τὸ σῶμα τὸ ἡμέτερον, κἂν μυρία ἔχῃ τραύματα, οὐκ ἀποτέμνομεν τὴν κεφαλήν. Μὴ τοίνυν μηδὲ τὴν γυναῖκα ἀποτέμνῃς ἑαυτοῦ· ἐν τάξει γὰρ ἡμῖν ἐστι τοῦ σώματος ἡ γυνή. Διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος ἔλεγεν· «Οἱ ἄνδρες οὕτως ὀφείλουσιν ἀγαπᾶν τὰς γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα». Καὶ πρὸς τὰς γυναῖκας δὲ ὁ αὐτὸς νόμος ἡμῖν· ὡς τὴν ἑαυτῆς φίλει κεφαλήν, ὦ γύναι· καὶ εἰ τιμᾷς, οὕτω τίμα τὸν ἄνδρα· οὐ γὰρ εἰκῇ τοσοῦτον ὑπὲρ τοῦ πράγματος ποιούμεθα λόγον. Οἶδα ὅσων ἀγαθῶν αἴτιόν ἐστι, τὸ γυναῖκα πρὸς ἄνδρα μὴ διχοστατεῖν· οἶδα ὅσων κακῶν ἐστιν ὑπόθεσις, ὅταν οὗτοι πρὸς ἑαυτοὺς διαστασιάζωσι. Τότε γὰρ οὐ πλοῦτος, οὐκ εὐπαιδία, οὐ πολυπαιδία, οὐκ ἀρχὴ καὶ δυναστεία, οὐ δόξα καὶ τιμή, οὐ τρυφὴ καὶ πολυτέλεια, οὐ ἄλλη τις εὐπραγία δύ-

---

17. Ἐφεσ. 5, 28.

γυναῖκα πολυτιμότερον ἀπὸ τὸν ἄνδρα της καὶ τίποτε εἰς τὸν ἄνδρα πιὸ ποθητὸν ἀπὸ τὴν γυναῖκα του. Αὐτὸ συγκρατεῖ τὴν ζωὴν ὅλων μας, δηλ. ἡ ὁμόνοια μεταξὺ ἀνδρὸς καὶ γυναικός· αὐτὸ συγκρατεῖ ὅλον τὸν κόσμον. Διότι ὅπως ὅταν σείεται τὸ θεμέλιον καταστρέφεται ὁλόκληρον τὸ οἰκοδόμημα, ἔτσι καὶ ὅταν διχογνωμοῦν τὰ ἀνδρόγυνα ἀνατρέπεται ὅλη ἡ ζωή μας. Διότι πρόσεχε, ὅτι ὁ κόσμος ἀποτελεῖται ἀπὸ τὰς πόλεις, αἱ πόλεις ἀπὸ τὰς οἰκίας, αἱ οἰκίαι ἀπὸ τοὺς ἄνδρας καὶ τὰς γυναῖκας. Ἂν λοιπὸν ὑπεισέλθῃ πόλεμος μεταξὺ τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν, εἰς τὰς οἰκίας εἰσῆλθεν ὁ πόλεμος· ὅταν δὲ ταραχθοῦν αὐταί, γίνονται ἀνάστατοι καὶ αἱ πόλεις· ὅταν δὲ ἐπαναστατήσουν αἱ πόλεις κατ' ἀνάγκην θὰ ἔχῃ γεμίσει ὅλη ἡ οἰκουμένη μὲ διαμάχην καὶ ταραχὴν καὶ πόλεμον.

Δι' αὐτὸ ὁ Θεὸς ἐπρονόησε πολὺ διὰ τὸ πρᾶγμα τοῦτο, καὶ δὲν ἐπιτρέπει νὰ διώξῃς τὴν γυναῖκα, παρὰ μόνον διὰ λόγους πορνείας. Τί λοιπὸν νὰ κάμω, λέγει, ἂν εἶναι κακολόγος, σπάταλος καὶ πολυδάπανος, καὶ ἔχῃ ἀναρίθμητα ἄλλα ἐλαττώματα; Νὰ τὰ ὑποφέρῃς ὅλα μὲ μεγαλοψυχίαν καὶ νὰ μὴ τὴν ἐκδιώξῃς ἐξ αἰτίας τῶν ἐλαττωμάτων, ἀλλὰ νὰ διορθώσῃς τὰ ἐλαττώματα. Διὰ τοῦτο ἐπέχεις θέσιν κεφαλῆς, διὰ νὰ γνωρίζῃς νὰ θεραπεύῃς τὸ σῶμα· καθόσον εἰς τὸ σῶμα μας, καὶ ἂν ἀκόμη ἔχῃ ἀναρίθμητα τραύματα, δὲν ἀποκόπτομεν τὴν κεφαλήν. Μὴ ἀποκόψῃς λοιπὸν οὔτε τὴν γυναῖκα σου, διότι ἐπέχει θέσιν σώματός μας ἡ γυναίκα. Δι' αὐτὸ καὶ ὁ μακάριος Παῦλος ἔλεγε· «οἱ ἄνδρες ἔτσι πρέπει νὰ ἀγαποῦν τὰς γυναῖκας των, ὅπως τὰ σώματά των»[17]. Καὶ εἰς τὰς γυναῖκας ὁ ἴδιος νόμος ἰσχύει· νὰ ἀκαπᾷς τὸν ἄνδρα σου, γυναίκα, ὅπως τὸ ἰδικόν σου κεφάλι, καὶ ἐὰν τὸ τιμᾷς, ἔτσι νὰ τιμᾷς τὸν ἄνδρα σου, διότι δὲν κάμνομεν ἄσκοπα αὐτὸν τὸν λόγον διὰ τὸ πρᾶγμα τοῦτο. Γνωρίζω πόσων ἀγαθῶν εἶναι αἰτία τὸ νὰ μὴ διαφωνῇ ἡ γυναίκα μὲ τὸν ἄνδρα· γνωρίζω πόσων κακῶν εἶναι βάσις, ὅταν αὐτοὶ μεταξύ τους διαφωνοῦν. Διότι τότε οὔτε ὁ πλοῦτος, οὔτε ἡ εὐτεκνία, οὔτε ἡ πολυτεκνία, οὔτε ἡ τρυφὴ καὶ ἡ πολυτέλεια, οὔτε καμμία ἄλλη εὐτυχία θὰ ἠμπορέσῃ νὰ

ναιτ' ἂν εὐφρᾶναί ποτε γυναῖκα ἢ ἄνδρα, ὅταν πρὸς ἀλλήλους ζυγομαχῶσι.

7. Τοῦτο δὴ πρὸ τῶν ἄλλων ἁπάντων σπουδάζωμεν. Ἐλαττώματα ἔχει ἡ γυνή; Ποίησον ὅπερ ἐποίησεν ὁ Ἰσαάκ· δεήθητι τοῦ Θεοῦ. Εἰ γὰρ οὗτος τῇ καρτερίᾳ τῆς εὐχῆς φύσεως ἔλυσε πήρωσιν, πολλῷ μᾶλλον ἡμεῖς προαιρέσεως ἐλαττώματα διορθῶσαι δυνησόμεθα, τὸν Θεὸν συνεχῶς παρακαλοῦντες. Ἐὰν ἴδῃ σε ὁ Θεὸς διὰ τὸν αὐτοῦ νόμον καρτεροῦντα, καὶ φέροντα γενναίως τῆς γυναικὸς τὰ ἁμαρτήματα, συνεφάψεταί σοι τῆς διδασκαλίας, καὶ μισθόν σοι δώσει τῆς ὑπομονῆς. «Τί γὰρ οἶδας», φησίν, «ἄνερ, εἰ τὴν γυναῖκα σώσεις; ἢ τί οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις;».

Μὴ ἀποκάμῃς δέ, φησί, μηδὲ ἀπελπίσῃς. Συμβαίνει γὰρ αὐτὴν καὶ σωθῆναι· ἂν δὲ ἀδιόρθωτος μένῃ, σὺ τὸν μισθὸν οὐκ ἀπώλεσας τῆς ὑπομονῆς· ἐὰν δὲ ἐκβάλῃς, ἓν πρῶτον ἥμαρτες, τὸ παραβῆναι τὸν νόμον, καὶ μοιχὸς κρίνεσθαι παρὰ τῷ Θεῷ. «Ὃς γὰρ ἂν ἐκβάλῃ τὴν γυναῖκα αὐτοῦ», φησί, «παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι». Πολλάκις δὲ καὶ ἑτέραν χαλεπωτέραν ἐκείνης λαβών, τὴν μὲν ἁμαρτίαν εἰργάσω, ἀναπαύσεως δὲ οὐκ ἀπέλαυσας. Ἂν δὲ καὶ κρείσσω λάβῃς, οὐκ ἀφίησί σοι τὴν ἡδονὴν ἀκέραιον εἶναι τὴν ἐκ τῆς δευτέρας, διὰ τὴν ἄφεσιν τῆς προτέρας, λογιζομένοις σοι μοιχείας· μοιχεία γάρ ἐστι τὸ τὴν προτέραν ἀφεῖναι. Ὅταν οὖν ἴδῃς δυσκολίαν τινὰ συμπεσοῦσαν, ἢ ἐν τῷ γάμῳ, ἢ ἐν ἑτέρᾳ πραγμάτων καταστάσει, παρακάλει τὸν Θεόν· αὕτη γὰρ μόνη λύσις ἐστὶν ἀρίστη τῶν συμβαινόντων ἡμῖν δεινῶν. Καὶ γὰρ μέγα τῆς εὐχῆς τὸ ὅπλον ἐστί. Τοῦτο καὶ πολλάκις εἶπον, καὶ νῦν λέγω καὶ λέγων οὐ παύσομαι· κἂν ἁμαρτωλὸς ὑπάρχῃς, βλέπε πρὸς τὸν τελώνην τὸν μὴ ἀποτυχόντα, τὸν τοσαῦτα ἁμαρτήματα ἀπονιψάμενον.

---

18. Α' Κορ. 7, 16.
19. Ματθ. 5, 32.

εὐχαριστήσῃ ποτὲ τὴν γυναῖκα ἢ τὸν ἄνδρα ὅταν μεταξύ τους θὰ εὑρίσκωνται εἰς διαμάχην.

7. Αὐτὸ πρέπει νὰ ἐπιδιώκωμεν μὲ ζῆλον περισσότερον ἀπὸ ὅλα τὰ ἄλλα. Ἔχει ἡ γυναίκα ἐλαττώματα; κάμε ὅ,τι ἔκαμε καὶ ὁ Ἰσαάκ· νὰ παρακαλέσῃς τὸν Θεόν. Διότι ἂν αὐτὸς διὰ τῆς καρτερίας τῆς προσευχῆς ἀπηλλάχθη ἀπὸ τὴν ἀναπηρίαν τῆς φύσεως, πολὺ περισσότερον θὰ ἠμπορέσωμεν ἐμεῖς νὰ διορθώσωμεν τὰ ἠθελημένα ἐλαττώματα διὰ τῆς συνεχοῦς παρακλήσεως τοῦ Θεοῦ. Ἂν σὲ ἰδῇ ὁ Θεὸς νὰ ὑπομένῃς καρτερικὰ καὶ νὰ ὑποφέρῃς μὲ μεγαλοψυχίαν τὰ ἁμαρτήματα τῆς γυναικός, θὰ συμβοηθήσῃ τὴν ὑπομονήν σου καὶ θὰ σὲ ἀμείψῃ δι' αὐτήν. «Διότι ποῦ ξεύρεις», λέγει, «ἄνδρα, ἐὰν δὲ σώσῃς τὴν γυναῖκα σου; ἢ ποῦ ξεύρεις γυναίκα, ἐὰν δὲν σώσῃς τὸν ἄνδρα σου;»[18].

Νὰ μὴ ἀποκάμῃς, λέγει, οὔτε νὰ ἀπελπισθῇς· διότι ἠμπορεῖ καὶ νὰ σωθῇ αὐτή. Ἂν πάλι μείνῃ ἀδιόρθωτος, ἐσὺ δὲν ἔχασες τὴν ἀμοιβὴν τῆς ὑπομονῆς. Ἐὰν τὴν ἐκδιώξῃς πρῶτον μὲν ἁμαρτάνεις παραβαίνων τὸν νόμον, καὶ κρίνεσαι ὡς μοιχὸς ἀπὸ τὸν Θεόν· διότι λέγει· «ὅποιος χωρίσῃ τὴν σύζυγόν του ἐκτὸς ἀπὸ λόγον πορνείας, αὐτὸς τὴν ἀναγκάζει νὰ διαπράξῃ μοιχείαν»[19]· πολλὲς φορὲς δὲ πάλιν ἀφοῦ λάβῃς ἄλλην χειροτέραν ἀπὸ ἐκείνην, ἀφ' ἑνὸς μὲν διέπραξες τὴν ἁμαρτίαν, ἀφ' ἑτέρου δὲ δὲν ηὗρες ἡσυχίαν. Ἂν ὅμως λάβῃς καὶ καλυτέραν, δὲν θὰ σὲ ἀφήσῃ νὰ εἶναι πλήρης ἡ ἡδονὴ ποὺ προέρχεται ἀπὸ τὴν δευτέραν γυναῖκα, ἡ σκέψις ὅτι ἐγκατέλειψες τὴν πρώτην, ποὺ σοῦ καταλογίζεται ὡς μοιχεία, διότι εἶναι μοιχεία τὸ νὰ ἐγκαταλείψῃς τὴν πρώτην γυναῖκα. Ὅταν λοιπὸν θὰ ἰδῇς νὰ συμπέσῃ κάποια δυσκολία ἢ εἰς τὸν γάμον ἢ εἰς ἄλλην περίστασιν τῶν πραγμάτων, νὰ παρακαλῇς τὸν Θεόν, διότι αὐτὴ εἶναι ἡ μόνη ἀρίστη λύσις, διὰ τὰ δεινὰ ποὺ συμβαίνουν εἰς ἡμᾶς· καθόσον εἶναι μεγάλο τὸ ὅπλον τῆς προσευχῆς. Αὐτὸ καὶ πολλὲς φορὲς τὸ εἶπα, καὶ τώρα τὸ λέγω καὶ δὲν θὰ παύσω νὰ τὸ λέω· καὶ ἂν εἶσαι ἁμαρτωλὸς βλέπε τὸν Τελώνην, ὁ ὁποῖος δὲν ἀπέτυχεν εἰς τὴν προσευχήν του, καὶ ἀπέπλυνε τόσα ἁμαρτήματα.

Βούλει μαθεῖν ὅσον ἐστὶν εὐχή; Οὐκ ἀνύει τοσοῦτον φιλία πρὸς Θεόν, ὅσον εὐχή. Καὶ οὐκ ἐμὸς ὁ λόγος· οὐ γὰρ ἂν ἐτόλμησα τοσοῦτον πρᾶγμα ἀπὸ τῆς ἐμαυτοῦ γνώμης ἀποφήνασθαι· ἄκουσον ἐκ τῶν Γραφῶν πῶς, ὅσον οὐκ ἤνυσε φιλία, ἤνυσεν εὐχή. «Τίς ἐστιν ἐξ ὑμῶν», φησίν, «ὃς ἕξει φίλον, καὶ ἐλθὼν εἴπῃ αὐτῷ· ἑταῖρε, χρῆσόν μοι τρεῖς ἄρτους· κἀκεῖνος ἀποκριθεὶς ἐρεῖ αὐτῷ· ἡ θύρα κέκλεισται, τὰ παιδία ἐπὶ τῆς κλίνης ἐστί· μή μοι κόπους πάρεχε. Λέγω γὰρ ὑμῖν, εἰ καὶ διὰ τὸ εἶναι φίλον αὐτοῦ μὴ δώσει αὐτῷ, διὰ δὲ τὴν ἀναίδειαν αὐτοῦ δώσει αὐτῷ ὅσων ἂν χρῄζῃ». Ὁρᾷς πῶς, ὅσον οὐκ ἴσχυσεν ἡ φιλία, τοῦτο ἴσχυσεν ἡ προσεδρεία; Ἐπειδὴ γὰρ φίλος ἦν αἰτῶν, ἵνα μὴ νομίσῃς ὅτι διὰ τοῦτο ἤνυσεν, εἶπεν· «Εἰ καὶ διὰ τὸ εἶναι φίλον αὐτοῦ μὴ δώσει αὐτῷ, διὰ δὲ τὴν ἀναίδειαν αὐτοῦ δώσει αὐτῷ». Εἰ καὶ ἡ φιλία μὴ ἐργάσεται, φησί, τοῦτο, ἀλλὰ ἡ προσεδρεία ἐργάσεται, ὅσον ἡ φιλία οὐκ ἴσχυσε. Καὶ ποῦ τοῦτο γέγονεν; Ἐπὶ τοῦ τελώνου. Οὐδὲ γὰρ ἦν τῷ Θεῷ φίλος ὁ τελώνης· ἀλλ' ἐγένετο φίλος· ὥστε κἂν ἐχθρὸς ᾖς, τῇ προσεδρείᾳ γενήσῃ φίλος. Ὅρα καὶ τὴν Συροφοίνισσαν, καὶ ἄκουσον τί φησι πρὸς αὐτήν· «Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις». Καὶ πῶς ἐποίησεν αὐτό, εἰ μή ἐστι καλόν; Τῇ προσεδρείᾳ αὐτὸ ἐποίησεν ἡ γυνὴ καλόν· ἵνα μάθῃς, ὅτι ὧν οὐκ ἐσμεν ἄξιοι, γινόμεθα ἄξιοι διὰ τῆς προσεδρείας.

8. Ταῦτα εἶπον, ἵνα μὴ λέγῃς ὅτι ἁμαρτωλός εἰμι, ἀπαρρησίαστός εἰμι, οὐκ ἔχω εὐχήν. Ἐκεῖνος ἔχει παρρησίαν ὁ μὴ νομίζων ἔχειν παρρησίαν· ὡς ὁ νομίζων παρρησίαν ἔχειν, ἀπώλεσε τὴν παρρησίαν, καθάπερ ὁ Φαρισαῖος· ὁ δὲ νομίζων ἑαυτὸν ἀπερριμμένον καὶ ἀπαρρησίαστον, οὗτος μάλιστα εἰσακουσθήσεται, καθάπερ ὁ τελώνης. Ὅρα πόσα ἔχεις παραδείγματα, τὴν Συροφοίνισσαν, τὸν τελώνην, τὸν λῃστὴν

---

20. Λουκᾶ 11, 5-8.
21. Ματθ. 15, 26.

Θέλεις νὰ μάθῃς πόσην δύναμιν ἔχει ἡ προσευχή; Δὲν μᾶς ὠφελεῖ τόσον ἡ φιλία μὲ τὸν Θεόν, ὅσον ἡ προσευχή. Καὶ τὰ λόγια αὐτὰ δὲν εἶναι ἰδικά μου, διότι δὲν θὰ ἐτολμοῦσα νὰ ἀποφανθῶ τέτοιο πρᾶγμα μόνος μου. Ἄκουσε ἀπὸ τὰς Γραφὰς πῶς ὠφέλησεν ἡ προσευχή, ὅσον δὲν ὠφέλησεν ἡ φιλία. «Ποῖος ἀπὸ σᾶς», λέγει, «ποὺ ἔχει ἕνα φίλον, ἐὰν ἤθελεν ὑπάγει εἰς αὐτὸν καὶ τοῦ εἴπῃ· Φίλε, δάνεισέ μου τρία ψωμιά· καὶ ἐκεῖνος θὰ ἀπαντήσῃ καὶ θὰ εἰπῇ εἰς αὐτόν· μὴ μὲ ἐνοχλῇς τώρα· ἔχει κλείσει ἡ πόρτα καὶ τὰ παιδιὰ κοιμοῦνται. Σᾶς λέγω, ὅτι καὶ ἂν δὲν σηκωθῇ νὰ τοῦ δώσῃ ἐπειδὴ εἶναι φίλος του, ὅμως διὰ τὴν ἀδιαντροπίαν του θὰ σηκωθῇ καὶ θὰ τοῦ δώσῃ ὅσα ἔχει ἀνάγκην»[20]. Βλέπεις πῶς, ὅ,τι δὲν κατώρθωσεν ἡ φιλία, τὸ κατώρθωσεν ἡ ἐπίμονος παράκλησις; Διότι ἐπειδὴ ἦτο φίλος ὁ αἰτῶν, διὰ νὰ μὴ νομίσῃς ὅτι ἐξ αἰτίας τούτου ὠφελήθη, εἶπεν· «καὶ ἂν δὲν τοῦ δώσῃ ἐπειδὴ εἶναι φίλος του, ὅμως διὰ τὴν ἀδιαντροπίαν του θὰ τοῦ δώσῃ»· καὶ ἂν ἡ φιλία δὲν θὰ κατορθώσῃ τοῦτο, λέγει, θὰ κατορθώσῃ ὅμως ἡ ἐπίμονος παράκλησις, ὅ,τι δὲν κατώρθωσεν ἡ φιλία. Καὶ ποῦ συνέβη τοῦτο; Εἰς τὸν Τελώνην. Διότι οὔτε ἦτο φίλος τοῦ Θεοῦ ὁ Τελώνης, ἀλλὰ ἔγινε φίλος ὥστε καὶ ἂν εἶσαι ἐχθρὸς διὰ τῆς ἐπιμονῆς σου θὰ γίνῃς φίλος του. Βλέπε καὶ τὴν Συροφοίνισσαν καὶ ἄκουσε τί λέγει πρὸς αὐτήν· «δὲν εἶναι σωστὸ νὰ πάρω τὸ ψωμὶ τῶν παιδιῶν καὶ νὰ τὸ ρίψω εἰς τὰ σκυλιά»[21]. Καὶ πῶς ἔκαμε τοῦτο, ἂν δὲν εἶναι καλόν; Διὰ τῆς ἐπιμονῆς της ἔκαμεν ἡ γυναῖκα αὐτὸ τὸ καλόν, διὰ νὰ μάθῃς, ὅτι δι' ἐκεῖνα ποὺ δὲν εἴμεθα ἄξιοι γινόμεθα ἄξιοι διὰ τῆς ἐπιμονῆς μας.

8. Αὐτὰ τὰ εἶπα διὰ νὰ μὴ λέγῃς ὅτι εἶμαι ἁμαρτωλός, ὅτι δὲν ἔχω παρρησίαν, ὅτι δὲν ἠμπορῶ νὰ προσευχηθῶ. Ἐκεῖνος ἔχει παρρησίαν ποὺ νομίζει ὅτι δὲν ἔχει· αὐτὸς ποὺ νομίζει ὅτι ἔχει παρρησίαν τὴν ἔχει χάσει, ὅπως ὁ Φαρισαῖος· αὐτὸς δὲ ποὺ θεωρεῖ τὸν ἑαυτόν του καταφρονημένον καὶ ἀπαρρησίαστον, αὐτὸς πολὺ περισσότερον θὰ εἰσακουσθῇ, ὅπως ὁ Τελώνης. Βλέπε πόσα παραδείγματα ἔχεις· τὴν Συροφοίνισσαν, τὸν Τελώνην, τὸν λῃστὴν τὸν ἐπὶ τοῦ

τὸν ἐπὶ σταυροῦ, τὸν ἐν τῇ παραβολῇ φίλον τὸν τοὺς τρεῖς ἄρτους αἰτοῦντα, καὶ οὐχ οὕτω διὰ τὴν φιλίαν, ὡς διὰ τὴν προσεδρείαν ἐπιτυχόντα. Τούτων ἕκαστος εἰ εἶπεν, ὅτι ἁμαρτωλός εἰμι, ὅτι κατῃσχυμμένος εἰμί, καὶ διὰ τοῦτο οὐκ ὀφείλω προσελθεῖν, οὐκ ἂν ἤνυσέ τι πλέον. Ἀλλ' ἐπειδὴ ἕκαστος τούτων οὐ πρὸς τὸ μέγεθος εἶδε τῶν ἁμαρτημάτων, ἀλλὰ πρὸς τὸν πλοῦτον τῆς τοῦ Θεοῦ φιλανθρωπίας, ἐθάρρει, καὶ κατετόλμησε, καὶ ἁμαρτωλὸς ὢν ᾐτεῖτο ὑπὲρ τὴν ἀξίαν τὴν ἑαυτοῦ, καὶ ἤνυσεν ἕκαστος ἅπερ ἠθέλησε.

Ταῦτ' οὖν μνημονεύωμεν ἅπαντα καὶ φυλάττωμεν, καὶ εὐχώμεθα διηνεκῶς, μετὰ νήψεως, μετὰ τοῦ θαρρεῖν, μετὰ χρηστῶν ἐλπίδων, μετὰ σπουδῆς πολλῆς. Μεθ' ὅσης ἕτεροι σπουδῆς κατεύχονται τῶν ἐχθρῶν, μετὰ τοσαύτης ἡμεῖς σπουδῆς καὶ ὑπὲρ τῶν ἐχθρῶν, καὶ ὑπὲρ τῶν ἑαυτῶν ἀδελφῶν εὐξώμεθα, καὶ πάντως ἐπιτευξόμεθα τῶν συμφερόντων ἁπάντων. Φιλάνθρωπος γὰρ ὁ διδούς, καὶ οὐχ οὕτως ἡμεῖς ἐπιποθοῦμεν λαβεῖν, ὡς ἐκεῖνος ἐπιποθεῖ δοῦναι.

Ταῦτ' οὖν ἅπαντα εἰδότες, κἂν εἰς ἔσχατον κακίας πυθμένα κατενεχθῶμεν, μηδὲ οὕτως ἀπογνῶμεν τῆς ἑαυτῶν σωτηρίας, ἀλλὰ μετὰ ἀγαθῆς ἐλπίδος προσίωμεν, πείσαντες ἑαυτοὺς ὅτι πάντως ληψόμεθα ἅπερ αἰτοῦμεν, ἂν κατὰ τοὺς ὑπ' αὐτοῦ κειμένους νόμους αἰτῶμεν. «Τῷ δυναμένῳ πάντα ποιῆσαι ὑπὲρ ἐκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν», Χριστῷ τῷ παμβασιλεῖ Θεῷ ἡμῶν πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ Πατρί, καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

22. Ἐφεσ. 3, 20.

σταυροῦ, τὸν φίλον εἰς τὴν παραβολὴν ποὺ ἐζητοῦσε τοὺς τρεῖς ἄρτους καὶ ποὺ ἐπέτυχε τὸ ζητούμενον, ὄχι ἕνεκα τῆς φιλίας, ἀλλὰ διὰ τῆς ἐπιμονῆς του. Κάθε ἕνας ἀπὸ αὐτούς, ἂν ἔλεγεν ὅτι εἶμαι ἁμαρτωλὸς καὶ κατεντροπιασμένος καὶ δι' αὐτὸ δὲν πρέπει νὰ προσέλθω, δὲν θὰ κατώρθωνε τίποτε. Ἀλλ' ἐπειδὴ κάθε ἕνας ἀπὸ αὐτοὺς δὲν ἀπέβλεψε εἰς τὸ μέγεθος τῶν ἁμαρτημάτων του, ἀλλ' ἔχων θάρρος καὶ τόλμην προσέβλεπεν εἰς τὸν πλοῦτον τῆς φιλανθρωπίας τοῦ Θεοῦ, καὶ ἐνῷ ἦτο ἁμαρτωλὸς ἐζητοῦσε περισσότερα ἀπὸ ὅσα ἤξιζε, κατώρθωσε νὰ ἐπιτύχῃ κάθε ἕνας ἐκεῖνα ποὺ ἠθέλησεν.

Αὐτὰ λοιπὸν ὅλα νὰ τὰ ἐνθυμούμεθα καὶ νὰ τὰ φυλάσσωμεν καὶ νὰ προσευχώμεθα συνεχῶς μὲ νηφαλιότητα, μὲ θάρρος, μὲ ἀγαθὰς ἐλπίδας, μὲ πολλὴν ζῆλον. Μὲ ὅσην προθυμίαν ἄλλοι προσεύχονται κατὰ τῶν ἐχθρῶν, μὲ τόσην προθυμίαν ἐμεῖς νὰ προσευχώμεθα καὶ διὰ τοὺς ἐχθροὺς καὶ διὰ τοὺς ἀδελφούς μας, καὶ ὁπωσδήποτε θὰ ἐπιτύχωμεν ὅλα ὅσα μᾶς συμφέρουν. Διότι εἶναι φιλάνθρωπος ὁ Θεὸς καὶ δὲν ἐπιθυμοῦμεν τόσον ἐμεῖς νὰ λάβωμεν, ὅσον ἐπιθυμεῖ Ἐκεῖνος νὰ δώσῃ.

Γνωρίζοντες λοιπὸν ὅλα αὐτά, καὶ ἂν ἀκόμη φθάσωμεν εἰς ἐσχάτην κακίαν, οὔτε τότε νὰ ἀπελπισθῶμεν διὰ τὴν σωτηρίαν μας, ἀλλὰ νὰ προσέλθωμεν μὲ ἀγαθὴν ἐλπίδα, πεπεισμένοι ὅτι ὁπωσδήποτε θὰ λάβωμεν ἐκεῖνα ποὺ ζητοῦμεν, ἂν τὰ ζητοῦμεν σύμφωνα μὲ τοὺς ὑπ' αὐτοῦ τεθέντας νόμους. «Εἰς ἐκεῖνον δέ, ποὺ ἠμπορεῖ νὰ κάνῃ πολὺ περισσότερα ἀπὸ ὅλα ὅσα ζητοῦμεν ἢ σκεπτόμεθα»[22]. Εἰς τὸν Χριστὸν τὸν παμβασιλέα Θεὸν ἡμῶν ἀνήκει κάθε δόξα, τιμὴ καὶ προσκύνησις καὶ εἰς τὸν ἄναρχον Πατέρα καὶ εἰς τὸ πανάγιον καὶ ζωοποιὸν Πνεῦμα, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΡΟΣ ΤΟΥΣ ΚΑΤΑΛΕΙΨΑΝΤΑΣ

τὴν ἐκκλησίαν καὶ αὐτομολήσαντας πρὸς τὰς ἱπποδρομίας καὶ τὰ θέατρα.

Ταῦτα ἀνεκτά; ταῦτα φορητά; Ὑμῖν γὰρ αὐτοῖς καθ' ὑμῶν ἐντυχεῖν βούλομαι. Οὕτω καὶ ὁ Θεὸς ἐποίησε τοῖς Ἑβραίοις· αὐτοῖς γὰρ κατ' αὐτῶν ἐντυγχάνων ἔλεγε· «Λαός μου, τί ἐποίησά σοι, καὶ τί ἐλύπησά σε, ἢ τί παρηνώχλησά σοι; ἀποκρίθητί μοι». Καὶ πάλιν· «Τί εὕροσαν οἱ πατέρες ὑμῶν ἐν ἐμοὶ πλημμέλημα;». Τοῦτον δὴ καὶ ἐγὼ μιμήσομαι, καὶ ἐρῶ πρὸς ὑμᾶς πάλιν· ταῦτα ἀνεκτά; ταῦτα φορητά; Μετὰ μακροὺς διαύλους λόγων, καὶ τοσαύτην διδασκαλίαν, καταλιπόντες ἡμᾶς τινες, πρὸς τὴν θεωρίαν τῶν ἁμιλλητηρίων ἵππων ηὐτομόλησαν, καὶ οὕτως ἐξεβακχεύθησαν, ὥστε πᾶσαν τὴν πόλιν ἐμπλῆσαι βοῆς καὶ κραυγῆς ἀτάκτου, καὶ πολὺν γέλωτα, μᾶλλον δὲ θρῆνον φερούσης.

Ἐγὼ οὖν οἴκοι καθήμενος, καὶ τῆς φωνῆς ἀκούων ἐκρηγνυμένης, τῶν κλυδωνιζομένων χαλεπώτερον ἔπασχον. Ὥσπερ γὰρ ἐκεῖνοι τῶν κυμάτων τοῖς τοίχοις τῆς νηὸς προσρηγνυμένων, περὶ τῶν ἐσχάτων κινδυνεύοντες δεδοίκασιν· οὕτω καὶ ἐμοὶ χαλεπώτεραι αἱ κραυγαὶ προσερρήγνυντο ἐκεῖναι, καὶ εἰς τὴν γῆν ἔκυπτον καὶ ἐνεκαλυπτόμην· τῶν μὲν ἄνω τοιαῦτα ἀσχημονούντων, τῶν δὲ κάτω ἐν μέσῃ τῇ ἀγο-

1. Μιχ. 6, 3.
2. Ἱερ. 2, 5.

12
ΠΡΟΣ ΑΥΤΟΥΣ ΠΟΥ ΕΓΚΑΤΕΛΕΙΨΑΝ
την ἐκκλησίαν καί ἐστράφησαν πρὸς τὰς ἱπποδρομίας καὶ τὰ θέατρα.

Εἶναι δυνατὸν νὰ τὰ ἀνεχθῶ αὐτά; Εἶναι δυνατὸν νὰ τὰ ὑποφέρω; Θέλω νὰ κάμω κριτὰς τοῦ ἑαυτοῦ σας ἐσᾶς τοὺς ἰδίους. Ἔτσι ἔκαμε καὶ ὁ Θεὸς μὲ τοὺς Ἑβραίους· ἀπευθυνόμενος πρὸς αὐτοὺς τοὺς ἰδίους ἔλεγεν· «ἀπαντήσατέ μου, ἐσεῖς ποὺ εἶσθε ὁ ἀγαπητός μου λαός, ποῖον κακὸν σᾶς ἔκαμα, μὲ ποῖον τρόπον σᾶς ἐλύπησα ἢ πότε σᾶς παρηνώχλησα;»[1]· Καὶ πάλιν· «Ποῖον παράπτωμα εὗρον οἱ πατέρες σας εἰς τὴν συμπεριφοράν μου ἀπέναντί των;»[2]. Αὐτὸν λοιπὸν (τὸν Θεὸν) θὰ μιμηθῶ καὶ ἐγὼ καὶ θὰ σᾶς ἐρωτήσω πάλιν· εἶναι δυνατὸν νὰ τὰ ἀνεχθῶ καὶ νὰ τὰ ὑποφέρω αὐτά; Ἔπειτα ἀπὸ τόσας μακρὰς ὁμιλίας καὶ τόσον μεγάλην διδασκαλίαν μερικοί, ἀφοῦ ἐγκατέλειψαν τὴν ἐκκλησίαν, ἐστράφησαν πρὸς τοὺς ἀγωνιστικοὺς ἵππους, καὶ ἐκυριεύθησαν ἀπὸ τόσην μανίαν, ὥστε ἐγέμισαν ὅλην τὴν πόλιν ἀπὸ θόρυβον καὶ ἀνάρθρους κραυγὰς ποὺ προκαλοῦν τὸν γέλωτα ἢ μᾶλλον μεγάλον θρῆνον.

Ἐγὼ λοιπὸν καθήμενος εἰς τὸ σπίτι μου καὶ ἀκούων νὰ ἐκσποῦν εἰς φωνάς, ὑπέφερα χειρότερα ἀπὸ αὐτοὺς ποὺ εὑρίσκονται εἰς τὴν θάλασσαν καὶ κινδυνεύουν ἀπὸ στιγμῆς εἰς στιγμὴν νὰ ναυαγήσουν. Διότι ὅπως ἀκριβῶς ἐκεῖνοι ὅταν τὰ κύματα προσκρούουν εἰς τὰς πλευρὰς τοῦ πλοίου φοβοῦνται ὅτι διατρέχουν τὸν ἔσχατον κίνδυνον, ἔτσι καὶ ἐγὼ ἔνοιωθα πιὸ ἄσχημα, ὅταν ἔφθαναν εἰς τὰ αὐτιά μου αἱ κραυγαὶ αὐταὶ καὶ ἔσκυβα τὸ κεφάλι καὶ ἐκάλυπτα τὸ πρόσωπόν μου, διότι ἄλλοι μὲν εὑρίσκοντο εἰς τὰς κερκίδας τοῦ ἱπποδρόμου καὶ προέβαινον εἰς τὰς ἀσχημίας αὐτὰς ἄλλοι δὲ συγκεντρωμένοι καθ' ὁμάδας ἐπευφημοῦσαν τοὺς

ρᾷ ἡνιόχους κροτούντων, καὶ χαλεπώτερα ἐκείνων βοώντων.

Τί δὲ ἐροῦμεν; ἢ τί ἀπολογησόμεθα, εἰ ξένος τίς ποθεν ἐπιστὰς ἐγκαλοίη καὶ λέγοι· ταῦτα ἡ πόλις τῶν ἀποστόλων; ταῦτα ἡ τοιοῦτον λαβοῦσα ὑποφήτην; ταῦτα ὁ δῆμος ὁ φιλόχριστος, τὸ θέατρον τὸ ἄπλαστον, τὸ πνευματικόν; Οὐδὲ τὴν ἡμέραν αὐτὴν ᾐδέσθητε, ἐν ᾗ τὰ σύμβολα τῆς σωτηρίας τοῦ γένους ἡμῶν ἐτελεῖτο· ἀλλ' ἐν παρασκευῇ, ὅτε ὁ Δεσπότης σου ὑπὲρ τῆς οἰκουμένης ἐσταυροῦτο, καὶ θυσία τοιαύτη προσεφέρετο, καὶ παράδεισος ἠνοίγετο, καὶ λῃστὴς εἰς τὴν ἀρχαίαν ἐπανήγετο πατρίδα, κατάρα ἐλύετο, καὶ ἁμαρτία ἠφανίζετο, καὶ ὁ χρόνιος ἀνῃρεῖτο πόλεμος, καὶ Θεοῦ καταλλαγὴ πρὸς ἀνθρώπους ἐγίνετο, καὶ πάντα μετερρυθμίζετο· ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ἡνίκα νηστεύειν καὶ δοξολογεῖν ἔδει, καὶ εὐχαριστηρίους εὐχὰς ὑπὲρ τῶν τῆς οἰκουμένης ἀγαθῶν ἀναπέμπειν τῷ ταῦτα ποιήσαντι· τότε σὺ καταλιπὼν ἐκκλησίαν καὶ θυσίαν πνευματικήν, καὶ ἀδελφῶν σύλλογον, καὶ νηστείας τὸ σεμνόν, αἰχμάλωτος ὑπὸ τοῦ διαβόλου πρὸς τὴν θεωρίαν ἀπηνέχθης ἐκείνην;

Ταῦτα ἀνεκτά; ταῦτα φορητά; Οὐ γὰρ παύσομαι ταῦτα συνεχῶς λέγων, καὶ τὴν ὀδύνην ἐμαυτοῦ ταύτῃ παραμυθούμενος, τὸ μὴ πιέζειν αὐτὴν τῇ σιγῇ, ἀλλ' εἰς μέσον ἐκφέρειν, καὶ πρὸ τῶν ὀφθαλμῶν τῶν ὑμετέρων τιθέναι. Πῶς δυνησόμεθα τὸν Θεὸν λοιπὸν ἵλεω ποιῆσαι; πῶς καταλλάξαι ὀργιζόμενον; Πρὸ τριῶν ἡμερῶν ἐπομβρία καὶ ὑετὸς κατερρήγνυτο πάντα παρασύρων, ἀπ' αὐτοῦ τοῦ στόματος, ὡς εἰπεῖν, τὴν τράπεζαν τῶν γηπόνων ἀφαρπάζων, στάχυας κομῶντας

3. Ἐννοεῖται ἡ Κωνσταντινούπολις εἰς τὴν ὁποίαν ὑπῆρχε ναὸς τῶν ἁγίων Ἀποστόλων μὲ λείψανα αὐτῶν.
4. Ἐννοεῖ τὸν Σταυρόν.
5. Πρβλ. Λουκᾶ 23, 42-43.
6. Πρβλ. Γαλ. 3, 13.

ἡνιόχους καὶ ἐκραύγαζαν μὲ μεγαλυτέραν μανίαν ἀπὸ τοὺς προηγουμένους.

Ὅμως ποίαν ἀπάντησιν θὰ δώσωμεν; Ἢ τί θὰ προβάλωμεν ὡς δικαιολογίαν, ἂν τυχὸν κάποιος ξένος, ἀπὸ ὁποιοδήποτε μέρος, ἔλθῃ καὶ μᾶς κατηγορήσῃ λέγων· αὐτὰ πράττει ἡ πόλις τῶν ἀποστόλων[3]· αὐτὰ τὰ ἔργα ἐπιτελεῖ αὐτὴ ποὺ εἶχε τόσον μεγάλον διδάσκαλον; Αὐτὰ κάμει ὁ φιλόχριστος λαός, τὸ ἀνυπόκριτον θέατρον, τὸ πνευματικόν; Οὔτε τὴν ἡμέραν αὐτὴν ἐσεβάσθητε, κατὰ τὴν ὁποίαν ἑορτάζονται τὰ σύμβολα τῆς σωτηρίας τοῦ ἀνθρωπίνου γένους[4]. Ἀλλὰ τὴν Παρασκευήν, ὅπου ὁ Κύριός σου ἐσταυροῦτο διὰ νὰ λυτρώσῃ τὴν οἰκουμένην ὅλην, καὶ προσεφέρετο τέτοια θυσία, καὶ ἠνοίγετο ὁ παράδεισος, καὶ ἐπανήρχετο ὁ λῃστὴς εἰς τὴν ἀρχαίαν πατρίδα[5], καὶ κατηργεῖτο ἡ κατάρα[6], καὶ ἐξηφανίζετο καὶ ἔπαυεν ὁ μακροχρόνιος πόλεμος καὶ ἐγίνετο ἡ συμφιλίωσις τοῦ Θεοῦ μὲ τοὺς ἀνθρώπους καὶ μετεβάλλοντο ὅλα πρὸς τὸ καλύτερον· ἐκείνην τὴν ἡμέραν κατὰ τὴν ὁποίαν ἔπρεπε νὰ νηστεύῃς καὶ νὰ δοξάζῃς τὸν Θεὸν καὶ νὰ ἀναπέμπῃς εὐχαριστηρίους προσευχὰς διὰ τὰ ἀγαθὰ ποὺ ἐδόθησαν εἰς τὴν οἰκουμένην πρὸς ἐκεῖνον ποὺ ἔκαμεν ὅλα αὐτά, τότε ἐσὺ ἐγκατέλειψες τὴν ἐκκλησίαν καὶ τὴν πνευματικὴν θυσίαν, τὴν συγκέντρωσιν τῶν ἀδελφῶν καὶ τὴν σοβαρότητα τῆς νηστείας καὶ ἐσύρθης αἰχμάλωτος ἀπὸ τὸν διάβολον πρὸς τὸ θέαμα ἐκεῖνο;

Εἶναι δυνατὸν νὰ τὰ ἀνεχθῶ καὶ νὰ τὰ ὑποφέρω αὐτά; Διότι δὲν θὰ παύσω νὰ ἐπαναλαμβάνω αὐτὰ καὶ νὰ απαλύνω τὴν λύπην μου μὲ αὐτὸν τὸν τρόπον, δηλαδὴ μὲ τὸ νὰ μὴ τὴν καταπιέζω μὲ τὴν σιωπήν, ἀλλὰ νὰ τὴν φέρω εἰς τὸ μέσον καὶ νὰ τὴν παρουσιάσω πρὸ τῶν ὀφθαλμῶν σας. Πῶς λοιπὸν θὰ ἠμπορέσω νὰ κινήσω τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ; Πῶς θὰ τὸν καταπραΰνω, ὅταν ὀργίζεται; Πρὶν ἀπὸ τρεῖς ἡμέρας ἔβρεχε κατακλυσμιαῖα καὶ ἡ βροχὴ παρέσυρε τὰ πάντα, ἁρπάζουσα τὴν τράπεζαν, ὅπως ἠμποροῦμεν νὰ εἴπωμεν, ἀπὸ τὸ στόμα τῶν γεωργῶν μὲ τὸ νὰ ρίπτῃ καταγῆς

κατακλίνων, τὰ ἄλλα ἅπαντα τῇ πλεονεξίᾳ τῆς ὑγρᾶς κατασήπων οὐσίας· λιτανεῖαι καὶ ἱκετηρίαι, καὶ πᾶσα ἡμῶν ἡ πόλις ὥσπερ χείμαρρος ἐπὶ τοὺς τόπους τῶν ἀποστόλων ἔτρεχε, καὶ συνηγόρους ἐλαμβάνομεν τὸν ἅγιον Πέτρον καὶ τὸν μακάριον Ἀνδρέαν, τὴν ξυνωρίδα τῶν ἀποστόλων, Παῦλον καὶ Τιμόθεον. Μετ' ἐκεῖνα, τῆς ὀργῆς λυθείσης, καὶ πέλαγος περάσαντες, καὶ κυμάτων κατατολμήσαντες, ἐπὶ τοὺς κορυφαίους ἐτρέχομεν, τὸν Πέτρον, τὴν κρηπῖδα τῆς πίστεως, τὸν Παῦλον τὸ σκεῦος τῆς ἐκλογῆς, πανήγυριν ἐπιτελοῦντες πνευματικήν, καὶ τοὺς ἄθλους αὐτῶν ἀνακηρύττοντες, τὰ τρόπαια καὶ τὰς νίκας τὰς κατὰ τῶν δαιμόνων.

Καὶ οὔτε τῷ φόβῳ τῶν γινομένων καταπλαγέντες, οὔτε τῷ μεγέθει τῶν κατορθωμάτων τῶν ἀποστολικῶν παιδευθέντες, ἀθρόον οὕτω μιᾶς μεταξὺ γενομένης ἡμέρας, σκιρτᾷς καὶ βοᾷς, τὴν ἑαυτοῦ ψυχὴν αἰχμάλωτον ὑπὸ τῶν παθῶν παρασυρομένην περιορῶν; Εἰ δὲ ἐβούλου δρόμον ἀλόγων ὁρᾶν, τίνος ἕνεκεν οὐκ ἔζευξας τὰ ἄλογα ἐν σοὶ πάθη, θυμὸν καὶ ἐπιθυμίαν, καὶ ἐπέθηκας αὐτοῖς τὸν τῆς φιλοσοφίας ζυγόν, τὸν χρηστὸν καὶ κοῦφον, καὶ ἐπέστησας αὐτοῖς λογισμὸν ὀρθόν, καὶ πρὸς τὸ βραβεῖον ἤλασας τῆς ἄνω κλήσεως, οὐκ ἀπὸ μύσους εἰς μύσος, ἀλλ' ἀπὸ γῆς εἰς οὐρανὸν τρέχων; Τοῦτο γὰρ τῆς ἱπποδρομίας τὸ εἶδος μετὰ τῆς ἡδονῆς πολλὴν ἔχει τὴν ὠφέλειαν. Ἀλλ' ἀφεὶς τὰ κατὰ σαυτὸν ἁπλῶς καὶ ὡς ἔτυχε φέρεσθαι, ὑπὲρ τῆς ἑτέρων νίκης ἐκάθου, ἡμέραν τοσαύτην εἰκῇ καὶ μάτην καὶ ἐπὶ κακῷ δαπανῶν.

Ἢ οὐκ οἶσθα ὅτι καθάπερ ἡμεῖς ἀργύριον τοῖς οἰκέταις τοῖς ἡμετέροις ἐγχειρίζοντες, εὐθύνας αὐτοὺς καὶ μέχρι ἑνὸς ἀπαιτοῦμεν ὀβολοῦ· οὕτω καὶ ὁ Θεὸς τῶν ἡμερῶν τῆς ζωῆς

---

7. Πρβλ. Ματθ. 16, 18.
8. Πρβλ. Πράξ. 9, 15.
9. Πρβλ. Ματθ. 11, 30.
10. Πρβλ. Φιλιπ. 3, 14.

τὰ μεστωμένα στάχυα καὶ ὅλα τὰ ἄλλα νὰ τὰ σαπίζῃ ἀπὸ τὴν πολλὴν ὑγρασίαν. Ἔγιναν λιτανεῖαι καὶ παρακλήσεις καὶ ὁλόκληρος ἡ πόλις σὰν χείμαρρος ἔτρεχεν εἰς τὸν ναὸν ὅπου καὶ τὰ λείψανα τῶν ἀποστόλων καὶ ἐλάμβανε συνηγόρους τὸν ἅγιον Πέτρον καὶ τὸν μακάριον Ἀνδρέαν καὶ τὴν δυάδα τῶν ἀποστόλων, δηλαδὴ τὸν Παῦλον καὶ τὸν Τιμόθεον. Καὶ μετὰ τὰς ἐκδηλώσεις αὐτάς, ὅταν ἔπαυσεν ἡ ὀργὴ τοῦ Θεοῦ καὶ διεπλεύσαμεν τὸ πέλαγος τῆς καταιγίδος καὶ ἐνικήσαμεν τὰ κύματα, ἐτρέχαμεν πρὸς τοὺς κορυφαίους τῶν ἀποστόλων, τὸν Πέτρον, τὴν βάσιν τῆς πίστεως[7], τὸν Παῦλον, τὸ σκεῦος τῆς ἐκλογῆς[8], ἐπιτελοῦντες πνευματικὴν πανήγυριν καὶ διακηρύσσοντες τοὺς ἄθλους, τὰ τρόπαια καὶ τὰς νίκας των κατὰ τῶν δαιμόνων.

Ὅμως οὔτε ὁ φόβος τῆς καταιγίδος μᾶς συνέτισεν, οὔτε τὸ μέγεθος τῶν κατορθωμάτων τῶν ἀποστόλων μᾶς ἐδίδαξε καὶ ἔτσι διὰ μιᾶς ὕστερα ἀπὸ μίαν ἡμέραν σκιρτᾷς καὶ κραυγάζεις καὶ δὲν προσέχεις τὴν ψυχήν σου ποὺ σύρεται αἰχμάλωτος ἀπὸ τὰ πάθη της; Ἂν ὅμως ἤθελες νὰ παρακολουθῇς «κοῦρσες» ἀλόγων, διὰ ποῖον λόγον δὲν ἔζευσες τὰ ἰδικά σου ἄλογα πάθη, τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν, καὶ δὲν τὰ ἔθεσες τὸν ζυγὸν τῆς εὐλαβείας ποὺ εἶναι μαλακὸς καὶ ἐλαφρὸς[9] καὶ δὲν τὰ ἐπέβαλες ὀρθὴν σκέψιν καὶ δὲν τὰ ἔφερες πρὸς τὸ βραβεῖον ποὺ μᾶς ἐπιφυλάσσει ἡ πρόσκλησίς μας πρὸς τὸν οὐρανὸν ὑψηλά[10], σπεύδων ὄχι ἀπὸ ἀσέβειαν εἰς ἀσέβειαν, ἀλλ' ἀπὸ τὴν γῆν πρὸς τὸν οὐρανόν; Πράγματι αὐτὸ τὸ εἶδος τῆς ἱπποδρομίας προσφέρει μεγάλην εὐχαρίστησιν καὶ ὠφέλειαν. Ἀλλὰ ἀφοῦ ἐγκατέλειψες τὰ ἰδικά σου ζητήματα νὰ γίνωνται τυχαῖα, ἐνδιαφέρεσαι διὰ τὴν νίκην τῶν ἄλλων καὶ χάνεις τὸ μεγαλύτερον μέρος τῆς ἡμέρας εἰς τὸ κακὸν ἄσκοπα καὶ ἀνώφελα.

Ἢ μήπως δὲν γνωρίζεις ὅτι ὅπως ἐμεῖς ὅταν ἐμπιστευώμεθα χρήματα εἰς τοὺς ὑπηρέτας μας, ζητοῦμεν λογαριασμὸν ἀπὸ αὐτοὺς καὶ διὰ τὴν τελευταίαν δραχμήν, ἔτσι

τῆς ἡμετέρας ἀπαιτήσει λόγον ἡμᾶς, πῶς ἑκάστην ἡμέραν ἐδαπανήσαμεν; Τί οὖν ἐροῦμεν; τί δὲ ἀπολογησόμεθα, ὅταν τῆς ἡμέρας ἐκείνης ἀπαιτώμεθα εὐθύνας; Ἥλιος ἀνέτειλε διὰ σέ, καὶ σελήνη τὴν νύκτα ἐφώτισε, καὶ ποικίλος ἀστέρων ἀνέλαμψε χορός· ἔπνευσαν ἄνεμοι διὰ σέ, ἔδραμον ποταμοί· σπέρματα ἐβλάστησαν διὰ σέ, καὶ φυτὰ ἀνεδόθη, καὶ τῆς φύσεως ὁ δρόμος τὴν οἰκείαν ἐτήρησε τάξιν, καὶ ἡμέρα ἐφάνη, καὶ νὺξ παρῆλθε· καὶ ταῦτα πάντα γέγονε διὰ σέ· σὺ δὲ τῶν κτισμάτων σοι διακονουμένων, τοῦ διαβόλου τὴν ἐπιθυμίαν πληροῖς; Καὶ τοσοῦτον παρὰ τοῦ Θεοῦ μισθωσάμενος οἶκον, τὸν κόσμον λέγω τοῦτον, οὐκ ἀπέδωκας τὸν μισθόν. Καὶ οὐκ ἤρκεσε τῇ προτέρᾳ ἡμέρᾳ, ἀλλὰ καὶ τὴν δευτέραν, ὅτε ἀναπαῦσαι μικρὸν ἐχρῆν ἀπὸ τῆς ἐγγινομένης κακίας, ἐπὶ θέατρα πάλιν ἀνέβαινες, ἀπὸ καπνοῦ εἰς πῦρ τρέχων, εἰς ἕτερον βάραθρον καθεὶς ἑαυτὸν χαλεπώτερον. Γέροντες πολιὰς κατῄσχυνον, καὶ νέοι τὴν νεότητα κατεκρήμνιζον, καὶ πατέρας παῖδας ἀνῆγον, ἐκ προοιμίων τὴν ἀπειρόκακον ἡλικίαν εἰς τὰ τῆς πονηρίας ἐμβιβάζοντες βάραθρα, ὥστε οὐκ ἄν τις ἁμάρτοι παιδοκτόνους ἀντὶ πατέρων τοὺς τοιούτους ἀποκαλῶν, καὶ τῇ κακίᾳ τὴν ψυχὴν ἀπολλύντας τῶν τεχθέντων.

Καὶ ποία κακία; φησί. Διὰ γὰρ τοῦτο ὀδυνῶμαι, ὅτι καὶ νοσῶν, οὐκ οἶδας ὅτι νοσεῖς, ἵνα καὶ τὸν ἰατρὸν ἐπιζητήσῃς. Μοιχείας ἐγένου πεπληρωμένος, καὶ ἐρωτᾷς ποία κακία; Ἢ οὐκ ἤκουσας τοῦ Χριστοῦ λέγοντος· «Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτήν»; Τί οὖν

---

11. Ματθ. 5, 28.

καὶ ὁ Θεὸς θὰ ζητήσῃ εὐθύνας διὰ τὰς ἡμέρας τῆς ζωῆς μας, μὲ ποῖον δηλαδὴ τρόπον ἐπεράσαμεν τὴν κάθε ἡμέραν μας; Τί θὰ εἰποῦμεν; Τί θὰ ἀπολογηθοῦμεν ὅταν μᾶς ζητηθοῦν εὐθῦναι διὰ τὴν ἡμέραν ἐκείνην; Ὁ ἥλιος ἀνέτειλε διὰ σὲ καὶ ἡ σελήνη ἐφώτισε τὴν νύκτα καὶ ἔλαμψεν ὁ χορὸς τῶν διαφόρων ἀστέρων· ἔπνευσαν ἄνεμοι διὰ τὴν ἐξυπηρέτησίν σου καὶ ἔτρεξαν τὰ ποτάμια· ἐβλάστησαν σπόροι δι' ἐσὲ καὶ ηὐξήθησαν φυτὰ καὶ ὁ δρόμος τῆς φύσεως ἐκράτησε τὴν τάξιν του καὶ ἐφάνη ἡ ἡμέρα καὶ ἐπέρασεν ἡ νύκτα· καὶ ὅλα αὐτὰ ἔγιναν δι' ἐσέ· σὺ ὅμως, ἐνῷ ὅλα τὰ δημιουργήματα σὲ ὑπηρετοῦν, ἐκπληροῖς τὴν ἐπιθυμίαν τοῦ διαβόλου; Καὶ παρὰ τὸ ὅτι ἔχεις ἐνοικιάσει ἀπὸ τὸν Θεὸν ἕνα τόσον ὡραῖον σπίτι, ἐννοῶ αὐτὸν τὸν κόσμον, ἐν τούτοις δὲν ἐπλήρωσες τὸ ἐνοίκιον. Καὶ δὲν σοῦ ἤρκεσεν ἡ προηγουμένη ἡμέρα, ἀλλὰ καὶ τὴν ἐπομένην, ὅταν ἦτο ἀνάγκη νὰ ἀναπαυθῇς ὀλίγον ἀπὸ τὴν κακίαν ποὺ διέπραξες, πηγαίνεις πάλιν εἰς τὰ θέατρα, τρέχων ἀπὸ καπνὸν εἰς φωτιάν, καὶ ρίπτεις τὸν ἑαυτόν σου εἰς ἄλλο χειρότερον βάραθρον. Οἱ γέροντες ἐντρόπιαζαν τὰ ἄσπρα μαλλιά τους, οἱ νέοι ἔρριπτον τὴν νεότητά τους εἰς τὸν κρημνόν, καὶ οἱ πατέρες ἔπαιρναν εἰς τὰ θεάματα αὐτὰ τὰ παιδιά των, ρίπτοντες τὴν ἡλικίαν αὐτήν, ποὺ ἀγνοεῖ τὸ κακόν, εἰς τὰ βάραθρα τῆς κακίας, ἀπὸ πολὺ ἐνωρίς, ὥστε δὲν θὰ σφάλλῃ κανεὶς ἂν ὀνομάσῃ τοὺς ἀνθρώπους αὐτοὺς παιδοκτόνους ἀντὶ πατέρας, ποὺ μὲ τὴν κακίαν καταστρέφουν τὴν ψυχὴν τῶν παιδιῶν.

Καὶ ποία εἶναι ἡ κακία; ἠμπορεῖ νὰ ἐρωτήσῃ κανείς. Διὰ τοῦτο λοιπὸν αἰσθάνομαι ὀδύνην, διότι, μολονότι εἶσαι ἄρρωστος, ἐν τούτοις δὲν γνωρίζεις ὅτι ἀσθενεῖς, διὰ νὰ ἐπιδιώξῃς νὰ εὕρῃς τὸν κατάλληλον ἰατρόν. Ἐβυθίσθης εἰς τὴν μοιχείαν, καὶ ἐρωτᾷς ποία εἶναι ἡ κακία; Ἢ μήπως δὲν ἤκουσες τὸν Χριστὸν ποὺ λέγει· «ὁ καθένας ποὺ βλέπει οἱανδήποτε γυναῖκα διὰ νὰ τὴν ἐπιθυμήσῃ πρὸς ἁμαρτίαν ἤδη ἐμοίχευσεν αὐτήν»;[11] Τί λοιπὸν ἐὰν δὲν τὴν βλέ-

ἂν μὴ ἐμβλέψω, φησί, πρὸς τὸ ἐπιθυμῆσαι; Καὶ πῶς δυνήσῃ με πεῖσαι; Ὁ γὰρ τοῦ θεωρῆσαι μὴ κρατῶν, ἀλλὰ τοσαύτην σπουδὴν ὑπὲρ τοῦ τοιούτου τιθέμενος, πῶς μετὰ τὸ θεωρῆσαι δυνήσῃ μένειν ἀκηλίδωτος; Μὴ γὰρ λίθος σοι τὸ σῶμα; μὴ γὰρ σίδηρος; Σάρκα περίκεισαι, σάρκα ἀνθρωπίνην, ἥτις χόρτου χαλεπώτερον ὑπὸ τῆς ἐπιθυμίας ἀνάπτεται.

Καὶ τί λέγω τὸ θέατρον; Ἐν ἀγορᾷ πολλάκις ἐὰν ἀπαντήσωμεν γυναικί, θορυβούμεθα· σὺ δὲ ἄνω καθήμενος, ὅπου τοσαύτη πρὸς ἀσχημοσύνην παράκλησις, ὁρῶν γυναῖκα πόρνην γυμνῇ τῇ κεφαλῇ μετὰ πολλῆς τῆς ἀναισχυντίας εἰσιοῦσαν, χρυσᾶ περιβεβλημένην ἱμάτια, μαλακιζομένην, θρυπτομένην, ᾄσματα ᾄδουσαν πορνικά, κατακεκλασμένα μέλη, αἰσχρὰ προϊεμένην ῥήματα, ἀσχημονοῦσαν τοιαῦτα, ἅπερ ὁ θεωρήσας ἂν εἰς ἔννοιαν λάβῃς, κάτω κύπτεις· τολμᾷς εἰπεῖν ὡς οὐδὲν πάσχῃς ἀνθρώπινον; Μὴ γὰρ λίθος σοι τὸ σῶμα; μὴ γὰρ σίδηρος; Οὐ γὰρ παραιτήσομαι πάλιν τὰ αὐτὰ εἰπεῖν. Μὴ γὰρ τῶν μεγάλων καὶ γενναίων ἀνδρῶν ἐκείνων, οἳ ἀπὸ ψιλῆς ὄψεως κατηνέχθησαν, φιλοσοφώτερος σὺ εἶ; Οὐκ ἤκουσας τί φησιν ὁ Σολομών· «Περιπατήσει τις ἐπ' ἀνθράκων πυρός, τοὺς δὲ πόδας οὐ κατακαύσει; Ἀποδήσει τις πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια οὐ κατακαύσει; Οὕτως ὁ εἰσιὼν εἰς γυναῖκα ἀλλοτρίαν». Εἰ γὰρ καὶ μὴ συνεπλάκης τῇ πόρνῃ, ἀλλὰ τῇ ἐπιθυμίᾳ συνεγένου, καὶ τῇ γνώμῃ τὴν ἁμαρτίαν εἰργάσω. Καὶ οὐδὲ κατὰ τὸν καιρὸν ἐκεῖνον μόνον, ἀλλὰ καὶ

12. Παροιμ. 6, 28, 27, 29.

πω διὰ νὰ τὴν ἐπιθυμήσω πρὸς ἐπιτέλεσιν τῆς ἁμαρτίας; Πῶς θὰ μὲ πείσῃς ὅτι δὲν τὴν βλέπεις μὲ πονηρὰν ἐπιθυμίαν; Διότι αὐτὸς ποὺ δὲν εἶναι εἰς θέσιν νὰ συγκρατήσῃ τὰ μάτια του, ἀλλὰ φροντίζει τόσον πολὺ διὰ τὸ θέαμα, κατὰ ποίαν λογικήν, μετὰ ἀπὸ τὴν παρατήρησίν του θὰ ἠμπορέσῃ νὰ παραμείνῃ ἁγνός; Μήπως εἶναι τὸ σῶμα σου πέτρινον; Μήπως εἶναι σιδερένιον; Περιβάλλεσαι ἀπὸ σάρκα, ἀπὸ σάρκα ἀνθρωπίνην, ἡ ὁποία ἀνάπτει ἀπὸ τὴν ἐπιθυμίαν εὐκολώτερα ἀπὸ ξερὸ χορτάρι.

Ἀλλὰ διατί ὁμιλῶ μόνον διὰ τὸ θέατρον; Ἀφοῦ πολλάκις καὶ μέσα εἰς τὴν ἀγοράν, ὅταν συναντήσωμεν γυναῖκα, ταρασσόμεθα καὶ θορυβούμεθα· σὺ δὲ καθισμένος εἰς τὴν κατάλληλον θέσιν τοῦ θεάτρου, ποὺ προσφέρει τόσας ἀφορμὰς διὰ τὴν διάπραξιν τῆς ἀσχημίας, ὅταν βλέπῃς τὴν πόρνην γυναῖκα μὲ ἀκάλυπτον τὴν κεφαλὴν καὶ μὲ μεγάλην ἀναίδειαν νὰ ἐμφανίζεται εἰς τὴν σκηνήν, νὰ εἶναι ἐνδεδυμένη μὲ χρυσᾶ ἐνδύματα, νὰ κινῆται μὲ ἠδυπάθειαν, νὰ λικνίζεται μὲ προκλητικότητα, νὰ τραγουδᾷ πορνικὰ ᾄσματα, νὰ προβαίνῃ εἰς ἄλλας παρομοίας ἀσχημίας, τὰς ὁποίας ἠμπορεῖς νὰ καταλάβῃς σὺ ποὺ τὰς παρηκολούθησες· τολμᾷς λοιπὸν νὰ εἰπῇς ὅτι δὲν παθαίνεις ὅ,τι οἱ ἄλλοι ἄνθρωποι ὅταν παρατηρῇς τὴν πόρνην γυναῖκα; Μήπως εἶναι τὸ σῶμα σου λίθος; ἢ μήπως σίδηρος; Διότι δὲν θὰ παύσω νὰ σοῦ ἐπαναλαμβάνω τὰ ἴδια. Μήπως εἶσαι σὺ ἀνώτερος ἀπὸ τοὺς γενναίους ἐκείνους ἄνδρας, οἱ ὁποῖοι ἐνικήθησαν ἀπὸ ἕνα ἁπλὸ βλέμμα; Δὲν ἤκουσες τί λέγει ὁ Σολομών· «εἶναι δυνατὸν νὰ βαδίσῃ κανεὶς ἐπάνω εἰς τὰ ἀναμμένα κάρβουνα καὶ νὰ μὴ κατακαύσῃ τὰ πόδια του; Ἠμπορεῖ νὰ τοποθετήσῃ κανεὶς φωτιὰ εἰς τὰ στήθια του χωρὶς νὰ καύσῃ τὰ ροῦχα του; Ἔτσι καὶ ὅποιος θὰ πλησιάσῃ ξένην γυναῖκα»[12]. Διότι, καὶ ἂν ἀκόμη δὲν ἦλθες εἰς σαρκικὴν ἐπαφὴν μὲ τὴν πόρνην, ἀλλὰ μὲ τὴν ἐπιθυμίαν εὑρέθης κοντά της, καὶ κατ' αὐτὸν τὸν τρόπον διέπραξες τὴν ἁμαρτίαν εἰς τὴν ψυχήν σου. Καὶ ὄχι μόνον κατὰ τὴν ὥ-

τοῦ θεάτρου λυθέντος, ἀπελθούσης αὐτῆς, τὸ εἴδωλον ἐκείνης ἐναπόκειταί σου τῇ ψυχῇ, τὰ ῥήματα, τὰ σχήματα, τὰ βλέμματα, ἡ βάδισις, ὁ ῥυθμός, ἡ διάκρισις, τὰ μέλη τὰ πορνικά, καὶ μυρία τραύματα λαβὼν ἀναχωρεῖς. Οὐκ ἐντεῦθεν οἴκων ἀνατροπαί; οὐκ ἐντεῦθεν σωφροσύνης ἀπώλεια; οὐκ ἐντεῦθεν γάμων διαιρέσεις; οὐκ ἐντεῦθεν πόλεμοι καὶ μάχαι; οὐκ ἐντεῦθεν ἀηδίαι λόγον οὐκ ἔχουσαι; Ἐπειδὰν γὰρ ἐμπλησθεὶς ταύτης ἀνέλθῃς γενόμενος αἰχμάλωτος, καὶ ἡ γυνή σου ἀηδεστέρα φαίνεται, καὶ τὰ παιδία φορτικώτερα, καὶ οἱ οἰκέται ἐπαχθεῖς, καὶ ἡ οἰκία περιττή, καὶ αἱ συνήθεις φροντίδες ἐνοχλεῖν δοκοῦσι πρὸς τὴν οἰκονομίαν τῶν δεόντων πραγμάτων, καὶ ἕκαστος προσιὼν φορτικὸς καὶ ἐπαχθής.

Τὸ δὲ αἴτιον, οὐκ ἀνέρχῃ μόνος εἰς τὴν οἰκίαν, ἀλλὰ τὴν πόρνην ἔχων μετὰ σεαυτοῦ, οὐ φανερῶς καὶ δήλως ἀνιοῦσαν· ὅπερ ἦν κουφότερον· ταχέως γὰρ ἂν ἐξήλασεν ἡ γυνή· ἀλλὰ τῇ γνώμῃ, καὶ τῷ συνειδότι ἐγκαθημένην, καὶ ἀνάπτουσαν ἔνδον τὴν Βαβυλωνίαν κάμινον, μᾶλλον δὲ πολλῷ χαλεπωτέραν· οὐ γὰρ στυππίον καὶ νάφθα καὶ πίσσα, ἀλλὰ τὰ εἰρημένα τροφὴ τῷ πυρὶ γίνεται, καὶ πάντα ἄνω καὶ κάτω. Καὶ καθάπερ οἱ πυρέττοντες, οὐδὲν ἔχοντες ἐγκαλεῖν τοῖς διακονουμένοις, διὰ τὴν τοῦ νοσήματος κακίαν δυσάρεστοι πρὸς πάντας εἰσί, σιτία διακρουόμενοι, καὶ ἰατροὺς κακίζοντες, καὶ πρὸς τοὺς οἰκείους ἀγανακτοῦντες, καὶ κατὰ τῶν διακονούντων λυττῶντες· οὕτω δὴ καὶ οἱ τὴν χαλεπὴν νόσον

ραν ἐκείνην τῆς παραστάσεως, ἀλλὰ καὶ μετὰ τὸ τέλος τοῦ θεάτρου κατὰ τὴν ἀπομάκρυνσίν της, ἡ εἰκόνα της μένει εἰς τὸ μυαλόν σου, τὰ λόγια της, τὰ ἐνδύματά της, τὰ βλέμματά της, τὸ βάδισμά της, τὰ καμώματά της, ἡ συμπεριφορά της, τὰ πορνικὰ τραγούδια καὶ ἀφοῦ τραυματισθῇς ἀποχωρεῖς ἀπὸ ἐκεῖ. Δὲν καταστρέφονται ἀπὸ ἐδῶ αἱ οἰκογένειαι; Ἀπὸ ἐδῶ δὲν χάνεται ἡ ἐγκράτεια; Ἀπὸ ἐδῶ δὲν διαλύονται οἱ γάμοι; Δὲν προκαλοῦνται ἀπὸ ἐδῶ πόλεμοι καὶ διαμάχαι; Ἀπὸ ἐδῶ δὲν προέρχονται αἱ ἀηδίαι ποὺ εἶναι ἔξω ἀπὸ τὴν λογικήν; Ὅταν σὲ κυριεύσῃ αὐτὴ καὶ πηγαίνῃς εἰς τὸ θέατρον σὰν αἰχμάλωτος, τότε καὶ ἡ γυναίκα σου σοῦ φαίνεται ἀηδεστέρα καὶ τὰ παιδιὰ σοῦ φέρνουν βάρος καὶ οἱ ὑπηρέται φορτικοί, καὶ τὸ σπίτι τὸ θεωρεῖς ἀνώφελον, καὶ αἱ καθημεριναὶ φροντίδες διὰ τὴν τακτοποίησιν τῶν ἀναγκαίων ζητημάτων φαίνεται νὰ σὲ ἐνοχλοῦν καὶ κάθε ἕνας ποὺ σὲ πλησιάζει σοῦ γίνεται φορτικὸς καὶ ἐνοχλητικός.

Ἡ αἰτία ὅλων αὐτῶν εἶναι τὸ ὅτι δὲν ἐπιστρέφεις μόνος σου εἰς τὸ σπίτι σου, ἀλλὰ μαζὶ μὲ τὴν πόρνην, ποὺ ἔρχεται μαζί σου ὄχι φανερὰ ἀλλὰ κρυφά. Βέβαια ἂν ἦτο ὁρατὴ θὰ ἦτο εὐκολοτέρα ἡ κατάστασις διότι γρήγορα θὰ τὴν ἐξεδίωκεν ἡ σύζυγός σου· ὅμως ἔρχεσαι ἔχων θρονιασμένην τὴν πόρνην εἰς τὸ μυαλόν σου καὶ τὴν ψυχήν σου καὶ σοῦ ἀνάπτει ἀπὸ μέσα τὴν Βαβυλώνιον κάμινον καὶ μάλιστα πολὺ περισσότερον ἀπὸ αὐτήν· διότι ἐδῶ δὲν ὑπάρχουν στουπιὰ καὶ νέφτι καὶ πίσσα, ἀλλὰ αὐτὰ ποὺ ἔχω ἀναφέρει παραπάνω γίνονται τροφὴ τῆς φωτιᾶς καὶ ὅλα ἀναστατώνονται. Καὶ ὅπως ἀκριβῶς αὐτοὶ ποὺ βασανίζονται ἀπὸ πυρετόν, ἐνῷ δὲν ἔχουν νὰ διατυπώσουν κανένα παράπονον δι' αὐτοὺς ποὺ τοὺς ἐξυπηρετοῦν, ἐν τούτοις ἐξ αἰτίας τῆς σοβαρότητος τῆς ἀσθενείας γίνονται δυσάρεστοι πρὸς ὅλους, μὲ τὸ νὰ ἀρνοῦνται τὴν τροφήν, νὰ κατηγοροῦν τοὺς ἰατρούς, νὰ ἀγανακτοῦν πρὸς τοὺς συγγενεῖς των καὶ νὰ κατέχωνται ἀπὸ κακίαν δι' αὐτοὺς ποὺ τοὺς φροντίζουν καὶ τοὺς ἐξυπηρετοῦν, ἔτσι λοιπὸν καὶ ὅσοι ὑ-

ταύτην νοσοῦντες, ἀλλοιοῦσι, δυσχεραίνουσι, πάντοτε ἐκείνην βλέποντες. Ὢ χαλεπῶν πραγμάτων. Λύκος μὲν καὶ λέων, καὶ τὰ λοιπὰ θηρία τοξευόμενα φεύγει τὸν κυνηγέτην· ἄνθρωπος δὲ ὁ λογιώτατος τρωθείς, περιδιώκει τὴν τρώσασαν, ὥστε πολλῷ χαλεπώτερον βέλος λαβεῖν, καὶ ἐνηδυπαθεῖν τῷ τραύματι· ὅπερ δὴ πάντων ἐστὶ πικρότατον, καὶ τὴν νόσον ἀνίατον ἐργάζεται. Ὁ γὰρ μὴ μισῶν τὸ ἕλκος, μηδὲ ἀπαλλαγῆναι βουλόμενος, πῶς ἂν ἐπιζητήσειε τὸν ἰατρόν;

Διὰ ταῦτα ὀδυνῶμαι καὶ διακόπτομαι, ὅτι τοσαύτην λύμην λαμβάνοντες, ἐκεῖθεν κατέρχεσθε, καὶ διὰ μικρὰν ἡδονὴν διηνεκῆ τὴν ὀδύνην ὑπομένετε. Καὶ γὰρ καὶ πρὸ τῆς γεέννης καὶ τῆς κολάσεως ἐνταῦθα τὴν ἐσχάτην ἑαυτοὺς ἀπαιτεῖτε δίκην. Ἢ οὐκ ἐσχάτης τιμωρίας, εἰπέ μοι, ἐπιθυμίαν τοιαύτην τρέφειν, καὶ διηνεκῶς ἐμπίπρασθαι, καὶ κάμινον ἔρωτος ἀτόπου πανταχοῦ περιφέρειν, καὶ συνειδότος κατηγορίαν; Πῶς γὰρ ἐπιβήσῃ τῶν προθύρων ἐκείνων τῶν ἱερῶν; πῶς ἅψῃ τῆς οὐρανίου τραπέζης; πῶς δὲ ἀκούσεις τὸν περὶ σωφροσύνης λόγον, ἑλκῶν γέμων καὶ τραυμάτων τοσούτων, καὶ τὴν διάνοιαν ἔχων τῷ πάθει δουλεύουσαν;

Καὶ τί δεῖ τὰ ἄλλα λέγειν; Ἀπὸ τῶν νῦν παρ' ἡμῖν γινομένων ἔξεστι τῆς διανοίας ἰδεῖν τὴν ὀδύνην. Νῦν γοῦν ὁρῶ μεταξὺ τῶν λόγων τούτων τὰ μέτωπα τύπτοντας, καὶ πολλὴν ὑμῖν ἔχων χάριν, ὅτι δῆμος οὕτως ἐστὲ εὔσπλαγχνος. Τάχα δὲ οἶμαι πολλοὺς τῶν μηδὲν ἡμαρτηκότων ταῦτα ποιεῖν, ἀλγοῦντας ὑπὲρ τῶν ἀδελφικῶν τραυμάτων. Διὰ τοῦτο ὀδυνῶμαι καὶ κόπτομαι, ὅτι τοιαύτην ἀγέλην ὁ διάβολος λυ-

---

13. Τὴν πόρνην γυναῖκα.
14. Ἐννοεῖται ἡ Ἐκκλησία.
15. Ἐννοεῖται ἡ Θεία Εὐχαριστία.

ποφέρουν ἀπὸ τὴν φοβερὰν αὐτὴν νόσον, δυσανασχετοῦν, ἀγανακτοῦν, ἐπειδὴ βλέπουν συνέχεια ἐκείνην[13]. Πράγματα ἀκατανόητα, ἀλήθεια! Ὁ λύκος καὶ τὸ λεοντάρι καὶ τὰ ἄλλα θηρία ὅταν κτυπηθοῦν μὲ τὸ τόξον ἀποφεύγουν τὸν κυνηγόν, ὁ δὲ ἄνθρωπος, ποὺ εἶναι πιὸ λογικός, ὅταν δεχθῇ τὸ τραῦμα, τριγυρίζει αὐτὴν ποὺ τὸν ἐπλήγωσεν, ὥστε νὰ ὑποστῇ βαρύτερον τραυματισμόν, καὶ νοιώθει εὐχαρίστησιν ἀπὸ τὸ τραῦμα, πρᾶγμα ποὺ εἶναι χειρότερον καὶ καθιστᾷ ἀθεράπευτον τὴν νόσον. Διότι πράγματι αὐτὸς ποὺ δὲν ἀποφεύγει τὴν πληγήν, καὶ δὲν ἐπιθυμεῖ τὴν θεραπείαν, πῶς εἶναι δυνατὸν νὰ ζητήσῃ τὸν ἰατρόν;

Διὰ τοῦτο λοιπὸν βασανίζομαι καὶ μὲ κυριεύει ἡ λύπη, διότι ἂν καὶ ὑφίστασθε τόσην μεγάλην πνευματικὴν ζημίαν, ἐν τούτοις συχνάζετε ἐκεῖ καὶ χάριν μικρᾶς καὶ προσκαίρου ἀπολαύσεως ὑπομένετε συνεχῆ λύπην. Καθ' ὅσον καὶ προτοῦ νὰ ριφθῆτε εἰς τὴν γέενναν καὶ τὴν κόλασιν ἐκείνην, καὶ ἐδῶ εἰς τὴν γῆν τιμωρεῖσθε αὐστηρὰ ἀπὸ τὸν ἴδιον τὸν ἑαυτόν σας. Ἢ μήπως δὲν εἶναι μεγαλυτέρα τιμωρία, εἰπέ μου, τὸ νὰ τρέφῃς αὐτοῦ τοῦ εἴδους τὴν ἐπιθυμίαν καὶ νὰ φλέγεσαι συνεχῶς καὶ νὰ φέρῃς μαζί σου εἰς κάθε μέρος τὴν κάμινον τοῦ παρανόμου ἔρωτος καὶ τὴν κατηγορίαν τῆς συνειδήσεως; Πῶς θὰ πλησιάσῃς εἰς τὰ ἱερὰ ἐκεῖνα πρόθυρα;[14] Πῶς θὰ ἐγγίσῃς τὴν οὐράνιον τράπεζαν;[15] Πῶς θὰ ἀκούσῃς τοὺς λόγους ποὺ συνιστοῦν τὴν ἐγκράτειαν, ὅταν εἶσαι γεμᾶτος ἀπὸ τόσα τραύματα καὶ πληγὰς καὶ εἶναι τὸ μυαλόν σου ὑποδουλωμένον εἰς τὸ πάθος;

Καὶ διατί πρέπει νὰ συνεχίσω; Ἀπὸ ὅσα σᾶς εἶπα ἠμπορεῖτε νὰ ἀντιληφθῆτε τὴν λύπην τῆς ψυχῆς μου. Τώρα, βλέπων κατὰ τὴν διάρκειαν τῶν λόγων αὐτῶν νὰ κτυπᾶτε τὰ μέτωπά σας, σᾶς εὐγνωμονῶ, διότι εἶσθε τόσον εὐσπλαγχνικὸς λαός. Πιστεύω δὲ ὅτι πολλοὶ ἀπὸ αὐτοὺς ποὺ δὲν ἔχουν διαπράξει παρομοίαν ἁμαρτίαν κάμουν αὐτό, ἐπειδὴ λυποῦνται διὰ τὰ τραύματα τῶν συνανθρώπων των. Δι' αὐτὸ λοιπὸν στενοχωροῦμαι καὶ βασανίζομαι ἐπειδὴ φθείρει

μαίνεται. Ἀλλ' εἰ βουληθείητε, ταχέως αὐτοῦ τὴν εἴσοδον ἀποφράξομεν. Πῶς καὶ τίνι τρόπῳ; Εἰ τοὺς νοσοῦντας ὑγιαίνοντας ἴδοιμεν· εἰ τὸ δίκτυα τῆς διδασκαλίας ἁπλώσαντες περιέλθοιμεν τοὺς θηριαλώτους ζητοῦντες, καὶ ἐξ αὐτῆς τοῦ λέοντος τῆς φάρυγγος αὐτοὺς ἐξαρπάσοιμεν. Μὴ γάρ μοι λέγε· ὀλίγοι εἰσὶν οἱ ἀποβουκολισθέντες. Κἂν δέκα μόνον ὦσιν, οὐχ ἡ τυχοῦσα ζημία· κἂν πέντε, κἂν δύο, κἂν εἷς. Ἐπεὶ καὶ ὁ ποιμὴν ἐκεῖνος τὰ ἐνενήκοντα ἐννέα διὰ τοῦτο καταλιπὼν πρόβατα, ἐπὶ τὸ ἓν ἔτρεχε, καὶ οὐκ ἐπανῆλθεν ἕως πάλιν αὐτὸ ἐπανήγαγε, καὶ τὸν τῶν ἑκατὸν ἀριθμὸν χωλεύοντα δι' ἐκείνου τὴν ἀποκατάστασιν τοῦ πλανηθέντος ἐπλήρωσε. Μὴ λέγε, ὅτι εἷς ἐστιν· ἀλλ' ἐννόησον, ὅτι ψυχή ἐστι, δι' ἣν τὰ ὁρώμενα πάντα γέγονεν· δι' ἣν νόμοι, καὶ τιμωρίαι, καὶ κολάσεις, καὶ τὰ μυρία θαύματα, καὶ αἱ ποικίλαι τοῦ Θεοῦ πραγματεῖαι· δι' ἣν οὐδὲ τοῦ Μονογενοῦς ἐφείσατο. Ἐννόησον ὅση τιμὴ καταβέβληται καὶ ὑπὲρ τοῦ ἑνός, καὶ μὴ καταφρόνει τῆς σωτηρίας αὐτοῦ, ἀλλ' ἀπελθὼν ἡμῖν ἐπανάγαγε, καὶ πεῖσον μηκέτι τοῖς αὐτοῖς περιπεσεῖν, καὶ ἀρκοῦσαν ἔχομεν ἀπολογίαν. Εἰ δὲ μὴ ἀνέχοιτο, μηδὲ ἡμῶν συμβουλευόντων, μηδὲ ὑμῶν παραινούντων, τῇ ἐξουσίᾳ χρήσομαι λοιπόν, ᾗ ὁ Θεὸς ἡμῖν ἔδωκεν οὐκ εἰς καθαίρεσιν, ἀλλ' εἰς οἰκοδομήν.

Διὰ σὲ τοῦτο προλέγω, καὶ λαμπρᾷ βοῶ τῇ φωνῇ, ὅτι εἴ τις μετὰ τὴν παραίνεσιν ταύτην καὶ διδασκαλίαν ἐπὶ τὴν παράνομον τῶν θεάτρων αὐτομολήσειε λύμην, οὐ δέξομαι αὐτὸν εἴσω τουτωνὶ τῶν περιβόλων, οὐ μεταδώσω μυστηρί-

---

16. Πρβλ. Ματθ. 18, 12.
17. Πρβλ. Β' Κορ. 10, 8.

μίαν τόσον ἀξίαν ποίμνην ὁ διάβολος. Ἂν ὅμως θέλετε ἀμέσως θὰ τοῦ ἀποφράξωμεν τὴν εἴσοδον. Πῶς καὶ μὲ ποῖον τρόπον; Ἐὰν ἴδωμεν τοὺς ἀσθενεῖς ὑγιαίνοντας· ἐὰν ἁπλώσωμεν τὰ δίκτυα τῆς διδασκαλίας καὶ ἐξέλθωμεν εἰς ἀναζήτησιν αὐτῶν ποὺ εἶναι εἰς τὰ νύχια τοῦ θηρίου καὶ τοὺς λυτρώσωμεν ἀπὸ τὸ στόμα τοῦ λέοντος. Μὴ μοῦ εἰπῇς ὅτι εἶναι ὀλίγοι αὐτοὶ ποὺ ἀπεμακρύνθησαν ἀπὸ τὴν ποίμνην. Εἴτε εἶναι μόνον δέκα, εἴτε πέντε, εἴτε δύο, εἴτε ἕνας καὶ πάλιν ἡ ζημία δὲν εἶναι ἀσήμαντος. Ἐπειδὴ καὶ ὁ ποιμὴν ἐκεῖνος δι' αὐτὸ ἐγκατέλειψε τὰ ἐνενήκοντα ἐννέα πρόβατα καὶ ἔτρεχε διὰ νὰ εὕρῃ τὸ ἕνα, καὶ δὲν ἐπέστρεψε μέχρις ὅτου τὸ ἐπανέφερε, καὶ ἔτσι μὲ τὴν ἀποκατάστασιν τοῦ πλανηθέντος συνεπλήρωσε τὸν ἀριθμὸν τῶν ἑκατὸν προβάτων, ποὺ ἦτο ἐλλιπὴς μὲ τὴν ἀπώλειαν ἐκείνου[16]. Μὴ μοῦ εἰπῇς λοιπὸν ὅτι εἶναι ἕνας, ἀλλὰ συλλογίσου ὅτι εἶναι μία ψυχή, χάριν τῆς ὁποίας ἐδημιουργήθη ὁ κόσμος ὁλόκληρος· δι' αὐτὴν ἐδόθησαν οἱ νόμοι, ὡρίσθησαν αἱ τιμωρίαι, ἡ κόλασις, τὰ ἀναρίθμητα θαύματα καὶ τὰ ποικίλα ἔργα τοῦ Θεοῦ· δι' αὐτὴν δὲν ἐλυπήθη οὔτε τὸν Μονογενῆ Υἱόν του ὁ Θεός. Σκέψου πόση μεγάλη ἀξία ἐπληρώθη καὶ διὰ τὸν ἕνα μόνον, καὶ νὰ μὴ ἀδιαφορῇς διὰ τὴν σωτηρίαν του, ἀλλὰ πήγαινε νὰ τὸν ἐπαναφέρῃς καὶ νὰ τὸν πείσῃς νὰ μὴ ξαναπέσῃ πλέον εἰς τὰ ἴδια ἁμαρτήματα καὶ τότε θὰ ἔχωμεν ἱκανοποιητικὴν ἀπολογίαν. Ἐὰν ὅμως δὲν ἀνέχεται οὔτε ἐμένα νὰ τὸν συμβουλεύσω, οὔτε ἐσᾶς νὰ τὸν νουθετῆτε, θὰ χρησιμοποιήσω λοιπὸν τὴν ἐξουσίαν ποὺ μοῦ ἔδωκεν ὁ Θεός, ὄχι βέβαια διὰ νὰ σᾶς βλάπτω, ἀλλὰ διὰ νὰ σᾶς οἰκοδομῶ[17].

Δι' αὐτὸ σᾶς τὸ προλέγω καὶ τὸ φωνάζω μὲ φωνὴν δυνατήν, ὅτι, ἂν κανεὶς μετὰ τὴν παραίνεσιν αὐτὴν καὶ τὴν διδασκαλίαν στραφῇ οἰκειοθελῶς πρὸς τὴν παράνομον φθορὰν ποὺ προκαλοῦν τὰ θέατρα, δὲν θὰ τὸν δεχθῶ εἰς τὸ ἑξῆς εἰς τὸν ναὸν αὐτόν, δὲν θὰ τοῦ μεταδώσω τὰ ἅγια μυστήρια, δὲν θὰ τὸν ἐπιτρέψω νὰ ἐγγίσῃ τὴν ἱερὰν τράπε-

ων, οὐκ ἀφήσω τῆς ἱερᾶς ἅψασθαι τραπέζης· ἀλλ' ὥσπερ οἱ ποιμένες τὰς ψώρας ἐμπεπλησμένα πρόβατα τῶν ὑγιαινόντων ἀπείργουσιν, ὥστε μὴ μεταδοῦναι τοῖς λοιποῖς τῆς νόσου· οὕτω δὴ ἐργάσομαι κἀγώ. Εἰ γὰρ τὸ παλαιὸν ὁ λεπρὸς ἔξω τῆς παρεμβολῆς ἐκελεύετο καθῆναι, κἂν βασιλεὺς ἦν, ἐξεβάλλετο μετὰ τοῦ διαδήματος, πολλῷ μᾶλλον ἡμεῖς τὸν τὴν ψυχὴν λεπροῦντα ταύτης ἐκβαλοῦμεν τῆς ἱερᾶς παρεμβολῆς. Ὥσπερ γὰρ τὴν ἀρχὴν παραινέσει καὶ συμβολῇ ἐχρησάμην, οὕτω καὶ νῦν μετὰ τοσαύτην παραίνεσιν καὶ διδασκαλίαν ἀνάγκη λοιπὸν καὶ τομὴν ἐπαγαγεῖν. Καὶ γὰρ ἐνιαυτὸν ἔχω λοιπὸν τῆς πόλεως ἐπιβὰς τῆς ὑμετέρας, καὶ οὐ διέλιπον πολλάκις καὶ συνεχῶς ταῦτα ὑμῖν παραινῶν. Ἐπεὶ οὖν ἐναπέμεινάν τινες τῇ σηπεδόνι, φέρε λοιπὸν τὴν τομὴν ἐπαγάγωμεν. Εἰ γὰρ μὴ σιδήριον ἔχω, ἀλλ' ἔχω λόγον σιδήρου τομώτερον· εἰ καὶ μὴ πῦρ βαστάζω, ἀλλ' ἔστι μοι διδασκαλία πυρὸς θερμοτέρα, εὐτονώτερον δυναμένη καίειν. Μὴ οὖν καταφρόνει τῆς ἀποφάσεως τῆς ἡμετέρας. Εἰ γὰρ εὐτελεῖς ἡμεῖς καὶ σφόδρα οἰκτροί, ἀλλ' ὅμως ἐνεχειρίσθημεν ἀξίαν παρὰ τῆς τοῦ Θεοῦ χάριτος τὴν δυναμένην ταῦτα ἐργάζεσθαι. Ἐκβαλλέσθωσαν τοίνυν οἱ τοιοῦτοι, ἵνα οἵ τε ὑγιαίνοντες ἡμῖν ὑγιεινότεροι γένωνται, οἵ τε νοσοῦντες ἀνακτήσωνται ἑαυτοὺς ἐκ τῆς χαλεπῆς ἀρρωστίας. Εἰ δὲ ἐφρίξατε ταύτην ἀκούσαντες τὴν ἀπόφασιν (καὶ γὰρ ὁρῶ πάντας στυγνάζοντας καὶ συνεσταλμένους ὄντας), μεταβαλλέσθωσαν, καὶ λέλυται τὰ τῆς ἀποφάσεως. Ὥσπερ γὰρ ἐξουσίαν ἐλάβομεν δῆσαι, οὕτω καὶ λῦσαι, καὶ πάλιν ἐπαγαγεῖν.

Οὐ γὰρ τοὺς ἀδελφοὺς ἡμῶν ἀποκόψαι βουλόμεθα, ἀλλὰ

---

18. Δηλαδὴ νὰ μετάσχῃ εἰς τὴν Θείαν Εὐχαριστίαν.

ζαν[18]· ἀλλὰ ὅπως οἱ βοσκοὶ ἀπομακρύνουν ἀπὸ τὰ ὑπόλοιπα πρόβατα ὅσα ἔχουν προσβληθῆ ἀπὸ ψώραν, διὰ νὰ μὴ μεταδοθῆ καὶ εἰς τὰ ἄλλα ἡ ἀσθένεια, ἔτσι θὰ ἐνεργήσω καὶ ἐγὼ εἰς τὴν προκειμένην περίπτωσιν. Διότι, ἂν παλαιότερα ὁ λεπρὸς ἦτο ἠναγκασμένος νὰ κάθεται ἔξω ἀπὸ τὸ στρατόπεδον, ἀκόμη καὶ ἂν ἦτο βασιλεύς, ἀπεμακρύνετο μὲ τὸ βασιλικὸν στέμμα, πολὺ περισσότερον ἡμεῖς θὰ ἐκδιώξωμεν ἀπὸ τὸν ἱερὸν αὐτὸν τόπον, αὐτὸν ποὺ ἡ ψυχή του πάσχει ἀπὸ λέπραν. Διότι ὅπως εἰς τὴν ἀρχὴν ἐχρησιμοποίησα τὴν παραίνεσιν καὶ τὴν συμβουλήν, ἔτσι καὶ τώρα ὕστερα ἀπὸ τόσην παραίνεσιν καὶ διδασκαλίαν εἶναι ἀνάγκη πλέον νὰ ἐπιφέρω καὶ τὴν ἀποκοπήν. Καθ' ὅσον ἔχω ἕνα χρόνον ποὺ ἐξελέγην ἀρχιεπίσκοπος τῆς πόλεώς σας καὶ δὲν ἔπαυσα πολλὰς φορὰς νὰ σᾶς δίδω αὐτὰς τὰς συμβουλάς. Ἐπειδὴ ὅμως μερικοὶ ἐξακολουθοῦν νὰ παραμένουν εἰς τὴν σαπίλαν, ἐλᾶτε λοιπὸν τώρα νὰ πραγματοποιήσωμεν τὴν ἐγχείρησιν αὐτήν. Βέβαια δὲν ἔχω μαχαίρι, ἀλλὰ ἔχω τὸν λόγον ποὺ εἶναι πιὸ κοπτερὸς καὶ ἀπὸ τὸ μαχαίρι· καὶ ἂν δὲν κρατῶ φωτιάν, ἔχω τὴν διδασκαλίαν ποὺ εἶναι θερμοτέρα καὶ ἀπὸ τὴν φωτιὰν καὶ ἠμπορεῖ νὰ καυτηριάζῃ πιὸ ἀποτελεσματικὰ ἀπὸ αὐτήν. Λοιπὸν μὴ περιφρονῇς τὴν ἀπόφασίν μας. Διότι ἂν ἐγὼ εἶμαι ἀσήμαντος καὶ ἐλάχιστος, ὅμως ἔχω λάβει ἀπὸ τὴν χάριν τοῦ Θεοῦ τὴν ἀξίαν ποὺ ἠμπορεῖ νὰ πραγματοποιήσῃ αὐτό. Ἂς ἀπομακρυνθοῦν λοιπὸν ἀπὸ τὴν ἐκκλησίαν οἱ ἀμετανόητοι, διὰ νὰ γίνουν πιὸ ὑγιεῖς οἱ ὑγιεῖς καὶ νὰ ἠμπορέσουν οἱ ἀσθενεῖς νὰ ἀποκτήσουν ἐκ νέου τὴν ὑγείαν των ἀπαλλασσόμενοι ἀπὸ τὴν νόσον. Ἂν ὅμως ἐδοκιμάσατε φρίκην, ὅταν ἠκούσατε αὐτὴν τὴν ἀπομάκρυνσιν (διότι βλέπω ὅτι ὅλοι δυσφορεῖτε καὶ ἀντιδρᾶτε ἐντός σας), ἂς ἀλλάξουν διαγωγὴν καὶ τότε δὲν ἰσχύει ἡ ἀπόφασις. Διότι ὅπως ἔχω λάβει τὴν δύναμιν νὰ δεσμεύω, ἔτσι ἔχω καὶ τὴν δικαιοδοσίαν νὰ λύω καὶ νὰ ἐπαναφέρω πάλιν εἰς τὴν ἐκκλησίαν.

Δὲν θέλω νὰ ἀπομακρύνω βέβαια τοὺς ἀδελφοὺς ἀπὸ

τὸ ὄνειδος τῆς Ἐκκλησίας ἀποκρούσασθαι. Νῦν μὲν γὰρ καὶ Ἕλληνες ἡμῶν καταγελάσονται καὶ Ἰουδαῖοι κωμῳδήσουσιν, ὅταν ἁμαρτάνοντας ἑαυτοὺς οὕτως περιορῶμεν. Τότε δὲ καὶ ἐκεῖνοι σφόδρα ἡμᾶς ἐπαινέσουσι, καὶ θαυμάσονται τὴν Ἐκκλησίαν, τῶν παρ᾽ ἡμῖν αἰδεσθέντες νόμων.

Μηδεὶς τοίνυν τῶν ἐπιμενόντων τῇ αὐτῇ πορνείᾳ τῆς ἐκκλησίας ἐπιβαινέτω, ἀλλὰ καὶ ἀφ᾽ ὑμῶν ἐπιτιμάσθω, καὶ κοινὸς ἔστω πολέμιος. «Εἴ τις γάρ», φησίν, «οὐχ ὑπακούσῃ τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ». Τοῦτο δὲ ποιήσατε· μήτε λόγου μετάδοτε, μήτε εἰς οἰκίαν δέξησθε, μήτε τραπέζης κοινωνήσητε, μήτε εἰσόδου, μήτε ἐξόδου, μήτε ἀγορᾶς· καὶ οὕτω ῥᾳδίως αὐτοὺς ἀνακτησόμεθα. Καὶ καθάπερ οἱ κυνηγοὶ τὰ δυσάλωτα τῶν θηρίων οὐκ ἐξ ἑνὸς μέρους, ἀλλὰ πάντοθεν ἐλαύνοντες, εἰς τὴν σαγήνην ἐμβάλλουσιν· οὕτω δὴ καὶ ἡμεῖς τοὺς ἐκθηριωθέντας συνελάσωμεν, καὶ ταχέως εἰς τὰ δίκτυα τῆς σωτηρίας ἐμβαλοῦμεν, ἡμεῖς ἐντεῦθεν, ὑμεῖς ἐκεῖθεν.

Ἵν᾽ οὖν τοῦτο γένηται, καὶ ὑμεῖς ἡμῖν συναγανακτήσατε, μᾶλλον δὲ ὑπὲρ τῶν τοῦ Θεοῦ νόμων ἀλγήσατε, καὶ μικρὸν ἀποστρέφητε τούτους τὰ τοιαῦτα νοσοῦντας καὶ παρανομοῦντας τῶν ἀδελφῶν, ἵνα διηνεκῶς αὐτοὺς ἔχητε. Οὐδὲ γὰρ τὸ τυχὸν ὑμῖν ἐστι κρῖμα, εἰ παρίδητε τοσαύτην ἀπώλειαν, ἀλλὰ μεγίστην ἕξετε τιμωρίαν. Εἰ γὰρ ἐν ταῖς τῶν ἀνθρώπων οἰκίαις ἐν ἁλῷ τις τῶν οἰκετῶν ἀργύριον ἢ χρυσίον ὑφελόμενος, οὐκ αὐτὸς κολάζεται μόνον ὁ ἁλούς, ἀλλὰ καὶ

19. Β΄ Θεσ. 3, 14.

τὴν ἐκκλησίαν, ἀλλὰ νὰ διαφυλάξω τὴν ἐκκλησίαν ἀπὸ τὴν ἐντροπήν. Τώρα καὶ οἱ εἰδωλολάτραι θὰ μᾶς περιγελάσουν καὶ οἱ Ἰουδαῖοι θὰ μᾶς διακωμῳδήσουν, ὅταν ἀδιαφοροῦμεν κατ' αὐτὸν τὸν τρόπον κάθε φορὰν ποὺ ἁμαρτάνομεν. Ἂν ὅμως ἐκδιώξωμεν τοὺς ἀμετανοήτους τότε καὶ αὐτοὶ θὰ μᾶς ἐπαινέσουν καὶ θὰ θαυμάσουν τὴν ἐκκλησίαν, ἐπειδὴ θὰ ἐντραποῦν τοὺς νόμους ποὺ ἰσχύουν εἰς ἡμᾶς.

Κανεὶς λοιπὸν ἀπὸ αὐτοὺς ποὺ ἐπιμένουν εἰς αὐτὴν τὴν πορνείαν νὰ μὴ εἰσέρχεται εἰς τὸν ναόν, ἀλλὰ καὶ ἀπὸ σᾶς νὰ δέχεται ἐπιπλήξεις καὶ νὰ θεωρῆται κοινὸς ἐχθρός μας. Διότι λέγει «ἂν κανεὶς δὲν ὑπακούῃ εἰς τὸν λόγον μας, ποὺ σᾶς γράφομεν μὲ τὴν ἐπιστολὴν αὐτήν, σημαδεύτε τοῦτον καὶ μὴ τὸν συναναστρέφεσθε μὲ οἰκειότητα»[19]. Νὰ κάμετε δηλαδὴ τὸ ἑξῆς· οὔτε νὰ τοῦ ὁμιλῆτε, οὔτε νὰ τὸν δέχεσθε εἰς τὰ σπίτια σας, οὔτε νὰ συντρώγετε μὲ αὐτόν, οὔτε νὰ ἔχετε δοσοληψίας μὲ αὐτόν, οὔτε εἰς τὴν ἀγορὰν νὰ ἐπικοινωνῆτε μὲ αὐτόν· καὶ ἔτσι εὐκολύτερα θὰ τοὺς ἐπαναποκτήσωμεν. Καὶ ὅπως ἀκριβῶς οἱ κυνηγοὶ τὰ θηρία ποὺ δύσκολα συλλαμβάνονται ὄχι μόνον ἀπὸ ἕνα τόπον, ἀλλὰ ἀπὸ παντοῦ τὰ καταδιώκουν καὶ τὰ κατευθύνουν πρὸς τὴν παγίδα, ἔτσι καὶ ἡμεῖς αὐτοὺς ποὺ ἔχουν ἐξαγριωθῆ ὡς θηρία, ἂς τοὺς παρωθήσωμεν ἡμεῖς ἀπὸ ἐδῶ καὶ σεῖς ἀπὸ ἐκεῖ καὶ γρήγορα θὰ τοὺς ρίψωμεν εἰς τὰ δίκτυα τῆς σωτηρίας.

Καὶ διὰ νὰ γίνῃ αὐτὸ ἀγανακτήσατε καὶ σεῖς μαζί μου, ἢ μᾶλλον νὰ αἰσθανθῆτε λύπην διὰ τοὺς νόμους τοῦ Θεοῦ ποὺ παραβαίνονται, καὶ νὰ ἀποστραφῆτε δι' ὀλίγον χρόνον ἐκείνους ἀπὸ τοὺς ἀδελφοὺς ποὺ πάσχουν ἀπὸ τὴν ἀσθένειαν αὐτοῦ τοῦ εἴδους καὶ δὲν ὑπακούουν εἰς τὰς θείας ἐντολάς, διὰ νὰ τοὺς κερδίσετε παντοτινά. Ἐξ ἄλλου δὲν θὰ ἔχετε μικρὰν εὐθύνην, ὅταν δείξετε ἀδιαφορίαν διὰ τὴν ἀπώλειαν αὐτὴν τῶν ἀδελφῶν, ἀλλ' ἀντιθέτως θὰ ὑποστῆτε μεγάλην τιμωρίαν. Ἀφοῦ, ἂν εἰς τὰ σπίτια τῶν ἀνθρώπων συλληφθῇ κάποιος ἀπὸ τοὺς ὑπηρέτας νὰ κλέπτῃ κάτι χρυσὸν ἢ ἀση-

οἱ συνειδότες καὶ μὴ καταγγείλαντες, πολλῷ μᾶλλον ἐπὶ τῆς Ἐκκλησίας. Ἐρεῖ γάρ σοι τηνικαῦτα ὁ Θεός· ὁρῶν ἀπὸ τοῦ οἴκου τοῦ ἐμοῦ οὐκ ἀργύριον, οὐδὲ χρυσοῦν σκεῦος κλαπέν, ἀλλὰ σωφροσύνην συληθεῖσαν, καὶ τὸν λαβόντα τὸ σῶμα τὸ τίμιον, καὶ τοιαύτης μετασχόντα θυσίας, ἀπελθόντα εἰς τὸ τοῦ διαβόλου χωρίον, καὶ τοιαῦτα παρανομήσαντα, πῶς ἐσίγησας; πῶς ἤνεγκας; πῶς οὐκ ἀπήγγειλας τῷ ἱερεῖ; καὶ οὐ τὰς τυχούσας ἀπαιτηθήσῃ εὐθύνας.

Διά τοι τοῦτο καὶ ἐγώ, καίτοι γε μέλλων λυπεῖν, οὐδενὸς φείσομαι τῶν ἐπαχθεστέρων. Πολλῷ γὰρ βέλτιον ἐνταῦθα λυπηθέντας ἡμᾶς ἐξελέσθαι τῆς μελλούσης κρίσεως, ἢ ῥήμασι χαρισάμενον μεθ' ὑμῶν κολασθῆνα τότε. Οὐδὲ γὰρ ἀσφαλὲς ἡμῖν, οὐδὲ ἀκίνδυνον, σιγῇ τὰ τοιαῦτα φέρειν. Ὑμῶν γὰρ ἕκαστος ὑπὲρ ἑαυτοῦ δώσει τὰς εὐθύνας· ἐγὼ δὲ τῆς ἁπάντων σωτηρίας ὑπεύθυνος.

Διὰ δὴ τοῦτο οὐ παύσομαι πάντα ποιῶν καὶ λέγων, κἂν λυπῆσαι δέῃ, κἂν ἐπαχθῆ φανῆναι, κἂν φορτικόν, ὥστε δυνηθῆναι παραστῆναι τῷ βήματι ἐκείνῳ τῷ φοβερῷ, μὴ ἔχων σπῖλον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων. Γένοιτο δὲ εὐχαῖς τῶν ἁγίων τούς τε διαφθαρέντας ἤδη ταχέως ἐπανελθεῖν, τούς τε μείναντας ἀσινεῖς ἐπὶ μεῖζον προκόψαι κοσμιότητος καὶ σωφροσύνης· ἵνα καὶ ὑμεῖς σώζεσθε, καὶ ἡμεῖς εὐφραινώμεθα, καὶ ὁ Θεὸς δοξάζηται νῦν καὶ ἀεί, καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

20. Πρβλ. Ἐφ. 5, 28.

μένιον ἀντικείμενον, δὲν τιμωρεῖται μόνον ὁ κλέπτης, ἀλλὰ καὶ ὅσοι τὸν ἐγνώριζαν καὶ δὲν τὸν κατήγγειλαν, πολὺ περισσότερον ἰσχύει αὐτὸ διὰ τὴν ἐκκλησίαν. Διότι θὰ σοῦ εἰπῇ αὐτὰ περίπου ὁ Θεός· ὅταν ἔβλεπες ὅτι ἀπὸ τὸν οἶκον μου ἐκλάπη ὄχι ἀργυροῦν ἢ χρυσοῦν ἀντικείμενον, ἀλλὰ ἡ σωφροσύνη, καὶ ὅτι ὁ κοινωνῶν τοῦ Τιμίου Σώματος καὶ μετέχων εἰς τὴν ἀνάλογον θυσίαν ἐσύχναζεν εἰς τοὺς χώρους τοῦ διαβόλου καὶ διέπραττε τόσον μεγάλην παρανομίαν, διατί δὲν ὡμίλησες; Διατί τὸ ἠνέχθης; Διατί δὲν τὸ κατήγγειλες εἰς τὸν ἱερέα; Καὶ βέβαια δὲν θὰ σοῦ ζητηθοῦν δι' αὐτὸ ἀσήμαντοι εὐθῦναι.

Δι' αὐτὸ λοιπὸν καὶ ἐγώ, ἂν καὶ πρόκειται νὰ σᾶς κάμω νὰ λυπηθῆτε, δὲν θὰ ἀποφύγω τίποτε ἀπ' ὅσα σᾶς στενοχωροῦν περισσότερον. Εἶναι πολὺ καλύτερα νὰ σᾶς στενοχωρῶ ἐδῶ εἰς τὴν γῆν καὶ νὰ σᾶς λυτρώσω μὲ τὸν τρόπον αὐτὸν ἀπὸ τὴν μελλοντικὴν καταδίκην, παρὰ νὰ σᾶς εὐχαριστήσω μὲ τὰ λόγια μου καὶ νὰ τιμωρηθῶ τότε μαζὶ μὲ ἐσᾶς. Διότι δὲν εἶναι καλὸν δι' ἐμέ, οὔτε ἀκίνδυνον, τὸ νὰ ἀνέχωμαι αὐτὰ χωρὶς διαμαρτυρίαν, καθ' ὅσον ὁ καθένας σας θὰ λογοδοτήσῃ μόνον διὰ τὸν ἑαυτόν του, ἐνῷ ἐγὼ εἶμαι ὑπεύθυνος διὰ τὴν σωτηρίαν ὅλων σας.

Διὰ τοῦτο λοιπὸν δὲν θὰ παύσω νὰ κάμω καὶ νὰ λέγω τὸ κάθε τι, εἴτε πρέπει νὰ σᾶς λυπήσω, εἴτε πρέπει νὰ καταστῶ βαρετὸς καὶ φορτικός, ὥστε νὰ ἠμπορέσω νὰ σταθῶ εἰς τὸ φοβερὸν ἐκεῖνο βῆμα, χωρὶς νὰ ἔχω σπῖλον ἢ ρυτίδα ἢ κάτι ἀπὸ τὰ παρόμοια ἐλαττώματα[20]. Μακάρι δὲ μὲ τὰς εὐχὰς τῶν ἁγίων νὰ ἐπιστρέψουν γρήγορα εἰς τὴν ἐκκλησίαν ὅσοι ἔχουν διαφθαρῆ καὶ ὅσοι ἔμειναν ἁγνοὶ νὰ προοδεύσουν περισσότερον εἰς τὴν κοσμιότητα καὶ τὴν σωφροσύνην, ὥστε καὶ σεῖς νὰ ἐξασφαλίζετε τὴν σωτηρίαν καὶ ἐγὼ νὰ εὐχαριστοῦμαι καὶ ὁ Θεὸς νὰ δοξάζεται τώρα καὶ πάντοτε καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

13

ΠΕΡΙ ΤΕΛΕΙΑΣ ΑΓΑΠΗΣ

καὶ τῆς κατ᾽ ἀξίαν τῶν ἔργων ἀνταποδόσεως, καὶ περὶ κατανύξεως.

1. Πᾶσα πρᾶξις ἀγαθὴ καρπὸς ἀγάπης ἐστί· διὸ καὶ πολὺς περὶ αὐτῆς ὁ λόγος, τοῦ μὲν Χριστοῦ λέγοντος· «Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους»· τοῦ δὲ Παύλου βοῶντος· «Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους». Οὐχ ἁπλῶς εἶπεν, ἀλλ᾽ ὡς ὀφείλοντας ἀλλήλοις. Ὡς γὰρ τῷ σώματι τὴν τροφὴν ἀεὶ μὲν ὀφείλομεν αὐτῷ, ἀεὶ δὲ ἀποδίδομεν (πάσῃ γὰρ ἡμῶν τῇ ζωῇ τὸ τοιοῦτον συνεκτείνεται χρέος), οὕτω καὶ ἐπὶ τῆς ἀγάπης διδάσκει ποιεῖν· μᾶλλον δὲ καὶ πολλῷ πλέον, ὅσῳ καὶ πρὸς αἰώνιον ὁδηγεῖ ζωήν, καὶ συμπαραμένει τοῖς ἔχουσιν αὐτήν. «Μένει» γάρ, φησί, «τὰ τρία ταῦτα, πίστις, ἐλπίς, ἀγάπη· μείζων δὲ τούτων ἡ ἀγάπη». Οὐ μόνον δὲ διὰ ῥημάτων, ἀλλὰ καὶ διὰ πραγμάτων διδασκόμεθα ταύτην.

Καὶ πρῶτον μὲν διὰ τοῦ τρόπου τῆς ἡμετέρας κατασκευῆς. Ἕνα γὰρ πλάσας ὁ Θεὸς ἄνθρωπον, ἐξ αὐτοῦ πάντας προσέταξε γενέσθαι, ἵνα πάντες ἀλλήλους ὡς ἕνα νομίζωμεν, καὶ ἐν ἀγάπῃ πρὸς ἀλλήλους διάγειν σπουδάζωμεν. Ἔπειτα καὶ διὰ τῆς τῶν συναλλαγμάτων ἐπιμιξίας σοφῶς ἡμῖν τὸ φιλάλληλον ἐπραγματεύσατο· καὶ πῶς, ἄκουε. Πολλῶν πλήσας τὴν οἰκουμένην ἀγαθῶν, ἔδωκεν ἑκάστῃ χώρᾳ

---

1. Ἰω. 13, 35.
2. Ρωμ. 13, 5.
3. Α΄ Κορ. 13, 13.

13

ΠΕΡΙ ΤΕΛΕΙΑΣ ΑΓΑΠΗΣ

καὶ περὶ τῆς ἀνταποδόσεως τῶν ἔργων συμφώνως πρὸς τὴν ἀξίαν των, καὶ περὶ συντριβῆς τῆς καρδίας.

1. Κάθε ἀγαθὸν ἔργον εἶναι καρπὸς τῆς ἀγάπης, διὰ τοῦτο καὶ ὁ λόγος περὶ αὐτῆς εἶναι πολὺ μεγάλος, καθ' ὅσον ὁ μὲν Χριστὸς λέγει· «Μὲ αὐτὸ θὰ μάθουν καὶ θὰ πεισθοῦν ὅλοι ὅτι εἶσθε μαθηταί μου, ἐὰν ἔχετε ἀγάπην μεταξύ σας»[1], ὁ δὲ Παῦλος φωνάζει· «Εἰς δὲ τοὺς ἄλλους πολίτας τῆς κοινωνίας τίποτε εἰς κανένα νὰ μὴ χρεωστῆτε, παρὰ μόνον τὸ νὰ ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλον»[2]. Καὶ δὲν ἀνέφερεν ἁπλῶς τὴν ἀγάπην, ἀλλὰ ὅτι ὀφείλουν νὰ ἀγαποῦν ὁ ἕνας τὸν ἄλλον. Διότι ὅπως συμβαίνει μὲ τὸ σῶμα ποὺ ὀφείλομεν πάντοτε εἰς αὐτὸ τὴν τροφὴν καὶ πάντοτε τὴν παρέχομεν (διότι εἰς ὅλην τὴν ζωήν μας ἐκτείνεται αὐτὸ τὸ χρέος), τὸ ἴδιον διδάσκει νὰ κάμωμεν καὶ διὰ τὴν ἀγάπην· μᾶλλον δὲ πολὺ περισσότερον δι' αὐτήν, καθ' ὅσον καὶ πρὸς τὴν αἰώνιον ζωὴν ὁδηγεῖ καὶ παραμένει μαζὶ μὲ αὐτοὺς ποὺ τὴν ἔχουν. Διότι λέγει, «Εἰς τὴν παροῦσαν ζωὴν μένει ἡ πίστις, ἡ ἐλπὶς καὶ ἡ ἀγάπη, τὰ τρία αὐτά, μεγαλυτέρα δὲ μεταξὺ αὐτῶν εἶναι ἡ ἀγάπη»[3]. Καὶ δὲν διδασκόμεθα αὐτὴν μόνον μὲ λόγια, ἀλλὰ καὶ διὰ τῶν διαφόρων γεγονότων.

Καὶ πρῶτα πρῶτα διδασκόμεθα αὐτὴν ἀπὸ τὸν τρόπον τῆς ἰδικῆς μας δημιουργίας. Διότι, ἀφοῦ ἐδημιούργησεν ἕνα ἄνθρωπον ὁ Θεός, ἐπρόσταξε νὰ γίνουν ἀπὸ αὐτὸν ὅλοι διὰ νὰ θεωροῦμεν ὁ ἕνας τὸν ἄλλον ὡς ἕνα καὶ νὰ ἐπιδιώκωμεν νὰ ζῶμεν μεταξύ μας μὲ ἀγάπην. Ἔπειτα καὶ διὰ τῆς ἀνταλλαγῆς τῶν διαφόρων ἀγαθῶν ἐφρόντισε σοφῶς ὥστε νὰ ὑπάρχῃ ἡ ἀγάπη μεταξύ μας· καὶ μὲ ποῖον τρόπον, ἄκουε. Ἀφοῦ ἐγέμισε τὴν οἰκουμένην ἀπὸ πολλὰ ἀγαθά, εἰς κάθε χώραν πάλιν ξεχωριστὰ ἔδωσεν ἰδιαιτέ-

πάλιν ἰδιάζουσαν ἐπιτηδειότητα καρπῶν, ἵνα διὰ τὸ τῆς χρείας ἀναγκαῖον πρὸς ἀλλήλους βαδίζοντες, καὶ τῶν περιττευόντων μεταδιδόντες, καὶ τῶν λειπόντων ἡμῖν ἀντιλαμβάνοντες, ἀγαπῶμεν τὸ ὁμόφυλον. Τοῦτο καὶ ἐφ' ἑκάστου πεποίηκεν ἀνθρώπου. Οὐ γὰρ πάντα πᾶσιν ἔδωκεν εἰδέναι, ἀλλὰ τῷ μὲν ἰατρικήν, τῷ δὲ τεκτονικήν, καὶ ἄλλῳ ἄλλην, ἵνα χρήζοντες ἀλλήλων, ἀγαπῶμεν ἀλλήλους.

Καὶ ἐν τοῖς πνευματικοῖς δὲ πάλιν τὸ αὐτὸ γινόμενον ἴδοι τις ἄν, ὥς φησιν ὁ Παῦλος, ὅτι «Τῷ μὲν δίδοται λόγος σοφίας, τῷ δὲ λόγος γνώσεως, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ χαρίσματα ἰαμάτων, ἄλλῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν». Ἀλλ' οὐδὲν τῆς ἀγάπης ἀνώτερον· διὸ καὶ πάντων αὐτὴν προέθηκεν, οὕτως εἰπών· «Ἐὰν δὲ ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον· καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα, καὶ ἐὰν ἔχω πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι». Καὶ οὐδὲ μέχρι τούτων ἔστη, ἀλλὰ καὶ τὸν ὑπὲρ εὐσεβείας θάνατον οὐδὲν ἔχειν ἀποφαίνεται κέρδος, μὴ προσούσης ἀγάπης. Οὐ μάτην δὲ τοσαῦτα περὶ αὐτῆς εἴρηκεν· ᾔδει γάρ, ᾔδει σαφῶς, ἅτε γεωργὸς τῶν ἐντολῶν τοῦ Θε-

---

4. Α' Κορ. 12, 8. 9. 10.
5. Α' Κορ. 13, 1-2.

ραν καταλληλότητα καρπῶν, ὥστε ὁδοιποροῦντες μεταξύ μας ἐξ αἰτίας τῶν διαφόρων ἀναγκῶν μας, καὶ δίδοντες εἰς τοὺς ἄλλους ἀπὸ αὐτὰ ποὺ μᾶς περισσεύουν καὶ λαμβάνοντες αὐτὰ ποὺ μᾶς λείπουν, νὰ ἀγαπῶμεν τὸν ὁμογενῆ μας ἄνθρωπον. Αὐτὸ τὸ ἔχει κάμει καὶ εἰς κάθε ἄνθρωπον χωριστά. Διότι δὲν ἐπέτρεψε νὰ τὰ γνωρίζουν ὅλα ὅλοι οἱ ἄνθρωποι, ἀλλὰ εἰς ἄλλον μὲν ἔδωκε τὴν ἰατρικὴν γνῶσιν, εἰς ἄλλον τὴν τεκτονικὴν τέχνην, καὶ εἰς ἄλλον ἄλλην γνῶσιν, ὥστε, ἔχοντες ἀνάγκην ὁ ἕνας ἀπὸ τὸν ἄλλον, νὰ ἀγαπῶμεν ὁ ἕνας τὸν ἄλλον.

Καὶ εἰς τὰ πνευματικὰ δὲ πάλιν τὸ ἴδιον ἠμπορεῖ νὰ ἰδῇ κανεὶς ὅτι συμβαίνει, ὅπως λέγει ὁ Παῦλος, ὅτι «Εἰς ἄλλον μὲν δίδεται ἀπὸ τὸ ἅγιον Πνεῦμα ἡ ἱκανότης τοῦ λόγου νὰ κατανοῇ βαθέως, εἰς ἄλλον δὲ ἡ ἱκανότης νὰ διδάσκῃ μὲ σαφήνειαν καὶ πειστικότητα τὰς ὑψηλὰς ἀληθείας τῆς πίστεως, εἰς ἄλλον δὲ δίδεται τὸ χάρισμα τῆς προφητείας, εἰς ἄλλον δὲ δίδεται ἡ θερμὴ καὶ ζωντανὴ πίστις ὥστε νὰ κάμῃ θαύματα, εἰς ἄλλον τὸ χάρισμα νὰ ὁμιλῇ διαφόρους γλώσσας, εἰς ἄλλον δὲ τὸ χάρισμα νὰ ἑρμηνεύῃ αὐτὰ ποὺ λέγονται εἰς ξένας γλώσσας»[4]. Ὅμως τίποτε δὲν εἶναι ἀνώτερον ἀπὸ τὴν ἀγάπην, διὰ τοῦτο καὶ ἔθεσεν αὐτὴν πρώτην ἐξ ὅλων λέγων τὰ ἑξῆς· «Ἐὰν ὑποτεθῇ ὅτι ἔχω τέτοια ἱκανότητα, ὥστε νὰ ἐννοῶ καὶ νὰ ὁμιλῶ τὰς γλώσσας τῶν ἀνθρώπων καὶ τῶν ἀγγέλων, ἀλλὰ δὲν ἔχω ἀγάπην, ἔχω γίνει χαλκὸς ποὺ ἠχολοκεῖ ἢ κύμβαλον ποὺ ἀλαλάζει χωρὶς νὰ ἀναδίδῃ κανένα μουσικὸν φθόγγον. Καὶ ἐὰν ἔχω τὸ χάρισμα τῆς προφητείας καὶ γνωρίζω ὅλα τὰ ἄγνωστα καὶ ἀπόκρυφα μυστήρια καὶ ὅλην τὴν γνῶσιν, ποὺ ἠμπορεῖ νὰ χωρέσῃ ποτὲ ἀνθρωπίνη διάνοια, καὶ ἐὰν ἔχω τὴν πίστιν εἰς ὅλην της τὴν πληρότητα, ὥστε μὲ τὴν δύναμίν της νὰ μετακινῶ βουνά, δὲν ἔχω ὅμως ἀγάπην, δὲν εἶμαι τίποτε»[5]. Καὶ δὲν ἐστάθη μόνον εἰς αὐτά, ἀλλὰ καὶ αὐτὸς ὁ ὑπὲρ εὐσεβείας θάνατος, λέγει, ὅτι δὲν ἔχει κανένα κέρδος, ἂν δὲν ὑπάρχῃ εἰσέτι ἡ ἀγάπη. Καὶ δὲν εἶπε ματαίως τόσα περὶ αὐτῆς· διότι ἐγνώριζεν,

οὗ, ὅτι, ταύτης ἐρριζωμένης ἀσφαλῶς, ὁ τῶν ἀγαθῶν ἁπάντων βλαστάνει καρπός. Τὸ γάρ, «Οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσειςς, καὶ εἴ τις ἑτέρα ἐντολή, ἐν τούτῳ τῷ λόγῳ ἀνακεφαλαιοῦται, ἐν τῷ, «Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν».

Καὶ τί χρὴ τὰ μικρὰ λέγειν, τὰ μεγάλα σιωπῶντας; Δι' ἀγάπην κατῆλθε πρὸς ἡμᾶς ὁ ἀγαπητὸς Υἱὸς τοῦ Θεοῦ, καὶ ὁμόσκηνος καὶ ὁμοδίαιτος τοῖς ἀνθρώποις γέγονεν, ἵνα τὴν πολύθεον καταλύσας πλάνην, καὶ τὴν ἀληθῆ καταγγείλας θεογνωσίαν, τὴν πρὸς ἀλλήλους ἀγάπην διδάξῃ τοὺς ἀνθρώπους, καθὼς Ἰωάννης μαρτυρεῖ λέγων· «Οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον». Ὑπὸ ταύτης ἐκκαιόμενος ὁ Παῦλος τὴν οὐράνιον ἀφῆκε φωνήν· «Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;», λέγων· «θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ κίνδυνος ἢ μάχαιρα;».

Καταφρονήσας δὲ τούτων ὡς εὐτελῶν, καὶ τὰ πολλῷ τούτων μείζονα τέθεικε· φησὶ γάρ, «Ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν». Ἐντεῦθεν οὐδὲν ἠδύνατο χωρίσαι τὸν μακάριον ἐκεῖνον ὑπὸ τῆς ἀγάπης πυρπολούμενον, οὐκ οὐρανός, οὐ γῆ, οὐ θάλασ-

---

6. Ἐξ. 20, 13-16.
7. Λευϊτ. 19, 18. Γαλ. 5, 14.
8. Ἰω. 3, 16.
9. Ρωμ. 8, 35.
10. Ρωμ. 8, 38-39.

ἐγνώριζεν καλῶς, καθ' ὅτι ἦτο γεωργὸς τῶν ἐντολῶν τοῦ Θεοῦ, ὅτι ἂν ἡ ἀγάπη εἶναι ριζωμένη στερεά, βλαστάνει ὁ καρπὸς ὅλων τῶν ἀγαθῶν. Διότι τὸ «νὰ μὴ μοιχεύσῃς, νὰ μὴ φονεύσῃς, νὰ μὴ κλέψῃς, νὰ μὴ ψευδομαρτυρήσῃς»[6] καὶ ὁποιαδήποτε ἄλλη ἐντολὴ συγκεφαλαιοῦνται εἰς αὐτὸν τὸν λόγον, εἰς τὴν ἐντολὴν «Θὰ ἀγαπήσῃς τὸν πλησίον σου ὅπως τὸν ἑαυτόν σου»[7].

Καὶ διατί πρέπει νὰ ὁμιλῶ διὰ τὰ μικρὰ καὶ νὰ σιωπῶ διὰ τὰ μεγάλα; Ἀπὸ ἀγάπην ἦλθε πρὸς ἡμᾶς ὁ ἀγαπητὸς Υἱὸς τοῦ Θεοῦ καὶ ἔγινεν ὁμόσκηνος καὶ ὁμοδίαιτος μὲ τοὺς ἀνθρώπους, ὥστε ἀφοῦ καταργήσῃ τὴν πολύθεον πλάνην καὶ δείξῃ τὴν ἀληθῆ θεογνωσίαν, νὰ διδάξῃ τὴν ἀγάπην ποὺ πρέπει νὰ ἔχουν μεταξύ των οἱ ἄνθρωποι, καθὼς μαρτυρεῖ ὁ Ἰωάννης λέγων· «διότι τόσον πολὺ ἠγάπησεν ὁ Θεὸς τὸν βυθισμένον εἰς τὴν ἁμαρτίαν κόσμον, ὥστε παρέδωκεν εἰς σταυρικὸν θάνατον τὸν μονογενῆ Υἱόν του, διὰ νὰ μὴ καταδικασθῇ εἰς τὴν αἰωνίαν ἀπώλειαν κάθε ἕνας ποὺ θὰ πιστεύῃ εἰς αὐτόν, ἀλλὰ νὰ ἔχῃ ζωὴν αἰώνιον»[8]. Ἀπὸ αὐτὴν κατακαιόμενος ὁ Παῦλος ἄφησε τὴν οὐράνιον φωνὴν ποὺ ἔλεγε· «Ποῖος θὰ ἠμπορέσῃ νὰ μᾶς χωρίσῃ ἀπὸ τὴν ἀγάπην τοῦ Χριστοῦ; Θλῖψις ἢ ἐσωτερικὴ στενοχωρία ἢ διωγμὸς ἐκ μέρους τῶν ἀπίστων ἢ πεῖνα ἢ γυμνότης ἢ οἱοσδήποτε κίνδυνος ἢ μάχαιρα, ποὺ νὰ μᾶς ἀπειλῇ μὲ σφαγήν;»[9].

Ἀφοῦ κατεφρόνησεν ὅλα αὐτὰ ὡς εὐτελῆ ἐπρόσθεσε τὰ κατὰ πολὺ μεγαλύτερα ἀπὸ αὐτά· διότι λέγει «οὔτε ὁ θάνατος μὲ τὸν ὁποῖον μᾶς ἀπειλοῦν, οὔτε αἱ τέρψεις καὶ ἀπολαύσεις τῆς ζωῆς, οὔτε αἱ περιστάσεις καὶ τὰ γεγονότα τοῦ παρόντος, οὔτε τὰ μελλοντικὰ γεγονότα, οὔτε ὕψος δόξης, οὔτε βάθος ταπεινώσεως καὶ περιφρονήσεως, οὔτε καμμία ἄλλη κτίσις διαφορετικὴ ἀπὸ αὐτὴν ποὺ βλέπομεν, θὰ ἠμπορέσῃ ποτὲ νὰ μᾶς χωρίσῃ ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ, ὅπως μᾶς τὴν ἐφανέρωσεν ὁ ἴδιος διὰ μέσου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»[10]. Δὲν ἠμποροῦσε τίποτε νὰ χωρίσῃ τὸν μακάριον ἐκεῖνον ὁ ὁποῖος ἐπυρπολεῖτο ὑπὸ τῆς ἀγά-

σα, οὐ τὰ ἐν τοῖς οὐρανοῖς βασίλεια, οὐ τὰ ἐν ᾅδου κολαστήρια· πάντων γὰρ ὑπερεώρα διὰ τὸν Χριστόν. Εἰ δὲ καὶ τοὺς ἄλλους ἐξετάσαιμεν ἁγίους, πάντας εὑρήσομεν δι᾿ ἀγάπην εὐαρεστήσαντας.

2. Ἡ ἀγάπη δείκνυσί σοι τὸν πλησίον ὡς σεαυτόν, καὶ χαίρειν σε διδάσκει ἐπὶ τοῖς ἐκείνου καλοῖς, ὥσπερ ἐπὶ τοῖς σοῖς, καὶ φέρειν αὐτοῦ τὰ ἐλαττώματα, ὥσπερ καὶ τὰ σά. Ἡ ἀγάπη ἓν σῶμα τοῖς πολλοῖς ἀπεργάζεται, καὶ Πνεύματος ἁγίου δοχεῖα τὰς τούτων κατασκευάζει ψυχάς· οὐ γὰρ διῃρημένοις ἀλλήλων, ἡνωμένοις δὲ κατὰ ψυχὴν τὸ τῆς εἰρήνης ἐπαναπαύσεται Πνεῦμα. Ἡ ἀγάπη κοινὰ ποιεῖ πᾶσι τὰ ἑκάστου ὑπάρχοντα, καθώς φησιν ἡ βίβλος τῶν Πράξεων· «Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία· καὶ οὐδείς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ᾿ ἦν αὐτοῖς ἅπαντα κοινά· καὶ διεδίδοτο ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχε».

Ποῖον οὕτω τεῖχος ἀρραγές, ἁρμονίᾳ λίθων εὐμεγεθῶν ὠχυρωμένον, ἀπόρθητον γίνεται ταῖς τῶν ἐχθρῶν ἐφόδοις, ὡς τὸ σύστημα τῶν ἀλλήλους ἀγαπώντων, καὶ ἐν ὁμοφροσύνῃ περιεσφιγμένων; Καὶ αὐτὰς τοῦ διαβόλου προσβολὰς ἀποκρούεται· καὶ μάλα εἰκότως. Οἱ γὰρ μετ᾿ ἀλλήλων κατ᾿ ἐκείνου παραταssόμενοι, καὶ μὴ μετ᾿ ἐκείνου κατ᾿ ἀλλήλων ἱστάμενοι, ἀήττητοι γίνονται τοῖς αὐτοῦ μηχανήμασι, τὰ λαμπρὰ τῆς ἀγάπης ἐγείροντες τρόπαια. Καὶ καθάπερ αἱ τῆς λύρας νευραί, πολλαὶ μὲν οὖσαι, εἰς μίαν δὲ νεύουσαι συμφωνίαν, τερπνότατόν τι μέλος ἠχοῦσιν· οὕτως οἱ πρὸς

---

11. Πράξ. 32, 35.

πης, οὔτε ὁ οὐρανός, οὔτε ἡ γῆ, οὔτε ἡ θάλασσα, οὔτε τὰ βασίλεια τὰ εἰς τοὺς οὐρανοὺς εὑρισκόμενα, οὔτε τὰ κολαστήρια τὰ εὑρισκόμενα εἰς τὸν Ἅδην, διότι ὅλα αὐτὰ τὰ παρέβλεπε χάριν τοῦ Χριστοῦ. Ἂν δὲ θέλωμεν νὰ ἐξετάσωμεν καὶ τοὺς ἄλλους ἁγίους θὰ τοὺς εὕρωμεν νὰ εἶναι εὐάρεστοι εἰς τὸν Θεὸν ἐξ αἰτίας τῆς ἀγάπης των.

2. Ἡ ἀγάπη σοῦ παρουσιάζει τὸν πλησίον ὅπως τὸν ἑαυτόν σου, καὶ σὲ διδάσκει νὰ χαίρεσαι διὰ τὰ καλὰ ἐκείνου, ὅπως ἀκριβῶς διὰ τὰ ἰδικά σου, καὶ νὰ ἀνέχεσαι τὰ ἐλαττώματά του, ὅπως τὰ ἰδικά σου. Ἡ ἀγάπη κάμει τοὺς πολλοὺς ὡσὰν νὰ ἔχουν ἕνα σῶμα καὶ τὰς ψυχὰς αὐτῶν δοχεῖα τοῦ ἁγίου Πνεύματος, διότι ὄχι εἰς αὐτοὺς ποὺ εἶναι διῃρημένοι μεταξύ τους, ἀλλὰ εἰς τοὺς ἡνωμένους κατὰ τὴν ψυχὴν ἐπαναπαύεται τὸ Πνεῦμα τῆς εἰρήνης. Ἡ ἀγάπη κάμνει κοινὰ εἰς ὅλους τὰ ὑπάρχοντα τοῦ καθενός, ὅπως λέγει τὸ βιβλίο τῶν Πράξεων· «Ὅλο δὲ ἐκεῖνο τὸ πλῆθος τῶν πιστῶν εἶχε μίαν καρδίαν καὶ μίαν ψυχήν, ὥστε νὰ ἀποτελοῦν μίαν ἁρμονικὴν καὶ πνευματικὴν κοινωνίαν· καὶ κανεὶς δὲν ἔλεγεν ὅτι καὶ τὸ ἐλάχιστον ἀπὸ τὰ ὑπάρχοντά του εἶναι ἰδικόν του, ἀλλὰ ἦσαν τὰ πάντα εἰς αὐτοὺς κοινὰ καὶ διετίθεντο διὰ τὴν ἐξυπηρέτησιν ὅλων· ἐμοιράζετο δὲ κατόπιν αὐτὸ τὸ χρῆμα εἰς τὸν καθένα ἀνάλογα μὲ τὴν ἀνάγκην ποὺ εἶχε»[11].

Ποῖον τεῖχος εἶναι τόσον συμπαγὲς ὠχυρωμένον διὰ τῆς μεταξύ των συνδέσεως τῶν μεγάλων λίθων, τὸ ὁποῖον εἶναι ἀπόρθητον εἰς τὰς ἐφόδους τῶν ἐχθρῶν, ὅσον τὸ σύνολον τῶν ἀνθρώπων ποὺ ἀγαπῶνται μεταξύ τους καὶ εἶναι δεμένοι μεταξύ τους διὰ τῆς ὁμονοίας; Καὶ ἀποκρούονται αἱ ἐπιθέσεις τοῦ διαβόλου· καὶ πολὺ εὐλόγως· Διότι αὐτοὶ ποὺ παρατάσσονται ἐναντίον ἐκείνου ἀπὸ κοινοῦ καὶ δὲν ἵστανται εἰς τὸ πλευρὸν ἐκείνου ἐναντίον ἀλλήλων, γίνονται ἀήττητοι εἰς τὰς διαβολὰς ἐκείνου, ἐγείροντες τὰ λαμπρὰ τρόπαια τῆς ἀγάπης. Καὶ ὅπως ἀκριβῶς αἱ χορδαὶ τῆς λύρας, ἐνῷ εἶναι πολλαὶ καταλήγουν εἰς μίαν ἁρμονίαν καὶ κάμνουν κάποιαν μελῳδίαν εὐχάριστον, ἔτσι ἀκριβῶς καὶ

μίαν συγκεκραμένοι γνώμην, εὔηχον ἀνακρούονται τῆς ἀγάπης τὸν φθόγγον. Διὰ τοῦτο συμβουλεύει ὁ Παῦλος τὸ αὐτὸ φρονεῖν, καὶ λέγειν, καὶ ἀλλήλους ἡγεῖσθαι ὑπερέχοντας ἑαυτῶν, ὥστε μὴ τῇ φιλοτιμίᾳ διαλύεσθαι τὴν ἀγάπην, ἀλλὰ τὴν τιμὴν ἀντιπαραχωροῦντας ἀλλήλοις, ἐν ὁμονοίᾳ διάγειν.

Καὶ πάλιν φησί· «Δι' ἀγάπης δουλεύετε ἀλλήλοις. Ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ λόγῳ πληροῦται, ἐν τῷ, Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν». Ὁ ἀγαπῶν οὐκ ἐπιτάττειν βούλεται μόνον, ἀλλὰ καὶ ἐπιτάττεσθαι· καὶ χαίρει μᾶλλον ἐπιταττόμενος, ἤπερ ἐπιτάττων. Ὁ ἀγαπῶν χαρίζεσθαι βούλεται μᾶλλον, ἢ χάριν λαμβάνειν· θέλει γὰρ ὀφειλέτην ἔχειν τὸν φίλον, ἤπερ αὐτὸς ὀφείλειν ἐκείνῳ. Ὁ ἀγαπῶν καὶ βούλεται χαρίζεσθαι τῷ ἀγαπωμένῳ, καὶ οὐ βούλεται δοκεῖν χαρίζεσθαι, καὶ ἄρχειν αὐτὸς εὐεργεσίας, καὶ μὴ δοκεῖν ἄρχειν εὐεργεσίας. Τάχα τινὲς ἀγνοοῦσι τὸ λεχθέν· οὐκοῦν δι' ὑποδείγματος αὐτὸ ποιήσω σαφές.

Ἔμελλεν ὁ φιλάνθρωπος Δεσπότης τὸν Υἱὸν αὐτοῦ χαρίζεσθαι ὑπὲρ ἡμῶν· ἀλλ' ἵνα μὴ δόξῃ χαρίζεσθαι, ἀλλ' ὀφειλὴν ἀποδιδόναι, προσέταξε τῷ Ἀβραὰμ δοῦναι τὸν υἱὸν αὐτοῦ, ἵνα τοῦτο καὶ αὐτὸς ποιῶν, μὴ ὡς χάριν διδούς, ἀλλ' ὡς χρέος ἀποδιδοὺς εὑρεθῇ διὰ τὸν ὑπερβάλλοντα πλοῦτον τῆς αὐτοῦ ἀγαθότητος. Οἶδα ὅτι ξένον φαίνεται τοῖς πολλοῖς τὸ λεχθέν. Τὸ δὲ αἴτιον, ὅτι περὶ πράγματος διαλέγομαι τὸν οὐρανὸν οἰκοῦντος νῦν. Ὥσπερ γὰρ εἰ ἔλεγον περί τινος φυτοῦ ἐν Ἰνδίᾳ τικτομένου, καὶ οὗ μηδεὶς πεῖραν ἔλαβεν, οὐκ ἂν ἴσχυσεν ὁ λόγος παραστῆσαι, κἂν μυρία περὶ αὐτοῦ

12. Πρβλ. Φιλιπ. 3, 16 καὶ 2. 3.
13. Γαλ. 5, 13-14. Λευΐτ. 19, 18.

αὐτοὶ ποὺ εἶναι συνηνωμένοι εἰς μίαν γνώμην, κάμουν νὰ ἠχῇ καλῶς ἡ μελωδία τῆς ἀγάπης. Διὰ τοῦτο συμβουλεύει ὁ Παῦλος νὰ ἔχωμεν τὴν αὐτὴν σκέψιν καὶ τὴν αὐτὴν γνώμην καὶ νὰ θεωροῦμεν ὁ ἕνας τὸν ἄλλον ὅτι ὑπερέχει ἀπὸ ἡμᾶς, ὥστε νὰ μὴ χαθῇ ἡ ἀγάπη ἐξ αἰτίας τῆς ἀντιζηλίας μας, ἀλλὰ νὰ παραχωροῦμεν ὁ ἕνας εἰς τὸν ἄλλον τὴν τιμὴν ποὺ μᾶς γίνεται, καὶ νὰ ζῶμεν μὲ ὁμόνοιαν[12].

Καὶ πάλιν λέγει· «Πρέπει νὰ ὑπηρετῆτε σὰν δοῦλοι ὁ ἕνας τὸν ἄλλον διὰ τῆς ἀγάπης τοῦ Χριστοῦ. Διότι ὅλος ὁ Νόμος συγκεφαλαιώνεται πλήρως εἰς ἕνα λόγον· εἰς τὴν ἐντολήν· θὰ ἀγαπήσῃς τὸν πλησίον σου, ὅπως τὸν ἑαυτόν σου»[13]. Αὐτὸς ποὺ ἀγαπᾷ δὲν θέλει νὰ διατάσσῃ μόνον, ἀλλὰ καὶ νὰ διατάσσεται· καὶ χαίρεται περισσότερον ὅταν διατάσσεται, παρὰ ὅταν διατάσσῃ. Αὐτὸς ποὺ ἀγαπᾷ ἐπιθυμεῖ νὰ χαρίζῃ εἰς τοὺς ἄλλους παρὰ νὰ λαμβάνῃ ὁ ἴδιος χάριν· διότι θέλει νὰ ἔχῃ ὀφειλέτην τὸν φίλον παρὰ νὰ ὀφείλῃ αὐτὸς εἰς ἐκεῖνον. Αὐτὸς ποὺ ἀγαπᾷ καὶ θέλει νὰ χαρίζῃ εἰς τὸν ἀγαπώμενον, καὶ δὲν θέλει νὰ φαίνεται ὅτι χαρίζει, καὶ ἀρχίζει αὐτὸς τὰς εὐεργεσίας καὶ δὲν φαίνεται ὅτι ἀρχίζει τὰς εὐεργεσίας. Ἴσως μερικοὶ νὰ μὴ ἀντιλαμβάνωνται αὐτὸ ποὺ λέγω· διὰ τοῦτο θὰ τὸ κάμω σαφὲς διὰ παραδείγματος.

Ἐπρόκειτο ὁ φιλάνθρωπος Δεσπότης νὰ δώσῃ τὸν Υἱὸν αὐτοῦ ὑπὲρ ἡμῶν· ἀλλὰ διὰ νὰ μὴ φανῇ ὅτι κάμνει χάριν ἀλλὰ ὅτι ἀποδίδει ὀφειλήν, ἐπρόσταξεν εἰς τὸν Ἀβραὰμ νὰ τοῦ δώσῃ τὸν υἱόν του, ὥστε, πράττων καὶ αὐτὸς τὸ ἴδιον, νὰ μὴ φανῇ ὅτι δίδει τὸν υἱόν του ὡς χάριν πρὸς ἡμᾶς, ἀλλὰ ὅτι ἀποδίδει κάποιο χρέος διὰ τὸν ὑπερέχοντα πλοῦτον τῆς ἀγαθότητός του. Γνωρίζω ὅτι αὐτὸ ποὺ ἐλέχθη φαίνεται παράξενον εἰς τοὺς πολλούς. Ἡ δὲ αἰτία εἶναι τὸ ὅτι σᾶς ὁμιλῶ περὶ πράγματος ποὺ τώρα κατοικεῖ εἰς τὸν οὐρανόν. Διότι ὅπως ἐὰν ὡμιλοῦσα διὰ κάποιο φυτὸν ποὺ φύεται εἰς τὴν Ἰνδίαν καὶ τὸ ὁποῖον κανεὶς δὲν ἐγνώρισεν, δὲν θὰ ἠμποροῦσε νὰ τὸ παρουσιάσῃ ὁ λόγος, ἀκόμα καὶ ἂν ἀνέφερα ἀναρίθμητα λόγια περὶ αὐτοῦ, ἔτσι καὶ τώρα

ἔλεγον· οὕτω καὶ νῦν ὅσα ἂν εἴπω, μάτην ἐρῶ· οὐ γὰρ συνιοῦσί τινες τὰ λεγόμενα. Ἐν οὐρανῷ γάρ, ὡς ἔφην, τοῦτο πεφύτευται τὸ φυτόν. Ἀλλ' ἐὰν θέλωμεν, καὶ παρ' ἡμῖν αὐτὸ φυτευθῆναι δυνατόν. Διὰ τοῦτο γὰρ ἐδιδάχθημεν λέγειν πρὸς τὸν ἐν οὐρανοῖς Πατέρα· «Γενηθήτω τὸ θέλημά σου ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς».

3. Μὴ τοίνυν ἀδύνατον εἶναι νομίσωμεν τὸ τοιοῦτον ἀγαθὸν κτήσασθαι. Δυνατὸν γάρ, ὄντως δυνατόν, εἴ γε βουλόμεθα νήφειν· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ πᾶσαν κατορθῶσαι τὴν ἀρετήν. Αὐτεξουσίῳ γὰρ προαιρέσει κυβερνώμεθα, καὶ οὐχ εἱμαρμένης ἀνάγκῃ, κατά τινας, ὑποκείμεθα, ἐν τῷ θέλειν καὶ μὴ θέλειν ὁριζόμενοι καὶ τὰ καλὰ κεῖσθαι καὶ τὰ κακά. Διὰ τοῦτο γὰρ ὁ Θεὸς καὶ βασιλείαν ὑπέσχετο, καὶ τιμωρίαν ἠπείλησεν. Οὐκ ἂν δὲ τοῖς ἀνάγκῃ δεδεμένοις οὕτως ἐποίησε· τῶν γὰρ ἀπὸ γνώμης γινομένων ἀντίδοσίς ἐστιν ἑκατέρων. Οὐκ ἂν νόμους ἔθηκεν, οὐκ ἂν παραινέσεις ἔδωκεν, εἰ δεσμοῖς εἱμαρμένης κεκρατημένοι ἦμεν. Ἀλλ' ἐπειδὴ ἐλεύθεροί ἐσμεν, καὶ τῆς ἰδίας προαιρέσεως κύριοι, καὶ ἀπὸ μὲν ῥᾳθυμίας γινόμεθα φαῦλοι, ἀπὸ δὲ σπουδῆς χρηστοί, διὰ τοῦτο ταῦτα κατεσκεύασε τὰ φάρμακα, τῷ φόβῳ τῆς κολάσεως καὶ τῇ προσδοκίᾳ τῆς βασιλείας διορθούμενος ἡμᾶς, καὶ φιλοσοφεῖν παιδεύων.

Οὐκ ἐκ τούτων δὲ μόνον, ἀλλὰ καὶ ἐξ ὧν ἡμεῖς αὐτοὶ ποιοῦμεν, δῆλον ὅτι οὔτε εἱμαρμένη, οὔτε τύχη, οὔτε γένεσις, οὔτε δρόμος ἀστέρων τὰ καθ' ἡμᾶς διοικεῖ. Εἰ γὰρ ἐ-

14. Ματθ. 6, 10.

ὅσα καὶ ἂν εἰπῶ θὰ τὰ εἰπῶ ἀδίκως, διότι δὲν θὰ ἀντιληφθοῦν μερικοὶ αὐτὰ ποὺ θὰ λεχθοῦν. Διότι εἰς τὸν οὐρανόν, καθὼς εἶπα, ἔχει φυτευθῆ τὸ φυτὸν αὐτό. Ἀλλ' ἐὰν θέλωμεν, εἶναι δυνατὸν νὰ φυτευθῇ αὐτὸ καὶ εἰς ἡμᾶς. Διὰ τοῦτο ἐδιδάχθημεν νὰ λέγωμεν πρὸς τὸν οὐράνιον Πατέρα· «Ἂς ἐκτελῆται τὸ θέλημά σου εἰς τὴν γῆν ἀπὸ τοὺς ἀνθρώπους μὲ ὅσην προθυμίαν καὶ ἀκρίβειαν ἐκτελεῖται τοῦτο εἰς τὸν οὐρανὸν ἀπὸ τοὺς ἀγγέλους»[14].

3. Καὶ ἂς μὴ νομίσωμεν ὅτι εἶναι ἀδύνατον νὰ ἀποκτήσωμεν αὐτὸ τὸ ἀγαθόν. Διότι εἶναι δυνατόν, πράγματι εἶναι δυνατόν, ἐὰν βέβαια θέλωμεν νὰ εἴμεθα σώφρονες· καὶ ὄχι μόνον τοῦτο ἠμποροῦμεν νὰ ἐπιτύχωμεν, ἀλλὰ καὶ κάθε ἄλλην ἀρετήν. Διότι κυβερνώμεθα διὰ τῆς αὐτεξουσίου προαιρέσεώς μας καὶ δὲν εὑρισκόμεθα, ὅπως μερικοὶ πιστεύουν, ὑπὸ τὴν ἐπήρειαν τοῦ πεπρωμένου, ὁριζόμενοι ἀπὸ αὐτὸ εἰς τὸ θέλειν καὶ μὴ θέλειν καὶ κείμενοι εἰς τὰ καλὰ καὶ τὰ κακά. Διὰ τοῦτο ὁ Θεὸς ὑπεσχέθη καὶ τὴν βασιλείαν καὶ ἠπείλησεν μὲ τιμωρίαν. Ὅμως δὲν θὰ τὸ ἔκαμεν αὐτὸ ὁ Θεὸς εἰς ἐκείνους ποὺ εἶναι ὑποχρεωμένοι ἀναγκαστικῶς νὰ ἐνεργοῦν κατὰ ἕνα ὡρισμένον τρόπον· διότι δι' αὐτὰ ποὺ γίνονται καὶ εἶναι ἀποτέλεσμα τῆς ἐλευθέρας βουλήσεως ὑπάρχει διὰ τὸ καθένα ἀντίδοσις. Δὲν θὰ ἔθετε νόμους, δὲν θὰ ἔδιδε συμβουλάς, ἐὰν ἤμεθα φυλακισμένοι εἰς τὰ δεσμὰ τοῦ πεπρωμένου. Ἀλλὰ ἐπειδὴ εἴμεθα ἐλεύθεροι καὶ ἐξουσιάζομεν τῆς ἰδικῆς μας βουλήσεως καὶ ἐξ αἰτίας τῆς ραθυμίας γινόμεθα κακοί, ἐξ αἰτίας δὲ τῆς ἐπαγρυπνήσεως καλοί, διὰ τοῦτο παρεσκεύασεν αὐτὰ τὰ φάρμακα διὰ νὰ μᾶς συνετίσῃ μὲ τὸν φόβον τῆς κολάσεως καὶ μὲ τὴν προσδοκίαν τῆς βασιλείας, καὶ διὰ νὰ μᾶς ἀσκήσῃ εἰς τὴν ἄσκησιν τῆς εὐσεβείας·

Καὶ ὄχι μόνον ἐκ τούτων, ἀλλὰ καὶ ἐξ ὅσων ἡμεῖς οἱ ἴδιοι πράττωμεν ἀποδεικνύεται ὅτι οὔτε τὸ πεπρωμένον, οὔτε ἡ τύχη, οὔτε ἡ ὥρα τῆς γεννήσεως καὶ ἡ κατὰ ταύτην πιστευομένη ἐπίδρασις τῶν ἀστερισμῶν ἐπὶ τοῦ γεννηθέντος, οὔτε αἱ κινήσεις τῶν ἀστέρων διευθύνουν τὴν ἰδικήν

κεῖθεν ἤρτηται τὰ γινόμενα πάντα, καὶ οὐ τῆς προαιρέσεως τῶν ἀνθρώπων, τίνος ἕνεκεν μαστιγοῖς τὴν οἰκέτην κεκλοφότα; τίνος ἕνεκεν μοιχευθεῖσαν τὴν γυναῖκα εἰς δικαστήριον ἕλκεις; τίνος ἕνεκεν αἰσχύνῃ πράττων τὰ ἄτοπα; τίνος ἕνεκεν οὐδὲ τὰ ῥήματα φέρεις ὀνειδιζόμενος, ἀλλ' ἐάν τίς σε καλέσῃ μοιχόν, ἢ πόρνον, ἢ μέθυσον, ἤ τι τοιοῦτον, ὕβριν τὸ πρᾶγμα καλεῖς; Εἰ γὰρ μὴ τῆς σῆς γνώμης τὸ ἁμαρτάνειν, οὔτε ἔγκλημα τὸ γινόμενον, οὔτε ὕβρις τὸ λεγόμενον. Νῦν δὲ καὶ δι' ὧν τοῖς ἁμαρτάνουσιν οὐ συγγινώσκεις, καὶ δι' ὧν αὐτὸς αἰσχύνῃ τὰ κακὰ πράττων, καὶ λανθάνειν σπουδάζεις, καὶ δι' ὧν τοὺς ταῦτά σοι προφέροντας ὑβριστὰς νομίζεις, διὰ πάντων ὁμολογεῖς, ὅτι οὐκ ἀνάγκῃ δέδεται τὰ ἡμέτερα, ἀλλὰ προαιρέσεως ἐλευθερίᾳ τετίμηται.

Τοῖς γοῦν ἀνάγκῃ κατεχομένοις συγγινώσκειν οἴδαμεν. Κἂν ὑπὸ δαίμονός τις ὀχλούμενος, ἢ τὸν χιτῶνα διαρρήξῃ τὸν ἡμέτερον, ἢ πληγὰς ἐπενέγκῃ, οὐ μόνον οὐ κολάζομεν αὐτόν, ἀλλὰ καὶ ἐλεοῦμεν καὶ συγγινώσκομεν. Τί δήποτε; ὅτι οὐχ ἡ τῆς προαιρέσεως ἐλευθερία, ἀλλ' ἡ τοῦ δαίμονος βία ταῦτα εἰργάσατο. Ὥστε εἰ καὶ τὰ ἄλλα ἁμαρτήματα ἀπὸ τῆς ἀνάγκης τῆς κατὰ τὴν εἱμαρμένην ἐγίνετο, συνέγνωμεν ἄν· ἐπειδὴ δὲ ἴσμεν, ὅτι οὐκ ἔστιν ἀνάγκης, διὰ τοῦτο οὐ συγγινώσκομεν, οὔτε δεσπόται οἰκέταις, οὔτε ἄνδρες γυναιξίν, οὔτε γυναῖκες ἀνδράσιν, οὔτε πατέρες παισίν, οὔτε διδάσκαλοι μαθηταῖς, οὔτε ἄρχοντες ἀρχομένοις, ἀλλὰ πικροὶ τῶν τετολμημένων ἐξετασταὶ καὶ τιμωροὶ γινόμεθα, καὶ δικαστήρια καταλαμβάνομεν, καὶ πληγαῖς ὑποβάλλομεν, καὶ ἐπιτιμήσεσι χρώμεθα, καὶ πάντα πράττομεν, ὅπως ἀπαλλά-

μας ζωήν. Διότι ἐὰν ἀπὸ ἐκεῖνα ἐξαρτῶνται ὅλα ὅσα συμβαίνουν καὶ ὄχι ἐξ αἰτίας τῆς βουλήσεως τῶν ἀνθρώπων, διατί τότε μαστιγώνεις τὸν δοῦλον ὁ ὁποῖος ἔχει κλέψει; διατί φέρεις εἰς τὸ δικαστήριον τὴν γυναῖκα ποὺ συνελήφθη μοιχευομένη; διατί ἐντρέπεσαι ὅταν διαπράττῃς ἀνήθικα ἔργα; διατί δὲν ἀνέχεσαι οὔτε τὰ λόγια ὅταν σὲ ὀνειδίζουν, ἀλλ' ἂν κάποιος σὲ ὀνομάσῃ μοιχὸν ἢ πόρνον, ἢ μέθυσον ἢ κάτι ἀπὸ αὐτά, θεωρεῖς ὡς ὕβριν τὸ πρᾶγμα; Διότι ἂν δὲν ἦτο ἡ ἁμαρτία ἀποτέλεσμα τῆς ἐλευθέρας βουλήσεώς σου, δὲν θὰ ἦτο κακὸν αὐτὸ ποὺ ἔγινεν, οὔτε θὰ ἐθεωρεῖτο ὕβρις αὐτὸ ποὺ ἐλέχθη. Τώρα ὅμως καὶ μὲ τὸ νὰ μὴ συγχωρῇς τοὺς ἁμαρτάνοντας, καὶ μὲ τὸ νὰ ἐντρέπεσαι ὅταν διαπράττῃς τὰ κακά, καὶ ἐπιδιώκεις νὰ ξεφύγῃς ἀπὸ τὴν προσοχὴν τῶν ἄλλων, καὶ μὲ τὸ νὰ θεωρῇς ὑβριστὰς αὐτοὺς ποὺ σοῦ εἶπαν τὰ ἀνωτέρω, δι' ὅλων αὐτῶν ὁμολογεῖς ὅτι δὲν εἶναι αἱ ἀνθρώπιναι ἐνέργειαι ἀποτέλεσμα ἀνάγκης, ἀλλὰ ἔχουν τιμηθῇ μὲ τὴν ἐλευθερίαν τῆς βουλήσεως.

Ἐκεῖνοι λοιπὸν οἱ ὁποῖοι διαπράττουν κάτι κατ' ἀνάγκην γνωρίζομεν νὰ τοὺς συγχωροῦμεν. Καὶ ἂν κάποιος, παρακινούμενος ἀπὸ τὸν δαίμονα, σχίσῃ τὸν χειτῶνα μας, ἢ μᾶς προκαλέσῃ κάποιο πλῆγμα, ὄχι μόνον δὲν τὸν τιμωροῦμεν, ἀλλὰ καὶ τὸν ἐλεοῦμεν καὶ τὸν συγχωροῦμεν. Διατί; Διότι δὲν τὰ ἔκαμεν αὐτὰ μὲ τὴν ἐλευθερίαν τῆς θελήσεώς του, ἀλλὰ μὲ τὴν βίαν τοῦ διαβόλου. Ὥστε λοιπὸν ἂν καὶ τὰ ἄλλα ἁμαρτήματα ἐγίνοντο ἀναγκαστικὰ ἐξ αἰτίας τοῦ πεπρωμένου, θὰ τὰ ἐσυγχωρούσαμεν· ἐπειδὴ ὅμως γνωρίζομεν καλῶς ὅτι δὲν γίνονται τὰ ἁμαρτήματα ἀναγκαστικά, διὰ τοῦτο καὶ δὲν συγχωροῦμεν, οὔτε οἱ κύριοι τοὺς δούλους, οὔτε οἱ ἄνδρες τὰς γυναῖκας, οὔτε αἱ γυναῖκες τοὺς ἄνδρας, οὔτε οἱ πατέρες τὰ παιδιά, οὔτε οἱ διδάσκαλοι τοὺς μαθητάς, οὔτε οἱ ἄρχοντες τοὺς ἀρχομένους, ἀλλὰ γινόμεθα αὐστηροὶ ἐξετασταὶ καὶ τιμωροὶ τῶν διαπραχθέντων καὶ εἰς τὰ δικαστήρια φθάνομεν καὶ τιμωρίας ἐπιβάλλομεν καὶ ἐπιπλήξεις χρησιμοποιοῦμεν, καὶ πολλὰ πράττομεν, διὰ νὰ

ξωμεν αὐτοὺς τῶν κακῶν. Τοῖς δὲ παισὶ τοῖς ἡμετέροις καὶ παιδαγωγοὺς ἐφιστῶμεν, καὶ εἰς διδασκάλους πέμπομεν, καὶ ἀπειλὰς προστίθεμεν, καὶ μάστιγας ἐπιτίθεμεν, καὶ πολλὰ ἕτερα βοηθήματα προσάγομεν, ἵνα καλοὶ γένωνται.

Τίς οὖν χρεία πόνων καὶ ἱδρώτων πρὸς τὸ κατορθοῦν ἀρετήν; Εἰ γὰρ εἵμαρταί τινι γενέσθαι καλόν, καὶ καθεύδων ὁ τοιοῦτος καὶ ῥέγχων ἔσται καλός· μᾶλλον δὲ οὐδὲ καλὸν τὸν τοιοῦτον ἔστιν εἰπεῖν, τὸν ἐξ ἀνάγκης τοῦτο γινόμενον. Τίς χρεία πόνων καὶ ἱδρώτων πρὸς τὸ φεύγειν κακίαν; Εἰ γὰρ εἵμαρταί τινι γενέσθαι κακόν, κἂν μυρία ταλαιπωρῇ, κακὸς ἔσται· μᾶλλον δὲ οὐδὲ κακὸν τὸν τοιοῦτον ἔστιν εἰπεῖν, τὸν ὑπ᾽ ἀνάγκης πρὸς τοῦτο ὠθούμενον. Ὥσπερ γὰρ τὸν δαιμονῶντα, κἂν λοιδορῇ, κἂν τύπτῃ (πάλιν γὰρ τῷ αὐτῷ κέχρημαι παραδείγματι), οὐ προσεροῦμεν ὑβριστήν· οὐ γὰρ αὐτῷ λογιζόμεθα τὴν λοιδορίαν, ἀλλὰ τῇ ἀνάγκῃ τοῦ δαίμονος· οὕτω καὶ τὸν κακόν, εἰ ὑπὸ τῆς εἱμαρμένης ὠθεῖται πρὸς τοῦτο, μὴ καλῶμεν αὐτὸν κακόν, ὥσπερ οὐδὲ τὸν καλὸν καλόν. Καὶ γὰρ εἰ τοῦτο δοθείη, πάντα συγχυθήσεται τὰ καθ᾽ ἡμᾶς, καὶ οὔτε ἀρετὴ ἔσται τι, οὔτε κακία, οὐ τέχναι, οὐ νόμοι, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν.

Τίνος δὲ ἕνεκεν σπουδὴν πολλὴν ποιούμεθα νοσοῦντες, καὶ χρήματα δαπανῶμεν, καὶ ἰατροὺς καλοῦμεν, καὶ φάρμακα ἐπιτίθεμεν, καὶ γαστρὸς κατέχομεν, καὶ ἐπιθυμίαν κολάζομεν; Εἰ γὰρ τῆς εἱμαρμένης ἤρτηται καὶ ὑγίεια καὶ νόσος, περιττὰ τῶν χρημάτων τὰ ἀναλώματα, περιττὴ τῶν ἰατρῶν ἡ εἴσοδος, περιττὴ τῆς τῶν νοσούντων διαίτης ἡ ἀκρίβεια. Νῦν δὲ μετὰ τῶν ἄλλων καὶ ἐκ τούτων δηλοῦμεν, ὅτι οὐδὲν

ἀπαλλάξωμεν αὐτοὺς ἀπὸ τὰ κακά. Ἀκόμα εἰς τὰ ἰδικά μας παιδιὰ συνιστῶμεν παιδαγωγούς, τὰ στέλλομεν εἰς διδασκάλους, καὶ ἐπὶ πλέον προσθέτομεν ἀπειλάς, ἐπιφέρομεν καὶ μαστιγώματα, καὶ πολλὰ ἄλλα βοηθήματα χρησιμοποιοῦμεν διὰ νὰ γίνουν καλά.

Διατί λοιπὸν χρειάζονται τὰ βάσανα καὶ οἱ κόποι διὰ τὴν ἐπίτευξιν τῆς ἀρετῆς; Διότι ἐὰν εἶναι ὑπὸ τῆς μοίρας ὡρισμένον εἰς κάποιον νὰ γίνῃ καλός, ἀκόμα καὶ ἂν κοιμᾶται καὶ ἂν ροχαλίζῃ θὰ γίνῃ καλός· μᾶλλον δὲ δὲν ἐπιτρέπεται νὰ τὸν ὀνομάσωμεν αὐτὸν καλὸν ποὺ ἐξ ἀνάγκης γίνεται καλός. Διατί χρειάζονται τὰ βάσανα καὶ οἱ κόποι διὰ νὰ ἀποφεύγωμεν τὴν κακίαν; Διότι ἂν εἶναι ὑπὸ τῆς μοίρας ὡρισμένον εἰς κάποιον νὰ γίνῃ κακός, ἀκόμα καὶ ἂν κοπιάσῃ πολύ, θὰ γίνῃ κακός· μᾶλλον δὲ δὲν ἐπιτρέπεται νὰ τὸν ὀνομάσωμεν κακὸν αὐτὸν ποὺ ἐξ ἀνάγκης ὠθεῖται πρὸς αὐτό. Διότι ὅπως αὐτὸς ποὺ εὑρίσκεται ὑπὸ τὴν ἐπίδρασιν τοῦ δαίμονος καὶ ἂν ἀκόμα μᾶς λοιδορῇ καὶ ἂν μᾶς κτυπᾷ (διότι πάλιν θὰ χρησιμοποιήσω τὸ ἴδιον παράδειγμα) δὲν θὰ τὸν ὀνομάσωμεν ὑβριστήν· διότι δὲν καταλογίζομεν εἰς αὐτὸν τὴν λοιδορίαν ποὺ ὑφιστάμεθα ἀλλὰ εἰς τὸν δαίμονα ὁ ὁποῖος τὸν ἐκυρίευσεν ἀναγκαστικά· ἔτσι καὶ τὸν κακόν, ἂν ἀπὸ τὴν μοῖραν ὠθῆται πρὸς αὐτό, νὰ μὴ τὸν ὀνομάζωμεν κακόν, ὅπως ἀκριβῶς οὔτε τὸν καλὸν νὰ ὀνομάζωμεν καλόν. Καθ' ὅσον ἐὰν γίνῃ αὐτὸ παραδεκτὸν θὰ ἐπέλθῃ μεγάλη σύγχυσις εἰς ὅλα τὰ ἰδικά μας, καὶ βέβαια οὔτε καμμία ἀρετὴ θὰ ὑπάρχῃ, οὔτε κακία, οὔτε τέχναι, οὔτε νόμοι, οὔτε τίποτε ἄλλο ἀπὸ αὐτά.

Διατί λοιπὸν φροντίζομεν πολὺ τὴν ὑγείαν μας ὅταν ἀσθενοῦμεν, καὶ ἐξοδεύομεν χρήματα, καὶ καλοῦμεν τοὺς ἰατροὺς καὶ λαμβάνομεν φάρμακα, καὶ ἐπιβαλλόμεθα εἰς τὰς ἐπιθυμίας τῆς γαστρὸς καὶ τὰς ἄλλας ἐπιθυμίας δὲν ἱκανοποιοῦμεν; Διότι ἂν ἀπὸ τὴν μοῖραν ἐξαρτᾶται καὶ ἡ ὑγεία καὶ ἡ ἀσθένεια, εἶναι περιττὰ τὰ δαπανώμενα χρήματα, περιττὴ ἡ ἔλευσις τῶν ἰατρῶν, περιττὴ ἡ αὐστηρὰ δίαιτα τῶν νοσούντων. Τώρα δὲ μαζὶ μὲ τὰ ἄλλα καὶ ἀπὸ αὐ-

αὐτῶν περιττόν ἐστιν. Ἀλλ᾽ οἴχεται μὲν ὁ τῆς εἱμαρμένης μῦθος· οὐδεμιᾷ γὰρ ἀνάγκῃ τὰ καθ᾽ ἡμᾶς ὑπόκειται· πάντα δέ, καθὼς ἔφην, ἐλευθερίᾳ τετίμηται προαιρέσεως.

4. Ταῦτ᾽ οὖν εἰδότες, ἀγαπητοί, καὶ τὰ τούτων πλείονα (πολλὰ γὰρ ἔστι καὶ ἄλλα περὶ τούτων εἰπεῖν, ἀλλὰ τοῖς συνετωτέροις ἀρκεῖ ταῦτα), φύγωμεν κακίαν, ἑλώμεθα ἀρετήν, ἵνα δείξωμεν διὰ τῶν πραγμάτων, ὅτι αὐτεξούσιον ἔχομεν πρὸς τὰ δοκοῦντα τὴν γνώμην, ἵνα μὴ καταισχυνθῶμεν ἐν τῇ ἡμέρᾳ τῆς τῶν ἔργων ἀποκαλύψεως. «Τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, καθώς φησιν ὁ Παῦλος, ἵνα κομίσηται ἕκαστος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθόν, εἴτε κακόν». Λάβωμεν, παρακαλῶ, κατὰ νοῦν ἐκεῖνο τὸ δικαστήριον, καὶ νομίσωμεν αὐτὸ παρεῖναι νῦν, καὶ τὸν κριτὴν καθέζεσθαι, καὶ τὰ πάντα ἀνακαλύπτεσθαι, καὶ εἰς μέσον ἄγεσθαι. Οὐ γὰρ ἁπλῶς παραστῆναι δεῖ, ἀλλὰ καὶ φανερωθῆναι ἡμᾶς.

Ἆρα οὐκ ἠρυθριάσατε; ἆρα οὐκ ἐφρίξατε; ἆρα οὐχ αἱρούμεθα πολλάκις ἀποθανεῖν, ἢ ἐπὶ φίλων αἰδεσίμων πταῖσμα κρυπτὸν ἡμῶν φανερωθῆναι; Πῶς οὖν τότε διακειόμεθα, ἐπὶ πάντων ἀγγέλων καὶ πάντων ἀνθρώπων φανερουμένων τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ πρὸ τῶν ὀφθαλμῶν ἡμῶν ἱσταμένων; «Ἐλέγξω σε» γάρ, φησί, «καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου». Εἰ δὲ μήπω τοῦ πράγματος παρόντος, ἀλλὰ καθ᾽ ὑπόθεσιν δοθέντος, καὶ λόγῳ διαγραφέντος, ἀπολλύμεθα ὑπὸ τοῦ συνειδότος, τί ποιήσομεν ὅταν παραγένηται, ὅταν ἡ οἰκουμένη πᾶσα παρῇ, ὅταν ἄγγελοι καὶ ἀρχάγγελοι, ὅταν ἀρχαὶ καὶ ἐξουσίαι, ὅταν σάλπιγγες ἠχῶσιν αἱ συνεχεῖς καὶ ἐπάλληλοι, καὶ ἁρπαγὴ

---

15. Β᾽ Κορ. 5, 10.
16. Ψαλμ. 49, 21.

τὰ δηλώνομεν, ὅτι τίποτε ἀπὸ αὐτὰ δὲν εἶναι περιττόν. Συνεπῶς δὲν ἰσχύει ὁ μῦθος τῆς εἱμαρμένης· διότι δὲν εὑρίσκονται αἱ ἀνθρώπιναι σκέψεις καὶ πράξεις ὑπὸ τὴν ἀναγκαστικὴν ἐπήρειαν τῆς μοίρας, ἀλλὰ ὅλα, καθὼς εἶπα, ἔχουν τιμηθῆ διὰ τῆς ἐλευθερίας τῆς βουλήσεως.

4. Γνωρίζοντες λοιπὸν αὐτὰ ἀγαπητοί, καὶ πολλὰ περισσότερα ἀπὸ αὐτὰ (διότι ἠμπορεῖ νὰ εἰπῇ κανεὶς πολλὰ ἀκόμα περὶ τούτων, ἀλλὰ εἰς τοὺς πλέον συνετοὺς εἶναι ἀρκετὰ αὐτά), νὰ ἀποφεύγωμεν τὴν κακίαν, νὰ προτιμῶμεν τὴν ἀρετήν, διὰ νὰ ἀποδείξωμεν διὰ τῶν πραγμάτων ὅτι ἔχομεν ἐλευθερίαν πρὸς ὅσα ἡ βούλησις θέλει, διὰ νὰ μὴ αἰσθανθῶμεν ἐντροπὴν κατὰ τὴν ἡμέραν τῆς ἀποκαλύψεως τῶν ἔργων μας. Διότι ὅπως λέγει ὁ Παῦλος, «Ὅλοι μας θὰ παρουσιασθῶμεν ὁπωσδήποτε ἐμπρὸς εἰς τὸ βῆμα τοῦ Χριστοῦ, ὁλοφάνεροι καὶ ξέσκεποι, διὰ νὰ ἀποκομίσῃ καὶ ἀπολαύσῃ ὁ καθένας ἀνάλογα μὲ ὅσα ἔπραξεν, εἴτε ἀγαθὰ εἴτε κακά»[15]. Ἂς φέρωμεν, παρακαλῶ, εἰς τὸν νοῦν τὸ δικαστήριον ἐκεῖνο, καὶ ἂς τὸ θεωρήσωμεν ὅτι γίνεται τώρα, καὶ ὅτι ὁ κριτὴς κάθηται εἰς τὴν θέσιν του καὶ τὰ πάντα φανερώνονται καὶ ἔρχονται εἰς τὸ μέσον. Διότι ὄχι μόνον πρέπει νὰ παρευρεθῶμεν, ἀλλὰ καὶ νὰ φανερωθῶμεν.

Μήπως δὲν ἐντράπητε; Μήπως δὲν ἐτρομάξατε; Μήπως δὲν προτιμῶμεν πολλὲς φορὲς νὰ ἀποθάνωμεν, παρὰ νὰ φανερωθῇ ἐνώπιον ἀγαπητῶν φίλων κάποιο κρυφὸν πταῖσμα μας; Πῶς λοιπὸν θὰ εὑρεθῶμεν εἰς αὐτὴν τὴν κατάστασιν ἐνώπιον ὅλων τῶν ἀγγέλων καὶ ὅλων τῶν ἀνθρώπων, ὅταν θὰ φανερωθοῦν τὰ ἁμαρτήματά μας καὶ θὰ στέκωνται πρὸ τῶν ὀφθαλμῶν μας; Διότι λέγει, «Θὰ σὲ ἐλέγξω καὶ θὰ παρουσιάσω ἔμπροσθέν σου τὰς ἁμαρτίας σου»[16]. Ἐὰν δὲ χωρὶς τὸ πρᾶγμα αὐτὸ νὰ εἶναι παρόν, ἀλλ' ἁπλῶς τὸ ὑποθέσαμεν καὶ τὸ περιεγράψαμεν διὰ τοῦ λόγου, ὁδηγούμεθα εἰς τὴν ὑπὸ τῆς συνειδήσεως καταστροφήν, τί θὰ κάμωμεν ὅταν θὰ ἔλθῃ, ὅταν θὰ παρευρίσκεται ὅλη ἡ οἰκουμένη, ὅταν θὰ εἶναι παρόντες ἄγγελοι καὶ ἀρχάγγελοι, ἀρχαὶ καὶ ἐξουσίαι, ὅταν θὰ ἠχοῦν αἱ σάλπιγγες αἱ συνεχεῖς καὶ ἀδιάκοποι, καὶ θὰ γίνῃ ἡ ἁρπαγὴ τῶν δικαίων εἰς

τῶν δικαίων ἐπὶ νεφελῶν, καὶ πολὺς τῶν ἡμαρτηκότων ὁ κλαυθμός; Ποῖος ἄρα φόβος ἕξει τότε τοὺς ἐπὶ τῆς γῆς απομένοντας; «Μία» γάρ, φησίν, «ἁρπάζεται, καὶ μία ἀφίεται· καὶ εἷς παραλαμβάνεται, καὶ εἷς καταλιμπάνεται». Τίς ἔσται ἡ ψυχὴ ἐκείνων, ὅταν τοὺς μὲν ὁρῶσιν ἀπαγομένους μετὰ τιμῆς μεγάλης, ἑαυτοὺς δὲ ἀφιεμένους μετὰ πολλῆς αἰσχύνης; Οὐκ ἔστιν, οὐκ ἔστι, πιστεύσατε, παραστῆσαι λόγῳ τὸ πάθος.

Εἴδετέ ποτε τοὺς ἀπαγομένους ἐπὶ θάνατον; Ποίαν αὐτοῖς νομίζετε εἶναι τὴν ψυχὴν τὴν μέχρι τῆς πύλης ὁδὸν βαδίζουσα; Τί οὐκ ἂν εἵλοντο καὶ ποιῆσαι καὶ παθεῖν, ὥστε ἀπαλλαγῆναι τῆς ἀχλύος ἐκείνης; Ἐγὼ πολλῶν ἤκουσα λεγόντων τῶν φιλανθρωπίᾳ βασιλικῇ μετὰ τὴν ἀπαγωγὴν εἰς τοὐπίσω ἀνακληθέντων, ὅτι οὐδὲ ἀνθρώπους ἑώρων τοὺς ἀνθρώπους, τεθορυβημένης τῆς ψυχῆς καὶ ἐκπεπληγμένης. Καὶ τί λέγω περὶ τῶν ἀπαγομένων; Ὄχλος περιέστηκε τότε, οἱ πλείους οὐκ εἰδότες αὐτούς. Εἴ τις ἑνὸς τότε ἑκάστου τὴν ψυχὴν περιεσκόπησεν, οὐδεὶς οὕτως ὠμός, οὐδεὶς οὕτω θρασύς, οὐδεὶς οὕτω γενναῖος, ὃν οὐ καταπεπτωκυῖαν αὐτὴν ἔχοντα εὕροι καὶ παρειμένην ὑπὸ τοῦ φόβου καὶ τῆς ἀθυμίας. Εἰ δὲ ἑτέρων ἀναιρουμένων οἱ μηδὲν αὐτοῖς κοινωνοῦντες οὕτω διατίθενται ὅταν ἡμεῖς αὐτοὶ τοῖς μείζοσι περιπέσωμεν, τίνες ἄρα ἐσόμεθα, τῆς μὲν ἀρρήτου χαρᾶς ἐκείνης ἀποπεμπόμενοι, εἰς αἰωνίαν δὲ τιμωρίαν παραπεμπόμενοι; Εἰ γὰρ καὶ γέεννα μὴ ἦν, τὸ ἐκ τοσαύτης λαμπρότητος ἀπωσθῆναι, καὶ ἄτιμον ἀναχωρῆσαι, πόση κόλασις;

17. Ματθ. 24, 40.

τὰς νεφέλας καὶ θὰ εἶναι πολὺ μεγάλος ὁ κλαυθμὸς αὐτῶν ποὺ ἡμάρτησαν; Ποῖος φόβος θὰ καταλάβῃ τότε αὐτοὺς ποὺ θὰ ἔχουν ἀπομείνει ἐπάνω εἰς τὴν γῆν; Διότι λέγει· «Μία ἁρπάζεται καὶ μία ἀφήνεται· καὶ ἕνας παραλαμβάνεται ἀπὸ τοὺς ἀγγέλους καὶ ἄλλος ἀφήνεται»[17]. Πῶς θὰ αἰσθάνεται ἡ ψυχὴ ἐκείνων, ὅταν ἄλλους θὰ βλέπουν νὰ παραλαμβάνωνται καὶ νὰ φέρωνται εἰς τὸν οὐρανὸν μὲ μεγάλην τιμήν, τοὺς ἑαυτούς των δὲ νὰ παραμένουν ἐδῶ μὲ μεγάλην ἐντροπήν; Δὲν εἶναι δυνατόν, πιστεύσατε, δὲν εἶναι δυνατὸν νὰ παρουσιάσω τὸ πάθος αὐτὸ μὲ τὸν λόγον.

Παρατηρήσατε ποτὲ αὐτοὺς ποὺ ὁδηγοῦνται πρὸς τὸν θάνατον; Ποία νομίζετε ὅτι εἶναι ἡ κατάστασις τῆς ψυχῆς των, ἐνῷ βαδίζει τὴν ὁδὸν μέχρι τῆς πύλης; Τί δὲν θὰ προτιμοῦσαν καὶ νὰ πράξουν καὶ νὰ πάθουν, ὥστε νὰ ἀπαλλαγοῦν ἀπὸ τὸ σκότος ἐκεῖνο; Ἐγὼ ἤκουσα πολλοὺς ἀπὸ αὐτοὺς ποὺ ἀνεκλήθησαν ὀπίσω ἐξ αἰτίας τῆς βασιλικῆς φιλανθρωπίας μετὰ τὴν ἀπαγωγήν, ὅτι οὔτε κἂν ὡς ἀνθρώπους ἔβλεπαν τοὺς ἀνθρώπους καὶ ἡ ψυχή των ἦτο ταραγμένη καὶ φοβισμένη. Καὶ διατί ὁμιλῶ περὶ αὐτῶν ποὺ ὁδηγοῦνται εἰς τὸν θάνατον; Πλῆθος ἀνθρώπων ἵσταται τότε γύρω ἀπὸ αὐτοὺς καὶ οἱ περισσότεροι δὲν ἀναγνωρίζονται. Ἐὰν κάποιος τότε ἤθελεν ἐξετάσει τὴν ψυχὴν καθενός, κανεὶς ὅσον σκληρὸς καὶ ἂν εἶναι εἰς τὴν ψυχήν, ὅσον θρασὺς καὶ ἂν εἶναι, ὅσον γενναῖος καὶ ἂν εἶναι, δὲν θὰ εὕρῃ κάποιον ποὺ νὰ μὴ ἔχῃ αὐτὴν εἰς κατάπτωσιν καὶ παραλυμένην ἐξ αἰτίας τοῦ φόβου καὶ τῆς λιποψυχίας. Ἂν δέ, ὅταν ἄλλοι ἀποθνήσκουν, αὐτοὶ οἱ ὁποῖοι εἰς τίποτε δὲν κοινωνοῦν μὲ αὐτοὺς εὑρίσκονται εἰς τοιαύτην διάθεσιν, ὅταν ἐμεῖς οἱ ἴδιοι περιπέσωμεν εἰς τὴν κατάστασιν αὐτὴν πῶς θὰ γίνωμεν ἆρά γε, ὅταν θὰ ἀπομακρυνθῶμεν ἀπὸ τὴν ἀνεκλάλητον ἐκείνην χαρὰν καὶ θὰ παραπεμφθῶμεν εἰς τὴν αἰώνιον τιμωρίαν; Διότι καὶ ἂν ἀκόμη δὲν ὑπῆρχε γέεννα, πόσον μεγάλη τιμωρία εἶναι τὸ νὰ ἀπομακρυνθῶμεν ἀπὸ τόσον μεγάλην λαμπρότητα καὶ νὰ κείμεθα ἀπόμερα περιφρονημένοι;

Καὶ γὰρ εἰ νῦν, βασιλέως εἰσελαύνοντος, θεωροῦντες πολλοί, καὶ τὴν ἑαυτῶν πενίαν ἐννοοῦντες, οὐ τοσαύτην ἀπὸ τῆς θέας λαμβάνουσιν ἡδονήν, ὅσην ἀπὸ τοῦ μηδενὸς μετέχειν τῶν περὶ τὸν βασιλέα, μηδὲ ἐγγὺς εἶναι τοῦ κρατοῦντος, ἀθυμίαν ὑπομένουσι, τί τότε ἔσται; Ἢ μικρὰν εἶναι νομίζετε κόλασιν τὸ μὴ κατατάττεσθαι ἐν ἐκείνῳ τῷ χορῷ; τὸ μὴ καταξιοῦσθαι τῆς ἀποῤῥήτου δόξης; τὸ τῆς πανηγύρεως ἐκείνης καὶ τῶν ἀφράστων ἀγαθῶν πόῤῥω που καὶ μακρὰν ἀπεῤῥῖφθαι; Ὅταν δὲ καὶ σκότος ᾖ, καὶ βρυγμὸς ὀδόντων, καὶ δεσμὰ ἄλυτα, καὶ σκώληξ ἀτελεύτητος, καὶ πῦρ ἄσβεστον καὶ θλῖψις καὶ στενοχωρία, καὶ γλῶσσαι τηγανιζόμεναι, καθάπερ ἡ τοῦ πλουσίου, καὶ ὀλοφυρώμεθα, καὶ μηδεὶς ἀκούῃ, καὶ στένωμεν, καὶ βρύχωμεν ὑπὸ τῶν ἀλγηδόνων, καὶ μηδεὶς προσέχῃ, καὶ πανταχοῦ βλέπωμεν, καὶ μηδαμοῦ μηδεὶς ὁ παραμυθούμενος ᾖ· ποῦ τάξομεν τοὺς ἐν τούτοις ὄντας; τί δὲ ἐκείνων ἀθλιώτερον τῶν ψυχῶν; τί δὲ ἐλεεινότερον;

5. Εἰ δὲ εἰς δεσμωτήριον εἰσιόντες, καὶ τοὺς μὲν αὐχμῶντας ὁρῶντες, τοὺς δὲ σιδηραῖς ἁλύσεσι δεδεμένους, τοὺς δὲ σκότῳ κατακεκλεισμένους, κατακλώμεθα, φρίττομεν, πάντα πράττομεν ὑπὲρ τοῦ μὴ ἐμπεσεῖν εἰς τοιαύτην ἀνάγκην καὶ θλῖψιν, ὅταν ἀπαγώμεθα εἰς αὐτὰ τὰ τῆς γεέννης βασανιστήρια δεδεμένοι, τίνες ἐσόμεθα; τί δὲ πράξομεν; Οὐ γὰρ ἐκ σιδήρου τὰ δεσμὰ ἐκεῖνα, ἀλλ' ἀπὸ πυρός εἰσιν οὐδέποτε σβεννυμένου, οὐδὲ ὁμότιμοί τινες οἱ ἐφεστῶτες ἡμῖν, οὓς καὶ ἐκμειλίξασθαι πολλάκις ἔνι, ἀλλ' ἄγγελοι φοβεροὶ καὶ ἀσυμπαθεῖς, οἷς οὐδὲ ἀντιβλέψαι δυνατόν, σφοδρῶς ὑπὲρ ὧν

Πράγματι, ἐὰν τώρα, ὅταν εἰσέρχεται ὁ βασιλεύς, τὸν βλέπουν πολλοί, καὶ συναισθανόμενοι τὴν πτωχείαν των δὲν ἀπολαμβάνουν τόσην εὐχαρίστησιν ἀπὸ τὴν θέαν, ὅσην ἀπολαμβάνουν αὐτοὶ ποὺ συμμετέχουν εἰς τὴν συνοδείαν τοῦ βασιλέως, καὶ οὔτε εὑρίσκονται πλησίον τοῦ βασιλέως, καὶ παραμένουν εἰς τὴν λύπην των, τί θὰ γίνῃ τότε; Ἢ μήπως νομίζετε ὅτι εἶναι μικρὰ τιμωρία τὸ νὰ μὴ καταταχθῶμεν εἰς ἐκεῖνον τὸν ὅμιλον; τὸ νὰ μὴ καταξιωθῶμεν τῆς ἀνεκφράστου ἐκείνης δόξης; τὸ νὰ ἀπορριφθῶμεν καὶ νὰ ἀπομακρυνθῶμεν ἀπὸ τὴν πανήγυριν ἐκείνην τῶν ἀνεκλαλήτων ἀγαθῶν; Ὅταν μάλιστα θὰ εἶναι καὶ σκότος καὶ τριγμὸς ὀδόντων, καὶ δεσμὰ ἄλυτα, καὶ βασανιστήρια ἀτελεύτητα, καὶ πῦρ ἄσβεστον, καὶ θλῖψις καὶ στενοχωρία, καὶ γλῶσσα ποὺ κολάζεται, ὅπως ἡ γλῶσσα τοῦ πλουσίου, καὶ θὰ κλαίωμεν μετὰ στεναγμῶν καὶ κανεὶς δὲν θὰ ἀκούῃ καὶ θὰ ἀναστενάζωμεν καὶ θὰ σπαράζωμεν ὑπὸ τῶν πόνων καὶ κανεὶς δὲν θὰ μᾶς προσέχῃ, καὶ παντοῦ θὰ προσβλέπωμεν μὲ κάποιαν ἐλπίδα βοηθείας καὶ ἀπὸ πουθενὰ κανεὶς δὲν θὰ μᾶς παρηγορῇ· ποῦ θὰ κατατάξωμεν τοὺς εὑρισκομένους εἰς αὐτά; τί ὑπάρχει ἀθλιώτερον ἀπὸ τὰς ψυχὰς ἐκείνας; τί δὲ ἐλεεινότερον;

5. Ἐὰν λοιπόν, εἰσερχόμενοι εἰς κάποιαν φυλακήν, ἰδοῦμεν ἄλλους μὲν νὰ εὑρίσκωνται εἰς ρακώδη κατάστασιν, ἄλλους δὲ νὰ εἶναι δεμένοι μὲ σιδηρᾶς ἀλυσσίδας, καὶ ἄλλους νὰ εἶναι κλεισμένοι μέσα εἰς σκοτεινοὺς θαλάμους, καταθλιβώμεθα, αἰσθανώμεθα φρίκην, καὶ κάνωμεν τὰ πάντα διὰ νὰ μὴ εὑρεθῶμεν εἰς τοιαύτην κατάστασιν καὶ θλῖψιν, ὅταν θὰ ὁδηγηθῶμεν εἰς αὐτὰ τὰ βασανιστήρια τῆς γεέννης δεμένοι, πῶς θὰ εἴμεθα, τί θὰ πράξωμεν; Διότι τὰ δεσμὰ ἐκεῖνα δὲν εἶναι ἀπὸ σίδηρον, ἀλλὰ εἶναι ἀπὸ φωτιὰν ποὺ οὐδέποτε σβήνει, καὶ οὔτε θὰ ὑπάρχουν συνάνθρωποί μας οἱ ὁποῖοι θὰ μᾶς συμπαραστέκωνται καὶ μὲ τοὺς ὁποίους θὰ συνομιλοῦμεν φιλικά, ἀλλὰ ἄγγελοι φοβεροὶ καὶ ἀσυμπαθεῖς, τοὺς ὁποίους δὲν ἠμποροῦμεν οὔτε νὰ ἀντικρύσωμεν, καὶ οἱ ὁποῖοι θὰ ὀργίζωνται πολὺ δι' ὅσας ὕβρεις

τὸν Δεσπότην ὑβρίσαμεν ὀργιζόμενοι. Οὐκ ἔστι, καθάπερ ἐνταῦθα, τοὺς μὲν ἀργύριον, τοὺς δὲ τροφάς, τοὺς δὲ λόγους εἰσάγοντας παρακλητικοὺς ἰδεῖν καὶ παραμυθίας τυχεῖν, ἀλλὰ πάντα ἐκεῖ ἀσύγγνωστα. Κἂν Νῶε ᾖ κἂν Ἰὼβ κἂν Δανιήλ, καὶ τοὺς οἰκείους ἴδωσι κολαζομένους, οὐ τολμῶσι παραστῆναι καὶ χεῖρα ὀρέξαι. Καὶ γὰρ τὴν ἐκ φύσεως συμπάθειαν ἀναιρεῖσθαι τότε συμβαίνει. Ἐπειδὴ γὰρ εὑρίσκονται δίκαιοι τέκνων καὶ ἁμαρτωλῶν πατέρες, καὶ παῖδες ἀγαθοὶ γονέων πονηρῶν (οὐ γὰρ φύσεώς ἐστιν, ἀλλὰ γνώμης τὰ κακά), ὥστε καθαρὰν αὐτοῖς εἶναι τὴν εὐφροσύνην, καὶ μὴ τῇ τῆς συμπαθείας ἀνάγκῃ κατακλᾶσθαι τοὺς ἀπολαύοντας τῶν ἀγαθῶν ἐκείνων, καὶ ταύτην σβέννυσθαι τότε ἐστί, καὶ αὐτοὺς συναγανακτεῖν τῷ Δεσπότῃ κατὰ τῶν οἰκείων σπλάγχνων. Εἰ γὰρ καὶ νῦν τινες, ὅταν ἴδωσι φαύλους τοὺς αὐτῶν παῖδας, ἀποκηρύττουσι, καὶ τῆς συγγενείας ἀποτέμνουσι, πολλῷ μᾶλλον ἐν τῇ κρίσει τοῦτο γενήσεται.

Τοιγαροῦν μηδεὶς ἐλπιζέτω, χρηστὰ μὴ ἐργασάμενος, τί χρηστόν, κἂν μυρίους ἔχῃ προγόνους δικαίους. «Ἕκαστος γὰρ κομίσεται», φησί, «τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθόν, εἴτε κακόν». Ἀκούσωμεν, παρακαλῶ, καὶ σωφρονῶμεν. Ἂν πῦρ ἔχῃς ἐπιθυμίας πονηρᾶς, ἐννόησον τῆς κολάσεως ἐκείνης τὸ πῦρ, καὶ τοῦτο κατασβεσθὲν οἴχεται. Ἂν βουληθῇς φθέγξασθαί τι τῶν ἀτόπων, ἐννόησον τὸν βρυγμὸν τῶν ὀδόντων, καὶ χαλινὸς ἔσται σοι φόβος. Ἂν ἁρπάσαι θελήσῃς, ἄκουσον τοῦ δικαστοῦ λέγοντος, «Δήσατε αὐτοῦ χεῖρας καὶ πόδας, καὶ βάλετε αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον», καὶ ταύτην ἐκβαλεῖς τὴν ἐπιθυμίαν. Ἂν ὠμὸς καὶ ἀνελεήμων ᾖς, ἀναμνίσθητι τῶν παρθένων ἐκείνων, αἵ, τῶν λαμπάδων αὐτῶν σβεσθεισῶν διὰ τὸ μὴ ἔχειν ἔλαι-

18. Β' Κορ. 5, 10.

ἐμεῖς ἐπροκαλέσαμεν εἰς τὸν Δεσπότην. Ἐκεῖ δὲν συμβαίνει ὅπως ἐδῶ, ὅπου ἄλλοι μὲν μὲ χρήματα, ἄλλοι μὲ τρόφιμα καὶ ἄλλοι μὲ παρηγορητικοὺς λόγους μᾶς παρηγοροῦν, ἀλλὰ ὅλα εἶναι ἀσυγχώρητα. Ἀκόμη καὶ ἂν εἶναι ὁ Νῶε ἢ ὁ Ἰὼβ ἢ ὁ Δανιήλ, καὶ βλέπουν τοὺς οἰκείους των νὰ τιμωροῦνται, δὲν τολμοῦν νὰ συμπαρασταθοῦν καὶ νὰ ἁπλώσουν χεῖρα βοηθείας. Διότι συμβαίνει τότε νὰ μὴ ἰσχύῃ ἡ ἐκ φύσεως συμπάθεια. Διότι εὑρίσκονται δίκαιοι πατέρες ἁμαρτωλῶν τέκνων καὶ ἀγαθοὶ παῖδες πονηρῶν γονέων (διότι τὰ κακὰ δὲν ἐξαρτῶνται ἀπὸ τὴν ἐκ φύσεως συγγένειαν, ἀλλὰ ἀπὸ τὴν διάθεσίν μας), ὥστε ἡ εὐφροσύνη εἰς αὐτοὺς νὰ εἶναι καθαρὰ καὶ νὰ μὴ θλίβωνται αὐτοὶ ποὺ ἀπολαμβάνουν τὰ ἀγαθὰ ἐκεῖνα, ἐξ αἰτίας τῆς ἀναγκαστικῆς συμπαθείας, καὶ θὰ συμβῇ νὰ σβήσῃ τότε αὐτὴ ἡ εὐφροσύνη καὶ νὰ ἀγανακτοῦν μαζὶ μὲ τὸν Δεσπότην ἐναντίον τῶν σπλάχνων των. Διότι ἂν ἀκόμα καὶ τώρα μερικοί, ὅταν ἰδοῦν τὰ παιδιά των νὰ εἶναι φαῦλα, τὰ ἀποκηρύσσουν καὶ τὰ ἀποκόπτουν ἀπὸ τοὺς δεσμοὺς τῆς συγγενείας, πόσον μᾶλλον θὰ γίνῃ τοῦτο εἰς τὴν μέλλουσαν κρίσιν.

Λοιπὸν κανεὶς ἂς μὴ ἐλπίζῃ νὰ ἀπολαύσῃ κάτι καλόν, ἐὰν ὁ ἴδιος δὲν ἔχῃ πράξει ἀγαθά, καὶ ἂς ἔχῃ μυρίους προγόνους δικαίους. Διότι λέγει· «Κάθε ἕνας θὰ ἀποκομίσῃ καὶ θὰ ἀπολαύσῃ ἀνάλογα μὲ ὅσα διὰ τοῦ σώματος ἔπραξεν, εἴτε ἀγαθά, εἴτε κακά»[18]. Ἂς ἀκούσωμεν παρακαλῶ καὶ ἂς γίνωμεν σώφρονες. Ἂν ἔχῃς μέσα σου τὸ πῦρ τῆς πονηρᾶς ἐπιθυμίας, ἐνθυμήσου τὸ πῦρ τῆς κολάσεως ἐκείνης καὶ τότε αὐτὸ θὰ σβησθῇ καὶ θὰ χαθῇ. Ἂν θελήσῃς νὰ ἐκφέρῃς διὰ τοῦ στόματός σου κάτι ἀπὸ τὰ ἀπαράδεκτα, ἐνθυμήσου τὸν τριγμὸν τῶν ὀδόντων καὶ ὁ φόβος θὰ σοῦ γίνῃ φραγμός. Ἂν θελήσῃς νὰ ἁρπάξῃς ἄκουσε τὸν δικαστὴν ποὺ λέγει· «Δέσατέ του πόδια καὶ χέρια, πάρετέ τον καὶ ρίψατέ τον εἰς τὸ πυκνότατον σκότος», καὶ τότε θὰ ἐκδιώξῃς αὐτὴν τὴν ἐπιθυμίαν σου. Ἂν εἶσαι σκληρὸς καὶ ἀνελεήμων, ἐνθυμήσου τὰς παρθένους ἐκείνας αἱ ὁποῖαι, ἐπειδὴ ἔσβησαν αἱ λυχνίαι των ἐξ αἰτίας τοῦ ὅτι δὲν εἶχον ἔλαιον, ἀπεμακρύν-

ον, τοῦ νυμφῶνος ἐξέπεσον, καὶ ταχέως ἔσῃ φιλάνθρωπος. Ἂν μεθύειν καὶ τρυφᾶν ἐπιθυμῇς, ἄκουσον τοῦ πλουσίου λέγοντος, «Πέμψον Λάζαρον», ἵνα ἄκρῳ τῷ δακτύλῳ καταψύξῃ τὴν τηγανιζομένην γλῶσσαν, καὶ οὐ τυγχάνοντος τῆς αἰτήσεως, καὶ ταχέως ἀποστήσῃ τοῦ πάθους. Καὶ τὰ ἄλλα δὲ πάντα τούτῳ κατορθώσεις τῷ τρόπῳ· οὐδὲν γὰρ φορτικὸν ἐπέταξεν ὁ Θεός. Πόθεν οὖν φορτικὰ φαίνεται τὰ ἐπιτάγματα; Ἀπὸ τῆς ῥαθυμίας τῆς ἡμετέρας. Ὥσπερ γάρ, ἐὰν σπουδάζωμεν, καὶ τὰ δοκοῦντα βαρέα κοῦφα ἔσται καὶ ῥᾴδια, οὕτως, ἐὰν ῥαθυμῶμεν, καὶ τὰ φορητὰ φανεῖται δύσκολα ἡμῖν.

Ἅπερ ἅπαντα λογισάμενοι, μὴ τοὺς τρυφῶντας μακαρίζωμεν, ἀλλὰ τὸ τέλος αὐτῶν ἐννοῶμεν. Ἐνταῦθα μὲν γὰρ κόπρος καὶ πολυσαρκία, ἐκεῖ δὲ σκώληξ καὶ πῦρ. Μὴ τοὺς ἁρπάζοντας, ἀλλὰ τί τὸ τέλος αὐτῶν. Ἐνταῦθα φροντίδες καὶ πόνοι, ἐκεῖ δεσμὰ ἄλυτα καὶ σκότος ἐξώτερον. Μὴ τοὺς δόξης ἐρῶντας, ἀλλὰ τί τὸ τέλος αὐτῶν. Ἐνταῦθα δουλεία καὶ εἰρωνεία, ἐκεῖ ζημία πολλὴ καὶ τὸ διηνεκὲς ἐμπυρίζεσθαι. Ἂν οὕτως ἑαυτοῖς διαλεγώμεθα, καὶ ταῦτα καὶ τὰ τοιαῦτα συνεχῶς ἐπᾴδωμεν ταῖς πονηραῖς ἡμῶν ἐπιθυμίαις, ταχέως καὶ κακίαν ἐκφύγωμεν, καὶ ἀρετὴν κατορθώσομεν, καὶ τὸν τῶν παρόντων ἔρωτα σβέσομεν, καὶ τὸν τῶν μελλόντων ἀνάψομεν. Τί γὰρ ἔχει τὰ παρόντα βέβαιον, ἢ τί ξένον καὶ παράδοξον, ὅτι πᾶσαν τὴν σπουδὴν εἰς αὐτὰ ἀναλίσκωμεν; Οὐχὶ τὰ αὐτὰ διαπαντὸς ὁρῶμεν ἀνακυκλούμενα, οἷον ἡμέρα καὶ νύξ, νὺξ καὶ ἡμέρα, χειμὼν καὶ θέρος, θέρος καὶ χειμών, καὶ πλέον οὐδέν; Ἀνάψωμεν τοίνυν τῶν μελλόντων ἀ-

19. Τὸ σκότος τὸ ἔξω τῶν ὁρίων τῆς ὑπὸ τοῦ θείου φωτὸς καταυγαζομένης βασιλείας τοῦ Χριστοῦ.

θησαν τοῦ νυμφῶνος, καὶ θὰ γίνῃς γρήγορα φιλάνθρωπος. Ἂν ἐπιθυμῇς νὰ μεθύῃς καὶ νὰ ζῇς μὲ ἀπολαύσεις, ἄκουσε τὸν πλούσιον ποὺ λέγει, «στεῖλε τὸν Λάζαρον» διὰ νὰ δροσίσῃ μὲ τὸ ἄκρον τοῦ δακτύλου του τὴν κατακαιομένην γλῶσσαν μου καὶ ποὺ δὲν ἱκανοποιεῖται ἡ παράκλησίς του, καὶ γρήγορα θὰ ἀπομακρυνθῇς ἀπὸ τὸ πάθος. Καὶ ὅλα τὰ ἄλλα θὰ τὰ ἐπιτύχῃς μὲ αὐτὸν τὸν τρόπον, διότι τίποτε τὸ ὑπερβολικὸν δὲν ἐπρόσταξεν ὁ Θεός. Ἐξ αἰτίας τίνος φαίνονται τὰ προστάγματα ὅτι εἶναι ἀνυπόφορα; Ἐξ αἰτίας τῆς ἰδικῆς μας ραθυμίας. Διότι, ὅπως ἀκριβῶς ἐὰν εἴμεθα ἐν ἐγρηγόρσει καὶ αὐτὰ ποὺ φαίνονται ὡς ἀνυπόφορα καὶ βαρέα θὰ εἶναι ἐλαφρὰ καὶ εὔκολα, ἔτσι, ἐὰν εἴμεθα ὀκνηροὶ καὶ αὐτὰ ποὺ ἠμποροῦμεν νὰ τὰ ὑποφέρωμεν μᾶς φαίνονται δύσκολα.

Ἀφοῦ σκεφθῶμεν ὅλα αὐτά, ἂς μὴ μακαρίζωμεν αὐτοὺς ποὺ ζοῦν μὲ ἀπολαύσεις, ἀλλὰ νὰ σκεπτώμεθα τὸ τέλος αὐτῶν. Διότι ἐδῶ μὲν κόπρος καὶ παχυσαρκία, ἐκεῖ δὲ σκώληξ καὶ πῦρ. Ἂς μὴ μακαρίζωμεν τοὺς ἁρπάζοντας, ἀλλὰ νὰ σκεπτώμεθα ποῖον εἶναι τὸ τέλος αὐτῶν. Ἐδῶ φροντίδες καὶ κόποι, ἐκεῖ δεσμὰ ἄλυτα καὶ σκότος ἐξώτερον[19]. Ἂς μὴ μακαρίζωμεν αὐτοὺς ποὺ ἠγάπησαν ἐδῶ τὴν δόξαν, ἀλλὰ νὰ σκεπτώμεθα ποῖον εἶναι τὸ τέλος των. Ἐδῶ δουλικότης καὶ ὑποκρισία, ἐκεῖ πολλὴ ζημία καὶ ἡ συνεχὴς κατάφλεξις. Ἂν κατ' αὐτὸν τὸν τρόπον σκεπτώμεθα καὶ ἐπαναλαμβάνομεν συνεχῶς αὐτὰ καὶ τὰ παρόμοια εἰς τὰς πονηράς μας ἐπιθυμίας, συντόμως καὶ τὴν κακίαν θὰ ἀποφύγωμεν καὶ τὴν ἀρετὴν θὰ ἐπιτύχωμεν καὶ τὸν ἔρωτα διὰ τὰς παρούσας ἀπολαύσεις θὰ σβήσωμεν καὶ θὰ ἀνάψωμεν τὸν ἔρωτα διὰ τὰ μέλλοντα ἀγαθά. Διότι τί βέβαιον καὶ μόνιμον ἔχουν τὰ παρόντα ἢ τί ξένον καὶ παράδοξον διὰ νὰ δαπανῶμεν εἰς αὐτὰ ὅλην τὴν φροντίδα μας; Δὲν παρατηροῦμεν συνεχῶς τὰ ἴδια νὰ διαδέχωνται τὸ ἕνα τὸ ἄλλο, ὅπως ἡ ἡμέρα καὶ ἡ νύχτα, ἡ νύχτα καὶ ἡ ἡμέρα, χειμώνας καὶ καλοκαίρι, καλοκαίρι καὶ χειμώνας καὶ τίποτε περισσότερον; Ἂς ἀνάψωμεν λοιπὸν τὸν πόθον διὰ τὰ μέλλοντα

γαθῶν τὸν πόθον. Μεγάλη γὰρ ἀπόκειται δόξα τοῖς δικαίοις, καὶ ἣν οὐκ ἔνι παραστῆσαι λόγῳ. Τὰ γὰρ σώματα μετὰ τὴν ἀνάστασιν ἀπολαβόντες ἄφθαρτα, συνδοξάζονται καὶ συμβασιλεύουσι τῷ Χριστῷ.

6. Τοῦτο δὲ ἡλίκον ἐστίν, ἐντεῦθεν εἰσόμεθα· μᾶλλον δὲ σαφῶς μὲν οὐδαμόθεν εἰσόμεθα· ὥστε δὲ ἀπὸ τῶν παρ' ἡμῖν ἀγαθῶν ἀναχθέντες, μικρὰν γοῦν τινα λάβωμεν ἔννοιαν, ὡς ἂν οἷός τε ὦ, παραστῆσαι πειράσομαι τὸ λεχθέν. Εἰπὲ γάρ μοι, εἴ τίς σε γεγηρακότα καὶ ἐν πενίᾳ ζῶντα ἐπηγγέλετο ποιήσειν ἐξαίφνης νέον, καὶ εἰς αὐτὴν ἄξειν τῆς ἡλικίας τὴν ἀκμήν, καὶ σφόδρα ἰσχυρὸν καὶ ὡραῖον ὑπὲρ πάντας κατασκευάσειν, καὶ βασιλείαν δώσειν τῆς γῆς ἁπάσης ἐπὶ ἔτεσι χιλίοις, βασιλείαν εἰρήνην ἔχουσαν βαθυτάτην, τί οὐκ ἂν ὑπὲρ ταύτης εἵλου τῆς ὑποθέσεως καὶ ποιῆσαι καὶ παθεῖν; Ἰδοὺ τοίνυν, ὁ Χριστὸς οὐχὶ ταῦτα, ἀλλὰ πολλῷ μείζονα τούτων ἐπαγγέλλεται. Οὐ γὰρ ὅσον γήρως καὶ νεότητος τὸ μέσον, τοσοῦτον φθορᾶς καὶ ἀφθαρσίας τὸ διάφορον· οὐδὲ ὅσον βασιλείας καὶ πενίας, τοσοῦτον τῆς δόξης τῆς παρούσης καὶ τῆς μελλούσης, ἀλλ' ὅσον ὀνειράτων καὶ ἀληθείας. Μᾶλλον δὲ οὐδὲν οὐδέπω εἴρηκα· οὐδὲ γάρ ἐστι λόγος ἱκανὸς παραστῆσαι τὸ μέγεθος τῆς διαφορᾶς τῶν ἐσομένων πρὸς τὰ παρόντα. Χρόνου δὲ ἕνεκεν, οὐδὲ ἐννοῆσαι ὅλως ἔστι διαφοράν. Πῶς γὰρ ἄν τις παραβάλοι τοῖς παροῦσι ζωὴν πέρας οὐκ ἔχουσαν; Τῆς δὲ εἰρήνης τοσοῦτο τὸ μέσον, ὅσον εἰρήνης καὶ πολέμου τὸ διάφορον· καὶ τῆς φθορᾶς καὶ τῆς ἀφθαρσίας, ὅσον βώλου πηλίνης ὁ καθαρὸς μαργαρίτης ἀμείνων. Μᾶλλον δέ, ὅσα ἂν εἴπῃ τις, οὐδὲν παραστῆσαι δυνήσεται. Κἂν γὰρ τῷ τῆς ἀκτῖνος παραβάλω φωτὶ τὸ κάλλος τῶν τότε σωμάτων, κἂν ἀστραπῇ τῇ φανοτάτῃ, οὐδὲν οὐ-

ἀγαθά, διότι ἐπιφυλάσσεται μεγάλη δόξα εἰς τοὺς δικαίους, τὴν ὁποίαν δὲν ἠμπορῶ νὰ περιγράψω διὰ τῶν λόγων. Διότι τὰ σώματα μετὰ τὴν ἀνάστασιν ἀφοῦ θὰ τὰ ξαναλάβωμεν ἄφθαρτα, θὰ δοξάζωνται καὶ θὰ βασιλεύουν μαζὶ μὲ τὸν Χριστόν.

6. Τί σημαίνει τοῦτο θὰ τὸ γνωρίσωμεν ἀπὸ αὐτὰ ποὺ συμβαίνουν εἰς τὴν ἐδῶ ζωήν, μᾶλλον δὲ πλήρως ἀπὸ πουθενὰ δὲν θὰ τὸ γνωρίσωμεν· ὥστε, ἀφοῦ ὁδηγηθῶμεν ἀπὸ τὰ παρ' ἡμῖν ἀγαθὰ νὰ σχηματίσωμεν κάποιαν μικρὰν ἰδέαν περὶ αὐτῶν· θὰ προσπαθήσω δέ, ὅσον μοῦ ἐπιτρέπουν οἱ δυνάμεις μου, νὰ ἀναπτύξω τὸ λεχθέν. Διότι εἰπέ μου, ἐὰν κάποιος, σὲ ποὺ ἔχεις γηράσει καὶ ζῇς μέσα εἰς τὴν πτωχείαν, σοῦ ὑπέσχετο ξαφνικὰ νὰ σὲ κάμῃ νέον καὶ νὰ σὲ φέρῃ εἰς αὐτὴν τὴν ἀκμὴν τῆς ἡλικίας καὶ νὰ σὲ κάμῃ πολὺ δυνατὸν καὶ ὡραιότερον ἀπὸ κάθε ἕνα καὶ νὰ σοῦ δώσῃ τὴν βασιλείαν ὅλης τῆς γῆς διὰ χίλια ἔτη, βασιλείαν, ἡ ὁποία θὰ συνοδεύεται ἀπὸ μεγάλην εἰρήνην, τί δὲν θὰ ἐπροτιμοῦσες δι' αὐτὴν τὴν ὑπόθεσιν νὰ κάμῃς καὶ νὰ πάθῃς; Νὰ λοιπόν, ὁ Χριστὸς ὄχι αὐτά, ἀλλὰ πολὺ μεγαλύτερα ἀπὸ αὐτὰ ὑπόσχεται. Διότι δὲν εἶναι τόση ἡ διαφορὰ μεταξὺ τοῦ γήρατος καὶ τῆς νεότητος, ὅση εἶναι μεταξὺ φθορᾶς καὶ ἀφθαρσίας, οὔτε εἶναι τόση ἡ διαφορὰ μεταξὺ βασιλείας καὶ πενίας, ὅση μεταξὺ τῆς παρούσης δόξης καὶ τῆς μελλούσης, ἀλλὰ εἶναι τόση ὅση διαφορὰ ὑπάρχει μεταξὺ ὀνείρων καὶ ἀληθείας. Μᾶλλον δὲ πάλιν τίποτε δὲν εἶπα, διότι δὲν ὑπάρχει λόγος ἱκανὸς νὰ παρουσιάσῃ τὸ μέγεθος τῆς διαφορᾶς αὐτῶν ποὺ θὰ συμβοῦν πρὸς τὰ παρόντα. Διότι πῶς θὰ ἠμποροῦσε νὰ συγκρίνῃ κανεὶς τὰ παρόντα μὲ τὴν ζωὴν ἡ ὁποία δὲν ἔχει τέλος; Τῆς δὲ εἰρήνης ἡ διαφορὰ εἶναι τόσον μεγάλη, ὅση εἶναι ἡ διαφορὰ μεταξὺ εἰρήνης καὶ πολέμου, καὶ τῆς φθορᾶς καὶ τῆς ἀφθαρσίας ἡ διαφορὰ εἶναι ὅση εἶναι καὶ ἡ διαφορὰ ἑνὸς πηλίνου βώλου καὶ ἑνὸς μαργαριταριοῦ. Μᾶλλον δὲ ὅσα καὶ ἂν εἴπῃ κανείς, δὲν θὰ ἠμπορέσῃ νὰ παρουσιάσῃ τίποτε. Διότι καὶ ἂν ἀκόμα παραβάλω τὸ κάλλος τῶν τότε σωμάτων μὲ τὸ φῶς τῆς ἀκτῖνος

δέπω τῆς λαμπρότητος ἐκείνης ἄξιον ἐρῶ. Ὑπὲρ δὴ τούτων πόσα οὐκ ἄξιον προέσθαι χρήματα καὶ σώματα; μᾶλλον δὲ πόσας οὐκ ἄξιον προέσθαι ψυχάς;

Νῦν δέ, εἰ μέν τίς σε εἰς βασίλεια εἰσήγαγε καὶ πάντων παρόντων διαλεχθῆναί σοι τὸν βασιλέα παρεσκεύασε καὶ ὁμοτράπεζον αὐτῷ καὶ ὁμοδίαιτον ἐποίησε, πάντων ἂν ἔφης σαυτὸν εἶναι μακαριώτερον· εἰς δὲ τὸν οὐρανὸν μέλλων ἀναβῆναι καὶ παρ᾽ αὐτὸν ἑστάναι τὸν βασιλέα τῶν ὅλων καὶ τοῖς ἀγγέλοις ἀντιλάμπειν καὶ τῆς ἀπροσίτου δόξης ἀπολαύειν ἐκείνης, ἀμφιβάλλεις εἰ δέοι προέσθαι χρήματα, δέον, εἰ καὶ τὴν ζωὴν αὐτὴν ἀποδύσασθαι ἔδει, σκιρτᾶν καὶ ἀγάλλεσθαι καὶ πτεροῦσθαι ὑπὸ τῆς ἡδονῆς; Σὺ δέ, ἵνα μὲν ἀρχὴν λάβῃς τὴν παρέχουσάν σοι κλοπῶν ἀφορμὰς (οὐ γὰρ κέρδος τὸ τοιοῦτον ἐγὼ καλῶ), καὶ τὰ ὄντα ἐκβάλλεις καὶ τὰ ἑτέρων δανεισάμενος, εἰ δέοι, καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα ὑποθέσθαι οὐ κατοκνεῖς, τῆς δὲ βασιλείας τῶν οὐρανῶν προκειμένης, τῆς οὐδένα διάδοχον ἐχούσης ἀρχῆς, ὀκνεῖς καὶ ἀναδύῃ καὶ πρὸς χρήματα κέχηνας; καὶ οὐκ ἐννοεῖς, ὅτι εἰ τὰ πρὸς ἡμᾶς τοῦ οὐρανοῦ μέρη οὕτω καλὰ καὶ τερπνά, ἡλίκα τὰ ἀνώτατα, καὶ ὁ τοῦ οὐρανοῦ οὐρανός;

Ἀλλ᾽ ἐπειδὴ σωματικοῖς ὀφθαλοῖς ταῦτα ἰδεῖν οὐκ ἔστιν, ἀνάβηθι τῷ λογισμῷ, καὶ ὑπὲρ τὸν οὐρανὸν τοῦτον στάς, ἀνάβλεψον εἰς ἐκεῖνον τὸν ἀνωτέρω τούτου οὐρανόν, εἰς τὸ ὕψος τὸ ἄπειρον, εἰς τὸ φῶς τὸ ἀπρόσιτον, εἰς τοὺς δήμους τῶν ἀγγέλων, εἰς τὰς τάξεις τῶν ἀρχαγγέλων, εἰς

ἀκόμα καὶ ἂν τὸν παραβάλω μὲ τὴν φωτεινοτάτην ἀστραπὴν τίποτε ἀντάξιον τῆς λαμπρότητος ἐκείνης δὲν θὰ εἰπῶ. Ὑπὲρ αὐτῶν πόσα χρήματα καὶ σώματα δὲν ἤξιζε νὰ ἐγκαταλείψωμεν; μᾶλλον δὲ πόσας ζωὰς δὲν ἤξιζε νὰ ἀπαρνηθῶμεν;

Τώρα, ἐὰν μὲν κάποιος σὲ ὁδήγει μέσα εἰς βασιλικὰ ἀνάκτορα καὶ σὲ παρουσίαζε νὰ συνομιλήσῃς μὲ τὸν βασιλέα παρουσίᾳ ὅλων, καὶ σὲ ἔβαζε νὰ παρακαθήσῃς εἰς τὸ ἴδιον τραπέζι καὶ νὰ φάγῃς μαζί του, θὰ ἐθεώρεις τὸν ἑαυτόν σου εὐτυχέστερον ἀπὸ ὅλους τοὺς ἀνθρώπους· ὅταν ὅμως πρόκειται νὰ ἀναβῇς εἰς τὸν οὐρανὸν καὶ νὰ σταθῇς πλησίον τοῦ βασιλέως τῶν ὅλων, καὶ νὰ λάμπῃς ὅπως οἱ ἄγγελοι, καὶ νὰ ἀπολαμβάνῃς τῆς ἀπροσίτου ἐκείνης δόξης, ἀμφιβάλλεις ἐὰν πρέπει νὰ ἐγκαταλείψῃς τὰ χρήματα, ἐνῷ θὰ ἔπρεπε, καὶ ἂν ἀκόμη ἐχρειάζετο καὶ τὴν ζωὴν αὐτὴν νὰ χάσῃς, νὰ πηδᾷς ἀπὸ χαρὰν καὶ νὰ ἀγάλλεσαι καὶ νὰ πετᾷς ἀπὸ εὐχαρίστησιν; Σὺ ὅμως, προκειμένου νὰ εὑρεθῇς εἰς τὴν θέσιν ἐκείνην ποὺ θὰ σοῦ παρέχῃ ἀφορμὰς διὰ κλοπὰς (διότι δὲν τὸ ὀνομάζω αὐτὸ ἐγὼ κέρδος) καὶ αὐτὰ ποὺ ἔχεις τὰ ἀπορρίπτεις, καὶ ἀπὸ ἄλλους δανείζεσαι τὰ ἰδικά των, ἐὰν παραστῇ ἀνάγκη καὶ τὴν γυναῖκα σου καὶ τὰ τέκνα σου δὲν διστάζεις νὰ τὰ βάλλῃς ὡς ὑποθήκην, διὰ τὴν βασιλείαν ὅμως τῶν οὐρανῶν ποὺ εἶναι ἐμπρός σου, τῆς ὁποίας δὲν ὑπάρχει τίποτε ἀνώτερον, διστάζεις καὶ ὑποχωρεῖς, καὶ μένεις μὲ ἀνοικτὸν τὸ στόμα ἐμπρὸς εἰς τὰ χρήματα; καὶ δὲν ἀντιλαμβάνεσαι ὅτι ἐὰν τὰ πρὸς ἡμᾶς μέρη τοῦ οὐρανοῦ εἶναι τόσον καλὰ καὶ εὐχάριστα, πόσον καλύτερα θὰ εἶναι τὰ ἀνώτατα, καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ;

Ἀλλὰ ἐπειδὴ δὲν εἶναι δυνατὸν νὰ τὰ ἰδῇς αὐτὰ μὲ τοὺς σωματικοὺς ὀφθαλμούς, ἀνέβα μὲ τὴν σκέψιν σου καὶ ἀφοῦ σταθῇς ἐπάνω ἀπὸ τὸν οὐρανόν, κοίταξε εἰς ἐκεῖνον τὸν οὐρανὸν ποὺ εὑρίσκεται ἐπάνω εἰς αὐτόν, εἰς τὸ ὕψος τὸ ἄπειρον, εἰς τὸ φῶς τὸ ἀπρόσιτον, εἰς τὰ πλήθη τῶν ἀγγέλων, εἰς τὰς τάξεις τῶν ἀρχαγγέλων εἰς τὰς ἄλλας δυνάμεις

τὰς ἄλλας δυνάμεις τὰς ἀσωμάτους· καὶ πάλιν ἐπιλαβοῦ τῆς παρ' ἡμῖν εἰκόνος, καταβὰς ἄνωθεν καὶ ὑπόγραψόν μοι τὰ περὶ τὸν βασιλέα τὸν ἐπὶ γῆς, οἷον, ἄνδρας χρυσοφοροῦντας, καὶ ζεῦγος λευκῶν ἡμιόνων χρυσῷ καλλωπιζομένων καὶ ὄχημα λιθοκόλλητον, καὶ πέταλα τούτῳ περισειόμενα, καὶ δράκοντας ἐν ἱματίοις σχηματιζομένους σηρικοῖς, καὶ ἀσπίδας χρυσοῦς ἐχούσας ὀφθαλμούς, καὶ ἵππους χρυσοφοροῦντας, καὶ χαλινοὺς χρυσοῦς. Ἀλλ' ὅταν τὸν βασιλέα ἴδωμεν, οὐδὲν τούτων ὁρῶμεν λοιπόν· ἐκεῖνος γὰρ ἡμᾶς ἐπιστρέφει μόνος, καὶ τὰ πορφυρᾶ ἱμάτια, καὶ τὸ διάδημα, καὶ ἡ καθέδρα, καὶ ἡ περόνη, καὶ τὰ ὑποδήματα, καὶ ἡ τῆς ὄψεως λαμπηδών.

Ταῦτα οὖν ἅπαντα συναγαγὼν ἀκριβῶς, ἀπὸ τούτων μετάθες πάλιν ἐπὶ τὰ ἄνω τὸν λογισμόν, καὶ τὴν ἡμέραν ἐννόησον τὴν φοβεράν, καθ' ἣν ὁ Χριστὸς παραγίνεται. Οὐ γὰρ ζεῦγος ἡμιόνων ὄψει τότε, οὐδὲ ὀχήματα χρυσᾶ, οὐδὲ δράκοντας καὶ ἀσπίδας, ἀλλ' ὃ πολλῆς γέμει φρίκης, καὶ τοσαύτην ἐμποιεῖ τὴν ἔκστασιν, ὡς καὶ αὐτὰς ἐκπλαγῆναι τὰς οὐρανίους δυνάμεις· «Αἱ» γὰρ «δυνάμεις τῶν οὐρανῶν», φησί, «σαλευθήσονται». Τότε ἀνοίγεται μὲν ἅπας ὁ οὐρανός, κάτεισι δὲ ὁ μονογενὴς τοῦ Θεοῦ Υἱός, οὐκ εἴκοσι, οὐδὲ ἑκατὸν δορυφορούντων αὐτόν, ἀλλὰ χιλιάδων καὶ μυριάδων ἀγγέλων τε καὶ ἀρχαγγέλων, καὶ πάντα ἔσται φόβου καὶ τρόμου μεστά, τῆς γῆς ἀναρρηγνυμένης, καὶ τῶν πώποτε γενομένων ἀνθρώπων, ἐξ οὗ γέγονεν ὁ Ἀδὰμ μέχρι τῆς ἡμέρας ἐκείνης, ἀπὸ γῆς ἀνισταμένων, καὶ ἁρπαζομένων, αὐτοῦ μετὰ τοσαύτης φαινομένου δόξης, ὥστε τὸν ἥλιον καὶ τὴν

---

20. Ματθ. 24, 29.

τὰς ἀσωμάτους, καὶ ἐν συνεχείᾳ ἀφοῦ κατεβῇς ἀπὸ ἐκεῖ ἐπάνω ἐξέτασε τὴν εἰκόνα ποὺ παρουσιάζουν τὰ ἐδῶ πράγματα καὶ περιέγραψε μου τὰ σχετικὰ μὲ τὸν ἐπίγειον βασιλέα, δηλαδή, τοὺς ἄνδρας ποὺ φοροῦν πολυτελῆ ἐνδύματα καὶ τὸν περιστοιχίζουν, τὸ ζεῦγος τῶν λευκῶν ἀλόγων ποὺ εἶναι στολισμένα διὰ χρυσοῦ, καὶ τὴν ἅμαξαν ποὺ εἶναι κοσμημένη μὲ πολυτίμους λίθους καὶ τὰ διάφορα στολίδια ποὺ κινοῦνται ὁλόγυρα ἀπὸ αὐτὴν καὶ τοὺς δράκοντας ποὺ σχηματίζονται ἐπάνω εἰς τὰ μεταξωτά των ἐνδύματα, καὶ τὰς ἀσπίδας ποὺ ἔχουν ἐπάνω των στολίσματα ὁμοιάζοντα μὲ χρυσοῦς ὀφθαλμούς, καὶ τὰ ἄλογα τὰ στολισμένα μὲ χρυσοποίκιλτα ἐξαρτήματα καὶ τὰ χρυσᾶ χαλινάρια. Μόλις ὅμως ἰδοῦμεν τὸν βασιλέα τίποτε ἀπὸ ὅλα αὐτὰ δὲν βλέπομεν πλέον, διότι ἐκεῖνος μόνον μᾶς προσελκύει καὶ τὰ πορφυρόχροα ἱμάτια, καὶ τὸ στέμμα καὶ ὁ θρόνος καὶ ἡ περόνη καὶ τὰ ὑποδήματα καὶ ἡ λαμπρὰ ἐμφάνισίς του.

Αὐτὰ λοιπὸν ὅλα ἀφοῦ τὰ συγκεντρώσῃς εἰς τὸν νοῦν σου λεπτομερῶς, μετάφερε εἰς τὴν συνέχειαν ἀπὸ αὐτὰ τὴν σκέψιν σου εἰς τὰ οὐράνια καὶ σκέψου τὴν φοβερὰν ἡμέραν τῆς κρίσεως κατὰ τὴν ὁποίαν θὰ ἔλθῃ ὁ Χριστός. Διότι τότε δὲν θὰ ἀντικρύσῃς ζεῦγος ἡμιόνων, οὔτε χρυσᾶς ἁμάξας, οὔτε δράκοντας καὶ ἀσπίδας, ἀλλὰ ἐκεῖνο ποὺ μᾶς γεμίζει πολλὴν φρίκην καὶ μᾶς δημιουργεῖ τόσην ἔκστασιν, ὥστε καὶ αὐταὶ ἀκόμα αἱ οὐράνιαι δυνάμεις νὰ ἐκπλαγοῦν. Διότι λέγει, «αἱ οὐράνιαι δυνάμεις, ποὺ συγκρατοῦν τὴν ἁρμονίαν τοῦ σύμπαντος, θὰ σαλευθοῦν»[20]. Τότε μὲν θὰ ἀνοίξῃ ὅλος ὁ οὐρανὸς καὶ θὰ κατέβῃ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, καὶ δὲν θὰ τὸν περιστοιχίζουν μόνον εἴκοσι καὶ ἑκατόν, ἀλλὰ θὰ περιστοιχίζεται ὑπὸ πλήθους χιλιάδων καὶ μυριάδων ἀγγέλων καὶ ἀρχαγγέλων, καὶ ὅλα θὰ εἶναι γεμᾶτα ἀπὸ φόβον καὶ τρόμον καὶ ἡ γῆ θὰ ἀνοίξῃ, καὶ ὅσοι ἄνθρωποι ὑπῆρξαν ἀπὸ τὸν Ἀδὰμ μέχρι τῆς ἡμέρας ἐκείνης, θὰ ἀναστηθοῦν καὶ θὰ ἁρπαγοῦν, καὶ θὰ ἔχῃ ὁ Χριστὸς τέτοιαν δόξαν, ὥστε ὁ ἥλιος καὶ ἡ σελήνη θὰ

σελήνην ἅπαν κρύψαι τὸ φῶς, ὑπὸ τῆς αὐγῆς ἐκείνης ὑπερλαμπόμενον.

Ἀλλ' οἴμοι τῆς πολλῆς ἀναισθησίας, ὅτι, τοιούτων προσδοκωμένων ἀγαθῶν, ἔτι πρὸς τὰ παρόντα κεχήναμεν, καὶ οὐκ ἐννοοῦμεν τὴν διαβόλου τὴν κακουργίαν, ὃς διὰ τῶν μικρῶν τὰ μεγάλα ἡμᾶς ἀφαιρεῖται, καὶ δίδωσι πηλόν, ἵνα ἁρπάσῃ οὐρανόν, καὶ δείκνυσι σκιάν, ἵνα ἐκβάλῃ τῆς ἀληθείας, καὶ ἐν ὀνείροις φαντάζει (τοῦτο γὰρ ὁ παρὼν πλοῦτος), ἵν', ἡμέρας γενομένης, δείξῃ πάντων πενεστέρους. Ἅπερ μαθόντες, ἀγαπητοί, φύγωμεν τὸν ἐκείνου δόλον, φύφωγεν τὴν μετ' ἐκείνου κατάκρισιν, ἵνα μὴ καὶ πρὸς ἡμᾶς ὁ κριτὴς εἴπῃ· «Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ».

7. Ἀλλὰ φιλάνθρωπός ἐστιν ὁ Θεός· οὐκ ἔσται τοῦτο, φησίν. Οὐκοῦν εἰκῇ γέγραπται; Οὐχί, φησίν, ἀλλὰ πρὸς ἀπειλὴν μόνον, ἵνα σωφρονῶμεν. Ἂν οὖ μὴ σωφρονῶμεν, ἀλλὰ μένωμεν κακοί, οὐκ ἐπάξει τὴν κόλασιν; εἰπέ μοι. Οὐκοῦν οὐδὲ τοῖς ἀγαθοῖς ἀποδώσει τὰς ἀμοιβάς; Ναί, φησί· τοῦτο γὰρ πρέπον αὐτῷ καὶ ὑπὲρ τὴν ἀξίαν εὐεργετεῖν. Ὥστε ἐκεῖνα ἀληθῆ καὶ πάντως ἔσται, τὰ δὲ τῶν κολάσεων οὐ πάντως; Ὦ τῆς πολλῆς τοῦ διαβόλου κακοτεχνίας, ὢ τῆς ἀπανθρώπου ταύτης φιλανθρωπίας. Ἐκείνου γάρ ἐστιν οὗτος ὁ λογισμὸς χάριν ἀνόνητον χαριζόμενος καὶ ῥαθύμους ποιῶν. Ἐπειδὴ γὰρ οἶδεν, ὅτι τῆς κολάσεως ὁ φόβος, καθάπερ τις χαλινός, τὴν ἡμετέραν ἄγχει ψυχήν, καὶ τῶν κακῶν ἀναστέλλει, πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε πρόρριζον

---

21. Ματθ. 25, 41.

κρύψουν ὅλον τὸ φῶς των, διότι θὰ καλυφθῇ τὸ φῶς των ἀπὸ τὴν λάμψιν τοῦ Χριστοῦ.

Ἀλλά, ἀλλοίμονον, διὰ τὴν πολλὴν ἀναισθησίαν μας, διότι, ἐνῷ ἀναμένομεν τέτοια ἀγαθά, ἐξακολουθοῦμεν ἀκόμη νὰ χάσκωμεν πρὸς τὰ παρόντα, καὶ δὲν ἀντιλαμβανόμεθα τὴν κακουργίαν τοῦ διαβόλου, ὁ ὁποῖος διὰ τῶν μικρῶν καὶ προσκαίρων κατορθώνει νὰ ἀφαιρέσῃ ἀπὸ ἡμᾶς τὰ μεγάλα, καὶ μᾶς χαρίζει πηλόν, διὰ νὰ μᾶς ἁρπάξῃ τὸν οὐρανόν, καὶ μᾶς δείχνει τὴν σκιάν, διὰ νὰ μᾶς βγάλῃ ἔξω ἀπὸ τὴν ἀλήθειαν, καὶ μᾶς προξενεῖ ζωηρὰν ἐντύπωσιν εἰς τὰ ὄνειρα (διότι ἔτσι εἶναι ὁ παρὼν πλοῦτος), διὰ νὰ μᾶς φανερώσῃ πιὸ φτωχοὺς ἀπὸ ὅλους ὅταν θὰ ἔλθῃ ἡ ἡμέρα. Αὐτὰ ἀφοῦ ἐμάθαμεν, ἀγαπητοί, ἂς ἀποφύγωμεν τὴν δολιότητα ἐκείνου, ἂς ἀποφύγωμεν τὴν κατάκρισιν μαζὶ μὲ ἐκεῖνον, διὰ νὰ μὴ εἰπῇ καὶ πρὸς ἡμᾶς ὁ κριτής· «φύγετε μακρυὰ ἀπὸ ἐμὲ σεῖς οἱ καταραμένοι καὶ πηγαίνετε εἰς τὸ αἰώνιον πῦρ, ποὺ ἔχει ἑτοιμασθῇ διὰ τὸν διάβολον καὶ τοὺς πονηροὺς ἀγγέλους του»[21].

7. Ἀλλ᾿ ὅμως ὁ Θεὸς εἶναι φιλάνθρωπος· δὲν θὰ συμβῇ αὐτό, λέγει. Ἆρα λοιπὸν ἀσκόπως ἔχει γραφῆ αὐτό; Ὄχι, λέγει, ἀλλὰ μόνον πρὸς ἀπειλὴν διὰ νὰ εἴμεθα σώφρονες. Ἂν λοιπὸν δὲν δείχνωμεν σωφροσύνην, ἀλλὰ παραμένωμεν κακοί, εἰπέ μου, δὲν θὰ μᾶς τιμωρήσῃ; Ὥστε λοιπὸν οὔτε τοὺς ἀγαθοὺς θὰ ἐπιβραβεύσῃ; Ναί, λέγει· διότι αὐτὸ ἁρμόζει εἰς αὐτόν, τὸ νὰ εὐεργετῇ δηλαδὴ καὶ παρὰ τὴν ἀξίαν. Ὥστε ἐκεῖνα ποὺ ἀφοροῦν τὰς ἀμοιβὰς εἶναι ἀληθῆ καὶ ὁπωσδήποτε θὰ ἐκπληρωθοῦν, ἐκεῖνα ὅμως ποὺ ἀφοροῦν τὰς τιμωρίας δὲν θὰ πραγματοποιηθοῦν; Ὢ τῆς μεγάλης δολιότητος τοῦ διαβόλου, ὢ τῆς ἀπανθρώπου αὐτῆς φιλανθρωπίας. Διότι ὁ συλλογισμὸς αὐτὸς εἶναι τοῦ διαβόλου, ὁ ὁποῖος μᾶς δημιουργεῖ ἀνώφελον χάριν καὶ μᾶς κάμει ραθύμους. Διότι, ἐπειδὴ γνωρίζει ὅτι ὁ φόβος τῆς τιμωρίας συγκρατεῖ τὴν ψυχήν μας, ὅπως ἀκριβῶς κάποιο χαλινάρι, καὶ μᾶς ἀπομακρύνει ἀπὸ τὰ κακά, ἀγωνίζεται καὶ κάμει τὰ πάντα ὥστε νὰ ξεριζώσῃ ἀπὸ μέσα

ἀνασπάσαι τοῦτον, ἵνα λοιπὸν ἀδεῶς κατὰ κρημνῶν φερώμεθα.

Πῶς οὖν αὐτοῦ περιγενώμεθα; Ὅσα ἂν εἴπωμεν ἀπὸ τῶν Γραφῶν, ἐροῦσιν οἱ ἀντιλέγοντες, ὅτι ἀπειλῆς ἕνεκεν γέγραπται. Ἀλλὰ περὶ μὲν τῶν μελλόντων ἔχοιεν ἂν τοῦτο λέγειν, εἰ καὶ λίαν ἀσεβῶς· περὶ δὲ τῶν ἐκβεβηκότων οὐκ ἔτι, καὶ τέλος ἐσχηκότων. Ἐρώμεθα τοίνυν αὐτούς· Ἠκούσατε περὶ τοῦ κατακλυσμοῦ καὶ τῆς πανωλεθρίας ἐκείνης; μὴ κἀκεῖνο ἀπειλῆς ἕνεκεν εἴρητο; οὐχὶ γέγονε, καὶ εἰς ἔργον ἐξέβη; οὐχὶ καὶ τὰ ὄρη μαρτυρεῖ τῆς Ἀρμενίας, ἔνθα ἡ κιβωτὸς ἱδρύθη; οὐχὶ καὶ τὰ λείψανα αὐτῆς ἕως νῦν ἐκεῖ σώζεται πρὸς ἡμετέραν ὑπόμνησιν; Τοιαῦτα καὶ τότε πολλοὶ ἔλεγον, καὶ ἐν ἑκατὸν ἔτεσι τῆς κιβωτοῦ τεκταινομένης, καὶ τῶν ξύλων κατασκευαζομένων, καὶ τοῦ δικαίου βοῶντος, οὐδεὶς ὁ πιστεύων ἦν· ἀλλ᾽ ἐπειδὴ οὐκ ἐπίστευσαν τῇ διὰ τῶν ῥημάτων ἀπειλῇ, τὴν διὰ τῶν πραγμάτων ὑπέστησαν τιμωρίαν ἀθρόον. Εἶτα ὁ τοιαύτην κόλασιν ἐπαγαγὼν ἐκείνοις, οὐ πολλῷ μᾶλλον ἐπάξει ἡμῖν; οὐ γὰρ ἐλάττονα τῶν τότε κακῶν τὰ νῦν γινόμενα. Τότε μὲν γὰρ ἐπιμιξίας ἐποίουν ἀθέσμους· «Εἰσῆλθον» γάρ, φησίν, «οἱ υἱοὶ τοῦ Θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων»· νῦν δὲ οὐκ ἔστιν εἶδος ἁμαρτίας, ἄπρακτον, ὃ καταλιμπάνεται.

Ἀλλ᾽, εἰ δοκεῖ, καὶ ἐφ᾽ ἕτερα κολάσεως εἴδη τὸν λόγον ἀγάγωμεν, ἵνα ἐκ τῶν γενομένων καὶ τὰ μέλλοντα πιστευθῇ. Ἐπεδήμησέ τις ὑμῶν τῇ Παλαιστίνῃ ποτέ; Ἔγωγε οἶμαι. Οὐκοῦν ὑμεῖς μαρτυρήσατε τῇ ἀληθείᾳ τῶν λεγομένων. Ἀσκάλωνος γὰρ καὶ Γάζης ἀνώτερον εἰς αὐτὸ τοῦ Ἰορδάνου

---

22. Γεν. 6, 2.

μας τὸν φόβον τῆς τιμωρίας, ὥστε εἰς τὸ ἑξῆς νὰ βαδίζωμεν ἀφόβως πρὸς τὸν κρημνόν.

Πῶς λοιπὸν θὰ ὑπερισχύσωμεν αὐτοῦ; Ὅσα καὶ ἂν θελήσωμεν ν' ἀναφέρωμεν ἀπὸ τὰς Γραφὰς θὰ εἰποῦν οἱ ἀντιλέγοντες ὅτι ὅλα αὐτὰ ἔχουν γραφῆ πρὸς ἀπειλήν. Περὶ μὲν ἐκείνων ποὺ πρόκειται νὰ συμβοῦν εἰς τὸ μέλλον θὰ ἠμποροῦσαν ἴσως νὰ τὰ εἰποῦν αὐτά, ἂν καὶ βέβαια αὐτὸ θὰ ἀπετέλει μεγάλην ἀσέβειαν, δι' ἐκεῖνα ὅμως ποὺ συνέβησαν καὶ ἔλαβαν τέλος δὲν ἠμποροῦν νὰ τὰ ἰσχυρισθοῦν αὐτά. Θὰ ἐρωτήσωμεν λοιπὸν αὐτούς· Ἔχετε ἀκούσει περὶ τοῦ κατακλυσμοῦ καὶ τῆς καταστροφῆς ἐκείνης; Δὲν συνέβη καὶ δὲν ἐπραγματοποιήθη; Δὲν τὸν βεβαιώνουν καὶ τὰ ὄρη τῆς Ἀρμενίας, ὅπου ἐστάθη ἡ Κιβωτός; Δὲν διασώζονται καὶ τὰ θραύσματα αὐτῆς ἕως τώρα, διὰ νὰ μᾶς ὑπενθυμίζουν τὸ γεγονός; Τέτοια ἔλεγαν καὶ τότε οἱ πολλοί, καὶ ἐνῷ ἐπὶ ἑκατὸν ἔτη κατεσκευάζετο ἡ κιβωτὸς καὶ ἐσυναρμολογεῖτο διὰ τῶν ξύλων, καὶ ἐφώναζεν ὁ δίκαιος ἐκεῖνος διὰ τὸ ἐπερχόμενον κακόν, κανεὶς δὲν ἐπίστευεν· ἐπειδὴ ὅμως δὲν ἐπίστευσαν εἰς τὴν ἀπειλὴν τῶν λόγων, ὑπέστησαν ὅλοι μαζὶ τὴν τιμωρίαν ἐμπράκτως. Λοιπὸν αὐτὸς ποὺ ἐπέφερεν εἰς ἐκείνους τὴν τιμωρίαν αὐτήν, δὲν θὰ τιμωρήσῃ πολὺ περισσότερον ἡμᾶς; καθόσον δὲν εἶναι μικρότερα αὐτὰ ποὺ γίνονται τώρα ἀπὸ τὰ κακὰ ποὺ ἔγιναν τότε. Διότι τότε μὲν διέπραττον παρανόμους ἐπιμιξίας, καθόσον λέγει, «Συνευρέθησαν οἱ υἱοὶ τοῦ Θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων»[22], ἐνῷ τώρα δὲν ὑπάρχει καμμία ἁμαρτία ποὺ νὰ μὴ διαπράττεται, καμμία ἁμαρτία ποὺ νὰ παραλείπεται.

Ἀλλ' ἐὰν θέλῃς, καὶ εἰς ἄλλα εἴδη τιμωρίας ἂς φέρωμεν τὸν λόγον, ὥστε ἀπὸ αὐτὰ ποὺ συνέβησαν νὰ γίνουν πιστευτὰ καὶ τὰ μέλλοντα νὰ συμβοῦν. Ἐπεσκέφθη κανεὶς ἀπὸ σᾶς ποτὲ τὴν Παλαιστίνην; Νομίζω, πὼς ὁπωσδήποτε. Λοιπὸν σεῖς θὰ βεβαιώσετε τὴν ἀλήθειαν τῶν λόγων. Διότι βορειότερον τῆς Ἀσκάλωνος καὶ τῆς Γάζης εἰς αὐτὰς περίπου τὰς ἐκβολὰς τοῦ Ἰορδάνου ποταμοῦ ὑπῆρχε κάποια

ποταμοῦ τὸ τέλος ἦν τις χώρα πολλή τε καὶ εὔφορος, καὶ τῷ παραδείσῳ τοῦ Θεοῦ ἁμιλλωμένη· «Εἶδε» γάρ, φησί, «Λὼτ πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, καὶ ἦν ποτιζομένη ὡς ὁ παράδεισος τοῦ Θεοῦ». Ἀλλὰ νῦν αὕτη πασῶν τῶν ἐρήμων ἐστὶν ἐρημωτέρα. Ἕστηκε μὲν γὰρ δένδρα, καὶ καρπὸν ἔχει, ὁ δὲ καρπὸς τῆς τοῦ Θεοῦ ὀργῆς ἐστιν ὑπόμνημα. Ἑστήκασι γὰρ ῥοιαὶ λαμπρὰν μὲν ἔχουσαι τὴν ἐπιφάνειαν, καὶ χρηστὰς παρέχουσαι τοῖς ἀγνοοῦσιν ἐλπίδας, εἰς δὲ χεῖρας ληφθεῖσαι καὶ διακλασθεῖσαι, καρπὸν μὲν οὐδένα, κόνιν δὲ καὶ τέφραν ἐπιδείκνυνται πολλὴν ἔνδον ἀποκειμένην. Τοιαύτη ἐστὶ καὶ ἡ γῆ, τοιοῦτοι καὶ οἱ λίθοι, τοιοῦτος καὶ ὁ ἀὴρ αὐτός. Πάντα ἐμπέπρησται, πάντα τετέφρωται, τῆς προλαβούσης ὀργῆς ὑπομνήματα ὄντα, τῆς μελλούσης κολάσεως προμηνύματα.

Μὴ καὶ ταῦτα ἀπειλαὶ ῥημάτων; μὴ καὶ ταῦτα ψόφοι ῥημάτων; Εἴ τις ἀπιστεῖ τῇ γέννῃ, τὰ Σόδομα λογιζέσθω, τὰ Γόμορρα ἐννοείτω, τὴν τιμωρίαν τὴν ἤδη γεγενημένην καὶ μέχρι νῦν μένουσαν. Ὅπερ καὶ ἡ θεία Γραφὴ διηγουμένη περὶ τῆς σοφίας φησίν· «Αὕτη δίκαιον, ἐξαπολλυμένων ἀσεβῶν, ἐρρύσατο φυγόντα καταβάσιον πῦρ Πενταπόλεως». Αὕτη καὶ νῦν ἔτι εἰς «Μαρτύριον τῆς πονηρίας καπνιζομένη καθέστηκε χέρσος, καὶ ἀτελέσιν ὥραις καρποφοροῦσα τὰ φυτά»· Ἀναγκαῖον δὲ καὶ τὴν αἰτίαν εἰπεῖν, δι' ἣν ταῦτα πεπόνθασιν. Ἓν ἦν τὸ πταῖσμα αὐτῶν, χαλεπὸν μὲν καὶ ἐπάρατον· πλὴν ἕν. Παισὶν ἐπεμαίνοντο, καὶ διὰ τοῦτο πυρίνῳ κατεκαύθησαν ὑετῷ· νῦν δὲ μυρία καὶ ἴσα καὶ χαλεπώτερα γίνεται, καὶ τοιοῦτος ἐμπρησμὸς οὐ γίνεται. Τίνος ἕνεκεν; Ὅτι πῦρ ἕτερον ἡτοίμασται, μηδέποτε σβεννύ-

---

23. Γεν. 13, 10.
24. σοφ. Σολ. 10, 6-7.

χώρα μεγάλη καὶ εὔφορος, ἡ ὁποία ἡμιλλᾶτο ἀκόμα καὶ τὸν παράδεισον τοῦ Θεοῦ· διότι λέγει, «Εἶδε ὁ Λὼτ ὅλην τὴν χώραν γύρω ἀπὸ τὸν Ἰορδάνην καὶ ἐποτίζετο ὅλη ἡ περιοχὴ ὅπως ὁ παράδεισος τοῦ Θεοῦ»[23]. Ὅμως αὐτὴ τώρα εἶναι ἐρημοτέρα ἀπὸ ὅλας τὰς ἐρήμους. Διότι ἔχει μὲν δένδρα ποὺ παράγουν καρπούς, ἀλλ' οἱ καρποὶ αὐτοὶ εἶναι ὑπενθύμησις τῆς ὀργῆς τοῦ Θεοῦ. Διότι παρέμειναν ροδιαὶ οἱ καρποὶ τῶν ὁποίων ἔχουν λαμπρὰν ἐξωτερικὴν ἐμφάνισιν καὶ παρέχουν ἀγαθὰς ἐλπίδας εἰς αὐτοὺς ποὺ ἀγνοοῦν τὸ ἐντὸς αὐτῶν περιεχόμενον, ὅταν ὅμως ληφθοῦν εἰς τὰ χέρια καὶ ἀνοιχτοῦν, δὲν ἔχουν μέσα των κανένα καρπόν, ἀλλὰ εἶναι γεμᾶτοι ἀπὸ πολλὴν σκόνην καὶ τέφραν. Τέτοια εἶναι καὶ ἡ γῆ, τέτοιοι καὶ οἱ λίθοι, τέτοιος καὶ αὐτὸς ὁ ἀέρας της. Ὅλα ἔχουν καῆ, ὅλα ἀπετεφρώθησαν καὶ εἶναι ὑπενθυμήσεις τῆς προηγηθείσης ὀργῆς καὶ προμηνύματα τῆς μελλούσης τιμωρίας.

Μήπως καὶ αὐτὰ εἶναι ἀπειλαὶ λόγων; Μήπως εἶναι καὶ αὐτὰ κούφια λόγια; Ἂν κάποιος ἀπιστῇ διὰ τὴν γέενναν τοῦ πυρός, ἂς σκέπτεται τὰ Σόδομα, ἂς ἐνθυμῆται τὰ Γόμορρα, τὴν τιμωρίαν ἡ ὁποία ἤδη ἔγινε καὶ ἡ ὁποία μένει μέχρι τώρα. Πρᾶγμα ποὺ λέγει καὶ ἡ ἁγία Γραφὴ ὅταν ὁμιλῇ περὶ τῆς σοφίας τοῦ Θεοῦ· «Αὐτὴ ἡ Σοφία, ὅταν κατεστρέφοντο οἱ ἀσεβεῖς Σοδομῖται, διεφύλαξε τὸν δίκαιον Λώτ, ὁ ὁποῖος διέφυγε τὸ πῦρ ποὺ κατέβη ἀπὸ τὸν οὐρανὸν ἐναντίον τῶν πέντε ἐκείνων πόλεων». Αὐτῶν καὶ σήμερα ἀκόμη «εἶναι μάρτυς τῆς κακίας των ἡ ἔρημος χώρα των ποὺ ἀκόμη καπνίζει καὶ τὰ φυτὰ τῆς χώρας αὐτῆς καρποφοροῦν πρόωρα εἰς ἀκατάλληλον ἐποχήν»[24]. Πρέπει λοιπὸν νὰ σᾶς εἰπῶ καὶ διὰ ποίαν αἰτίαν τὰ ἔχουν πάθει αὐτά. Ἕνα ἦτο τὸ πταῖσμα αὐτῶν, φοβερὸν καὶ ἐπικατάρατον· ὅμως ἦτο ἕνα. Κατήχοντο ὑπὸ σφοδροῦ ἔρωτος διὰ τὰ παιδιά των, καὶ διὰ τοῦτο κατεκάησαν ἀπὸ τὴν πυρίνην βροχήν· σήμερα ὅμως γίνονται ἀναρίθμητα ἁμαρτήματα καὶ ἴσα καὶ χειρότερα ἀπὸ ἐκεῖνα καὶ τέτοιος ἐμπρησμὸς δὲν γίνεται. Διὰ ποῖον λόγον; Διότι ἔχει ἑτοιμασθῆ ἄλλο πῦρ,

μενον. Πῶς γὰρ ὁ ὑπὲρ ἑνὸς ἁμαρτήματος τοσαύτην ὀργὴν ἐπαγαγών, καὶ μήτε τοῦ Ἀβραὰμ τὴν ἱκετηρίαν δεξάμενος, μήτε τὸν ἔνοικον δυσωπηθεὶς Λώτ, τοσούτων κακῶν γινομένων φείσεται ἡμῶν; Οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν.

8. Ἀλλὰ μὴ μέχρι τούτων στῶμεν· φέρε, ἑτέρους εἰς μέσον ἀγάγωμεν κολασθέντας, ἵνα διὰ πλειόνων ἀποδείξεων πιστωθῇ τὰ λεγόμενα. Τὸν Φαραὼ πάντες ἀκούετε τὸν βασιλέα τῶν Αἰγυπτίων· οὐκοῦν οἴδατε καὶ τὴν δίκην, ἣν ἔδωκεν, ὅπως σὺν ἅρμασι καὶ ἵπποις, μετὰ τοῦ στρατοπέδου παντὸς εἰς τὸ ἐρυθραῖον κατεποντίσθη πέλαγος. Ἵνα δὲ καὶ τὰς Ἰουδαίων μάθητε κολάσεις, ἄκουε Παύλου λέγοντος· «Μηδὲ πορνεύωμεν καθώς τινες αὐτῶν ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἴκοσι τρεῖς χιλιάδες· μηδὲ γογγύζωμεν, καθώς τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ· μηδὲ πειράζωμεν τὸν Κύριον, καθώς τινες αὐτῶν ἐπείρασαν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο». Εἰ δὲ κἀκεῖνοι τοιαῦτα πεπόνθασιν ὑπὲρ ὧν ἥμαρτον, τί οὐ πεισόμεθα ἡμεῖς;

Ἀλλὰ νῦν οὐδὲν πασχόμεθα δεινόν, καὶ διὰ τοῦτο μάλιστα δεδοικέναι χρή. Οὐ γὰρ ἐπὶ τῷ μὴ δοῦναι δίκην, ἀλλ' ἐπὶ τῷ χείρονα δοῦναι τηρούμεθα, εἰ μὴ μεταβαλοίμεθα. Ἐκεῖνοι μὲν γὰρ οὐκ ᾔδεισαν τὴν γέενναν, καὶ ταῖς ἐνταῦθα παρεδίδοντο τιμωρίαις· ἡμεῖς δὲ ὅσα ἂν ἁμάρτωμεν, κἂν μηδὲν ἀνιαρὸν ἐν τῷ παρόντι βίῳ πάθωμεν, ἐν τῷ μέλλοντι πάντα

---

25. Α΄ Κορ. 10, 8-10.

πού ποτὲ δὲν θὰ σβήσῃ. Διότι πῶς εἶναι δυνατόν, αὐτὸς πού ἐξεδήλωσε τόσον μεγάλην ὀργὴν δι' ἕνα ἁμάρτημα, καὶ δὲν ἐδέχθη οὔτε καὶ τὴν ἱκεσίαν τοῦ Ἀβραὰμ καὶ οὔτε ὑπέκυψεν εἰς τὰς παρακλήσεις τοῦ Λώτ, νὰ μᾶς λυπηθῇ, ὅταν γίνωνται τόσα κακά; Δὲν εἶναι δυνατὸν νὰ συμβῇ τοῦτο, δὲν εἶναι δυνατόν.

8. Ἀλλὰ ἂς μὴ σταθῶμεν μέχρις ἐδῶ· ἐμπρός, ἂς ἀναφέρωμεν καὶ ἄλλους πού ἔχουν τιμωρηθῆ διὰ νὰ γίνουν πειστικότερα τὰ λεγόμενα διὰ τῶν περισσοτέρων ἀποδείξεων. Διὰ τὸν Φαραὼ τὸν βασιλέα τῶν Αἰγυπτίων ὅλοι ἔχετε ἀκούσει· γνωρίζετε λοιπὸν καὶ τὴν τιμωρίαν πού ὑπέστη, ὅτι δηλαδὴ μαζὶ μὲ τὰ ἅρματα καὶ τοὺς ἵππους, μαζὶ μὲ ὅλους τοὺς στρατιώτας κατεποντίσθη εἰς τὴν ἐρυθρὰν θάλασσαν. Διὰ νὰ μάθετε δὲ καὶ τὰς τιμωρίας τῶν Ἰουδαίων, ἄκουε τὸν Παῦλον πού λέγει· «Ἀκόμη δὲ ἂς μὴ παρασυρώμεθα ποτὲ ἀπὸ τὴν πορνείαν, ὅπως μερικοὶ ἀπὸ αὐτοὺς ἐπόρνευσαν καὶ εἰς μίαν ἡμέραν ἔπεσαν κάτω νεκροὶ εἴκοσι τρεῖς χιλιάδες· καὶ μὴ γογγύζετε εἰς καιρὸν θλίψεων ἐναντίον τοῦ Θεοῦ, ὅπως καὶ μερικοὶ ἀπὸ ἐκείνους ἐγόγγυσαν καὶ ἐξωλοθρεύθησαν ἀπὸ τὸν ἐξολοθρευτὴν ἄγγελον· οὔτε νὰ ζητοῦμεν νὰ δοκιμάσωμεν, ἐὰν ὁ Χριστὸς θὰ μᾶς φυλάξῃ ἀπὸ τοὺς κινδύνους τῆς ἁμαρτίας καὶ τῆς εἰδωλολατρείας, ὅπως καὶ μερικοὶ ἀπὸ ἐκείνους ἐπείραξαν τότε τὸν Θεὸν καὶ διὰ τὴν παράβασίν των αὐτὴν ἀπέθαιναν δαγκωμένοι ἀπὸ τὰ δηλητηριώδη φίδια»[25]. Ἐὰν δὲ καὶ ἐκεῖνοι ἔχουν πάθει τέτοια δι' ὅσα ἡμάρτησαν, τί δὲν θὰ πάθωμεν ἐμεῖς;

Ἀλλὰ τώρα δὲν παθαίνομεν κανένα κακὸν καὶ διὰ τοῦτο πρέπει νὰ φοβούμεθα. Διότι δὲν διατηρούμεθα διὰ νὰ μὴ τιμωρηθῶμεν, ἀλλὰ διὰ νὰ τιμωρηθῶμεν χειρότερα, ἐὰν δὲν θελήσωμεν ν' ἀλλάξωμεν τρόπον ζωῆς. Διότι ἐκεῖνοι μὲν δὲν ἐγνώρισαν τὴν γέενναν τοῦ πυρός, καὶ παρεδίδοντο εἰς τὰς ἐδῶ τιμωρίας, ἐμεῖς ὅμως ὅσας ἁμαρτίας καὶ ἂν διαπράξωμεν καὶ ἂν ἀκόμη δὲν πάθωμεν κανένα κακὸν εἰς τὴν παροῦσαν ζωήν, θὰ ὑποστῶμεν τὰ πάντα εἰς

πεισόμεθα. Πῶς γὰρ ἂν ἔχοι λόγον, ἐκείνους μὲν νηπιωδεστέρους ὄντας τοιαῦτα πεπονθέναι, ἡμᾶς δὲ τελειοτέρων ἀπολαύσαντας μαθημάτων, καὶ πολὺ χείρονα πταίοντας ἐκείνων, διαφυγεῖν τὰς τιμωρίας;

Βούλεσθε καὶ τὰς λοιπὰς αὐτῶν ἀκοῦσαι συφοράς, ὅσας ἔπαθον ἐν Παλαιστίνῃ ὑπὸ Βαβυλωνίων καὶ Ἀσσυρίων καὶ Μακεδόνων; ὅσους ὑπέμειναν λιμούς, λοιμούς, πολέμους, αἰχμαλωσίας ἐπὶ Τίτου καὶ Οὐεσπασιανοῦ; Τὴν Ἰωσήπου βίβλον ἀνάγνωτε, ἣν ἔγραψε περὶ τῆς τῶν Ἱεροσολύμων ἁλώσεως, καὶ μαθήσεσθε τὴν πικρὰν ἐκείνην τραγῳδίαν. Μετὰ γὰρ τῶν ἄλλων δεινῶν, εἰς τοσαύτην λιμοῦ περιέπεσον ὑπερβολήν, ὡς καὶ τὰς ζώνας αὐτῶν, καὶ τὰ ὑποδήματα, καὶ τὰ τούτων ἐσθίειν βδελυρώτερα. Πάντα γὰρ ὑπ' ὀδόντας ἦγεν ἡ ἀνάγκη, καθώς πού φησιν ὁ προλεχθεὶς συγγραφεύς. Καὶ οὐδὲ μέχρι τούτων ἔστησαν, ἀλλὰ καὶ τῶν ἰδίων ἀπεγεύσαντο τέκνων. Πῶς οὖν, ἐκείνων τοιαύτας δεδωκότων δίκας, ἡμεῖς οἱ τὰ χείρονα τούτων πράττοντες διαφευξώμεθα; Εἰ γὰρ ἐκεῖνοι ἐκολάσθησαν τότε, διὰ τί ἡμεῖς οὐ κολαζόμεθα νῦν; Οὐχὶ καὶ τυφλῷ δῆλον, ὅτι διὰ τὸ ἀποκεῖσθαι ἡμῖν ἐν τῷ μέλλοντι τὴν κόλασιν, καθὼς ἔφην πολλάκις;

Χρὴ δὲ λογίζεσθαι πρὸς τούτοις καὶ τὰ νῦν ἐν τῷ βίῳ γινόμενα, καὶ οὐκ ἀπιστήσομεν τῇ γεέννῃ. Εἰ γὰρ δίκαιός ἐστιν ὁ Θεὸς καὶ ἀπροσωπόληπτος, ὥσπερ οὖν καὶ ἔστι, τίνος ἕνεκεν οἱ μὲν διδόασιν ἐνταῦθα φόνων δίκας, οἱ δὲ οὐ διδόασιν; οἱ μὲν τῶν μοιχῶν τιμωροῦνται, οἱ δὲ τελευτῶσιν ἀτιμώρητοι; πόσοι τυμβωρύχοι διέφυγον; πόσοι λῃσταί; πόσοι πλεονέκται; πόσοι ἅρπαγες; Ἂν οὖν γέεννα μὴ ᾖ, ποῦ τιμωρίαν ὑφέξουσιν; Ἆρα πείθομεν τοὺς ἀντιλέγοντας, ὅτι

τὸ μέλλον. Διότι πῶς θὰ ἠμποροῦσε νὰ εἶναι σωστόν, ἐκεῖνοι μὲν ποὺ εὑρίσκοντο εἰς νηπιωδεστέραν κατάστασιν νὰ ἔχουν τιμωρηθῇ κατὰ τὸν τρόπον αὐτόν, ἐμεῖς δὲ ποὺ ἐδιδάχθημεν τελειοτέραν διδασκαλίαν καὶ ἔχομεν διαπράξει ἁμαρτήματα πολὺ χειρότερα ἐκείνων, νὰ διαφύγωμεν τὰς τιμωρίας;

Θέλετε νὰ ἀκούσετε τὰς ὑπολοίπους συμφοράς, ὅσας ἔπαθαν εἰς τὴν Παλαιστίνην ὑπὸ τῶν Βαβυλωνίων καὶ Ἀσσυρίων καὶ Μακεδόνων; Ὅσας πείνας καὶ ἀσθενείας καὶ πολέμους καὶ αἰχμαλωσίας ὑπέστησαν ἐπὶ Τίτου καὶ Βεσπασιανοῦ; Ἀναγνώσατε τὸ βιβλίον τοῦ Ἰωσήπου τὸ ὁποῖον ἔγραψε περὶ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων καὶ θὰ πληροφορηθῆτε τὴν πικρὰν ἐκείνην τραγῳδίαν. Διότι μεταξὺ τῶν ἄλλων δεινῶν περιέπεσαν εἰς τόσον μεγάλην πεῖναν, ὥστε ἔφτασαν εἰς τὸ σημεῖον νὰ τρώγουν τὰς ζώνας των καὶ τὰ ὑποδήματά των καὶ τὰ ἀηδέστερα τούτων. Διότι ἡ ἀνάγκη τὰ ἔφερεν ὅλα εἰς τὰ δόντια των, ὅπως κάπου λέγει εἰς τὸ βιβλίον του ὁ προαναφερθεὶς συγγραφεύς. Καὶ δὲν ἠρκέσθησαν μόνον εἰς αὐτά, ἀλλὰ καὶ τὴν γεῦσιν τῶν ἰδίων των τῶν τέκνων ἐδοκίμασαν. Πῶς λοιπόν, ἐνῷ ἐκεῖνοι ὑπέστησαν τόσας τιμωρίας, ἐμεῖς ποὺ διαπράττομεν χειροτέρας ἁμαρτίας θὰ ἀποφύγωμεν τὰς τιμωρίας; Ἐὰν λοιπὸν ἐκεῖνοι ἐτιμωρήθησαν τότε, διατί ἐμεῖς δὲν τιμωρούμεθα τώρα; Δὲν εἶναι φανερὸν καὶ εἰς τὸν τυφλὸν ἀκόμη ὅτι αὐτὸ συμβαίνει ἐπειδὴ ἐπιφυλάσσεται δι' ἡμᾶς ἡ τιμωρία τῆς μελλούσης ζωῆς, ὅπως πολλὲς φορὲς σᾶς εἶπα;

Πρέπει λοιπὸν νὰ σκεπτώμεθα σὺν τοῖς ἄλλοις καὶ αὐτὰ ποὺ συμβαίνουν εἰς τὴν παροῦσαν ζωὴν καὶ δὲν θὰ ἀπιστήσωμεν τότε διὰ τὴν γέενναν τοῦ πυρός. Διότι ἂν εἶναι ὁ Θεὸς δίκαιος καὶ ἀμερόληπτος, ὅπως καὶ εἶναι, διὰ ποῖον λόγον ἄλλοι μὲν τιμωροῦνται ἐδῶ διὰ φόνους, ἄλλοι δὲ ὄχι; Ἄλλοι μὲν ἀπὸ τοὺς μοιχοὺς τιμωροῦνται καὶ ἄλλοι πεθαίνουν ἀτιμώρητοι; Πόσοι τυμβωρύχοι διέφυγον τὴν τιμωρίαν; Πόσοι πλεονέκται; Πόσοι ἅρπαγες; Ἂν λοιπὸν δὲν ὑπάρχῃ τιμωρία, ποῦ θὰ τιμωρηθοῦν αὐτοί;

οὐκ ἔστι μῦθος ὁ περὶ αὐτῆς λόγος; Οὕτω γάρ ἐστιν ἀληθής, ὅτι οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ ποιηταὶ καὶ φιλόσοφοι καὶ λογοποιοὶ περὶ τῆς μελλούσης ἀνταποδόσεως ἐφιλοσόφησαν, καὶ ἐν ᾅδου κολάζεσθαι τοὺς πονηροὺς εἰρήκασιν. Εἰ γὰρ καὶ μετὰ ἀληθείας, ὡς ἔχει ταῦτα, εἰπεῖν οὐκ ἠδυνήθησαν, ἅτε ἀπὸ λογισμῶν κινηθέντες καὶ παρακουσμάτων τῶν παρ' ἡμῖν, ἀλλ' ὅμως εἰκόνα τινὰ κρίσεως ἔλαβον. Κωκυτοὺς γὰρ φασί τινας καὶ Πυριφλεγέθοντας ποταμούς, καὶ Στυγὸς ὕδωρ, καὶ Τάρταρον τοσοῦτον ἀπέχοντα τῆς γῆς, ὅσον αὕτη τοῦ οὐρανοῦ, καὶ πολλοὺς ἑτέρους κολάσεως τρόπους· καὶ πάλιν Ἠλύσιον πεδίον, καὶ μακάρων νήσους, καὶ λειμῶνας εὐανθεῖς, καὶ εὐωδίαν πολλήν, καὶ αὔραν λεπτήν, καὶ χοροὺς ἐκεῖ διατρίβοντας, καὶ λευκὴν περιβεβλημένους στολήν, καὶ ᾄδοντας ὕμνους τινάς, καὶ ὅλως καὶ ἀγαθοῖς καὶ πονηροῖς ἀποκειμένην ἀντίδοσιν μετὰ τὴν ἐντεῦθεν ἔξοδον.

Μὴ τοίνυν ἀπιστῶμεν τῇ γεέννῃ, ἵνα μὴ ἐμπέσωμεν εἰς αὐτήν· ὁ γὰρ ἀπιστῶν, ῥᾳθυμότερος γίνεται· ὁ δὲ ῥᾳθυμῶν, εἰς αὐτὴν ἀπελεύσεται πάντως· ἀλλὰ καὶ πιστεύωμεν ἀνενδιάστως, καὶ διαλεγώμεθα περὶ αὐτῆς συνεχῶς, καὶ οὐ ταχέως ἁμαρτησόμεθα. Τῶν γὰρ τοιούτων λόγων ἡ μνήμη, καθάπερ τι φάρμακον πικρόν, πᾶσαν κακίαν ἀποσμῆξαι δυνήσεται, διαπαντὸς ἡμῶν ἐνιζάνουσαν τῇ ψυχῇ. Χρησώμεθα τοίνυν αὐτῷ, ἵνα καθαρθέντες καλῶς, ἀξιωθῶμεν ἰδεῖν τὸν Θεόν, ὡς ἀνθρώποις ἰδεῖν δυνατόν, καὶ τῶν μελλόντων ἀπολαύσωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀρά γε πείθομεν τοὺς ἀντιλέγοντας ὅτι δὲν εἶναι μῦθος ὁ λόγος περὶ αὐτῆς; Εἶναι τόσον ἀληθὴς ὁ λόγος μας, διότι ὄχι μόνον ἡμεῖς, ἀλλὰ καὶ ποιηταὶ καὶ φιλόσοφοι καὶ συγγραφεῖς ἐφιλοσόφησαν περὶ τῆς μελλούσης ἀνταποδόσεως, καὶ ἔχουν εἰπεῖ ὅτι θὰ τιμωρηθοῦν εἰς τὸν Ἅδην οἱ πονηροί. Ἂν καὶ δὲν ἠμπόρεσαν ἐπακριβῶς νὰ τὰ εἰποῦν αὐτά, ὅπως ἀκριβῶς ἔχουν, καθ' ὅσον παρεκινήθησαν εἰς τὰς σκέψεις των αὐτὰς ἀπὸ τοὺς συλλογισμούς των καὶ ἀπὸ τὰ διάφορα ἀκούσματα ἀπὸ ἡμᾶς, ὅμως ἐσχημάτισαν κάποιαν εἰκόνα τῆς μελλούσης κρίσεως. Μερικοὶ δὲ χαρακτηρίζουν τὰς τιμωρίας ἐκείνας ὡς θρήνους καὶ ποταμοὺς ὁμοίους πρὸς πυρίνας φλόγας, καὶ Στυγὸς ὕδωρ, καὶ Τάρταρον ποὺ ἀπέχει τόσον ἀπὸ τὴν γῆν, ὅσον αὐτὴ ἀπὸ τὸν οὐρανόν, καὶ ἀναφέρουν πολλοὺς ἄλλους τρόπους τιμωρίας· καὶ πάλιν ὁμιλοῦν διὰ Ἠλύσιον Πεδίον καὶ διὰ νήσους μακαρίων καὶ λιβάδια μὲ ὡραῖα ἄνθη καὶ μὲ πολλὴν εὐωδίαν, καὶ δι' αὔραν λεπτὴν καὶ δι' ὁμίλους ποὺ ζοῦν ἐκεῖ καὶ ποὺ εἶναι ἐνδεδυμένοι μὲ λευκὴν στολὴν καὶ ψάλλουν κάποιους ὕμνους, καὶ ὅτι ὁπωσδήποτε ὑπάρχει καὶ διὰ τοὺς ἀγαθοὺς καὶ διὰ τοὺς πονηροὺς ἀνταπόδοσις τῶν πράξεων μετὰ τὴν ἔξοδον ἀπὸ τὴν ζωὴν αὐτήν.

Ἂς μὴ ἀπιστοῦμεν λοιπὸν διὰ τὴν γέενναν τοῦ πυρός, διὰ νὰ μὴ πέσωμεν μέσα εἰς αὐτήν, διότι αὐτὸς ποὺ ἀπιστεῖ γίνεται ὀκνηρότερος· αὐτὸς δὲ ποὺ εἶναι ράθυμος ὁπωσδήποτε θὰ ὑπάγῃ εἰς αὐτήν· ἀλλὰ καὶ νὰ πιστεύωμεν χωρὶς καμμίαν ἀμφιβολίαν καὶ νὰ συζητοῦμεν συνεχῶς περὶ αὐτῆς καὶ ἔτσι δὲν θὰ ἁμαρτάνωμεν εὔκολα. Διότι ἡ μνημόνευσις τῶν λόγων αὐτῶν θὰ ἠμπορέσῃ, ὡσὰν κάποιο πικρὸ φάρμακον, νὰ καθαρίσῃ κάθε κακίαν καὶ νὰ παραμείνῃ διὰ παντὸς μέσα εἰς τὴν ψυχήν μας. Ἂς χρησιμοποιήσωμεν λοιπὸν τὸ φάρμακον αὐτό, ὥστε, ἀφοῦ καθαρισθῶμεν καλῶς, νὰ ἀξιωθῶμεν νὰ ἴδουμεν τὸν Θεὸν ὅσον εἶναι δυνατὸν νὰ τὸν ἰδοῦν οἱ ἄνθρωποι καὶ νὰ ἀπολαύσωμεν τῶν μελλόντων ἀγαθῶν διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἰς αὐτὸν ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

14

ΠΡΟΣ ΤΟΥΣ ΜΕΓΑΛΑ ΤΑ ΠΑΡΟΝΤΑ ΝΟΜΙΖΟΝΤΑΣ

καὶ περὶ τὰ τοῦ βίου λαμπρὰ μάτην ἐπτοημένους.

1. Ἀγγέλοις μὲν οὐρανὸς εὐφροσύνης χωρίον, Ἐκκλησία δὲ πιστοῖς ἀντ' οὐρανῶν ἓν διαίτημα καὶ νόμιμον, ταῖς ψυχαῖς ἡδονὴν δωρουμένη τῶν ἱερῶν ἐπῳδῶν τὴν ἀκρόασιν. Ταύτης ποτὲ τὴν Μαρίαν ἐκκρεμαμένην ὁ τῆς μακαριότητος δοτὴρ ἐμακάριζεν· «Μαρία», φησίν, «τὴν καλὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς». Μόνον δὲ τῆς εὐσεβοῦς διδασκαλίας τὸ κέρδος καὶ ζῶσιν ἡμῖν ἀγαθὸν φυλακτήριον, καὶ τεθνεῶσιν πρὸς τὸν κριτὴν συνοδεῦον· ἡ δὲ τῶν ἄλλων ἁπάντων εὐκατάλυτος κτῆσις, οὐ μόνον ὅτι τάφον τὴν διάδοχον ἔχει, ἀλλ' ὅτι καὶ πρὸ τοῦ τάφου μυρία τὰ τοῦ βίου ναυάγια. Καθάπερ γὰρ θάλατταν τὸν παρόντα ναυτιλλόμεθα βίον σφοδροτέροις κυμάτων συμπτώμασι χρώμενον. Οὐ πλοῦτος σταθερᾶς ἀπολαύει γαλήνης, ἀλλ' ἐξ οὐρίας πολλάκις τοῖς κεκτημένοις συμπλέων, αἰφνιδίῳ λαίλαπι πειρασμῶν ἐβαπτίσθη. Οὐ θρόνος τὸ τῆς δυναστείας ἀκατάσειστον ὕψος· ἀθρόαι γὰρ πνεύσασαι καταιγίδες κινδύνων αὐτόρριζον τὴν εὐημερίαν ἀνέσπασαν. Οὐ τὸ τῆς ὑγείας ἀδιάδοχον δῶρον, ἀλλ' ἐφεδρεύει καὶ ταύτῃ νοσημάτων ἀπροσδόκητος βλάβη. Πτερορρυεῖ ποικίλως τῆς εὐπραγίας ἡ κτῆσις, καὶ δένδρῳ τινὶ προσέοικεν ἄνθρωπος, νῦν μὲν τὸ τῆς εὐθηνίας ἀνθηρὸν περιφέρων, νῦν δὲ τῷ ταύτης ὡς δένδρον ἐκδυόμενος φύλλον. Οὐδὲν τῶν βιωτικῶν ἀνθηρῶν ἐξετάζων γείτονα

---

1. Λουκᾶ 10, 42.

14
ΠΡΟΣ ΑΥΤΟΥΣ ΠΟΥ ΘΕΩΡΟΥΝ ΤΑ ΠΑΡΟΝΤΑ
ἀγαθὰ σπουδαῖα καὶ συγκινοῦνται ματαίως ἀπὸ αὐτὰ ποὺ θεωροῦνται λαμπρὰ εἰς τὴν παροῦσαν ζωήν.

1. Εἰς μὲν τοὺς ἀγγέλους ὁ οὐρανὸς εἶναι τόπος εὐφροσύνης, ἡ ἐκκλησία δὲ εἰς τοὺς πιστούς, ἀντὶ τῶν οὐρανῶν, εἶναι κατοικία συνήθης, ἡ ὁποία χαρίζει εἰς τὰς ψυχὰς τὴν ἡδονὴν ποὺ προέρχεται ἀπὸ τὴν ἀκρόασιν τῶν ἱερῶν ὕμνων. Εἰς αὐτὴν ἡ Μαρία ἦτο ἐξ ὁλοκλήρου ἀφιερωμένη καὶ τὴν ἐμακάριζεν ὁ δοτὴρ τῆς μακαριότητος λέγων· «Ἡ Μαρία ἐξέλεξε τὴν καλὴν καὶ ὠφέλιμον μερίδα ἡ ὁποία δὲν θὰ τῆς ἀφαιρεθῇ ποτέ»[1]. Μόνον δὲ τὸ κέρδος ἐκ τῆς εὐσεβοῦς διδασκαλίας, καὶ καθ' ὃν χρόνον ζῶμεν, εἶναι ἀγαθὸν φυλακτήριον, καὶ ὅταν ἀποθάνωμεν μᾶς συνοδεύει εἰς τὸν κριτήν· ὅλα δὲ τὰ ὑπόλοιπα ὑλικὰ ἀγαθὰ ποὺ εὐκόλως καταστρέφονται, ὄχι μόνον τὰ κληρονομοῦν ἄλλοι ὅταν ἀποθάνωμεν, ἀλλὰ καὶ πρὶν νὰ ἀποθάνωμεν, προξενοῦν ἀναριθμήτους συμφοράς. Διότι πλέομεν τὸν παρόντα βίον ὅπως ἀκριβῶς τὴν θάλασσαν, ἀντιμετωπίζοντες μεγαλυτέρας καὶ φοβερωτέρας τρικυμίας τῶν κυμάτων. Διότι δὲν ἀπολαμβάνει σταθερᾶς γαλήνης ὁ πλοῦτος, ἀλλ' ἐνῷ συμβαδίζει πολλάκις μὲ τὴν εὐτυχίαν αὐτῶν ποὺ τὸν κατέχουν, αἰφνιδίως κυριεύεται ἀπὸ τὰς κατεγίδας τῶν πειρασμῶν. Δὲν εἶναι ὁ θρόνος τὸ ἀκλόνητον ὕψος τῆς δυναστείας· διότι ὅταν πνεύσουν αἱ καταιγίδες τῶν κινδύνων διὰ μιᾶς ἐκ θεμελίων συντρίβουν τὴν εὐημερίαν. Δὲν εἶναι τὸ δῶρον τῆς ὑγείας μόνιμον, ἀλλὰ ἐνεδρεύει καὶ εἰς αὐτὴν ἡ ἀπροσδόκητος βλάβη ἐκ τῶν ἀσθενειῶν. Χάνεται ποικιλοτρόπως ἡ εὐτυχὴς κατάστασις, καὶ ὁμοιάζει ὁ ἄνθρωπος μὲ ἕνα δένδρον ποὺ ἄλλοτε μὲν φέρει ἄφθονα ἄνθη, ἄλλοτε δὲ ρίπτει, ὅπως τὸ δένδρον, τὰ φύλλα του. Ἐὰν ἐξετάσῃς δὲν

κεκτημένον τὸν μαρασμὸν οὐχ εὑρήσεις. Οὕτω γὰρ ἡμῖν τὸν βίον ὁ Κτίστης συνέθηκεν τῶν πρὸς τὴν γῆν κεχηνότων ἐκλύων τὴν ὄρεξιν, καὶ συνέζευξε μαρασμῷ τὸ τοῦ βίου περίβλεπτον, ἵν' ὅταν σε τῶν γηΐνων τὸ τερπνὸν καταθέλξῃ, τὸ πρόσκαιρον ἐλπισθὲν ἀναστήσῃ. Τοῦ γὰρ παρόντος αἰῶνος ὁδοιπόρος κατετάχθης, οὐ κτήτωρ, καὶ τὴν ἐν τῇ κτίσει μόνην ὡς πανδοχείου παροδεύομεν χρῆσιν. Καθάπερ γὰρ ὁδοιπόροι μικρᾶς ἐν πανδοχείῳ διατριβῆς ἀπολαύσαντες, τὴν ἐφεξῆς ἐκβάντες πληροῦσιν ὁδοιπορίαν, οὕτω καὶ τὸν τὴν ζωῆς ταύτης ὁδοιποροῦντες αἰῶνα, μικρὸν ὡς ἐν καταλύματι τῷ βίῳ προσμείναντες, τῆς ἐντεῦθεν ἐκδημοῦμεν οἰκήσεως. Ἄλλον γὰρ ἡμῖν ὁ Θεὸς προηυτρέπισε βίον καὶ τοῦ πρὸς ἐκεῖνον δρόμου τὴν παροῦσαν ζωὴν ὁδὸν κατεσκεύασεν, τὰς παρὰ τῆς κτίσεως χρείας εἰς ἐφόδιον μόνον τῆς ὁδοῦ κατατάξας.

Ταύτην δὲ ἡμῖν τὴν ὁδὸν ἐξελθοῦσιν ὁ τῶν κτηθέντων ἁπάντων ἀσυνόδευτος πλοῦτος· οὐδὲν γὰρ ὧν ἐσχήκαμεν, ἐσχήκαμεν ἴδιον. Ἣν γὰρ φοροῦμεν πρῶτον ὡς ἰδίαν ἐσθῆτα, τὴν τῶν προβάτων ἐξεδύσαμεν φύσιν· ἃ περιβάλλομεν τοῖς ποσὶν ὑποδήματα, παρὰ τῆς τῶν βοσκημάτων δορᾶς κεκομίσμεθα· τὴν τῶν βρωμάτων καὶ ποτῶν χορηγίαν ἐκ τῶν τῆς γῆς συμπορίζομεν κόλπων· ταύτης ἐστὶν καὶ χρυσός, ὃν πάντες ὡς ἡμέτερον σφίγγομεν. Μαργαρίτας ἐξ ὀστρέων καὶ βασιλεῖς ἐρανίζονται. Ἐξ ἀλλοτρίας ζῶμεν εἰσφορᾶς καὶ πλουτοῦμεν. Ἀπόδος τοῖς προβάτοις τὸ ἔριον, καὶ οὐδὲν ἕξεις τῆς σαρκὸς περιβόλαιον· ἀπόδος τὰς αὐτῶν δορὰς τοῖς βοσκήμασιν, καὶ σκέπην ἰδιόκτητον τοῖς ποσὶν οὐχ

θὰ εὕρῃς τίποτε ἀπὸ ὅλα τὰ βιωτικὰ ποὺ εὑρίσκονται εἰς ἀκμὴν νὰ μὴ ἔχῃ γείτονα τὴν παρακμήν. Διότι κατ' αὐτὸν τὸν τρόπον ἐδημιούργησεν ὁ κτίστης τὴν ζωὴν τὴν ἰδικήν μας ποὺ χάσκομεν εἰς τὴν γῆν μὲ τὸ νὰ ἀσθενῇ τὴν ὄρεξιν, καὶ νὰ συνδέῃ τὸ ἀξιοθαύμαστον τοῦ βίου μὲ τὸν μαρασμόν, ὥστε ὅταν σὲ καταγοητεύσῃ τὸ εὐχάριστον τῶν γηίνων πραγμάτων νὰ σὲ ἐπαναφέρῃ εἰς τὴν τάξιν μὲ τὴν ἐλπίδα τοῦ προσκαίρου. Διότι ὡρίσθης νὰ εἶσαι εἰς τὴν παροῦσαν ζωὴν ὁδοιπόρος, ὄχι κτήτωρ, καὶ τὴν μόνην χρῆσιν ποὺ ἠμπορεῖς νὰ κάνῃς εἰς τὴν κτίσιν εἶναι ὁμοία μὲ ἐκείνην ποὺ κάνουν οἱ ὁδοιπόροι εἰς τὸ πανδοχεῖον. Διότι ὅπως οἱ ὁδοιπόροι, συνεχίζουν καὶ ὁλοκληρώνουν τὴν ὁδοιπορίαν των, ἀφοῦ κάμουν μίαν μικρὰν στάσιν εἰς πανδοχεῖον, ἔτσι καὶ ἡμεῖς βαδίζοντες αὐτὴν τὴν ζωήν, ἀφοῦ παραμείνωμεν ἐπ' ὀλίγον εἰς αὐτήν, ὡσὰν εἰς κατάλυμα, ἀπομακρυνόμεθα ἀπὸ τὴν ἐδῶ κατοίκησιν. Διότι ὁ Θεὸς μᾶς προητοίμασεν ἄλλον βίον καὶ ἔκαμε τὴν παροῦσαν ζωὴν δρόμον πρὸς ἐκείνην τὴν ζωήν, καὶ ἔδωσε τὰ ἀπαραίτητα ἀγαθὰ τῆς κτίσεως ὡς ἐφόδια μόνον αὐτῆς τῆς ὁδοιπορίας.

Ἀπὸ αὐτὸν τὸν δρόμον μᾶς ἐκτρέπει ὁ ἀσυνόδευτος πλοῦτος ποὺ ἔχομεν ἀποκτήσει· διότι τίποτε ἀπὸ ὅλα ὅσα ἔχομεν δὲν τὸ ἔχομεν ἐξ ἰδίων. Διότι αὐτὴν τὴν ἐνδυμασίαν τὴν ὁποίαν φοροῦμεν καὶ θεωροῦμεν ἰδικήν μας τὴν ἔχομεν κατασκευάσει ἀπὸ τὰ πρόβατα· τὰ ὑποδήματα τὰ ὁποῖα φοροῦμεν εἰς τοὺς πόδας τὰ ἔχομεν λάβει ἀπὸ τὸ δέρμα τῶν διαφόρων βοσκημάτων· τὴν ἀφθονίαν τῶν διαφόρων ποτῶν καὶ τροφῶν τὴν λαμβάνομεν ἀπὸ τοὺς κόλπους τῆς γῆς· αὐτῆς εἶναι καὶ ὁ χρυσὸς τὸν ὁποῖον ὅλοι κρατοῦμεν σφικτὰ ὡς ἰδικόν μας κτῆμα. Ἀκόμη καὶ μαργαριτάρια παίρνουν ἀπὸ διάφορα ὀστρακοειδῆ οἱ βασιλεῖς. Ζῶμεν καὶ πλουτίζομεν ἀπὸ ξένας εἰσφοράς. Δῶσε ὀπίσω τὸ μαλλὶ εἰς τὰ πρόβατα καὶ τότε δὲν θὰ ἔχῃς κανένα ἔνδυμα διὰ τὸ σῶμα σου· δῶσε ὀπίσω εἰς τὰ διάφορα βοσκήματα τὰ δέρματά των, καὶ τότε δὲν θὰ εὕρῃς κάλυμμα ἰδιό-

εὑρήσεις· ἀπόδος τὰ σηρικὰ τοῖς σκώληξι νήματα, καὶ σηρικὴν ἰδίαν οὐ προσοίσεις ἐσθῆτα. Ἀλλ' οὐδὲ ψιχῶν εὐπορήσεις ἰδίων, ἂν μὴ τὴν τρέφουσαν γῆν οἷς φιλεῖ κολακεύσῃς. Τοῦτο καὶ Χριστὸς ἐνδεικνύμενος ἔλεγεν· «Εἰ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς ὑμῖν δώσει;».

2. Μή μοι τὸν ἐκ τῶν κτηνῶν καὶ τῆς γῆς προβαλλόμενος πλοῦτον, ὡς ἐπ' ἰδίοις τοῖς μὴ σοῖς καλλωπίζου. Ἑνὸς εἶ κτήματος μόνου εὐσεβείας ἰδιοκτήτωρ. Ταύτης σε θάνατος ἐπελθὼν οὐ συλήσει· τῶν ἄλλων δὲ ἁπάντων ἐκβαλεῖ καὶ μὴ θέλοντα· εἰς ὑποκατάστασιν γὰρ τὴν βιωτικὴν πάντες παρελάβομεν κτῆσιν καὶ μόνην ταύτης τὴν χρῆσιν· ἕκαστος καρπούμενος ἄπεισιν, βραχὺ παρὰ τοῦ βίου κομιζόμενος μνῆμα. Τοῦτο γὰρ πάσης εὐημερίας τὸ τέλος, τοῦτο τῶν βιωτικῶν ἀγαθῶν τὸ συμπέρασμα. Μετὰ πολύπλεθρον κτῆσιν καὶ χρυσὸν πολυτάλαντον στενήν τινα καὶ δυσώδη κληρονομοῦμεν σορόν. Ὄντως «Πᾶσα σὰρξ χόρτος καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου». Μικρὰ σφοδρότης πυρετῶν ἐμπεσοῦσα πᾶσαν τοῦ βίου τὴν εὐθηνίαν ἐσκόρπισεν· προσέλεγε μὲν γὰρ ἔξωθεν ἡ τέχνη τὰ φάρμακα· τοῖς φαρμάκοις δὲ πυκτεύων ἀοράτως ὁ θάνατος, κατὰ μικρὸν προϊὼν χειροῦται τὸν ἄρρωστον· ὁ δὲ βλέπων τὸν ἄφυκτον ἐγκείμενον δήμιον, καὶ τὴν ψυχὴν βιαίως ὠθοῦντα πρὸς ἔξοδον, τρέπει μὲν στένων τὴν κεφαλὴν ἐφ' ἑκάτερα, περιφέρει δὲ τὸ βλέμμα σὺν δάκρυσιν. Οὐδαμῶθεν δὲ τῆς βίας βοήθεια· οὐκ οἰκέται, τὴν κλίνην περιεστῶτες, ἑλκόμενον σώζουσιν, οὐ τὰ

1α. Λουκᾶ 16, 12.
2. Πλέθρον. Μονὰς μήκους ἴση πρὸς 29,57 μ., ἢ ἐπιφανείας ἴση πρὸς 874 τ.μ.
3. Α΄ Πέτρ. 1, 24. Ἠσ. 40, 6.

κτητον διὰ τοὺς πόδας σου· δῶσε ὀπίσω τὰ μεταξωτὰ νήματα εἰς τοὺς μεταξοσκώληκας καὶ τότε δὲν θὰ ἔχῃς νὰ προσφέρῃς εἰς τὸν ἑαυτόν σου μεταξωτὴν ἐνδυμασίαν. Οὔτε ψίχουλον θὰ εἶσαι εἰς θέσιν νὰ ἔχῃς ἰδικόν σου ἐὰν δὲν περιποιηθῇς τὴν γῆν ποὺ σὲ τρέφει μὲ ὅσα αὐτὴ θέλει. Αὐτὸ θέλων νὰ δείξῃ καὶ ὁ Χριστὸς ἔλεγεν· «ἂν δὲν ἔχετε γίνει πιστοὶ εἰς τὸ ξένον, τὸ ἰδικόν σας ποῖος θὰ σᾶς τὸ δώσῃ;»[1α].

2. Μὴ λοιπόν, προβάλλων τὸν πλοῦτον ποὺ προέρχεται ἀπὸ τὴν γῆν καὶ τὰ ζῶα, καλλωπίζεσαι, ὡσὰν νὰ εἶναι ἰδικά σου, μὲ ἐκεῖνα, ποὺ δὲν εἶναι ἰδικά σου. Ἑνὸς μόνον κτήματος εἶσαι ἰδιοκτήτης, τῆς εὐσεβείας. Αὐτὴν δὲν θὰ σοῦ τὴν ἀφαιρέσῃ ὁ θάνατος ὅταν θὰ ἔλθῃ· ὅλα δὲ τὰ ἄλλα θὰ σοῦ τὰ ἀποστερήσῃ καὶ ἂν ἀκόμη δὲν τὸ θελήσῃς· διότι ἐλάβομεν ὅλοι εἰς ἀντικατάστασιν τὴν βιωτικὴν κτῆσιν, καὶ αὐτὸ μόνον ἀπὸ τὴν χρῆσιν αὐτῆς· ὁ καθένας, ἀφοῦ τὰ ἀπολαύσῃ, φεύγει ἀπὸ τὸν κόσμον αὐτόν, κομίζων ἀπὸ τὸν βίον του ἕνα μικρὸ μνῆμα. Διότι αὐτὸ εἶναι τὸ τέλος ὁποιασδήποτε εὐημερίας, αὐτὸ εἶναι τὸ ἀποτέλεσμα τῶν βιωτικῶν ἀγαθῶν. Μετὰ ἀπὸ ἀπόκτησιν πολλῶν πλέθρων[2] καὶ πολλῶν ταλάντων χρυσοῦ κληρονομοῦμεν κάποιαν στενὴν δύσοσμον σορόν. Πράγματι «Κάθε ἄνθρωπος ὁμοιάζει μὲ τὸ χόρτον καὶ κάθε δόξα τοῦ ἀνθρώπου ὁμοιάζει μὲ τὸ ἄνθος τοῦ χόρτου»[3]. Μόλις ἐμφανισθῇ ὀλίγος πυρετὸς σκορπίζει ὅλην τὴν εὐημερίαν τοῦ βίου· καὶ βέβαια προσθέτει μὲν εἰς ὅλα τὰ ἄλλα ἡ ἰατρικὴ τέχνη ἀπὸ ἔξω τὰ φάρμακα, ὁ θάνατος ὅμως μονομαχῶν ἀοράτως μὲ τὰ φάρμακα, ὀλίγον κατ' ὀλίγον καταβάλλει τὸν ἄρρωστον· αὐτὸς δὲ βλέπων τὸν ἀναπόφευκτον δήμιον νὰ πλησιάζῃ καὶ νὰ ὠθῇ τὴν ψυχὴν διὰ τῆς βίας ἔξω ἀπὸ τὸ σῶμα, στρέφει μὲν τὴν κεφαλὴν μὲ ἀναστεναγμοὺς καὶ πρὸς τὰς δύο κατευθύνσεις καὶ περιφέρει τὸ βλέμμα του δακρυσμένος, ἀπὸ πουθενὰ ὅμως δὲν εὑρίσκει βοήθειαν κατὰ τῆς βίας αὐτῆς· οὔτε οἱ ὑπηρέται, οἱ ὁποῖοι στέκουν γύρω ἀπὸ τὴν κλίνην, σώζουν τὸν συ-

τῶν φίλων κολακεύει τὸν θάνατον δάκρυα, οὐ χρυσὸς τὴν πρὸς τὸν κριτὴν κωλύει παράστασιν. Ἀδωροδόκητος γὰρ ὁ θάνατος δήμιος, καὶ δεξιὰν οὐκ ἔχων τῷ χρυσῷ πειθομένην, οὐδὲ πλουσίου ἐξαργυρίζων νεκρούς, ἀλλὰ πάντας ἐν τάφοις ὡς ἐν εἱρκταῖς φυλακίζων. Πρὸς τὰ τῶν ὀστῶν παράκυψον λείψανα, καὶ πικρότερον κλαύσεις τοῦ βίου τὸ μάταιον. Τετέφρωται πρόσωπον, μελανθὲν ὑπὲρ ἄσβολον· ὀφθαλμοὶ διατέτρηνται σηπεδόνι γλυφέντες· διακέχηνε στόμα καὶ πάροδον πολλάκις ἑρπετῶν ὑποδέχεται.

3. Τί καθ' ἕκαστον μέλος ἐνδιατρίβω; Φθορᾷ σκώληκες· ἅπαν τὸ σῶμα καθάπερ πολέμιοί τινες συμμερίζονται καὶ σάρκας καὶ νεῦρα καὶ φλέβας ἀκριβῶς ἐρευνῶντες. Καλῶς ἄρα τὸ βρέφος τῆς γαστρὸς παρακύψαν, θρήνων εὐθέως οὐ γέλωτος ἄρχεται· Κλαίει γὰρ ὥσπερ τοῦ βίου καταβοῶν, παρ' οὗ θνησιμαίων ἐκ προοιμίων ἀπογεύεται δώρων. Τεχθὲν γὰρ χεῖρας εὐθέως σπαργανοῦται καὶ πόδας καὶ δεσμοῖς ἐνειλημμένον τῆς θηλῆς ἀπολαύει, ὡς προοιμίου ζωῆς προδρόμου νεκρώσεως. Ἄρτι τὸ βρέφος εἰς ζωὴν παρελήλυθεν, καὶ νεκρῶν εὐθέως αὐτῷ στολισμὸς προσηνέχθη. Ὑπομιμνήσκει γὰρ τοῦ τέλους τοὺς τεχθέντας ἡ φύσις· διὸ καὶ τὸ παιδίον γεννηθὲν ἀποδύρεται καθάπερ τῇ μητρὶ διὰ τοῦ θρήνου βοῶν· Τί με πρὸς ταύτην, ὦ μῆτερ, τὴν ζωὴν ἀπεκύησας, ἐν ᾗ τοῦ ζῆν ἡ προσθήκη προσκοπὴ πρὸς τὸν θάνατον; Τί με πρὸς πολυτάραχον αἰῶνα παρήγαγες οὐ τεχθέν; Τί μοι τὰ προοίμια σπάργανα; Τί με τοιούτῳ παρήγαγες βίῳ, ἐν ᾧ καὶ νεότης ἐλεεινὴ τρυγωμένη πρὸ γήρως, καὶ γῆρας

ρόμενον πρὸς τὸν θάνατον, οὔτε τὰ δάκρυα τῶν φίλων κολακεύουν τὸν θάνατον, οὔτε ὁ χρυσὸς ἐμποδίζει τὴν ἐνώπιον τοῦ κριτοῦ παρουσίασιν. Καθ' ὅσον ὁ θάνατος εἶναι ἀδωροδόκητος δήμιος καὶ δὲν πείθεται τὸ χέρι του ἀπὸ τὸν χρυσόν, οὔτε ἐξαγοράζεται μὲ χρήματα μὲ ἀντάλλαγμα τοὺς νεκροὺς τῶν πλουσίων, ἀλλὰ ὅλους τοὺς φυλακίζει εἰς τὸν τάφον ὡσὰν εἰς φυλακήν. Πλησίασε διὰ νὰ ἰδῇς καλύτερα τὰ λείψανα τῶν ὀστῶν καὶ θὰ κλαύσῃς πικρότερα τὴν ματαιότητα τοῦ βίου αὐτοῦ. Ἔχει ἀποτεφρωθῇ τὸ πρόσωπον καὶ ἔγινε μελανὸν περισσότερον καὶ ἀπὸ καπνιάν· διετρυπήθησαν οἱ ὀφθαλμοὶ καὶ ἔγιναν κοῖλοι ἀπὸ τὴν σηπεδόνα· τὸ στόμα ἔχει ἀνοίξει καὶ πολλὲς φορὲς ἐπιτρέπει τὴν εἴσοδον εἰς τὰ ἑρπετά.

3. Διατί ὅμως ἀσχολοῦμαι μὲ κάθε ἕνα μέλος; Τὴν φθορὰν διαδέχονται τὰ σκουλήκια, καὶ ὡσὰν ὡρισμένους ἐχθρούς, συμμετέχουν ὅλα εἰς τὸ σῶμα καὶ κάνουν ἐπακριβῆ ἔρευναν καὶ εἰς τὰ νεῦρα καὶ εἰς τὰς φλέβας. Ἑπομένως πολὺ καλὰ κάνει τὸ βρέφος πού, μόλις βγῇ ἀπὸ τὴν κοιλίαν, ἀρχίζει νὰ κλαίῃ εὐθὺς ἀμέσως καὶ δὲν γελᾷ· κλαίει δηλαδὴ ὡσὰν νὰ κατηγορῇ τὸν παρόντα βίον, ἀπὸ τὸν ὁποῖον εὐθὺς παίρνει γεῦσιν τῶν θνησιμαίων δώρων. Διότι μόλις γεννηθῇ ἀμέσως δένονται τὰ χέρια καὶ τὰ πόδια του καὶ ἀφοῦ ἔχῃ δεχθῇ τὰ δεσμὰ ἀπολαμβάνει τὴν θηλήν, ὡσὰν ἡ ἀρχὴ τῆς ζωῆς νὰ εἶναι ὁ πρόδρομος τῆς νεκρώσεως. Μόλις τὸ βρέφος ἦλθεν εἰς τὴν ζωὴν εὐθὺς ἀμέσως τοῦ προσεφέρθη ὁ στολισμὸς τῶν νεκρῶν, ἡ φύσις δηλαδὴ ὑπενθυμίζει εἰς τοὺς γεννηθέντας τὸ τέλος· διὰ τοῦτο καὶ τὸ βρέφος ποὺ μόλις ἐγεννήθη θρηνεῖ ὡσὰν νὰ φωνάζῃ πρὸς τὴν μητέρα του μὲ τοὺς θρήνους του· Διατί, μητέρα, μὲ ἐγέννησες εἰς αὐτὴν τὴν ζωὴν εἰς τὴν ὁποίαν τὸ γεγονὸς τῆς ζωῆς ἀποτελεῖ προκατόπτευσιν πρὸς τὸν θάνατον; Διατί μὲ ἔφερες πρὸς πολυτάραχον αἰῶνα; Διατί αὐτὰ τὰ σπάργανα ἀπὸ τὴν πρώτην στιγμήν; Διατί μὲ ἔφερες εἰς μίαν τέτοιαν ζωὴν εἰς τὴν ὁποίαν καὶ ἡ νεότης εἶναι ἐλεει-

φευκτὸν ὡς ἐπὶ θάνατον ἄγον; Δεινόν, ὦ μῆτερ, τοῦ βίου τὸ στάδιον, θάνατον ἔχον τῶν τρεχόντων καμπτῆρα.

Πικρὰν τὴν βιωτικὴν ὁδοιποροῦμεν ὁδόν, καὶ τάφον ἔχουσαν τῶν ὁδευόντων κατάλυμα. Χαλεπὸν τὸ τοῦ βίου διαπλέομεν πέλαγος· ᾅδην γὰρ ἔχει πειρατὴν ἐφεστῶτα. Οὐχ ὡς πονηρὸν στηλιτεύω τὸν βίον (τοῦτο γὰρ τῶν τῆς μανίας ἐπωνύμων τὸ νόσημα), ἀλλ' ὡς προσκαίρου μὴ σφοδρῶς ἐξηρτῆσθαι μαρτύρομαι. Ταύτην τοῦ βίου καὶ Παῦλος κηρύττων τὴν ἀθλιότητα, τὴν τῆς κτίσεως φύσιν εἰσῆγε στενάζουσαν· «Πᾶσα», φησίν, «ἡ κτίσις στενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν». Ὅλη γὰρ σκυθρωπότητος ἡ κτίσις ἀνάμεστος· κἂν ἀκριβῆ ποιήσῃ τῶν ὄντων ἐρεύνησιν, τὸν οἰκεῖον ἐν ἑκάστῳ στεναγμὸν καθοπτεύσεις· πρῶτος παρ' ἀνθρώπων στεναγμὸς ἀναπέμπεται τῇ τῆς φθορᾶς λειτουργούντων δαπάνῃ.

Στένει μετ' ἀνθρώπων καὶ γῆ, τὴν κατάραν δι' ἡμᾶς δεξαμένη· ἀποδύρεται θάλαττα, καλὴ μὲν ἐξ ἀρχῆς παρὰ Θεοῦ γενομένη, τάφος δὲ μετὰ τὴν ἁμαρτίαν εὑρισκομένη πολλοῖς. Σκυθρωπάζει καὶ ἥλιος, τοὺς τὸν αὐτοῦ κτίστην οὐχ ὁρῶντας φωτίζων· ἀστέρες σὺν σελήνῃ στενάζουσιν, ὅτι διὰ τῆς εἰρηναίου μετ' ἀλλήλων χορείας τὸν εἰρηνοποιὸν δεικνύντες οὐ πείθουσιν. Οὐδὲ τῶν κτηνῶν τὸ γένος ἀστένακτον· οὐ μόνον εἰς ἡμᾶς ἀπαραιτήτῳ δουλείᾳ κοπτόμενα, ἀλλὰ καὶ δαίμοσι μάτην ἐν γωνίαις σφαττόμενα. Κοινός τις τῆς κτίσεως πανταχόθεν ὁ θρῆνος τὴν τῆς παρούσης ζωῆς κλαιούσης κατάστασιν, ἣν εὐστόχως κέκληκεν ὁ προφήτης εἰκόνα·

4. Ρωμ. 8, 22.

νὴ διότι χάνεται πρὶν τὸ γῆρας, καὶ τὸ γῆρας εἶναι κάτι ποὺ πρέπει νὰ τὸ ἀποφύγῃ κανείς, διότι ὁδηγεῖ πρὸς τὸν θάνατον; Δύσκολος, μητέρα, εἶναι ὁ δρόμος τῆς παρούσης ζωῆς, διότι ἔχει τὸν θάνατον ὡς τέρμα εἰς αὐτοὺς ποὺ τρέχουν.

Εἶναι πικρὰ ἡ ὁδὸς τῆς ζωῆς ποὺ βαδίζομεν καὶ ἔχει τὸν τάφον ὡς κατάλυμα δι' αὐτοὺς ποὺ τὴν βαδίζουν. Εἶναι φοβερὸν τὸ πέλαγος τοῦ βίου ποὺ διαπλέομεν, διότι ἔχει πειρατὴν ποὺ καραδοκεῖ τὸν Ἅδην. Δὲν κατηγορῶ τὸν βίον ὡς πονηρὸν (διότι τὸ νόσημα αὐτὸ εἶναι τῶν μανιακῶν ἀνθρώπων), ἀλλ' ἐπιθυμῶ νὰ τονίσω τὸ πρόσκαιρον τοῦ βίου διὰ νὰ μὴ προσκολληθῶμεν ἐξ ὁλοκλήρου εἰς αὐτόν. Αὐτὴν τὴν ἀθλιότητα τοῦ βίου κηρύσσων καὶ ὁ Παῦλος παρουσίαζε τὴν στενάζουσαν φύσιν τῆς κτίσεως, λέγων· «Ὅλη ἡ κτίσις μαζὶ στενάζει καὶ πονεῖ μέχρι σήμερα»[4]. Ὅλη ἡ κτίσις εἶναι γεμάτη ἀπὸ σκυθρωπότητα· καὶ ἂν κάμῃ κανεὶς λεπτομερῆ ἐξέτασιν τῶν ὄντων, θὰ εὕρῃ εἰς κάθε ἕνα τὸν ἰδικόν του ἀναστεναγμόν· πρῶτος στεναγμὸς ἀπὸ τοὺς ἀνθρώπους ἀναπέμπεται, διότι ὑπόκεινται εἰς τὸν ἀφανισμὸν τῆς φθορᾶς.

Στενάζει μαζὶ μὲ τοὺς ἀνθρώπους καὶ ἡ γῆ ἡ ὁποία ἐδέχθη τὴν κατάραν δι' ἡμᾶς· θρηνεῖ ἡ θάλασσα διότι, ἐνῷ ἐξ ἀρχῆς ἔγινε καλὴ ἀπὸ τὸν Θεόν, μετὰ τὴν ἁμαρτίαν γίνεται τάφος εἰς πολλούς· σκυθρωπάζει καὶ ὁ ἥλιος, ὁ ὁποῖος φωτίζει ἐκείνους ποὺ δὲν ἠμποροῦν νὰ ἰδοῦν τὸν δημιουργόν του· στενάζουν τὰ ἄστρα καὶ ἡ σελήνη διότι ἡ ἁρμονικὴ καὶ εἰρηνικὴ κίνησίς των, ποὺ φανερώνει τὸν εἰρηνοποιόν, δὲν πείθει τοὺς ἀνθρώπους. Οὔτε τὸ γένος τῶν κτηνῶν ἔμεινε χωρὶς στεναγμούς· ὄχι μόνον κόπτονται ἐξ αἰτίας τῆς ἀναγκαίας εἰς ἡμᾶς δουλείας των, ἀλλὰ καὶ ἀδίκως σφάζονται εἰς τὰς γωνίας χάριν τῶν δαιμόνων. Κάποιος κοινὸς θρῆνος τῆς κτίσεως ἀπὸ παντοῦ ἀκούγεται ποὺ κλαίει τὴν κατάστασιν τῆς παρούσης ζωῆς, τὴν εἰκόνα τῆς ὁποίας πολὺ εὔστοχα παρουσιάζει ὁ προφήτης· «τὰ σύμπαν-

«Τὰ σύμπαντα» γάρ, φησί, «ματαιότης, πᾶς ἄνθρωπος ζῶν, μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος».

Καὶ βλέπε τῆς φωνῆς τὴν ἀλήθειαν, τὴν ἀνθρωπίνην ἀκριβῶς ἀνερευνήσας ζωήν. Καθάπερ γὰρ ἐν εἰκόνι κάθηται μὲν ἐπὶ θρόνων βασιλεὺς χρυσοπάστων, προσφέρουσι δὲ πόλεις ἐν τοῖς χρώμασι δῶρα· δέχεται δὲ τοῦ βασιλέως ἡ χεὶρ τὰ διδόμενα· πάντα δὲ σκιὰ καὶ σκηνὴ τὰ φαινόμενα, καὶ ῥαγείσης τῆς σινδόνος ἐγυμνώθη τὸ σχῆμα· τὸν αὐτὸν τρόπον, καὶ τῶν ἀνθρώπων ἡ φύσις καθάπερ ἐν εἰκόνι τῷ βίῳ βασιλεύς τις ἐγκαθημένη, δέχεται μὲν τὰς τῆς θαλάττης καὶ γῆς ὥσπερ ἔκ τινων πόλεων εἰσφορὰς διδομένας· ῥαγείσης δὲ αὐτῇ τῆς ζωῆς ὡς σινδόνος, ἅπαν ἔσχεν τοῦ βίου διαρρέον τὸ κάλλος. Ἓν δὲ μέγιστον τῶν ἐν ἀνθρώποις καλῶν καρδίας συντετριμμένης ταπείνωσις καὶ τὴν τῆς τελευτῆς ἀεὶ μελετώσης ἡμέραν, καθ' ἣν γυμνοὶ τῆς βιωτικῆς ταύτης ἐξιόντες θαλάττης τὰς τῶν πράξεων ἐκπομπευούσας τῇ κτίσει κατοψόμεθα στήλας.

4. Βούλει σοι τούτου παραγάγω παράδειγμα; Ἐπὶ μιᾶς τινὸς ὁλκάδος συνέπλεόν τινες καὶ τὴν αὐτὴν ἀλλήλοις συνναυτιλλόμενοι θάλατταν, ποικίλας κατ' ἀλλήλων κλοπὰς ἐπεδείκνυντο. Ταύτας ὁ κυβερνήτης ἀκριβῶς κατοπτεύων, τὸν τῶν κλεμμάτων τέως οὐκ ἐπόμπευεν ἔλεγχον· ἀλλ' ὡς λιμένι τὸ σκάφος προσεγγίζον ἑώρα, γυμνοὺς πάντας τῆς ὁλκάδος ἐξιέναι κελεύσας, εὗρεν ἑκάστου τὴν κλοπὴν ἐν τῷ πλοίῳ κειμένην. Κατὰ τοῦτό μοι τῆς ζωῆς τὸ παράδειγμα σκοπεῖ· πρόκειται γὰρ ἡμῖν ἀντὶ θαλάττης ὁ βίος· σκάφος δέ τι πρὸς τὸν πλοῦν ἡ κτίσις συνήρμοσται, κυβερνήτῃ μὲν τῷ Θεῷ κεχρημένον, πάσας δὲ τὰς τῶν ἔργων ἐμπορείας

5. Ψαλμ. 38, 5-6.

τα», λέγει, «εἶναι ματαιότης, κάθε ἄνθρωπος ἵσταται ὡς ἁπλῆ πνοή, καὶ ὡς σκιὰ πράγματι περιπατεῖ κάθε ἄνθρωπος»[5].

Καὶ πρόσεξε τὴν ἀλήθειαν τῶν λεγομένων, ἀφοῦ ἐξετάσῃς μὲ λεπτομέρειαν τὴν ἀνθρωπίνην ζωήν. Διότι ὅπως ἀκριβῶς εἰς μίαν παράστασιν ὁ μὲν βασιλεὺς κάθεται ἐπάνω εἰς θρόνον στολισμένον μὲ χρυσόν, προσφέρουν δὲ οἱ πόλεις πολύχρωμα δῶρα, καὶ δέχεται τὸ χέρι τοῦ βασιλέως τὰ διδόμενα, ὅλα δὲ ὅσα φαίνονται εἶναι φανταστικὰ καὶ ὑποκριτικά, καὶ ὅταν σχισθῇ τὸ σινδόνι φαίνεται γυμνὴ ὅλη ἡ παράστασις, κατὰ τὸν ἴδιον τρόπον καὶ ἡ φύσις τῶν ἀνθρώπων ὡσὰν ἀκριβῶς εἰς κάποιαν εἰκόνα κάθεται ὡς βασιλεὺς τῆς ζωῆς καὶ δέχεται τὰς διδομένας εἰσφορὰς ἀπὸ τὴν θάλασσαν καὶ τὴν γῆν ὡσὰν ἀπὸ τὰς πόλεις· ὅταν ὅμως ἐπέλθῃ κάποιο ρῆγμα εἰς τὴν παράστασιν αὐτὴν τῆς ζωῆς, ὅπως εἰς τὴν σινδόνα, ἐξαφανίζεται ὅλον τὸ κάλλος τοῦ βίου. Τὸ μέγιστον ἀπὸ τὰ καλὰ εἰς τοὺς ἀνθρώπους εἶναι ἕνα, ἡ ταπείνωσις τῆς συντετριμμένης καρδίας καὶ ἡ ἐνθύμησις τῆς ἡμέρας τοῦ θανάτου, κατὰ τὴν ὁποίαν θὰ ἐξέλθωμεν γυμνοὶ ἀπὸ τὴν βιωτικὴν αὐτὴν θάλασσαν, καὶ θὰ ἴδωμεν τὰς στήλας τῶν πράξεων νὰ μᾶς συνοδεύουν.

4. Θέλεις νὰ σοῦ ἀναφέρω ἕνα παράδειγμα πρὸς ἐπιβεβαίωσιν τούτου; Συνέπλεον ἐπάνω εἰς ἕνα ἱστιοφόρον πλοῖον μερικοὶ διασχίζοντες τὴν ἰδίαν θάλασσαν καὶ ἐπεδείκνυαν μεταξύ των τὰ κλοπιμαῖα ἀπὸ τὰς πολλὰς κλοπὰς ποὺ εἶχαν διαπράξει. Ὅλα αὐτὰ ὁ κυβερνήτης τὰ παρετήρει μὲ λεπτομέρειαν καὶ δὲν τοὺς ἔκανεν εἰς τὴν ἀρχὴν τὸν ἔλεγχον διὰ τὰ κλοπιμαῖα, ἀλλὰ μόλις εἶδεν ὅτι τὸ σκάφος προσήγγισεν εἰς λιμένα, ἀφοῦ διέταξεν ὅλους νὰ ἐξέλθουν ἀπὸ τὸ πλοῖον γυμνοί, εὑρῆκε νὰ ὑπάρχῃ εἰς τὸ πλοῖον ἡ κλοπὴ τοῦ καθενός. Ὡς πρὸς τοῦτο, κατὰ τὴν γνώμην μου, ὁμοιάζει τὸ παράδειγμα αὐτὸ μὲ τὴν ζωήν· ἀντὶ τῆς θαλάσσης ὑπάρχει εἰς ἡμᾶς ἡ ζωὴ καὶ σκάφος πρὸς πλοῦν εἶναι ἡ κτίσις μὲ κυβερνήτην τὸν Θεόν, ὁ ὁποῖος δέχεται ὅλας

δεχόμενον. Ἂν διεφθαρμένον τις ἐμπορεύσηται βίον, ἐν τῷ τῆς κτίσεως αὐτὸν ἀποθήσεται πλοίῳ· ἂν εὐπολίτευτον ζωὴν πραγματεύσηται, ἐπὶ τῆς κρίσεως ἔσται τὸ πραχθὲν φυλαττόμενον. Εἶτα τῶν τῆς τελευτῆς ἐγγισάντων λιμένων, γυμνοὺς ἡμᾶς ἐκ τοῦ γηΐνου σκάφους ὁ κυβερνήτης ἐκβάλλει, καὶ μένει πάντων ἡ πρᾶξις ἐν τῇ κρίσει πομπευομένη.

Ἄμεμπτοι τοίνυν τὸ τοῦ βίου ναυτιλλώμεθα πέλαγος· ἔργων ἀγαθῶν τὴν κτίσιν κτησώμεθα μάρτυρα· τὸν σκιώδη τῶν παρόντων ὑπερβαίνωμεν κόμπον· τῆς θνητῆς ἀποστήσωμεν τὴν καρδίαν τερπνότητος· τὴν εἰς φθορὰν τελευτῶσαν σπουδὴν ἀποφύγωμεν· τοῖς γηΐνοις τὴν ψυχὴν μὴ συνδέσωμεν βρόχοις· τῆς ἀπορρύτου τῶν θνητῶν ὑπερφρονήσωμεν δόξης· ὡς βαφὴν εὐαπόπλυτον τὸ τῶν προσκαίρων διαπτύσωμεν ἄνθος· οὐρανοπόρῳ τὸν βίον πτερώδει διαδράμωμεν εὐχῇ, οἱ τὴν βιωτικὴν ὁδοιποροῦντες ὁδὸν καὶ τὸ τῆς ἄνω κλήσεως βραβεῖον μεταδιώξωμεν ἐν Χριστῷ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τὰς ἐμπορείας. Ἂν κάποιος κάνῃ διεφθαρμένην ζωήν, θὰ τὸν ἀφήσῃ εἰς τὸ πλοῖον τῆς κτίσεως· ἂν ζήσῃ καλὴν ζωὴν ἡ ἀμοιβὴ διὰ τὴν πρᾶξιν θὰ φυλαχθῇ διὰ τὴν ἡμέραν τῆς κρίσεως. Ἔπειτα ἀφοῦ πλησιάσωμεν εἰς τὰ λιμάνια τοῦ τέλους τῆς ζωῆς, μᾶς βγάζει ὁ κυβερνήτης γυμνοὺς ἔξω ἀπὸ τὸ γήινον σκάφος καὶ μένουν τὰ ἔργα ὅλων νὰ παρουσιασθοῦν κατὰ τὴν κρίσιν.

Ἂς διασχίσωμεν λοιπὸν τὸ πέλαγος τοῦ βίου ἄμεμπτοι καὶ ἂς ἀποκτήσωμεν διὰ τῶν ἀγαθῶν ἔργων μάρτυρα τὴν κτίσιν· ἂς ὑπερβῶμεν τὸν σκιώδη κόμπον τῶν παρόντων· ἂς ἀπομακρύνωμεν τὴν καρδίαν μας ἀπὸ τὴν ἐφήμερον ἀπόλαυσιν· ἂς ἀποφύγωμεν τὴν φροντίδα ποὺ ὁδηγεῖ εἰς τὴν φθοράν· ἂς μὴ δέσωμεν τὴν ψυχὴν μὲ τὰ γήινα δεσμά· ἂς περιφρονήσωμεν τὴν δόξαν ποὺ ἀπορρέει ἀπὸ τὰ θνητά· ἂς καταφρονήσωμεν τὸ ἄνθος τῶν προσκαίρων ὡς βαφὴν ποὺ εὔκολα ἀποπλύνεται· ἂς διέλθωμεν τὸν βίον ὡς νὰ πορευώμεθα εἰς τὸν οὐρανὸν διὰ τῶν πτερῶν τῆς προσευχῆς, ἐμεῖς ποὺ βαδίζομεν τὴν ὁδὸν τοῦ βίου, καὶ ἂς ἐπιδιώξωμεν τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

15

ΟΤΙ ΠΑΝΤΩΝ Η ΚΑΤΑ ΨΥΧΗΝ ΑΡΕΤΗ *προτιμοτέρα.*

1. Ἀριθμῶν τὰ τοῦ βίου πολλάκις κατ' ἐμαυτὸν ἀγαθά, καὶ μεστὴν εὑρίσκων πολλῶν πανταχόθεν τὴν κτίσιν, καὶ μυρίων τῷ γένει παρεκτικὴν ἀγαθῶν, οὐδὲν ὁρῶ τοῦ ψυχῆς ὡραιότητα φιλοκαλεῖν ἀγαθώτερον, οὐδὲ μᾶλλον ἀνθρώπου πρεπωδέστερον φύσει. Τίς γὰρ οὕτω πρέπων ἀνθρωπότητι πλοῦτος, ὡς ἐλπίδων εὐσεβῶν εὐπορία; Τίς οὕτως ἐκ δυναστείας λαμπρός, ὡς ἐκ γνώμης τῷ τῶν ὅλων βασιλεῖ τιμωμένης; Τίς ἐκ τρυφῆς ἡδονὴ τηλικαύτη, ὁπόση τις συνειδότος ζωοποιοῖς ἑστιωμένου μαθήμασιν; Πᾶν ὅπερ ἂν εἰς μέσον ἀγαθὸν παραγάγῃς, ἐξ οὐδενὸς ἂν εὕροις ὡς ἐκ γνώμης ἐνθέου σεμνυνόμενον ἄνθρωπον. Τῶν μὲν γὰρ ἄλλων καλῶν ἐστίν τις καὶ τοῖς ἀλόγοις πρὸς ἡμᾶς κοινωνία· οἷον ἡ τῆς ἀκτῖνος καλή τις ἀπόλαυσις, ἀλλὰ πρόκειται καὶ τοῖς κτήνεσιν. αὐτή· ἡ τῶν βρωμάτων ἀγαθὴ χορηγία, ἀλλὰ τούτων κἀκείνοις μετάσχεσις· αἱ τοῦ κάλλους ἐράσμιοι χάριτες, ἀλλ' εὕροις ἂν καὶ κάλλος ἐξ ὀρνίθων ἀστράπτον· τὸ δὲ ἰσχύος πολυθρύλλητον δῶρον, ἀλλ' ἔστι τὸ ταύτης καὶ βουσὶ πλεονέκτημα· ἡ τοῦ πλούτου πολύευκτος ἄθροισις, ἀλλ' ἴδοις ἂν καὶ ὄστρεα πλούσια μαργαριτῶν θησαυροῖς. Οὐδενὸς τῶν σαρκίνων παρ' ἡμῖν καυχημάτων ἡ τῶν ἀλόγων ἀκοινώνητος φύσις, οὐδενὸς σωματικοῦ παρ' ἡμῖν πλεονεκτήματος χείρων. Ἐξ ἑνὸς δὲ αὐτοῖς μόνου πρὸς ἡμᾶς παραχώρησις, ἑνὶ μόνῳ παρ' ἡμῶν νικῶνται πλεονεκτήματι.

Ποίῳ δὴ τούτῳ; Τῇ τῆς γνώμης ἀξίᾳ, δι' ἣν ἄνθρωπος Θεῷ παραπλήσιος, νῷ κεχρημένος κυβερνήτῃ τῶν ὄντων, διανοίᾳ διοικῶν τὰ τῆς κτίσεως, λογισμῷ τὸν οὐρανὸν διεξιών, ἐννοίᾳ τὸ ὑπήκοον ἄγων, ἡνιοχῶν σοφίᾳ τῆς ἀτάκτου θαλάσσης τὸ δύσχρηστον, προνοίᾳ τὰ φυόμενα σώζων, ἐπι-

15
ΟΤΙ ΕΞ ΟΛΩΝ ΤΩΝ ΑΓΑΘΩΝ ΠΡΟΤΙΜΟΤΕΡΑ
εἶναι ἡ κατὰ ψυχὴν ἀρετή.

1. Ἀπαριθμῶν πολλάκις μόνος μου τὰ ἀγαθὰ τοῦ βίου καὶ διαπιστώνων ὅτι ἡ κτίσις εἶναι ἀπὸ παντοῦ γεμάτη ἀπὸ πολλὰ ἀγαθά, τὰ ὁποῖα καὶ παρέχει ἀναρίθμητα, δὲν βλέπω τίποτε νὰ εἶναι ἀγαθώτερον ἀπὸ τὴν ὡραιότητα τῆς ψυχῆς καὶ λαμπρότερον ἀπὸ τὴν ἀνθρωπίνην φύσιν. Διότι ποῖος πλοῦτος ἁρμόζει τόσον εἰς τὴν ἀνθρωπότητα, ὅσον ἡ ἀφθονία τῶν εὐσεβῶν ἐλπίδων; Ποῖος εἶναι τόσον ἔνδοξος ἀπὸ τὸ βασίλειον ὥστε νὰ τιμᾶται τόσον ἀπὸ τὸν βασιλέα τῶν ὅλων; Ποία ἡδονὴ προερχομένη ἐκ τῆς μαλθακότητος εἶναι τόσον μεγάλη, ὅσον ἡ συνείδησις εἰς κάποιον ὅτι μετέχει εἰς μαθήματα ποὺ ζωοποιοῦν; Οἱονδήποτε ἀγαθὸν ἂν φέρῃς εἰς τὸ μέσον δὲν θὰ εὕρῃς νὰ ἐκθειάζεται ἀπὸ κανένα ὅσον ὁ ἄνθρωπος. Διότι εἰς τὰ ἄλλα καλὰ ὑπάρχει κάποια συμμετοχὴ μὲ ἡμᾶς καὶ τῶν ἀλόγων ὄντων· ὅπως π.χ. ἡ καλὴ ἀπόλαυσις κάποιας ἀκτῖνος, ὅμως ὑπάρχει αὐτὴ καὶ ἐμπρὸς εἰς τὰ κτήνη· ἡ ἀφθονία τῶν τροφῶν, ὅμως ὑπάρχει συμμετοχὴ καὶ τούτων εἰς αὐτάς· τὰ ἀξιαγάπητα θέλγητρα τοῦ κάλλους, ὅμως ἠμπορεῖς νὰ εὕρῃς ἀπαστράπτουσαν ὡραιότητα καὶ εἰς τὰ πτηνά· ἡ συγκέντρωσις τοῦ πολυποθήτου πλούτου, ὅμως ἠμπορεῖς νὰ ἰδῇς ὄστρακα πλούσια εἰς τὰ θησαυροφυλάκια ποὺ ἔχουν μαργαριτάρια. Σὲ τίποτε ἀπὸ τὰ διάφορα σαρκικὰ καυχήματά μας δὲν μένει ἀμέτοχος ἡ φύσις τῶν ἀλόγων, σὲ κανένα ἀπὸ τὰ σωματικά μας πλεονεκτήματα δὲν εἶναι χειροτέρα. Μόνον δὲ εἰς ἕνα πρᾶγμα ὑστεροῦν ἀπὸ ἡμᾶς, καὶ ἀπὸ ἕνα μόνον πλεονέκτημα νικῶνται.

Ποῖον λοιπὸν εἶναι αὐτό; Ἡ ἀξία τῆς νοήσεως τοῦ ἀνθρώπου διὰ τῆς ὁποίας ὁ ἄνθρωπος γίνεται παραπλήσιος πρὸς τὸν Θεόν, χρησιμοποιεῖ τὸν νοῦν διὰ τὴν κυβέρνησιν τῶν ὄντων, μὲ τὸν νοῦν διοικεῖ τὰ τῆς κτίσεως, μὲ τὸν λογισμὸν διαπερᾷ τὸν οὐρανόν, μὲ ἡν διάνοιαν ὁδηγεῖ τοὺς ὑποτελεῖς, μὲ τὴν σύνεσιν ὁδηγεῖ τὸ δύσχρηστον τῆς ἀτάκτου θαλάσσης, μὲ τὴν φροντίδα του διασώζει τὰ γεννώμενα, ἀποδεικνύων μὲ τὴν ἀκριβῆ γνῶσιν του τὰ διάφορα

στήμη δεικνὺς τὰ φαινόμενα, δεσπόζων τῆς τῶν ὄντων, ὡς ὁ κτίστης, καλλιτεχνίας. Καὶ ταῦτα δηλῶν ἐκ προοιμίων ἐφ' ἡμῖν ὁ Θεὸς ἀνεβόα· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν». Καὶ φοβερὰ τῆς εἰκόνος ἡ τιμή, καὶ φιλάνθρωπος· φοβερὰ μὲν ὡς εἰκὼν ἀρχετύπου φρικώδους. Κίνδυνος γὰρ οὐ μικρός, μὴ σχοίη τις πρόσκρουσιν τῷ τῆς ἁμαρτίας σπίλῳ τὴν εἰκόνα σπιλώσας· φιλάνθρωπος δέ, ὡς μεγάλη δωρεὰ πρὸ ἱδρώτων, ἣν ἡμῖν ὁ κτίστης πρὸ γενετῆς παρεσκεύαζεν. «Ποιήσωμεν» γάρ, φησίν, «ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν». Πρὸ τῆς πλάσεως μερίμνῃ τιμώμεθα. Ἑκάστῳ μὲν γὰρ τῶν ὄντων παρεχόμενος ὕπαρξιν, αὐθεντίαν ἐτήρει προστάττοντος, καὶ πᾶσαν τῶν ὁρωμένων τὴν φύσιν ἐκ προστάγματος ἔκτιζεν, προστακτικῶς τοῖς οὐκ οὖσιν ἐπιφθεγγόμενος. Γενηθήτω φῶς· γενηθήτω στερέωμα· γενηθήτωσαν φωστῆρες εἰς φαῦσιν· ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν· ἐξαγαγέτω ἡ γῆ τετράποδα κατὰ γένος! Ὡς δὲ ἔδει κτισθῆναι τὸν ἄνθρωπον ἀφεὶς τὸν προστάττοντα, τὸν αὐτουργὸν ἀνελάμβανεν, ἀφεὶς τὸν σχεδιάζοντα τῶν ὄντων τὴν σύνθεσιν, τὴν ἀνθρωπογένειαν ἐσκέπτετο, ἀφεὶς εἰπεῖν πρὸς τὴν γῆν, ἐξάγαγε ἄνθρωπον! Ὡς κτίσαι τὸν ἄνθρωπον μὴ δυνάμενος μόνος. καὶ κοινωνοὺς συγκαλεῖ πρὸς τὴν πλάσιν, καὶ ὡς συνεργῶν δεόμενος κέκραγεν· «Ποιήσωμεν»· οὐ μελέτης εἰς τέχνην δεόμενος, οὐ συνεργῶν εἰς διάπλασιν χρήζων, ἀλλὰ τῷ τῆς μελέτης καὶ συνεργίας σχηματισμῷ μεμεριμνημένον αὐτῷ καὶ πάμμεγα διαπλάττειν ἐνδεικνύμενος γένος. Ἐν δὲ τῇ τιμῇ καὶ παιδαγωγία τις τῷ γένει πρὸς εὐσέβειαν κέκρυπται. Πᾶσαν γὰρ τὴν κτίσιν θεοποιίας ἐξέβαλεν, εἰκόνι τῆς ἰδίας

---

1. Γεν. 1, 26.
2. Προλ. Γεν. 1, 3 ἑξ.

φαινόμενα, δεσπόζει ὅλων τῶν ὄντων, ὅπως ὁ δημιουργός, εἰς τὴν καλλιτεχνίαν. Καὶ αὐτὰ θέλων νὰ φανερώσῃ ἐξ ἀρχῆς ὁ Θεὸς ἔλεγε δι' ἡμᾶς· «ἂς δημιουργήσωμεν ἄνθρωπον κατὰ τὴν εἰκόνα τὴν ἰδικήν μας»[1]. Καὶ εἶναι φοβερὰ καὶ φιλάνθρωπος ἡ τιμὴ τῆς εἰκόνος· φοβερὰ μὲν ὡς εἰκὼν τοῦ ἀρχετύπου ποὺ προκαλεῖ δέος. Κίνδυνος βέβαια ὑπάρχει ὄχι μικρός, μὴ τυχὸν καὶ προσκρούσῃ εἰς τὸν ρύπον τῆς ἁμαρτίας καὶ ρυπάνει τὴν εἰκόνα· φιλάνθρωπος δέ, ὡς μεγάλη δωρεά, ποὺ μᾶς ἐδόθη πρὶν ἀπὸ κάθε μόχθον, τὴν ὁποίαν παρεσκεύαζεν εἰς ἡμᾶς ὁ δημιουργὸς πρὶν ἀπὸ τὴν δημιουργίαν μας. Διότι λέγει «ἂς δημιουργήσωμεν ἄνθρωπον κατὰ τὴν ἰδικήν μας εἰκόνα». Πρὸ τῆς δημιουργίας τιμούμεθα διὰ τῆς φροντίδος του. Διότι φέρων εἰς τὴν ζωὴν κάθε ἕνα ἀπὸ τὰ ὄντα διετήρη τὴν αὐθεντίαν τοῦ διατάσσοντος, καὶ ὅλον τὸν ὁρατὸν κόσμον ἐδημιούργησε μὲ τὴν προσταγήν του, ὁμιλῶν προστακτικῶς εἰς τὰ μὴ ὄντα. Ἂς γίνῃ φῶς· ἂς γίνῃ ὁ οὐράνιος θόλος· ἂς γίνουν φωστῆρες εἰς τὸν θόλον τοῦ οὐρανοῦ διὰ νὰ ρίπτουν φῶς ἐπὶ τῆς γῆς· ἂς γεμίσουν τὰ ὕδατα ἀπὸ πλήθη ζώντων ὀργανισμῶν· ἂς δημιουργήσῃ ἡ γῆ τὰ διάφορα εἴδη τῶν τετραπόδων κατὰ γένος[2]! Ὅταν δὲ ἐπρόκειτο νὰ δημιουργήσῃ τὸν ἄνθρωπον, ἀφοῦ ἄφησε τὰ προστάγματα καὶ ἀνέλαβεν αὐτοπροσώπως τὴν δημιουργίαν, ἄφησε τὴν δημιουργίαν τῶν ἄλλων ὄντων καὶ ἐσκέπτετο τὴν δημιουργίαν τοῦ ἀνθρωπίνου γένους, δὲν εἶπεν εἰς τὴν γῆν, δημιούργησε ἄνθρωπον! ὡσὰν νὰ μὴ ἠμποροῦσε νὰ δημιουργήσῃ τὸν ἄνθρωπον μόνος, προσκαλεῖ καὶ συνεργάτας εἰς τὴν δημιουργίαν, καὶ ὡσὰν νὰ εἶχεν ἀνάγκην συνεργατῶν εἰς τοῦτο εἶπεν· «ἂς δημιουργήσωμεν»· δὲν εἶχεν ἀνάγκην μελέτης εἰς τὴν δεξιότητα, δὲν ἐχρειάζετο συνεργάτας εἰς τὴν διάπλασιν, ἀλλὰ ἡ σχηματοποίησις τῆς μορφῆς μὲ τὴν μελέτην καὶ τὴν συνεργασίαν δεικνύει τὴν ἰδιαιτέραν φροντίδα δι' αὐτὸ καὶ ὅτι ἤθελε νὰ δημιουργήσῃ πολὺ μεγάλο γένος. Εἰς αὐτὴν δὲ τὴν τιμὴν ἔχει κρυβῆ καὶ κάποια παιδαγωγία πρὸς τὴν εὐσέβειαν διὰ τὸ ἀνθρώπινον γένος. Διότι ἀπέρριψεν ὅλην τὴν κτίσιν ἀπὸ τὴν θεοποιίαν μεταδώσας εἰς αὐτὴν τὴν εἰ-

αὐτὴν παραδοὺς μοναρχίας· εἰκόνος γὰρ βασιλέως ἅπαν μέγα νομιζόμενον. Δεύτερον· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν»· καὶ προβλέπων μὲν τὸ ἀγνώμον, τὸ φίλτρον οὐκ ἤμβλυνεν· οὐ γὰρ ἔδει μὴ λάμψαι τὸν ἥλιον διὰ τοὺς πρὸς τὴν ἀκτῖνα τυφλούς· διὰ τοῦτο καὶ προειδὼς τὴν παράβασιν, τὴν φιλανθρωπίαν ἀνέτελλεν· καὶ προορῶν τὸ μέλλον, τὴν τιμὴν οὐκ ἀνεῖλεν, καὶ προγινώσκων τὴν ὕβριν, οὐ κατέσχε τὴν χάριν, φιλοκαλῶν πλαττομένους, ἵνα κἂν ὡς πρόσκαιρος ἀπομάθῃ τὸ ἄπληστον, καὶ δῷ πρόφασιν τῷ Θεῷ δευτέρου δώρου πρὸς ἀρχὴν ἀϊδίου.

Δεινὸν γὰρ εἰς ἀπληστίας σωφρονισμὸν τελευτή. Τῷ γὰρ μετὰ μικρὸν κεισομένῳ τῆς ἀπλήστου τίς ὄνησις κτίσεως; Τῷ τὸν βίον ὡς ὁδὸν διϊόντι ἡ τῶν περιττῶν ἀχθοφορία ματαία. Ὁδὸν γὰρ τὸν βίον, οὐ πατρίδα κεκτήμεθα. Οὕτως αὐτὸν ὁ Κύριος ἐν τοῖς Εὐαγγελίοις καλῶν «Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ». Εὔλογος ἡ τῆς ὁδοῦ προσηγορία τῷ βίῳ· μεμέτρηται γὰρ ζωὴ ὥσπερ ὁδὸς διαστήμασιν· πρόσκαιρόν ἐστι πλουτούντων καὶ πτωχῶν πανδοχεῖον· ὀλιγοχρόνιος παρερχομένων ἀνάπαυσις· «Αἱ ἡμέραι γὰρ ἡμῶν ὡς σκιὰ παράγουσιν». Ποῦ τὰ πρῶτα τῆς ζωῆς ἡμῶν ἔτη; Παρῆλθεν ὡς σκιᾶς φαντασία, διέδραμεν ὡς σχήματος σκίασμα. Πόσον ἡμῖν τῆς ὑπολοίπου ζωῆς τὸ διάστημα; Τίθει πολυετίαν φιλότιμον, ἑκατοντοῦτιν ζωήν· εἰ δὲ βούλει, τριπλασίασιν δὸς ἔτεσιν, καὶ οὐδενὶ τῶν βιωτικῶν τούτων παρέξῃ τὸ μόνιμον· κἂν πλούτῳ φιλοτιμῆται, κἂν τρυφῇ περικλύζηται, κἂν θρόνων ὑψηλότητι λάμπῃ, κἂν ὅ,τι οὖν τῶν τοῦ βίου συμπεριφέρῃ λαμπρῶν. Πάντα γὰρ τοῖς τῶν ἀνθέων

---

3. Ματθ. 5, 25.
4. Α΄ Παραλ. 29, 15. Ἰὼβ 8, 9.

κόνα τῆς ἰδικῆς του μοναρχίας· διότι ἡ εἰκόνα τοῦ βασιλέως θεωρεῖται πολὺ μεγάλη. Δεύτερον· «ἂς δημιουργήσωμεν ἄνθρωπον κατὰ τὴν ἰδικήν μας εἰκόνα»· καὶ ἐνῷ προέβλεπε τὴν ἀγνωμοσύνην δὲν ἐξησθένησε τὴν στοργήν του· διότι δὲν ἔπρεπε νὰ κάμῃ νὰ μὴ λάμψῃ ὁ ἥλιος ἐξ αἰτίας ἐκείνων ποὺ ἦσαν ἀνίκανοι νὰ ἴδουν τὴν ἀκτῖνα· διὰ τοῦτο ἂν καὶ προεγνώριζε τὴν παράβασιν, ἐφανέρωνε τὴ φιλανθρωπίαν του· καὶ ἐνῷ προέβλεπε τὸ μέλλον, δὲν ἀφήρεσε τὴν τιμήν, καὶ ἐνῷ προεγνώριζε τὴν ὕβριν δὲν κατεκράτησε τὴν χάριν καὶ φιλοκαλῶν μᾶς ἐδημιούργησε, ὥστε καὶ ἂν λησμονήσῃ τὸ ἀπείρως μέγα ὡς πρόσκαιρος νὰ δώσῃ ἀφορμὴν εἰς τὸν Θεὸν πρὸς ἀρχὴν δευτέρου δώρου αἰωνίου.

2. Διότι εἶναι φοβερὸν πρᾶγμα ὁ θάνατος πρὸς σωφρονισμὸν τῆς ἀπληστίας. Διότι ποία ὠφέλεια ἠμπορεῖ νὰ προκύψῃ εἰς ἐκεῖνον ποὺ μετ' ὀλίγον θὰ κεῖται νεκρὸς εἰς τὴν ἄπληστον κτίσιν; Εἰς αὐτὸν ὁ ὁποῖος διέρχεται τὴν παροῦσαν ζωὴν ὡς ὁδοιπόρος εἶναι ματαία ἡ ἀχθοφορία τῶν περιττῶν. Διότι τὴν ζωὴν αὐτὴν τὴν ἔχομεν ὡς ὁδὸν καὶ ὄχι ὡς μόνιμον πατρίδα. Ἔτσι τὴν ὀνομάζει ὁ Κύριος εἰς τὰ εὐαγγέλια λέγων· «συμβιβάσου καὶ συμφιλιώσου γρήγορα μὲ τὸν ἀντίδικόν σου ἐφ' ὅσον εὑρίσκεσαι μαζί του εἰς τὸν δρόμον»[3]. Εἶναι κατάλληλος ὁ χαρακτηρισμὸς τῆς ζωῆς μὲ ὁδόν· διότι ἔχει μετρηθῆ ἡ ζωὴ ὅπως ἀκριβῶς ἡ ὁδὸς κατὰ διστήματα· εἶναι πρόσκαιρον πανδοχεῖον πλουσίων καὶ πτωχῶν· ὀλιγοχρόνιος ἀνάπαυσις τῶν διερχομένων· «διότι αἱ ἡμέραι μας φεύγουν ὅπως ἡ σκιά»[4]. Ποῦ εἶναι τὰ πρῶτα ἔτη τῆς ζωῆς μας; Ἔφυγαν ὡς φαντάσματα σκιᾶς, ἔτρεξαν καὶ ἀπεμακρύνθησαν ὡς σκιὰ σχήματος. Πόσον διάστημα τῆς ζωῆς μᾶς ὑπολείπεται; Θέσε σεβαστὴν πολυετίαν, ζωὴν ἑκατὸν ἐτῶν, ἐὰν δὲ θέλῃς δῶσε τριπλάσια ἔτη καὶ δὲν θὰ σοῦ παράσχῃ τίποτε μόνιμον ἀπὸ τὰ τοῦ βίου τούτου· καὶ ἂν ἀκόμη ὑπερηφανεύεται διὰ τὸν πλοῦτον καὶ ἂν ἀκόμη περιλούζεται ἀπὸ τὴν πολυτέλειαν, καὶ ἂν ἀκόμη λάμπῃ μὲ τὴν ἐξέχουσαν θέσιν της, καὶ ἂν ἀκόμη φέρῃ μαζί της ὁ,τιδήποτε ἐκ τῶν τοῦ βίου λαμπρῶν. Διότι ὅλα ὁμοιάζουν μὲ τὸν μαρασμὸν τῶν ἀνθέων, ὅλα ὑπόκεινται εἰς τὴν θρη-

μαρασμοῖς ἐοικότα, πάντα διαδοχῆς θρηνώδους ὑπεύθυνα, σαθρὰ μὲν ὄντα, καὶ καθ' ὃν θάλλει καιρόν· ἔχει γὰρ κινδύνων διὰ παντὸς ἀγωνίαν. Ὁ πλοῦτος μεριμνᾷ τὰς ληστείας, ἡ τρυφὴ κινδυνώδης τοῖς νόσοις, μεταβολαὶ ταῖς δυναστείαις· καὶ παλαίσας πολυτρόποις κινδύνοις καὶ μυρίοις ἐκτακεὶς μεριμνήμασιν, ἔχει θάνατον αὐτῷ φυλαττόμενον, ἀντίπαλον ἄρρηκτον, ἀπερίγραφον τόποις, ἀκολάκευτον δώροις, ἀδυσώπητον θρήνοις, αἰφνίδιον ἅρπαγα. Ὁ χθὲς ἐν πλούτῳ, σήμερον ἐξαπίνης ἐν τάφῳ· ὁ χθὲς ἐν συμποσίῳ τρυφῆς, σήμερον ἐν καταλόγῳ νεκρῶν· ὁ χθὲς ἐν τοῖς θρόνοις, τῇ μετὰ ταύτην ἐν σπαργάνοις· ὁ χθὲς ἐν τοῖς κόλαξι, μετὰ μικρὸν ἐν τοῖς σκώληξι. Ποῦ τῶν ἀριθμουμένων ἡ χαρὰ βαλαντίων; Ποῦ τῆς προσόδου τῶν κτημάτων ὁ κόμπος; Ποῦ πλουσίου καὶ πενομένου νεκροῦ τὸ διάφορον; Ποῦ βασιλέως καὶ προσαίτου τὸ μέσον; Ἀμφοτέρων ὁ διάδοχος θάνατος, ἑκατέρου τὸ συμπέρασμα τάφος· πλὴν ἐνταφίων οὐδενὶ συνοδία Εὖγε τῆς Παύλου φωνῆς· «Πορισμός», φησίν, «μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας· οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον, ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα». Ἄμαχος συλλογισμὸς αὐταρκείας, τῷ μηδὲν τῶν κτηθέντων συνεξιέναι τοῖς κτήτορσιν· οὐδέν», γάρ, φησίν, «ἐξενεγκεῖν δυνησόμεθα». Τί, φησίν, ἃ μὴ μετάγεις, συνεξάγεις; Τί κατέχεις

5. Α' Τιμ. 6, 6-7.

νώδη διαδοχὴν καὶ εἶναι πρόσκαιρα ἀκόμα καὶ καθ' ὃν χρόνον εὑρίσκονται εἰς ἀκμὴν διότι ἔχουν μονίμως τὴν ἀγωνίαν ποὺ προέρχεται ἀπὸ τοὺς κινδύνους. Ὁ πλοῦτος συλλογίζεται τὰς ληστείας, ἡ μαλθακότης καὶ ἡ πολυτέλεια κινδυνεύουν ἀπὸ τὰς νόσους· αἱ διάφοροι ἐξουσίαι ἀπὸ τὰς μεταβολάς· καὶ ἀφοῦ παλαίσῃ μὲ παντοειδεῖς κινδύνους καὶ φθαρῇ μὲ ἀναριθμήτους φροντίδας ἐπιφυλάσσεται ὁ θάνατος εἰς αὐτήν, ὁ ὁποῖος εἶναι ἀντίπαλος ἀκατάλυτος, τοποθεσία ποὺ δὲν περιγράφεται, ἀκολάκευτος εἰς τὰ δῶρα, ἀδυσώπητος εἰς τοὺς θρήνους, αἰφνίδιος ἅρπαγας. Αὐτὸς ποὺ χθὲς εὑρίσκετο μέσα εἰς τὰ πλούτη, σήμερα ἔξαφνα εὑρίσκεται εἰς τὸν τάφον· αὐτὸς ποὺ χθὲς παρεκάθητο εἰς πλουσιοπάροχα δεῖπνα, σήμερα εὑρίσκεται εἰς τὸν κατάλογον τῶν νεκρῶν· αὐτὸς ποὺ χθὲς ἐκάθητο εἰς τοὺς θρόνους τὴν ἐπομένην εὑρίσκεται τυλιγμένος μέσα εἰς τὰ σπάργανα· αὐτὸς ποὺ χθὲς εὑρίσκετο μὲ τοὺς κόλακας μετ' ὀλίγον εὑρίσκεται μὲ τοὺς σκώληκας. Ποῦ εἶναι ἡ χαρὰ ποὺ προήρχετο ἀπὸ τὴν ἀρίθμησιν τῶν χρωμάτων; Ποῦ εἶναι ἡ καύχησις ποὺ προήρχετο ἀπὸ τὰς διαφόρους προσόδους τῶν κτημάτων; Ποῦ εἶναι ἡ διαφορὰ πλουσίου καὶ πτωχοῦ νεκροῦ; Ποῦ εἶναι ἡ ἀπόστασις ποὺ ὑπῆρχε μεταξὺ βασιλέως καὶ ἐπαίτου; Διάδοχος καὶ τῶν δύο εἶναι ὁ θάνατος, τὸ ἀποτέλεσμα τοῦ καθενὸς εἶναι ὁ τάφος· πλὴν ὅμως συνοδία ἐντάφιος δὲν ὑπάρχει εἰς κανένα ἀπὸ τοὺς δύο. Εὖγε εἰς τὴν φωνὴν τοῦ Παύλου ποὺ λέγει· «Εἶναι πράγματι ἡ εὐσέβεια μεγάλος βιοπορισμός, ὅταν ὅμως ἀκολουθῆται ἀπὰ τὴν ὀλιγάρκειαν· ἂς εἴμεθα ὀλιγαρκεῖς, διότι τίποτε δὲν ἐφέραμεν εἰς τὸν κόσμον κατὰ τὴν γέννησίν μας, εἶναι δὲ φανερὸν ὅτι καὶ τίποτε δὲν ἠμποροῦμεν νὰ βγάλωμεν ἀπὸ τὸν κόσμον καὶ νὰ πάρωμεν μαζί μας κατὰ τὴν ὥραν τοῦ θανάτου μας»[5]. Ἀκαταμάχητον ἐπιχείρημα τῆς ὀλιγαρκείας εἶναι τὸ ὅτι τίποτε ἀπὸ ὅσα ἔχουν δὲν παίρνουν μαζί τους οἱ κτήτορες ἐξερχόμενοι ἀπὸ τὴν ζωὴν αὐτήν· διότι «τίποτε» λέγει «δὲν ἠμποροῦμε νὰ βγάλουμε ἀπὸ τὸν κόσμον καὶ νὰ πάρωμε μαζί μας κατὰ τὴν ὥραν τοῦ θανάτου». Διατί, λέγει, συγκεντρώνεις ἐκεῖνα ποὺ δὲν

τὰ μὴ κρατούμενα; Τὸ πέρας τῆς αὐταρκείας τοῖς κτησαμένοις ἀνόνητον. Ὅσα γὰρ ἂν συλλέξειεν ἄνθρωπος, εἰς σκέπην αὐτῷ καὶ τροφὴν τελευτήσει, τῶν δὲ λοιπῶν ἁπάντων κληρονόμος ὁ βίος. Ψυχαγωγούμεθα δὲ ταῖς διαθήκαις οἱ κτήτορες, ἃ λαβεῖν οὐκ ἰσχύομεν, χαριζόμενοι γράμμασιν· ἃ κατέχειν οὐκ ἔστιν, ἀφιέναι δοκοῦντες, ὡς, εἴγε κατέχειν ἦν, οὐκ ἂν ἐξέστημεν ἄλλῳ. Καὶ δηλοῖ τὴν γνώμην τῆς διαθήκης ὁ πρόλογος· εἴη μέν με, φησίν, ζῆν καὶ κυριεύειν με τῶν ἐμῶν. Εὐχὴν περισφίγγοντος καὶ παραχωροῦντος φωνῇ γράφει τὸ γράμμα καὶ τοῦ γράμματος τὸ ἔργον ἀπεύχεται· εἴη μέν με ζῆν, καὶ κυριεύειν με τῶν ἐμῶν. Οὐδὲ ψυχορραγοῦντες τοῦ τῶν χρημάτων ἀφιστάμεθα φίλτρου· ἂν δέ τι, φησί, τὸν κατ' ἄνθρωπον πάθω, βούλομαι εἶναι κληρονόμους. Κληρονομεῖ κἂν μὴ βούλει· ἡ φύσις σε καὶ ἄκοντα κληρονομεῖσθαι διέθετο. Κἂν σὺ τοῖς χρήμασι κληρονόμον μὴ γράψῃς, εὑρήσει κληρονόμον τὰ χρήματα· κἂν μηδενὶ καταλίπῃς, οὐδὲν ἐξενεγκεῖν ὧν ἐκτήσω δυνήσῃ. Οὐχ ὡς φαῦλον τὸ διατίθεσθαι λέγω· παραινεῖ γάρ που καὶ προφήτης ἀνθρώπῳ· «Τάξαι περὶ τοῦ οἴκου σου· ἀποθνήσκεις γὰρ σύ, καὶ οὐ ζήσῃ»· ἀλλὰ τὰς τῶν γηίνων ἡμῶν κωμῳδῶ προαιρέσεις, ὅτι τὰ τούτοις ἐκ τούτων παραπεμπόμενα χρήματα τῶν ἀδιαδόχων τιμιώτερα κρίνομεν. Ὄντως πορισμὸς μέγας ἡ εὐσέβεια· οὐχ ὑπόκειται θανάτου διαδοχαῖς, οὐ διαθηκῶν σκορπίζεται γράμμασιν· οὐκ ἀφεὶς τὸν κτησάμεσον κληρονομεῖται παρ' ἄλλων. Αὐτὸς ἑαυτοῦ κιβωτὸς ὁ φιλόθε-

6. Ἡσ. 38, 1.

ἠμπορεῖς νὰ μεταφέρῃς μαζί σου; Διατί κρατεῖς αὐτὰ ποὺ δὲν κρατοῦνται; Τὸ τέλος τῆς αὐταρκείας τῶν ἀγαθῶν εἰς αὐτοὺς ποὺ τὰ ἀπέκτησαν εἶναι ἀνώφελον. Διότι ὅσα καὶ ἂν ἠμποροῦσε νὰ συλλέξῃ ὁ ἄνθρωπος ποὺ θὰ τοῦ ἐχρησίμευον ὡς στέγη καὶ τροφὴ θὰ ἀποθάνῃ καὶ κληρονόμος ὅλων εἶναι ὁ βίος. Ψυχαγωγούμεθα οἱ κτήτορες μὲ τὰς διαφόρους διαθήκας, διότι ἐκεῖνα ποὺ δὲν ἠμποροῦμεν νὰ τὰ λάβωμεν τὰ χαρίζομεν εἰς τοὺς ἄλλους μὲ τὰ γράμματα καὶ οὔτε θὰ ἀπορούσαμε μὲ τὸ ἄλλο· δηλαδή, ἐκεῖνα ποὺ δὲν ἠμποροῦμε νὰ τὰ κρατήσωμεν, νομίζομεν ὅτι τὰ ἀφήνομεν, ὡσὰν νὰ τὰ κατείχομεν. Καὶ τὴν διάθεσιν τῆς διαθήκης ὑποδηλοῖ ὁ πρόλογος· θὰ ἤθελα νὰ ζῶ, λέγει, καὶ νὰ ἐξουσιάζω τὰ ὑπάρχοντά μου. Γράφει τὸ γράμμα περισφίγγων τὴν εὐχὴν καὶ δίδων τόπον εἰς τὴν φωνὴν καὶ εὔχεται νὰ μὴ συμβοῦν αὐτὰ ποὺ γράφει εἰς αὐτό· θὰ ἤθελα νὰ ζῶ καὶ νὰ ἐξουσιάζω τὰ ὑπάρχοντά μου. Οὔτε ὅταν ψυχορραγοῦμε δὲν ἀπομακρυνόμεθα ἀπὸ τὴν ἀγάπην τῶν χρημάτων· ἂν ὅμως πάθω, συνεχίζει ἡ διαθήκη, κάτι ἀπὸ αὐτὰ ποὺ συμβαίνουν εἰς τοὺς ἀνθρώπους, ἐπιθυμῶ νὰ ἀφήσω κληρονόμους. Κληρονομεῖ κανεὶς ἀκόμα καὶ ἂν δὲν θέλῃ· ἡ φύσις καὶ χωρὶς τὴν θέλησίν σου σοῦ ἔδωσε κληρονόμους. Καὶ ἂν ἀκόμα ἐσὺ δὲν γράψῃς κληρονόμον εἰς τὰ χρήματα, αὐτὰ θὰ εὕρουν κληρονόμον· καὶ ἂν ἀκόμα δὲν τὰ ἀφήσῃς εἰς κανένα, δὲν θὰ ἠμπορέσῃς νὰ πάρῃς μαζί σου εἰς τὴν ἄλλην ζωὴν τίποτε ἀπὸ ὅσα ἀπέκτησες. Καὶ δὲν λέγω ὅτι εἶναι κακὸν τὸ νὰ κάμῃς διαθήκην· διότι καὶ ὁ προφήτης παρηγορεῖ κάπου τὸν ἄνθρωπον λέγων· «τακτοποίησε τὰς ὑποθέσεις τοῦ οἴκου σου, διότι θὰ ἀποθάνῃς καὶ δὲν θὰ ζήσῃς»[6], ἀλλὰ κωμωδεῖ τὰς διαθέσεις μας τὰς ἀνθρωπίνους ἐπειδὴ τὰ μεταβιβαζόμενα εἰς αὐτοὺς χρήματα, ἀπὸ τὰς διαθήκας, τὰ θεωροῦμεν τιμιώτερα ἀπὸ ἐκεῖνα ποὺ προέρχονται ὄχι ἀπὸ διαθήκας. Πράγματι μεγάλη ὠφέλεια προέρχεται ἀπὸ τὴν εὐσέβειαν· δὲν ὑπόκειται εἰς τὸν θάνατον, δὲν διαμοιράζεται μὲ τὰ γράμματα τῶν διαθηκῶν, δὲν κληρονομεῖται ἀπὸ τοὺς ἄλλους ἀφοῦ ἀφήσῃ τὸν κάτοχόν της. Αὐτὸς ὁ θεοσεβὴς εἶναι παρακαταθήκη καὶ σωτηρία διὰ τὸν ἑαυτόν του, ὁ ἴδιος εἶναι κληρο-

ος, αὐτὸς κληρονόμος τῆς οἰκείας οὐσίας, τῷ τῆς εὐσεβείας συνεκδημεῖ βαλαντίῳ, τῷ τῶν ἐλπίδων συνεπάγεται πλούτῳ, βαστάζει τῶν ἀρετῶν ὁδεύων τὴν πρόσοδον, εὑρίσκει τὸν οὐρανὸν οἰκίαν, ἀναμίγνυται συμποσίῳ δικαίων, καρποῦται βασιλείας ἀξίαν αἰώνιον, πρόσεισι τῷ βασιλεῖ σὺν παρρησίᾳ βιῶν· Σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί.

3. Πρὸς ἐκεῖνα Χριστιανοῖς ὁ σκοπός· δι' ἐκεῖνα τὸ τεχθῆναι μακαριστόν, ὅτι τεύξεταί τις θέας ὑπὲρ ἔννοιαν θείας· τῆς τῶν ἀνθρώπων ἐξαίφνης ἀνοίξεως, τῆς παραδόξου τῆς γῆς ἀλλοιώσεως, τῶν τοὺς ἐξ αἰῶνος σαλπίγγων νεκροὺς ἐγειρουσῶν, τῶν φερομένων δι' ἀέρος δικαίων, τῶν ἀγγελικῶν ὀφθαλμοφανῶς βακχευμάτων, τῆς ἐπὶ τὴν γῆν ὑπ' ὄψεσι τῆς οἰκουμένης τοῦ δεσπότου καθόδου. Ὢ πηλίκον τὸ νῦν αὐτοὺς πεφιληκότας θερμῶς κατὰ τὴν τότε βοῆσαι προελθόντας ἀπάντησιν· Μνήσθητι, Κύριε, ὡς ἐπορεύθημεν ἐνώπιόν σου μετὰ ἀληθείας καὶ τὰ ἀρεστὰ ἐνώπιόν σου ἐποιήσαμεν, καὶ βοῶντας εὐθέως ἀντακοῦσαι βοῶντος· «Καὶ γινώσκω τὰ ἐμά, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν».

Ἀνανεύσωμεν δὴ τῆς πολλῆς περὶ τὰ βιωτικὰ φροντίδος· κουφίσωμεν τῶν γηΐνων τὴν ψυχὴν φορτισμάτων· διέλθωμεν πρὸς τὸ μέλλον ἐννοίαις· τῶν ἀδιαδόχων θησαυρῶν ἐρασθῶμεν· φυλάξωμεν ἀρετῆς ἁλουργίδι τὸ τῆς βασιλικῆς εἰκόνος ἀξίωμα· βασιλεύειν τῶν τοῦ βίου ταχθέντες, εἰς δουλείαν τὴν βασιλείαν μὴ στρέφωμεν· πρὸ παντὸς πλούτου ζητῶμεν τὸν τοῦ πλούτου προστάτην. «Πλούσιοι» γάρ, φησίν, «ἐπτώχευσαν καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ»· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

7. Ἰω. 10, 14.
8. Ψαλμ. 34, 11.

νόμος τῆς ἰδικῆς του περιουσίας, ἀπέρχεται ἀπὸ τὴν ζωὴν αὐτὴν εἰς τὴν ἄλλην μαζὶ μὲ τὸ βαλάντιον τῆς εὐσεβείας, ὁδηγεῖται μὲ τὸν πλοῦτον τῶν ἐλπίδων, βαδίζων τὴν ὁδὸν βαστάζει τὴν ὠφέλειαν τῶν ἀρετῶν, εὑρίσκει τὸν οὐρανὸν ὡς οἰκίαν, παρακάθεται εἰς συμπόσιον δικαίων, καρποῦται βασιλείας ποὺ ἔχει αἰώνιον ἀξίαν, παρουσιάζεται εἰς τὸν βασιλέα μὲ παρρησίαν καὶ λέγει· Σὺ εἶσαι ἐκεῖνος ὁ ὁποῖος θὰ ἀποδώσῃς τὴν κληρονομίαν μου εἰς ἐμέ.

3. Πρὸς ἐκεῖνα πρέπει νὰ ἀποβλέπῃ ὁ σκοπὸς εἰς τοὺς Χριστιανούς. Ἐκεῖνα πρέπει νὰ θεωροῦνται ὡς μακαριστά, διότι θὰ ἀξιωθῇ κανεὶς θείας θέας ποὺ ξεπερνᾷ τὸν λογισμόν· ὅπως τῆς αἰφνιδίας εἰσόδου τῶν ἀνθρώπων, τῆς παραδόξου μεταβολῆς τῆς γῆς, τῶν σαλπίγγων ποὺ ἐγείρουν τοὺς ἀπὸ αἰώνων νεκρούς, τῶν δικαίων ποὺ κινοῦνται διὰ τῶν αἰθέρων, τῶν ἀγγελικῶν ἑορτασμῶν ποὺ φαίνονται διὰ τῶν ὀφθαλμῶν, τῆς ἐπὶ γῆς θέας τῆς καθόδου τοῦ δεσπότου τῆς οἰκουμένης. Ὦ πόσον μεγάλο πρᾶγμα εἶναι δι' αὐτοὺς ποὺ τώρα τόσον θερμὰ ἔχουν ἀγαπήσει αὐτὸν νὰ φωνάξουν τότε, ἀφοῦ προσέλθουν εἰς συνάντησίν του; Ἐνθυμήσου, Κύριε, ὅτι ἐβαδίσαμεν ἐνώπιόν σου μὲ ἀλήθειαν καὶ ἐπράξαμεν ὅσα ἦσαν ἀρεστὰ εἰς ἐσέ, καὶ ἐνῷ θὰ λέγουν αὐτὰ θὰ ἀκούσουν εἰς ἀπάντησιν τῶν λόγων τους τὸν Κύριον νὰ λέγῃ· «γνωρίζω καλὰ τὰ ἰδικά μου πρόβατα, ἀλλὰ καὶ γνωρίζομαι ἀπὸ τὰ ἰδικά μου»[7].

Ἂς μὴ καταβάλλωμεν λοιπὸν μεγάλην φροντίδα διὰ τὰ βιωτικὰ πράγματα· ἂς ἐλαφρύνωμεν τὴν ψυχὴν ἀπὸ τὰ γήινα φορτία· ἂς βαδίσωμεν πρὸς τὸ μέλλον μὲ τοὺς διαλογισμούς· ἂς γίνωμεν ἐρασταὶ τῶν θησαυρῶν ποὺ δὲν προέρχονται ἀπὸ διαθήκας· ἂς φυλάξωμεν τὸ ἀξίωμα τῆς βασιλικῆς εἰκόνος μὲ τὸ χρυσοῦν ἔνδυμα τῆς ἀρετῆς· καὶ ἀφοῦ ἔχομεν ὁρισθῇ νὰ εἴμεθα βασιλεῖς τῶν ἀγαθῶν τοῦ βίου, ἂς μὴ μεταβάλωμεν τὴν βασιλείαν εἰς δουλείαν· περισσότερον ἀπὸ κάθε πλοῦτον ἂς ἐπιζητοῦμεν τὸν προστάτην τοῦ πλούτου, διότι «πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν, αὐτοὶ δὲ ποὺ ἀναζητοῦν τὸν Κύριον δὲν θὰ στερηθοῦν ἀπὸ κανένα ἀγαθόν»[8]· εἰς αὐτὸν ἀνήκει ἡ δόξα αἰωνίως. Ἀμήν.

16
ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ

Ἐκφωνηθεὶς ἐν τῷ παριέναι αὐτὸν χειμῶνος ὥρᾳ, καὶ ἰδεῖν τοὺς πένητας καὶ πτωχοὺς ἀνεπιμελήτους ἐρριμμένους κατὰ τὴν ἀγοράν.

1. Πρεσβείαν τινὰ δικαίαν καὶ λυσιτελῆ καὶ πρέπουσαν ὑμῖν ἀνέστην ποιησόμενος τήμερον πρὸς ὑμᾶς· ἑτέρου μὲν οὐδενός, τῶν δὲ τὴν πόλιν οἰκούντων ἡμῖν πτωχῶν ἐπὶ ταύτην με χειροτονησάντων, οὐ ῥήμασι καὶ ψηφίσμασι καὶ κοινῆς γνώμῃ βουλῆς, ἀλλὰ διὰ τῶν θεαμάτων τῶν ἐλεεινῶν καὶ πικροτάτων. Παριὼν γὰρ διὰ τῆς ἀγορᾶς καὶ τῶν στενωπῶν, καὶ πρὸς τὴν ὑμετέραν σύνοδον σπεύδων, εἶτα ὁρῶν ἐν μέσοις ἀμφόδοις ἐρριμμένους πολλούς, καὶ τοὺς μὲν τὰς χεῖρας ἐκκεκομμένους, τοὺς δὲ τοὺς ὀφθαλμούς, τοὺς δὲ ἑλκῶν καὶ τραυμάτων ἀνιάτων γέμοντας, καὶ ταῦτα μάλιστα προβάλλοντας τῶν μερῶν, ἃ συγκαλύπτειν ἀναγκαῖον ἦν διὰ τὴν ἐναποκειμένην αὐτοῖς σηπεδόνα, ἐσχάτης ἐνόμισα ἀπανθρωπίας εἶναι, τὸ μὴ περὶ τούτων διαλεχθῆναι πρὸς τὴν ὑμετέραν ἀγάπην, καὶ μάλιστα μετὰ τῶν εἰρημένων καὶ τοῦ καιροῦ πρὸς τοῦτο συνωθοῦντος ἡμᾶς.

Ἀεὶ μὲν γὰρ ἀναγκαῖον τοὺς περὶ τῆς ἐλεημοσύνης ποιεῖσθαι λόγους, ἐπειδὴ καὶ ἡμεῖς πολλῆς ταύτης παρὰ τοῦ ποιήσαντος ἡμᾶς δεόμεθα Δεσπότου· μάλιστα δὲ ἐν τῷ παρόντι καιρῷ, ὅτε πολὺς ὁ κρυμός. Ἐν μὲν γὰρ τῷ θέρει πολλὴν παρὰ τῆς ὥρας ἔχουσι παραμυθίαν οἱ πένητες· καὶ γὰρ καὶ γυμνοὺς βαδίζειν ἀκίνδυνον, ἀντὶ περιβολῆς τῆς ἀκτῖνος ἀρκούσης αὐτοῖς, καὶ ἐπ' ἐδάφους ἁπλῶς καθεύδειν καὶ αἰθρίους διανυκτερεύειν ἀσφαλές· καὶ οὔτε ὑποδημάτων αὐτοῖς χρεία τοσαύτη, οὔτε οἰνοποσίας, οὔτε δαψιλεστέρας τροφῆς, ἀλλ' ἀρκοῦνται μὲν ταῖς τῶν ὑδάτων πηγαῖς, ἀρ-

ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ

Ἐκφωνηθεὶς ἐξ ἀφορμῆς τῶν πτωχῶν, τοὺς ὁποίους εἶδε παραπεταμένους εἰς τὴν ἀγοράν, χωρὶς καμμίαν μέριμναν, ὅταν διήρχετο ἀπὸ ἐκεῖ εἰς ἐποχὴν χειμῶνος.

1. Σήμερα ἐσηκώθην διὰ νὰ σᾶς κάμω μίαν πρεσβείαν δικαίαν καὶ ἐπωφελῆ ποὺ ἁρμόζει εἰς τὴν χριστιανικήν σας ψυχήν· καὶ δὲν πρόκειται διὰ κανένα ἄλλο θέμα παρὰ διὰ τοὺς πτωχοὺς ποὺ κατοικοῦν εἰς τὴν πόλιν μας· δὲν μὲ ἀνηγόρευσαν μὲ λόγους ἢ μὲ ψηφίσματα μὲ συγκλητικὴν ἀπόφασιν, ἀλλὰ παρεκινήθην ἀπὸ τὸ ἐλεεινὸν καὶ θλιβερὸν θέαμα ποὺ εἶδα. Διερχόμενος δηλαδὴ ἀπὸ τὴν ἀγορὰν καὶ τὰς στενωποὺς διὰ νὰ ἔλθω εἰς τὴν συγκέντρωσίν σας, εἶδα εἰς τὰς παρόδους πολλοὺς παραπεταμένους, ἄλλοι νὰ ἔχουν κομμένα τὰ χέρια, ἄλλοι μὲ βγαλμένους τοὺς ὀφθαλμούς, ἄλλοι νὰ εἶναι γεμᾶτοι ἀπὸ τραύματα καὶ ἀθεραπεύτους πληγάς, οἱ ὁποῖοι μάλιστα ἐπρόβαλλαν αὐτὰ τὰ μέλη, τὰ ὁποῖα ἔπρεπε νὰ συγκαλύπτουν διὰ τὴν σῆψιν εἰς τὴν ὁποίαν εἶχον καταντήσει, ἔτσι ἐνόμισα ὅτι θὰ ἦτο ἐκδήλωσις ἐσχάτης ἀπανθρωπίας τὸ νὰ μὴ ὁμιλήσω πρὸς τὴν ἀγάπην σας δι' αὐτούς, ὅταν μάλιστα ἐκτὸς τῶν ἀνωτέρω λόγων καὶ αἱ γενικώτεραι περιστάσεις μᾶς ἠνάγκαζον πρὸς τοῦτο.

Πάντοτε μὲν ἐνόμιζα ὅτι ἦτο ἀνάγκη νὰ ὁμιλῶ περὶ ἐλεημοσύνης, ἐπειδὴ καὶ ἐμεῖς ἔχομεν μεγάλην ἀνάγκην αὐτῆς ἀπὸ τὸν Κύριον ποὺ μᾶς ἐδημιούργησεν· κυρίως ὅμως τώρα κατ' αὐτὴν τὴν ἐποχήν, ποὺ εἶναι δριμὺ τὸ ψῦχος. Κατὰ τὴν περίοδον τοῦ θέρους εὑρίσκουν οἱ πτωχοὶ μεγάλην ἀνακούφισιν ἀπὸ τὴν ἰδίαν τὴν ἐποχήν· καθ' ὅσον καὶ γυμνοὶ νὰ βαδίζουν ἠμποροῦν ἀκίνδυνα, ἀντὶ ἐνδυμάτων τοὺς ἀρκεῖ ἡ ἡλιακὴ ἀκτινοβολία καὶ εἰς τὸ ἔδαφος ἠμποροῦν νὰ κοιμοῦνται καὶ νὰ διανυκτερεύουν εἰς τὸ ὕπαιθρον χωρὶς νὰ διατρέχουν κίνδυνον· καὶ οὔτε ἔχουν μεγάλην ἀνάγκην ὑποδημάτων, οὔτε οἰνοποσίας, οὔτε πλουσιωτέρας τροφῆς, ἀλλ' ἀρκοῦνται μὲν νὰ πίνουν νερὸ ἀπὸ

κοῦνται δὲ οἱ μὲν τῶν λαχάνων τοῖς φαυλοτέροις, οἱ δὲ σπερμάτων ξηρῶν ὀλιγότητι, τῆς ὥρας τοῦ ἔτους ἐσχεδιασμένην αὐτοῖς παρεχούσης τὴν τράπεζαν. Καὶ ταύτης δὲ οὐκ ἐλάττονα ἔχουσιν ἑτέραν παραμυθίαν, τὴν τῆς ἐργασίας εὐκολίαν· οἱ γὰρ τὰς οἰκίας οἰκοδομούμενοι, καὶ οἱ τὴν γῆν σκάπτοντες, καὶ οἱ τὴν θάλασσαν πλέοντες, τῆς τούτων μάλιστα δέονται συνεργίας. Καὶ ὅπερ τοῖς πλουτοῦσιν ἀγροὶ καὶ οἰκίαι καὶ λοιπαὶ πρόσοδοι, τοῦτο τούτοις τὸ σῶμά ἐστι καὶ πᾶσα ἀπὸ τῶν χειρῶν ἡ πρόσοδος, ἑτέρωθεν δὲ οὐδαμόθεν. Διὰ τοῦτο θέρους μὲν ἀπολαύουσί τινος παραμυθίας· ἐν δὲ τῇ τοῦ χειμῶνος ὥρᾳ πολὺς αὐτοῖς πάντοθεν ὁ πόλεμος, καὶ διπλῇ ἡ πολιορκία, τοῦ λιμοῦ κατεσθίοντος ἔνδον τὰ σπλάγχνα, τοῦ κρυμοῦ πηγνύντος τὴν σάρκα ἔξωθεν καὶ νεκρὰν ἐργαζομένου. Διὸ καὶ πλείονος μὲν αὐτοῖς τροφῆς δεῖ, ἰσχυροτέρας δὲ τῆς περιβολῆς, καὶ στέγης, καὶ στιβάδος, καὶ ὑποδημάτων, καὶ πολλῶν ἑτέρων. Καὶ τὸ δὴ πάντων χαλεπώτερον, οὐδὲ ἐργασίας τίς ἐστι αὐτοῖς εὐπορία· οὐ γὰρ ἐπιτρέπει τοῦ ἔτους ἡ ὥρα.

Ἐπεὶ οὖν καὶ πλείων αὐτοῖς ἡ τῶν ἀναγκαίων χρεία, καὶ τὸ ἐργάζεσθαι μετὰ τούτου παρῄρηνται, οὐδενὸς τοὺς ἀθλίους μισθουμένου, οὐδὲ καλοῦντος εἰς διακονίαν, φέρε, τὰς τῶν ἐλεημόνων ἀντεισάγωμεν χεῖρας ἀντὶ τῶν μισθουμένων, τὸν ἀληθῶς προστάτην καὶ κηδεμόνα τῶν ἐν πενίᾳ ζώντων Παῦλον συνεργὸν πρὸς τὴν πρεσβείαν ταύτην λαβόντες. Καὶ γὰρ πολλὴν τοῦ πράγματος ποιεῖται τὴν πρόνοιαν οὗτος, καὶ ὅσην οὐδεὶς ἕτερος. Διά τοι τοῦτο τοὺς μαθητὰς πρὸς τὸν Πέτρον διελόμενος, τὴν τῶν πενήτων οὐ διείλετο προστασίαν· ἀλλ' εἰπών, ὅτι «Δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας, ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ

τὰς πηγάς, νὰ τρώγουν ἄλλοι μὲν τὰ πλέον εὐτελῆ χόρτα, ἄλλοι δὲ ὀλίγους ξηροὺς καρπούς, ἀφοῦ ἡ ἐποχὴ τοῦ ἔτους παρέχῃ εἰς αὐτοὺς ἑτοίμην τράπεζαν. Καὶ ἐκτὸς ἀπὸ αὐτὴν τὴν παρηγορίαν ἔχουν καὶ ἄλλην, ὄχι κατωτέραν, τὴν εὐκολίαν τῆς ἐργασίας· διότι ὅσοι κτίζουν οἰκίας καὶ ὅσοι καλλιεργοῦν τὴν γῆν καὶ αὐτοὶ ποὺ διαπλέουν τὴν θάλασσαν, χρειάζονται τὴν βοήθειαν αὐτῶν. Καὶ ὅ,τι εἶναι διὰ τοὺς πλουσίους οἱ ἀγροὶ καὶ αἱ οἰκίαι καὶ αἱ ἄλλαι πρόσοδοί των, εἰς αὐτοὺς εἶναι αὐτὸ τὸ ἴδιον τὸ σῶμα των καὶ κάθε ἄλλη πρόσοδος ποὺ προέρχεται ἀπὸ τὴν ἐργασίαν τῶν χειρῶν καὶ ἀπὸ πουθενὰ ἀλλοῦ. Διὰ τοῦτο λοιπὸν κατὰ τὸ θέρος ἔχουν κάποιαν ἀνακούφισιν· ὅμως κατὰ τὸν χειμῶνα καταπολεμοῦνται ἀπὸ παντοῦ καὶ ἡ πολιορκία των εἶναι διπλῆ, ἀφ᾽ ἑνὸς μὲν ἀπὸ μέσα ἡ πεῖνα ποὺ τοὺς κατατρώγει τὰ σπλάγχνα, ἀφ᾽ ἑτέρου δὲ ἀπὸ ἔξω τὸ ψῦχος ποὺ παγώνει καὶ ἀπονεκρώνει τὸ σῶμα. Διὰ τοῦτο ἔχουν ἀνάγκην καὶ περισσοτέρας τροφῆς, καὶ καλυτέρας ἐνδύσεως, καὶ στέγης, καὶ στρώματος, καὶ ὑποδημάτων καὶ πολλῶν ἄλλων. Καὶ τὸ χειρότερον ὅλων εἶναι ὅτι δὲν εὑρίσκουν οὔτε ἐργασίαν μὲ εὐκολίαν· διότι ἡ ἰδία ἡ ἐποχὴ τοῦ ἔτους δὲν τοὺς βοηθεῖ εἰς αὐτό.

Ἐπειδὴ λοιπὸν καὶ ἡ ἀνάγκη τῶν ἀπαραιτήτων εἶναι ὀξυτέρα καὶ ἐπιτάσσει τὴν ἐργασίαν καὶ κανεὶς δὲν μισθώνει αὐτοὺς τοὺς ἀθλίους, οὔτε τοὺς καλεῖ εἰς βοηθητικὴν ἐργασίαν, ἐμπρός, ἂς φέρωμεν πρὸς βοήθειάν των τὰς χεῖρας τῶν ἐλεημόνων, ἀντὶ τῶν χειρῶν τῶν ἐργοδοτῶν, ἀφοῦ λάβωμεν ὡς βοηθὸν διὰ τὴν πρεσβείαν αὐτὴν τὸν Παῦλον, ὁ ὁποῖος εἶναι ὁ ἀληθινὸς προστάτης καὶ κηδεμὼν τῶν πτωχῶν. Καθ᾽ ὅσον αὐτὸς λαμβάνει πολὺ μεγάλην πρόνοιαν διὰ τὸ πρᾶγμα αὐτό, τόσην ὅσην κανεὶς ἄλλος. Διὰ τοῦτο λοιπὸν ὅταν ἐμοίρασε τοὺς μαθητὰς μὲ τὸν Πέτρον, δὲν ἐμοίρασε καὶ τὴν προστασίαν τῶν πτωχῶν· ἀλλὰ ἀφοῦ εἶπεν ὅτι «ἔδωσαν εἰς ἐμὲ καὶ τὸν Βαρνάβαν τὸ δεξὶ χέρι των εἰς ἐπικοινωνίαν καὶ ὁμόνοιαν, ὥστε ἐμεῖς νὰ κηρύττωμεν εἰς τοὺς ἐθνικούς, αὐτοὶ δὲ εἰς τοὺς περιτμημέ-

εἰς τὴν περιτομήν», ἐπήγαγε, «Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι». Καὶ γὰρ πανταχοῦ τῶν ἐπιστολῶν τὸν περὶ τούτων εἰσφέρει λόγον, καὶ οὐκ ἔστιν εὑρεῖν οὐδεμίαν ἐπιστολὴν ταύτης ἐκτὸς οὖσαν τῆς παραινέσεως. Οἶδε γάρ, οἶδεν ὅση τοῦ πράγματος ἡ ἰσχύς· διὰ τοῦτο καθάπερ οἰκοδομῇ θαυμαστὴν ὀροφὴν ἐπιτιθεὶς ταῖς λοιπαῖς παραινέσεσι καὶ συμβουλαῖς, τὴν περὶ τούτων εἰσάγει διδασκαλίαν. Ὅπερ οὖν καὶ ἐνταῦθα πεποίηκε διαλεχθεὶς περὶ ἀναστάσεως, καὶ τὰ ἄλλα διορθώσας ἅπαντα, εἰς τὸν περὶ τῆς ἐλεημοσύνης κατέλυσε λόγον, οὕτως εἰπών· «Περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους, καθὼς διέταξα ταῖς Ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε· κατὰ μίαν Σαββάτων ἕκαστος ὑμῶν».

Σκόπει σύνεσιν ἀποστολικήν, πῶς εὐκαίρως ταύτης ἥψατο τῆς παραινέσεως. Ἐπειδὴ γὰρ ἀνέμνησε τοῦ μέλλοντος δικαστηρίου, καὶ τοῦ βήματος ἐκείνου τοῦ φοβεροῦ, καὶ τῆς δόξης, ἧς ἀμφιέννυσθαι ἔμελλον οἱ κατωρθωκότες, καὶ τῆς ἀθανάτου διατριβῆς· τότε λοιπὸν εἰς τὸν περὶ τούτων ἐμβάλλει λόγον, ἵνα ταῖς χρησταῖς ἐλπίσιν ἀναπνεύσας καὶ ῥάων γενόμενος ὁ ἀκροατής, μετὰ πλείονος αὐτὸν καταδέξηται τῆς προθυμίας, ἐνακμάζοντα τὸν φόβον ἔχων τῆς κρίσεως, καὶ γαυρωμένην τὴν ψυχὴν ταῖς τῶν ἀποκειμένων ἀγαθῶν προσδοκίαις. Ὁ γὰρ περὶ ἀναστάσεως δυνάμενος φιλοσοφεῖν, καὶ μεταστήσας ἑαυτὸν ὅλον πρὸς τὴν ἐκεῖ ζωήν, οὐδὲν ἡγήσεται τὰ παρόντα εἶναι, οὐ πλοῦτον, οὐκ εὐπορίαν, οὐ χρυσίον, οὐκ ἄργυρον, οὐχ ἱματίων περιβολήν, οὐ τρυφήν, οὐ τραπέζας πολυτελεῖς, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· ὁ δὲ ταῦτα μηδὲν εἶναι νομίζων, εὐκολώτερον τῆς τῶν πενή-

1. Γαλ. 2, 9-10.
2. Α΄ Κορ. 16, 1-2.

νους», προσέθεσε· «Μᾶς παρεκάλεσαν δὲ μόνον νὰ ἐνθυμούμεθα τοὺς πτωχοὺς τῆς ἐκκλησίας τῶν Ἱεροσολύμων καὶ νὰ φροντίζωμεν δι' αὐτούς, πρᾶγμα τὸ ὁποῖον ἰδιαιτέρως ἐφρόντισα νὰ κάμω μὲ πολλὴν προθυμίαν»[1]. Πράγματι παντοῦ εἰς τὰς ἐπιστολὰς ὁμιλεῖ δι' αὐτὸ τὸ θέμα καὶ δὲν ὑπάρχει οὔτε μία ἐπιστολή, εἰς τὴν ὁποίαν νὰ μὴ ὑπάρχῃ αὐτὴ ἡ παραίνεσις. Διότι γνωρίζει, γνωρίζει πόση εἶναι ἡ ἀξία καὶ ἡ δύναμις τοῦ πράγματος· διὰ τοῦτο ὡσὰν θαυμαστὴν ὀροφὴν εἰς τὴν οἰκοδομὴν εἰσάγει τὴν διδασκαλίαν περὶ τούτων εἰς τὰς ἄλλας παραινέσεις καὶ συμβουλάς. Πρᾶγμα ποὺ ἔκαμε καὶ ἐδῶ, ὅταν, ἀφοῦ ὡμίλησε διὰ τὴν ἀνάστασιν καὶ ἐτακτοποίησεν ὅλα τὰ ἄλλα, ἐτελείωσε τὸν λόγον του μὲ τὴν ἐλεημοσύνην καὶ εἶπε τὰ ἑξῆς· «Διὰ τὴν συνεισφορὰν δὲ ὑπὲρ τῶν Χριστιανῶν τῶν Ἱεροσολύμων κάμετε καὶ ἐσεῖς σύμφωνα μὲ τὰς ὁδηγίας ποὺ ἔδωσα εἰς τὰς ἐκκλησίας τῆς Γαλατίας· κάθε πρώτην ἡμέραν τῆς ἑβδομάδος (δηλ. τὴν Κυριακὴν) κάθε ἕνας ἀπὸ ἐσᾶς (ἂς βάζῃ κάτι κατὰ μέρος)»[2].

Βλέπε σύνεσιν ἀποστολικήν, πόσον ἐπίκαιρα ἐχρησιμοποίησε τὴν παραίνεσιν αὐτήν. Ἀφοῦ τοὺς ὑπενθύμισε τὴν μέλλουσαν κρίσιν καὶ τὸ φοβερὸν ἐκεῖνο δικαστήριον καὶ τὴν δόξαν, τὴν ὁποίαν ἐπρόκειτο νὰ περιβληθοῦν οἱ ἐνάρετοι, καὶ τὴν αἰώνιον ζωήν, τότε λοιπὸν τοὺς εἰσάγει εἰς αὐτὸ τὸ θέμα, ὥστε ὁ ἀκροατής, ποὺ ἀνεκουφίσθη μὲ τὰς καλὰς ἐλπίδας καὶ ἔγινε προσφορώτερος, νὰ δεχθῇ τὸν λόγον αὐτὸν μὲ μεγαλυτέραν προθυμίαν, διότι ἔχει ἀκόμη ἔντονον τὸν φόβον τῆς κρίσεως καὶ τὴν ψυχὴν ὁλοπρόθυμον ἀπὸ τὴν προσδοκίαν τῶν μελλόντων ἀγαθῶν. Διότι αὐτὸς ποὺ ἠμπορεῖ νὰ φιλοσοφῇ περὶ ἀναστάσεως, καὶ νὰ μεταφέρεται ὁλόκληρος πρὸς τὴν ἐκεῖ ζωήν, θὰ θεωρήσῃ ὅτι οὐδεμίαν ἀξίαν ἔχουν τὰ παρόντα, οὔτε ὁ πλοῦτος, οὔτε ἡ εὐπορία, οὔτε ὁ χρυσὸς καὶ ὁ ἄργυρος, οὔτε ἡ λαμπρὰ περιβολὴ τῶν ἐνδυμάτων, οὔτε ἡ πολυτέλεια, οὔτε τὰ πλούσια τραπέζια οὔτε τίποτε ἄλλο ὅμοιον μὲ αὐτά· αὐτὸς δὲ ποὺ τὰ θεωρεῖ ὅλα αὐτὰ μηδαμινά, εὐκολώτερα βοηθεῖ

των ἀνθέξεται προστασίας. Διὰ δὲ τοῦτο καὶ Παῦλος καλῶς προπαρασκευάσας αὐτῶν τὴν διάνοιαν τῇ περὶ τῆς ἀναστάσεως φιλοσοφίᾳ, τότε εἰσήγαγε τὴν παραίνεσιν. Καὶ οὐκ εἶπε, περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς πτωχούς, οὐδέ, τῆς εἰς τοὺς πένητας, ἀλλά, «Τῆς εἰς τοὺς ἁγίους»· παιδεύων τοὺς ἀκούοντας καὶ τοὺς ἐν πενίᾳ θαυμάζειν, ὅταν εὐσεβεῖς ὦσι, καὶ τοὺς ἐν πλούτῳ διαπτύειν, ὅταν ἀρετῆς καταφρονῶσιν. Οἶδε γοῦν καὶ βασιλέα βέβηλον καλεῖν καὶ παράνομον, ὅταν ἐχθρὸς ᾖ τῷ Θεῷ, καὶ πτωχοὺς ἁγίους, ὅταν ἐπιεικεῖς ὦσι καὶ μέτριοι. Τὸν γοῦν Νέρωνα «μυστήριον τῆς ἀνομίας» καλεῖ, λέγων· «Τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας»· τούτους δὲ καὶ οὐδὲ τῆς ἀναγκαίας εὐποροῦντας τροφῆς, ἀλλ' ἐκ τοῦ ἐπαιτεῖν τρεφομένους, ἁγίους ὠνόμασεν. Ἅμα δὲ κἀκείνους λανθανόντως ἐδίδασκε μὴ μέγα φρονεῖν, μηδὲ ἐπαίρεσθαι τῇ τῆς ἐντολῆς δόσει, ὡς εὐτελέσι τισὶ καὶ εὐκαταφρονήτοις παρέχοντας, ἀλλ' εἰδέναι σαφῶς καὶ πείθειν ἑαυτούς, ὅτι τιμῆς ἀπολαύουσι μεγίστης, καταξιούμενοι κοινωνεῖν ταῖς ἐκείνων θλίψεσιν.

2. Ἄξιον δὲ κἀκεῖνο ἐξετάζειν, τίνες εἰσὶν οὗτοι οἱ ἅγιοι· οὐδὲ γὰρ ἐνταῦθα αὐτῶν μέμνηται μόνον, ἀλλὰ καὶ ἑτέρωθι πάλιν οὕτω λέγων· «Νυνὶ δὲ πορεύομαι εἰς Ἱερουσαλὴμ διακονήσων τοῖς ἁγίοις». Καὶ Λουκᾶς δὲ ἐν ταῖς Πράξεσι, λιμοῦ προσδοκωμένου μεγάλου, τούτων αὐτῶν μεμνημένος τῶν ἁγίων φησί· «Τῶν δὲ μαθητῶν, καθὼς εὐπορεῖτό τις, ὥρισεν ἕκαστος πέμψαι πρὸς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἱερουσαλήμ». Καὶ πάλιν, ὃ καὶ ἔμπροσθεν ἔφθην εἰπών, «Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι». Ἐπειδὴ δὲ διειλόμεθα, ἐγὼ

3. Β' Θεσ. 2, 7.
4. Ρωμ. 15, 25.
5. Πράξ. 11, 29.
6. Γαλ. 2, 10.

τοὺς φτωχούς. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἀφοῦ προετοίμασε καλῶς τὴν ψυχήν των μὲ τὴν περὶ ἀναστάσεως διδασκαλίαν, τότε εἰσήγαγε τὴν παραίνεσιν. Καὶ δὲν εἶπε, Διὰ τὴν συνεισφορὰν διὰ τοὺς πτωχούς, οὔτε Διὰ τοὺς πένητας, ἀλλὰ «Διὰ τὴν συνεισφορὰν διὰ τοὺς ἁγίους»· διότι ἤθελε νὰ διδάξῃ τοὺς ἀκροατάς του νὰ θαυμάζουν καὶ τοὺς πτωχούς, ὅταν εἶναι εὐσεβεῖς, καὶ νὰ ἀποδοκιμάζουν τοὺς πλουσίους, ὅταν καταφρονοῦν τὴν ἀρετήν. Γνωρίζει βέβαια ἀκόμη καὶ τὸν αὐτοκράτορα νὰ τὸν ἀποκαλῇ βέβηλον καὶ παράνομον, ὅταν εἶναι ἐχθρὸς τοῦ Θεοῦ, καὶ τοὺς πτωχοὺς νὰ τοὺς καλῇ ἁγίους, ὅταν εἶναι ἀγαθοὶ καὶ ταπεινόφρονες. Τὸν Νέρωνα, ὡς γνωστόν, τὸν ἀποκαλεῖ «μυστήριον τῆς ἀνομίας» ὅταν λέγῃ· «Τώρα εἶναι εἰς ἐνέργειαν ἡ δύναμις τοῦ κακοῦ καὶ τῆς ἀνομίας»[3]· αὐτοὺς δὲ ποὺ οὔτε τὴν ἀναγκαίαν τροφὴν εἶχον ἀλλὰ ἐτρέφοντο ἀπὸ τὴν ἐπαιτείαν, τοὺς ὠνόμασεν ἁγίους. Συγχρόνως ἐδίδασκε καὶ ἐκείνους μὲ τρόπον νὰ μὴ ὑπερηφανεύωνται οὔτε νὰ καυχῶνται μὲ τὴν ἐντολὴν αὐτήν, μὲ τὴν ἰδέαν ὅτι παρέχουν εἰς κάποιους εὐτελεῖς καὶ εὐκαταφρονήτους, ἀλλὰ νὰ γνωρίζουν καλῶς καὶ νὰ πιστεύουν ὅτι ἀπολαμβάνουν μεγίστης τιμῆς, διότι ἀξιώνονται νὰ μετέχουν εἰς τὰς θλίψεις ἐκείνων.

2. Ἀξίζει νὰ ἐξετάσωμεν καὶ ἐκεῖνο, ποῖοι δηλαδὴ εἶναι αὐτοὶ οἱ ἅγιοι· διότι δὲν τοὺς μνημονεύει μόνον ἐδῶ, ἀλλὰ καὶ ἀλλοῦ πάλιν λέγει τὰ ἑξῆς· «Τώρα πηγαίνω εἰς τὰ Ἱεροσόλυμα διὰ νὰ προσφέρω ὑπηρεσίαν εἰς τοὺς ἐκεῖ ἁγίους»[4]. Καὶ ὁ Λουκᾶς εἰς τὰς Πράξεις τῶν Ἀποστόλων, ἐνῷ ἀνεμένετο μεγάλος λιμός, μνημονεύει πάλιν αὐτοὺς τοὺς ἁγίους καὶ λέγει· «Ὅλοι οἱ μαθηταὶ ἀναλόγως τῶν πόρων καὶ τῶν μέσων ποὺ εἶχε κάθε ἕνας, ἀπεφάσισαν νὰ στείλουν βοηθήματα πρὸς τοὺς πτωχοὺς τῶν ἁγίων ποὺ διέμενον εἰς τὴν Ἱερουσαλήμ»[5]. Καὶ πάλιν, ὅπως εἶπα μόλις παραπάνω «Μᾶς συνέστησαν δὲ νὰ ἐνθυμούμεθα τοὺς πτωχοὺς τῆς ἐκκλησίας καὶ νὰ φροντίζωμεν δι' αὐτούς, πρᾶγμα τὸ ὁποῖον ἰδιαιτέρως ἐφρόντισα νὰ κάνω μὲ πολλὴν προθυμίαν»[6]. Ἀφοῦ λοιπὸν ἐμοιράσθημεν, ἐγὼ μὲν τοὺς εἰδωλολάτρας, ὁ δὲ

μὲν τοὺς Ἕλληνας, ὁ δὲ Πέτρος τοὺς Ἰουδαίους, κοινῇ γνώμῃ συνεθέμεθα, φησίν, ὥστε ἐν τοῖς πτωχοῖς μὴ εἶναι τὴν διαίρεσιν ταύτην. Ὅτε μὲν γὰρ ἐκήρυττον, ὁ μὲν τοῖς Ἰουδαίοις, ὁ δὲ τοῖς Ἕλλησιν ἐκήρυττον· ὅτε δὲ πενήτων προΐσταντο, οὐκέτι οὕτως, ὁ μὲν τῶν πενήτων τῶν Ἰουδαίων, ὁ δὲ τῶν πενήτων τῶν Ἑλλήνων μόνον· ἀλλὰ καὶ τῶν παρὰ Ἰουδαίοις πτωχευόντων ἕκαστος πολλὴν ἐποιεῖτο πρόνοιαν. Διὸ καὶ ἔλεγε, «Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι».

Τίνες οὖν εἰσιν οὗτοι, περὶ ὧν ἐνταῦθα διαλέγεται, καὶ ἐν τῇ πρὸς Ρωμαίους ἐπιστολῇ, καὶ ἐν τῇ πρὸς Γαλάτας, ὑπὲρ ὧν καὶ Μακεδόνας παρεκάλεσεν; Οἱ τῶν Ἰουδαίων πένητες, οἱ ἐν Ἱεροσολύμοις καθήμενοι. Καὶ τίνος οὖν ἕνεκεν τοσαύτην αὐτῶν ποιεῖται πρόνοιαν; Μὴ γὰρ οὐχὶ καὶ καθ' ἑκάστην πόλιν ἦσαν πτωχοὶ καὶ πένητες; Τί δήποτε οὖν πρὸς ἐκείνους πέμπει, καὶ πάντας ὑπὲρ αὐτῶν παρακαλεῖ; Οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, οὐδὲ προσωποληψίᾳ χρώμενός τινι, ἀλλὰ χρησίμως καὶ συμφερόντως. Μικρὸν δὲ ἀνωτέρω τὸν λόγον ἀγαγεῖν ἀναγκαῖον.

Ἐπειδὴ τὰ τῶν Ἰουδαίων μετέπεσε πράγματα, καὶ τὸν Ἰησοῦν σταυρώσαντες, τὴν φωνὴν ἐκείνην καθ' ἑαυτῶν ἐκύρωσαν, λέγοντες· «Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα», καὶ λοιπὸν ὑπὸ τὴν Ρωμαίων ἐτέθησαν ἀρχήν, οὔτε αὐτόνομοι ἦσαν, καθάπερ καὶ πρότερον, οὔτε καθόλου δοῦλοι, καθάπερ καὶ νῦν· ἀλλ' ἐν τάξει συμμάχων ὄντες διετέλουν, φόρους μὲν τελοῦντες τοῖς βασιλεῦσιν ἑαυτῶν, καὶ τοὺς παρ' ἐκείνων ἄρχοντας δεχόμενοι· πολλαχοῦ δὲ τοῖς ἰδίοις κεχρημένοι νόμοις, καὶ τοὺς παρ' αὐτοῖς ἁμαρτάνοντας κατὰ τὰ πάτρια κολάζοντες νόμιμα. Καὶ ὅτι μὲν φόρους ἐτέλουν Ρωμαίοις, δῆλον ἐξ ὧν πειράζοντες τὸν Ἰησοῦν, φησίν, ἠρώτων,

7. Ἰω. 19, 15.

Πέτρος τοὺς Ἰουδαίους, ἐσυμφωνήσαμεν, λέγει, ὥστε ἡ διαίρεσις αὐτὴ νὰ μὴ ἰσχύῃ διὰ τοὺς πτωχούς. Καὶ ὅταν ἐκήρυττον ὁ μὲν ἐκήρρυτεν εἰς τοὺς Ἰουδαίους, ὁ δὲ εἰς τοὺς εἰδωλολάτρας· ὅταν ὅμως ἐφρόντιζαν διὰ τοὺς πτωχούς, δὲν συνέβαινε τοῦτο, δηλαδὴ ὁ μὲν νὰ φροντίζῃ διὰ τοὺς φτωχοὺς τῶν Ἰουδαίων, ὁ δὲ ἄλλος διὰ τοὺς τῶν εἰδωλολατρῶν μόνον· ἀλλὰ κάθε ἕνας ἐφρόντιζε πολὺ καὶ διὰ τοὺς πτωχοὺς μεταξὺ τῶν Ἰουδαίων. Διὰ τοῦτο καὶ ἔλεγε· «Μᾶς συνέστησαν δὲ νὰ φροντίζωμεν διὰ τοὺς πτωχούς, πρᾶγμα τὸ ὁποῖον ἰδιαιτέρως ἐφρόντισα νὰ κάμω μὲ πολλὴν προθυμίαν».

Ποῖοι εἶναι λοιπὸν αὐτοὶ διὰ τοὺς ὁποίους ὁμιλεῖ καὶ ἐδῶ καὶ εἰς τὴν πρὸς Ρωμαίους ἐπιστολὴν καὶ εἰς τὴν πρὸς Γαλάτας, χάριν τῶν ὁποίων καὶ τοὺς Μακεδόνας ἀκόμη παρεκάλεσεν; Εἶναι οἱ πτωχοὶ μεταξὺ τῶν Ἰουδαίων ποὺ διέμεναν εἰς τὰ Ἱεροσόλυμα. Καὶ διὰ ποῖον λόγον λοιπὸν φροντίζει τόσον πολὺ δι' αὐτούς; Μήπως δὲν ὑπῆρχαν πτωχοὶ εἰς κάθε πόλιν; Διατί λοιπὸν στέλλει πρὸς αὐτοὺς καὶ παρακαλεῖ ὅλους ὑπὲρ αὐτῶν; Δὲν τὸ κάμει ἁπλῶς καὶ μόνον εἰς τὴν τύχην, οὔτε ἀπὸ κάποιαν μεροληψίαν, ἀλλὰ ἐπωφελῶς καὶ πρὸς τὸ συμφέρον. Εἶναι ἀνάγκη νὰ φέρωμεν ὀλίγον ὑψηλότερα τὴν ὁμιλίαν.

Ὅταν δηλαδὴ ἡ κατάστασις τῶν Ἰουδαίων μετεβλήθη καὶ μὲ τὴν σταύρωσιν τοῦ Ἰησοῦ ἐπεκύρωσαν ἐκεῖνο ποὺ ἐφώναξαν ἐναντίον των, ὅτι δηλαδὴ «δὲν ἔχομεν βασιλέα ἄλλον ἐκτὸς ἀπὸ τὸν Καίσαρα»[7] καὶ ἐτέθησαν εἰς τὸ ἑξῆς ὑπὸ τὴν ἀπόλυτον ἐξουσίαν τῶν Ρωμαίων, οὔτε αὐτόνομοι ἦσαν ὅπως προηγουμένως, οὔτε ἐντελῶς δοῦλοι, ὅπως καὶ τώρα· ἀλλὰ ἦσαν εἰς τὴν κατηγορίαν τῶν συμμάχων καὶ ἐπλήρωναν φόρους εἰς τοὺς αὐτοκράτορας καὶ ἐδέχοντο τοὺς ἄρχοντας ἀπὸ ἐκείνους· εἰς πολλὰς δὲ περιπτώσεις ἐχρησιμοποίουν τοὺς ἰδικούς των νόμους καὶ ὅσους ἡμάρτανον τοὺς ἐτιμωροῦσαν μὲ βάσιν τὰ πατροπαράδοτα ἔθιμά των. Καὶ ὅτι μὲν ἐπλήρωναν φόρους εἰς τοὺς Ρωμαίους γίνεται φανερὸν ἀπὸ τὰς ἐρωτήσεις ποὺ ἀπηύθυνον πρὸς τὸν Ἰησοῦν διὰ νὰ τὸν πειράξουν, ὅπως· «Διδάσκαλε,

«Διδάσκαλε, ἔξεστι δοῦναι κῆνσον Καίσαρι, ἢ οὔ;»· ὅτε καὶ αὐτὸς δεῖξαι κελεύσας αὐτοῖς νόμισμα, εἶπεν, «Ἀπόδοτε», λέγων, «τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ». Λουκᾶς δέ, καὶ ὅτι στρατηγοὺς καὶ χιλιάρχους εἶχε τὸ ἱερόν, λέγει. Τὸ μὲν οὖν ὑποκεῖσθαι τοὺς Ἰουδαίους Ρωμαίοις, οὐ μικρὰ ταῦτα δείγματα· ὅτι δὲ καὶ οἰκείοις ἐκέχρηντο νόμοις, δῆλον ἐκεῖθεν. Τὸν Στέφανον ἐλίθασαν, οὐκ εἰς δικαστήριον ἀγαγόντες· τὸν Ἰάκωβον ἀπέκτειναν τὸν ἀδελφὸν τοῦ Κυρίου· τὸν Χριστὸν αὐτὸν ἐσταύρωσαν, καίτοι τοῦ δικαστοῦ συγχωρήσαντος καὶ ἀφέντος πάσης αὐτὸν κατηγορίας. Διὰ γὰρ τοῦτο καὶ τὰς χεῖρας ἐνίψατο, λέγων· «Ἀθῶός εἰμι ἀπὸ τοῦ αἵματος τούτου». Καὶ ἐπειδὴ σφόδρα ἐπικειμένους εἶδεν, αὐτὸς μὲν τὴν ψῆφον οὐκ ἐξήνεγκεν, ἀλλ' ἀπέστη· ἐκεῖνοι δὲ οἰκείᾳ χρησάμενοι τυραννίδι τὸ πᾶν μετὰ ταῦτα εἰργάσαντο· Καὶ Παύλῳ δὲ πολλάκις ἐπέθεντο.

Ἐπεὶ οὖν τοῖς ἑαυτῶν ἐκέχρηντο δικαστηρίοις, ἐκ τούτων συνέβαινε τοὺς ἐξ αὐτῶν πιστεύοντας χαλεπώτερα τῶν ἄλλων ἁπάντων πάσχειν κακά. Ἐν μὲν οὖν ταῖς ἄλλαις πόλεσι καὶ δικαστήρια, καὶ νόμοι, καὶ ἄρχοντες ἦσαν, καὶ οὐκ ἐξῆν τοῖς Ἕλλησι τοὺς ἐξ αὐτῶν ἀποπηδῶντας οἰκείᾳ τυραννίδι ἢ σφάττειν, ἢ λιθάζειν, ἢ ἄλλο τι τοιοῦτον διατιθέναι αὐτοὺς κακόν· ἀλλ' εἴ τις ἑάλω τοιοῦτόν τι τολμῶν παρὰ τὴν τῶν δικαζόντων ψῆφον, καὶ αὐτὸς ἐκολάζετο· παρὰ δὲ τοῖς Ἰουδαίοις μετὰ πολλῆς ταῦτα συγκεχώρητο τῆς ἐξουσίας. Διὰ δὴ τοῦτο πάντων δεινότερον ἔπασχον οἱ ἐξ ἐκείνων πιστεύοντες, ὥσπερ ἐν μέσοις ἀπειλημμένοι λύκοις, καὶ οὐδένα τὸν ἐξαιρούμενον ἔχοντες. Οὕτω γοῦν καὶ τὸν Παῦλον ἐμαστίγουν πολλάκις· καὶ ἄκουε αὐτοῦ τοῦτο δηλοῦντος καὶ λέγοντος· «Πεντάκις τεσσαράκοντα παρὰ μίαν ὑπὸ Ἰουδαίων

8. Ματθ. 22, 17.
9. Ματθ. 22, 21.

ἐπιτρέπεται ἢ ὄχι νὰ δώσωμεν κεφαλικὸν φόρον εἰς τὸν Καίσαρα;»[8]· ὁπότε καὶ αὐτὸς ἀφοῦ τοὺς διέταξε νὰ δείξουν κάποιο νόμισμα τοὺς εἶπεν· «Δώσατε εἰς τὸν Καίσαρα ἐκεῖνα ποὺ ἀνήκουν εἰς τὸν Καίσαρα, καὶ εἰς τὸν Θεὸν ἐκεῖνα ποὺ ἀνήκουν εἰς τὸν Θεόν»[9]· ὁ Λουκᾶς πάλιν λέγει ὅτι τὸ ἱερὸν εἶχε στρατηγοὺς καὶ χιλιάρχους. Διὰ τὸ ὅτι οἱ Ἰουδαῖοι ἦσαν ὑποταγμένοι εἰς τοὺς Ρωμαίους, αὐτὰ δὲν ἀποτελοῦν μικρὰς ἀποδείξεις· ὅτι ὅμως ἐχρησιμοποιοῦσαν καὶ ἰδικούς των νόμους, εἶναι φανερὸν ἐκ τοῦ γεγονότος τούτου. Ἐλιθοβόλησαν τὸν Στέφανον χωρὶς νὰ τὸν φέρουν εἰς τὸ δικαστήριον· ἐθανάτωσαν τὸν Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου· τὸν ἴδιον τὸν Χριστὸν ἐσταύρωσαν καίτοι ὁ δικαστὴς τὸν ἀπήλλαξεν ἀπὸ κάθε κατηγορίαν. Καθ' ὅσον ἔνιψε καὶ τὰ χέρια του λέγων· «Εἶμαι ἀθῶος ἀπὸ αὐτὸ τὸ αἷμα». Καὶ ὅταν τοὺς εἶδε νὰ ἐπιμένουν πολύ, αὐτὸς μὲν δὲν ἔβγαλε καταδικαστικὴν ἀπόφασιν, ἀλλ' ἀπέσχεν· ἐκεῖνοι δὲ ἐφαρμόζοντες τὴν ἰδικήν των νομοθεσίαν ἔπραξαν ὅλα τὰ μετέπειτα καὶ εἰς αὐτὸν δὲ πολλὰς φορὰς ἐπετέθησαν.

Ἐπειδὴ λοιπὸν ἐχρησιμοποιοῦσαν τὰ ἰδικά των δικαστήρια συνέβαινεν οἱ ἐκ τῶν Ἰουδαίων πιστοὶ εἰς τὸν Χριστιανισμὸν νὰ ὑφίστανται μεγαλύτερα δεινὰ ἀπὸ ὅλους τοὺς ἄλλους. Εἰς μὲν τὰς ἄλλας πόλεις ὑπῆρχαν καὶ δικαστήρια καὶ νόμοι καὶ ἄρχοντες καὶ δὲν ἦτο ἐπιτρεπτὸν εἰς τοὺς ἐθνικοὺς μὲ ἰδικούς των νόμους ἢ νά σφάζουν, ἢ νὰ λοθοβολοῦν ἢ νὰ βασανίζουν μὲ ἄλλον τρόπον αὐτοὺς ποὺ ἔφευγαν ἀπὸ τὴν εἰδωλολατρίαν· ἀλλὰ ἐὰν συνελαμβάνετο κάποιος νὰ ἀποτολμᾷ κάτι τέτοιο, παρὰ τὴν ἀπόφασιν τῶν δικαστῶν, ἐτιμωρεῖτο καὶ αὐτός· εἰς τοὺς Ἰουδαίους ὅμως ὅλα αὐτὰ ἐπετρέποντο μὲ μεγάλην ἐλευθερίαν. Διὰ τοῦτο ἀκριβῶς ὑπέφεραν περισσότερον ἀπὸ ὅλους οἱ πιστοὶ ποὺ προήρχοντο ἀπὸ αὐτούς, ὡσὰν νὰ ἦσαν ἀποκλεισμένοι ἀνάμεσα εἰς λύκους καὶ κανεὶς δὲν ἠμποροῦσε νὰ διαφύγῃ. Ἔτσι λοιπὸν καὶ τὸν Παῦλον πολλὰς φορὰς τὸν ἐμαστίγωνον· καὶ ἄκουσε αὐτὸ νὰ τὸ φανερώνῃ καὶ νὰ τὸ λέγῃ ὁ ἴδιος· «Ἀπὸ τοὺς Ἰουδαίους πέντε φορὰς ἐμαστι-

ἔλαβον, τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην». Καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, γράφων πρὸς Ἑβραίους ὁ Παῦλός φησιν· «Ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων, τοῦτο μὲν ὀνιδισμοῖς καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτω πασχόντων γενηθέντες. Καὶ γὰρ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες κρείττονα ὕπαρξιν ἔχειν ἐν οὐρανοῖς καὶ μένουσαν». Καὶ Θεσσαλονικέας δὲ παρακαλῶν, τούτους εἰς μέσον ἤγαγεν· Ὑμεῖς γὰρ μιμηταὶ ἐγεννήθητε ἀδελφοί, τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ ὅτι καὶ ὑμεῖς τοιαῦτα ἐπάθετε ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθάπερ κἀκεῖνοι ὑπὸ τῶν Ἰουδαίων. Ἐπεὶ οὖν πάντων χαλεπώτερα ἔπασχον, καὶ οὐ μόνον οὐκ ἠλεοῦντο, ἀλλὰ καὶ τὰ ὄντα ἀφηροῦντο ἅπαντα, καὶ ἤγοντο καὶ ἐφέροντο, καὶ πάντοθεν ἠλαύνοντο, εἰκότως τοὺς πανταχόθεν ἐπὶ τὴν ἐκείνων ἀντίληψιν διεγείρει. Καὶ ἐνταῦθα πάλιν ὑπὲρ τούτων αὐτῶν παρακαλεῖ Κορινθίους, λέγων· «Περὶ δὲ τῆς λογίας εἰς τοὺς ἁγίους, καθὼς διέταξα ταῖς Ἐκκλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε».

3. Τίνες μὲν οὖν εἰσιν οἱ ἅγιοι οὗτοι, καὶ τί δήποτε πλείονα ὑπὲρ αὐτῶν ποιεῖται πρόνοιαν, ἱκανῶς ἀποδέδεικται· δεῖ δὲ λοιπὸν ζητῆσαι, τίνος ἕνεκεν Γαλατῶν μέμνηται. Διὰ τί γὰρ μὴ εἶπε περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους τοῦτο ποιήσατε· κατὰ μίαν Σαββάτων ἕκαστος ὑμῶν

10. Β′ Κορ. 11, 24-25.
11. Ἑβρ. 10, 32-34.
12. Α′ Θεσσ. 2, 14.
13. Α′ Κορ. 1, 16.

γώθην, μὲ σαράντα παρὰ μίαν μαστιγώσεις κάθε φοράν, τρεῖς φορὰς ἐρραβδίσθην, μίαν φορὰν ἐλιθοβολήθην»[10]. Καὶ ὅτι δὲν εἶναι αὐτὰ ὑπερβολικά, γράφων πρὸς τοὺς Ἑβραίους ὁ ἴδιος ὁ Παῦλος λέγει· «Νὰ ἐνθυμῆσθε τὰς προηγουμένας ἡμέρας τῆς ζωῆς σας, κατὰ τὰς ὁποίας εἴχατε κατηχηθῆ τὴν ἀλήθειαν καὶ εἴχατε φωτισθῆ μὲ τὸ ἅγιον Βάπτισμα καὶ ὑπεμείνατε πολὺ καρτερικὰ καὶ ἡρωικὰ τὸν ἀγῶνα τῶν παθημάτων καὶ τῶν διωγμῶν, ἀφ᾽ ἑνὸς μὲν μὲ χλευασμοὺς και ὕβρεις καὶ μὲ θλίψεις σᾶς διεπόμπευαν καὶ σᾶς ἐθεάτριζαν, ἀφ᾽ ἑτέρου δὲ μὲ τὴν συμπάθειαν καὶ τὴν βοήθειάν σας ἐγίνατε συμμέτοχοι ἐκείνων, οἱ ὁποῖοι ἔτσι κατεδιώκοντο καὶ ἐζοῦσαν ἐν μέσῳ θλίψεων καὶ κατατρεγμῶν. Καὶ τὴν ἁρπαγὴν καὶ δήμευσιν τῆς περιουσίας σας ἐδέχθητε μὲ χαράν, ἐπειδὴ ἐγνωρίζατε, ὅτι ἔχετε διὰ τὸν ἑαυτόν σας καλυτέραν περιουσίαν εἰς τοὺς οὐρανοὺς ποὺ εἶναι μόνιμος καὶ αἰωνία»[11]. Καὶ ὅταν προέτρεπε τοὺς Θεσσαλονικεῖς πάλιν αὐτοὺς ἔφερεν εἰς τὸ μέσον· «Διότι σεῖς, ἀδελφοί, ἐγίνατε μιμηταὶ τῶν ἐκκλησιῶν τοῦ Θεοῦ ποὺ εἶναι εἰς τὴν Ἰουδαίαν ἡνωμέναι μὲ τὸν Ἰησοῦν Χριστόν, διότι καὶ σεῖς ἐπάθατε τὰ ἴδια ἀπὸ τοὺς ὁμοεθνεῖς σας, ὅπως καὶ ἐκεῖνοι ἀπὸ τοὺς Ἰουδαίους»[12]. Ἐπειδὴ λοιπὸν ὑφίσταντο τὰ μεγαλύτερα δεινὰ ἀπὸ ὅλους, καὶ ὄχι μόνον δὲν ἔβλεπαν ἔλεος, ἀλλὰ τοὺς ἀφῃροῦντο καὶ ὅλα τὰ ὑπάρχοντά τους, καὶ κατεδιώκοντο ἀπὸ παντοῦ, εὐλόγως διεγείρει ὅλους νὰ σπεύσουν εἰς βοήθειαν ἐκείνων. Καὶ ἐδῶ πάλιν διὰ τοὺς ἰδίους παρακαλεῖ τοὺς Κορινθίους καὶ λέγει· «Διὰ τὴν συνεισφορὰν δὲ ὑπὲρ τῶν Χριστιανῶν (τῶν Ἱεροσολύμων) κάμετε καὶ ἐσεῖς σύμφωνα μὲ τὰς ὁδηγίας ποὺ ἔδωσα εἰς τὰς ἐκκλησίας τῆς Γαλατίας»[13].

3. Ποῖοι εἶναι οἱ ἅγιοι αὐτοὶ καὶ διατί λαμβάνει μεγαλυτέραν φροντίδα δι᾽ αὐτοὺς τὸ ἀνεφέραμεν καὶ ἐπαρκῶς τὸ ἀπεδείξαμεν· πρέπει τώρα νὰ ἐρευνήσωμεν διὰ ποῖον λόγον ἀναφέρει τοὺς Γαλάτας. Διατί δὲν εἶπε· Διὰ τὴν συνεισφορὰν ὑπὲρ τῶν Χριστιανῶν (τῶν Ἱεροσολύμων) νὰ κάνετε τὸ ἑξῆς· κατὰ τὴν πρώτην ἡμέραν τῆς ἑβδομά-

παρ' ἑαυτῷ τιθέτω θησαυρίζων· ἀλλ' εἰπών, «Περὶ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους, καθὼς διέταξα ταῖς Ἐκκλησίαις τῆς Γαλατίας οὕτω καὶ ὑμεῖς ποιήσατε»; Τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ, καὶ οὐδὲ μιᾶς, οὐδὲ δύο, οὐδὲ τριῶν ἀναμιμνήσκει πόλεων, ἀλλὰ ἔθνους ὁλοκλήρου; Ἵνα πλείονα δέξωνται προθυμίαν, καὶ τὰ ἑτέρων ἐγκώμια αὐτοῖς ὑπόθεσις γένηται ζήλου.

Εἶτα λέγει καὶ τὸν τρόπον, καθ' ὃν διέταξε· «Κατὰ μίαν Σαββάτων, φησίν, ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων ὅ,τι ἂν εὐοδῶται, ἵνα μή, ὅταν ἔλθω, τότε λογίαι γίνωνται». Μίαν Σαββάτων, τὴν Κυριακὴν ἐκάλεσε. Καὶ τίνος ἕνεκεν ταύτην ἐπέταξε τῇ εἰσφορᾷ τὴν ἡμέραν; διὰ τί μὴ εἶπε, τῇ δευτέρᾳ τῶν Σαββάτων, τῇ τρίτῃ τῶν Σαββάτων, ἢ αὐτοῖς τοῖς Σάββασιν; Οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ· ἀλλὰ βουλόμενός τινα καὶ ἀπὸ τοῦ καιροῦ λαβεῖν συμμαχίαν εἰς τὸ προθυμοτέρους ποιῆσαι τοὺς εἰσφέροντας. Οὐ μικρὸν δὲ ἐπιτηδειότης καιροῦ ἐν ἅπασι πράγμασι. Καὶ τί, φησίν, ὁ καιρὸς ἐπιτήδειον ἔχει πρὸς τὸ πεῖσαι διδόναι ἐλεημοσύνην; Κατὰ τὴν ἡμέραν ταύτην τὸ πάσης ἐργασίας ἀφίστασθαι, τὸ φαιδροτέραν γίνεσθαι τὴν ψυχὴν ἐκ τῆς ἀνέσεως, τὸ δὲ πάντων μεῖζον, τὸ μυρίων ἡμᾶς κατ' αὐτὴν ἀπολελαυκέναι καλῶν. Ἐν ταύτῃ γὰρ τῇ ἡμέρᾳ κατελύθη ὁ θάνατος, ἐσβέσθη ἡ κατάρα, ἁμαρτία ἠφανίσθη, ᾅδου πύλαι συνεκλάσθησαν, καὶ δέσμιος ὁ διάβολος γέγονε, καὶ ὁ χρόνιος ἀνῃρέθη πόλεμος, καὶ καταλλαγαὶ Θεοῦ πρὸς ἀνθρώπους ἐγένοντο· καὶ πρὸς τὴν προτέραν, μᾶλλον δὲ πρὸς πολλῷ μείζονα ἐπανῆλθεν εὐγένειαν ἡμῶν τὸ γένος, καὶ τὸ θαυ-

---

14. Α΄ Κορ. 16, 2.

δος (Κυριακὴν) κάθε ἕνας ἀπὸ ἐσᾶς ἂς ξεχωρίζῃ εἰς τὸ σπίτι του κάποιο ποσὸν καὶ ἂς μαζεύῃ σιγὰ - σιγὰ θησαυρόν, ἀλλ' εἶπε «Διὰ τὴν συνεισφορὰν δὲ ὑπὲρ τῶν Χριστιανῶν (τῶν Ἱεροσολύμων) κάμετε καὶ σεῖς σύμφωνα μὲ τὰς ὁδηγίας ποὺ ἔδωσα εἰς τὰς ἐκκλησίας τῆς Γαλατίας»; Διὰ ποῖον λόγον τὸ κάμει αὐτὸ καὶ δὲν ἀναφέρει οὔτε μίαν, οὔτε δύο, οὔτε τρεῖς πόλεις, ἀλλὰ ἔθνος ὁλόκληρον; Διὰ νὰ δεχθοῦν αὐτὰ ποὺ τοὺς λέγει μὲ μεγάλην προθυμίαν καὶ διὰ νὰ γίνουν τὰ ἐγκώμια τῶν ἄλλων ἀφορμὴ ζήλου δι' αὐτούς.

Ἔπειτα λέγει καὶ τὸν τρόπον κατὰ τὸν ὁποῖον τοὺς ὥρισε νὰ κάμουν· «Τὴν πρώτην ἡμέραν τῆς ἑβδομάδος, τὴν Κυριακήν, ὁ καθένας ἀπὸ ἐσᾶς ἂς θέτῃ κατὰ μέρος εἰς τὸ σπίτι του κάποιο ποσὸν καὶ ἂς μαζεύῃ ἔτσι ἀπὸ τώρα ὅ,τι εὐκολύνεται, ὥστε νὰ μὴ γίνωνται τοιαῦται συνεισφοραί, ὅταν ἐγὼ θὰ ἔλθω»[14]. Πρώτην ἡμέραν τῆς ἑβδομάδος ὠνόμασε τὴν Κυριακήν. Καὶ διὰ ποῖον λόγον ὥρισεν αὐτὴν τὴν ἡμέραν διὰ τὴν εἰσφοράν; Διατί δὲν εἶπε τὴν δευτέραν ἡμέραν τῆς ἑβδομάδος ἢ τὴν τρίτην ἡμέραν ἢ αὐτὸ τὸ Σάββατον; Δὲν τὸ ἔκαμεν αὐτὸ ἁπλῶς καὶ εἰς τὴν τύχην· ἀλλὰ ἐπειδὴ ἤθελε νὰ βοηθήσῃ καὶ ἀπὸ αὐτὸν τὸν χρόνον, ὥστε νὰ κάνῃ τοὺς εἰσφέροντας προθυμοτέρους. Δὲν εἶναι δὲ μικρὸν πρᾶγμα ἡ καταλληλότης τῆς στιγμῆς διὰ κάθε πρᾶγμα. Καὶ ποίαν καταλληλότητα, θὰ εἰπῇς, ἔχει ὁ χρόνος εἰς τὸ νὰ πείσῃ νὰ δώσουν ἐλεημοσύνην; Τὸ ὅτι ἀπέχομεν κατὰ τὴν ἡμέραν αὐτὴν ἀπὸ κάθε ἐργασίαν, τὸ ὅτι ἡ ψυχὴ γίνεται λαμπροτέρα ἐξ αἰτίας τῆς ἀναπαύσεως, καὶ τὸ κυριώτερον ὅλων, τὸ ὅτι κατὰ τὴν ἡμέραν αὐτὴν ἀπολαμβάνομεν ἀναρίθμητα καλά, ὅλα αὐτὰ συντελοῦν εἰς τὴν ἐλεημοσύνην. Διότι κατ' αὐτὴν τὴν ἡμέραν κατελύθη ὁ θάνατος, ἐσβέσθη ἡ κατάρα, ἐξηφανίσθη ἡ ἁμαρτία, ἔσπασαν αἱ πύλαι τοῦ Ἅδου, καὶ ἔγινε αἰχμάλωτος ὁ διάβολος καὶ κατελύθη ὁ διαρκὴς πόλεμος καὶ ἔγινεν ἡ συμφιλίωσις τοῦ Θεοῦ μὲ τοὺς ἀνθρώπους· καὶ τὸ ἀνθρώπινον γένος ἐπανῆλθεν εἰς τὴν προηγουμένην, ἢ μᾶλλον εἰς πολὺ μεγαλυτέραν

μαστὸν ἐκεῖνο καὶ παράδοξον ἐπεῖδε θέαμα ἥλιος, ἄνθρωπον ἀθάνατον γεγενημένον.

Τούτων δὲ πάντων ἡμᾶς ἀναμνῆσαι βουλόμενος, καὶ τῶν τοιούτων, τὴν ἡμέραν εἰς μέσον ἤγαγε, μονονουχὶ συνήγορον αὐτὴν λαμβάνων, καὶ πρὸς ἕκαστον λέγων· ἐννόησον πόσων καὶ ἡλίκων ἀπέλαυσας ἀγαθῶν κατὰ τὴν ἡμέραν ταύτην, ἄνθρωπε· πόσων ἀπηλλάγης κακῶν· τίς ὢν τὸ πρότερον, τίς ἐγένου μετὰ ταῦτα. Εἰ δὲ τὰς γενεθλίους ἡμῶν ἡμέρας, πολλοὶ δὲ τῶν οἰκετῶν κἀκείνας, ἐν αἷς ἠλευθερώθησαν, μετὰ πολλῆς ἄγουσι τῆς τιμῆς, καὶ οἱ μὲν συμπόσια ποιοῦνται, οἱ δὲ ἐλεύθεροι καὶ δῶρα δωροῦνται, πολλὰ τὸν καιρὸν τιμῶντες· πολλῷ μᾶλλον ἡμᾶς χρὴ τιμᾶν τὴν ἡμέραν ταύτην, ἣν οὐκ ἄν τις ἁμάρτοι τῆς ἀνθρωπίνης φύσεως ἁπάσης γενέθλιον προσειπών. Ἀπολωλότες γὰρ ἦμεν, καὶ εὑρέθημεν· νεκροί, καὶ ἀνεζήσαμεν· ἐχθροί, καὶ κατηλλάγημεν. Διὰ τοῦτο καὶ προσήκει αὐτὴν τιμᾶν τιμὴν πνευματικήν, οὐχὶ συμπόσια ποιοῦντας, οὐδὲ οἶνον ἐκχέοντας, οὐδὲ μεθύοντας καὶ χορεύοντας, ἀλλὰ τοὺς πτωχοτέρους τῶν ἀδελφῶν ἐν πολλῇ καθιστάντας ἀφθονίᾳ.

Ταῦτα λέγω, οὐχ ἵνα ἐπαινῆτε, ἀλλ' ἵνα καὶ μιμῆσθε. Μὴ γὰρ δὴ μόνον πρὸς Κορινθίους ταῦτα εἰρῆσθαι νομίζετε, ἀλλὰ καὶ πρὸς ἡμῶν ἕκαστον, καὶ τῶν μετὰ ταῦτα ἐσομένων ἁπάντων· καὶ ποιῶμεν αὐτὸ δὲ τοῦτο, ὅπερ Παῦλος ἐπέταξε· καὶ κατὰ Κυριακὴν ἕκαστος ἀποτιθέσθω οἴκοι χρήματα δεσποτικά· καὶ νόμος ἔστω τὸ πρᾶγμα καὶ συνήθεια ἀκίνητος, καὶ οὐ δεησόμεθα παραινέσεως λοιπόν, οὐδὲ συμβουλῆς· οὐ γὰρ οὕτω λόγος καὶ παραίνεσις ἰσχύει τὰ τοιαῦτα κατορθοῦν, ὡς συνήθεια χρόνῳ βεβαιωθεῖσα. Ἂν τοῦτο κυρώσωμεν κατὰ Κυριακὴν ἀποτίθεσθαί τι πρὸς τὴν τῶν πενήτων ἀντίληψιν, οὐδ' ἂν μυρίαι γένοιντο ἀνάγκαι, τὸν νόμον παραβη-

εὐγένειαν ἀπὸ τὴν προηγουμένην, καὶ εἶδεν ὁ ἥλιος τὸ θαυμαστὸν ἐκεῖνο καὶ παράδοξον θέαμα, νὰ γίνεται δηλαδὴ ὁ ἄνθρωπος ἀθάνατος.

Θέλων νὰ μᾶς ὑπενθυμήσῃ ὅλα αὐτά, καὶ τὰ παρόμοια μὲ αὐτά, ἀνέφερε τὴν ἡμέραν καὶ τὴν ἐλάμβανε σχεδὸν ὡς συνήγορον καὶ ἔλεγε πρὸς τὸν καθένα· σκέψου πόσον πολλὰ καὶ πόσον μεγάλα ἀγαθὰ ἔχεις ἀπολαύσει, ἄνθρωπε, κατὰ τὴν ἡμέραν αὐτήν· ἀπὸ πόσα κακὰ ἔχεις ἀπαλλαγῇ· ποῖος ἤσουν προηγουμένως καὶ ποῖος ἔγινες μετά. Ἐὰν δὲ τὰ γενέθλιά μας ἑορτάζωμεν μὲ μεγάλην τιμήν, πολλοὶ δὲ ἀπὸ τοὺς δούλους καὶ ἐκείνας τὰς ἡμέρας κατὰ τὰς ὁποίας ἠλευθερώθησαν, καὶ ἄλλοι μὲν ὀργανώνουν συμπόσια, οἱ δὲ ἐλεύθεροι μοιράζουν καὶ δῶρα, ἀποδίδοντες μεγάλην τιμὴν εἰς τὸ γεγονός, πολὺ περισσότερον ἐμεῖς πρέπει νὰ τιμῶμεν τὴν ἡμέραν αὐτήν, τὴν ὁποίαν δὲν θὰ σφάλλῃ κανεὶς ἂν τὴν ὀνομάσῃ γενέθλιον ἡμέραν ὅλης τῆς ἀνθρωπίνης φύσεως. Διότι εἴμεθα χαμένοι καὶ εὑρέθημεν· νεκροὶ καὶ ξαναζήσαμεν· ἐχθροὶ καὶ συνεφιλιώθημεν. Διὰ τοῦτο ἁρμόζει νὰ ἀποδίδωμεν εἰς αὐτὴν πνευματικὴν τιμὴν χωρὶς νὰ ὀργανώνωμεν συμπόσια, οὔτε νὰ σπαταλῶμεν οἶνον, οὔτε νὰ μεθοῦμε καὶ νὰ χορεύωμεν, ἀλλὰ νὰ ἐνισχύωμεν ἄφθονα τοὺς πτωχοτέρους ἀδελφούς μας.

Αὐτὰ τὰ λέγω ὄχι διὰ νὰ ἐπαινῆτε ἀλλὰ διὰ νὰ μιμῆσθε. Καὶ μὴ νομίζετε ὅτι αὐτὰ εἶχον λεχθῆ μόνον πρὸς τοὺς Κορινθίους, ἀλλὰ ἀπευθύνονται καὶ εἰς κάθε ἕνα ἀπὸ ἐμᾶς καὶ εἰς ὅλους τοὺς μεταγενεστέρους· καὶ ἂς κάμωμεν αὐτὸ ποὺ διέταξε ὁ Παῦλος· καὶ κατὰ τὴν Κυριακὴν καθένας ἂς ἀποταμιεύῃ εἰς τὴν οἰκίαν του χρήματα τοῦ Κυρίου· καὶ ἂς γίνῃ τὸ πρᾶγμα νόμος καὶ ἀμετακίνητος συνήθεια καὶ τότε πλέον δὲν θὰ ἔχωμεν ἀνάγκην παραινέσεως οὔτε συμβουλῆς· διότι δὲν κατορθώνει νὰ τὰ ἐπιτύχῃ αὐτὰ τόσον ὁ λόγος καὶ ἡ παραίνεσις, ὅσον ἡ συνήθεια ποὺ καθιερώθη ἀπὸ τὸν χρόνον. Ἂν τὸ καθιερώσωμεν αὐτό, κάθε Κυριακὴν δηλαδὴ νὰ δημιουργοῦμεν ἕνα ἀπόθεμα διὰ τὴν ἀνακούφισιν τῶν πτωχῶν, τότε δὲν θὰ παραβῶμεν τὸν νόμον

σόμεθα τοῦτον. Εἰπὼν δέ, «Κατὰ μίαν Σαββάτων», ἐπήγαγεν, «Ἕκαστος ὑμῶν». Οὐχὶ πλουσίοις λέγω, φησί, μόνον, ἀλλὰ καὶ πένησιν· οὐκ ἐλευθέροις, ἀλλὰ καὶ δούλοις· οὐκ ἀνδράσιν, ἀλλὰ καὶ γυναιξί· μηδεὶς ἔστω ταύτης ἀτελὴς τῆς λειτουργίας, μηδὲ ἄμοιρος τοῦ κέρδους, ἀλλ' ἕκαστος εἰσφερέτω. Οὐδὲ γὰρ ἡ πενία κώλυμα γένοιτ' ἂν τῆς τοιαύτης εἰσφορᾶς. Κἂν γὰρ μυριάκις ᾖς πένης, οὐκ εἶ πενέστερος τῆς χήρας ἐκείνης, ἣ τὴν οὐσίαν πᾶσαν ἐκένωσε. Κἂν μυριάκις ᾖς πτωχός, οὐκ εἶ πτωχότερος τῆς Σιδωνίας γυναικός, ἣ δράκα ἀλεύρου μόνον ἔχουσα, οὐδὲ οὕτως ἐστενοχωρεῖτο πρὸς τὴν τοῦ προφήτου δεξίωσιν· ἀλλ' ὁρῶσα καὶ χορὸν περιεστῶτα παίδων, καὶ λιμὸν ἐπικείμενον, καὶ οὐδὲν ἀποκείμενον ἕτερον, μετὰ πολλῆς τῆς προθυμίας τὸν προφήτην ἐδέχετο. Τίνος δὲ ἕνεκεν εἶπεν, ὅτι «Παρ' ἑαυτῷ τιθέτω θησαυρίζων»; Ἐπειδὴ ὁ τιθεὶς ἴσως ᾐσχύνετο καὶ ἠρυθρία ὀλίγον ὂν ἐπιδεῖξαι. Διὰ τοῦτό φησι, σὺ τήρει καὶ φύλαττε καὶ ὅταν ταῖς κατὰ μέρος εἰσφοραῖς τὸ ὀλίγον πολὺ γένηται, τότε ἄγε εἰς μέσον. Καὶ οὐκ εἶπε, συλλέγων, ἀλλά, «Θησαυρίζων», ἵνα μάθῃς ὅτι ἡ δαπάνη αὕτη θησαυρός ἐστιν, ὅτι τὸ ἀνάλωμα τοῦτο πρόσοδος γίνεται· θησαυρὸς θησαυροῦ παντὸς βελτίων. Οὗτος μὲν γὰρ ὁ αἰσθητός, καὶ ἐπιβουλεύεται καὶ μειοῦται, καὶ τοὺς εὑρόντας πολλάκις ἀπώλεσεν· ὁ δὲ ἐν τοῖς οὐρανοῖς, τοὐναντίον ἅπαν· ἀνάλωτος μένει καὶ ἀνεπιβούλευτος, σωτηρία τοῖς κεκτημένοις καὶ τοῖς μεταλαμβάνουσιν. Οὐ γὰρ δαπανᾶται χρόνῳ, οὐχ ἁλίσκεται φθόνῳ, ἀλλ' ἔστιν ἀχείρωτος πάσαις ταῖς τοιαύταις ἐπιβουλαῖς, καὶ μυρία κομίζει τοῖς λέγουσιν αὐτὸν ἀγαθά.

*4. **Πειθώμεθα τοίνυν, καὶ ποιῶμεν οὕτω καὶ ἡμεῖς· καὶ***

αὐτόν, ἀκόμη καὶ ἂν ὑπάρξουν ἀναρίθμητοι ἀνάγκαι. Ἀφοῦ εἶπε «Τὴν πρώτην ἡμέραν τῆς ἑβδομάδος», προσέθεσε «Καθένας ἀπὸ ἐσᾶς». Δὲν ἀπευθύνομαι, λέγει, μόνον εἰς τοὺς πλουσίους, ἀλλὰ καὶ εἰς τοὺς πτωχούς· ὄχι μόνον εἰς τοὺς ἐλευθέρους, ἀλλὰ καὶ εἰς τοὺς δούλους· ὄχι μόνον εἰς τοὺς ἄνδρας, ἀλλὰ καὶ εἰς τὰς γυναῖκας· κανεὶς δὲν ἀπαλλάσσεται ἀπὸ αὐτὸ τὸ λειτούργημα, κανεὶς νὰ μὴ μείνῃ μακρυὰ ἀπὸ αὐτὸ τὸ κέρδος, ἀλλὰ νὰ εἰσφέρουν ὅλοι. Οὔτε ἡ πενία ἠμπορεῖ νὰ γίνῃ ἐμπόδιον εἰς αὐτὴν τὴν εἰσφοράν. Καὶ ἂν ἀκόμη εἶσαι ἀπείρως φτωχὸς δὲν εἶσαι πτωχότερος ἀπὸ τὴν χήραν ἐκείνην, ἡ ὁποία ἔδωσε ὅλην τὴν περιουσίαν της. Καὶ ἂν εἶσαι πολὺ πτωχός, δὲν εἶσαι πτωχότερος ἀπὸ τὴν Σιδωνίαν ἐκείνην γυναῖκα, ἡ ὁποία ἐνῷ εἶχε μόνον μίαν φούχταν ἀλεύρι, δὲν ἠμποδίσθη νὰ δεχθῇ τὸν προφήτην· καὶ ἐνῷ ἔβλεπε νὰ τὴν περικυκλώνουν τὰ παιδιά της, καὶ νὰ ἐπέρχεται πεῖνα καὶ δὲν εἶχε κανένα ἄλλο ἀπόθεμα, ἐν τούτοις ἐδέχετο τὸν προφήτην μὲ μεγάλην προθυμίαν. Διὰ ποῖον δὲ λόγον εἶπεν ὅτι «ἂς μαζεύῃ σιγὰ - σιγὰ θησαυρόν»; Ἐπειδὴ αὐτὸς ὁ ἴδιος ποὺ τὸ συνεκέντρωνεν ἐντρέπετο καὶ ἐκοκκίνιζε νὰ δείξῃ τὸ ποσόν, ἐπειδὴ ἦτο μικρόν. Διὰ τοῦτο, λέγει, ἐσὺ νὰ τὸ κρατήσῃς καὶ νὰ τὸ φυλάξῃς καὶ ὅταν μὲ τὰς ἐπὶ μέρους συμπληρώσεις τὸ ὀλίγον γίνῃ πολύ, τότε νὰ τὸ παρουσιάσῃς. Καὶ δὲν εἶπε «συλλέγων», ἀλλὰ «θησαυρίζων» διὰ νὰ μάθῃς ὅτι αὐτὴ ἡ δαπάνη εἶναι θησαυρός, αὐτὸ τὸ ἔξοδον γίνεται πρόσοδος· θησαυρὸς ἀνώτερος ἀπὸ κάθε θησαυρόν. Διότι αὐτὸς ὁ ὑλικὸς θησαυρὸς καὶ ἐπιβουλεύεται καὶ μειοῦται καὶ καταστρέφει πολλάκις αὐτοὺς ποὺ τὸν κατέχουν· ὁ οὐράνιος δὲ θησαυρὸς εἶναι ἐντελῶς ἀντίθετος· διότι παραμένει ἀνάλωτος καὶ ἀνεπιβούλευτος, καὶ ἀποτελεῖ σωτηρίαν δι' αὐτοὺς ποὺ τὸν κατέχουν ἢ τὸν λαμβάνουν. Διότι δὲν δαπανᾶται ἀπὸ τὸν χρόνον, οὔτε προσβάλλεται ἀπὸ τὸν φθόνον, ἀλλὰ εἶναι ἀπρόσιτος εἰς ὅλας αὐτὰς τὰς ἐπιβουλὰς καὶ φέρει ἀναρίθμητα ἀγαθὰ εἰς ὅσους τὸν συγκεντρώνουν.

4. Ἂς ὑπακούσωμεν λοιπὸν καὶ ἂν κάμωμεν καὶ ἐμεῖς

ἔστω καὶ ἱερὰ χρήματα μετὰ τῶν ἰδιωτικῶν ἐν ταῖς οἰκίαις ἀποκείμενα ταῖς ἡμετέραις, ἵνα καὶ τὰ ἰδιωτικὰ διὰ τούτων φυλάττηται. Καθάπερ γὰρ ἐν ταμιείοις βασιλικοῖς ἂν φανῇ τινος τῶν ἀρχομένων ἀποκείμενα χρήματα, κἀκεῖνα διὰ ταῦτα πολλῆς ἀπολαύει τῆς ἀσφαλείας· οὕτω δὴ καὶ ἐν τῇ οἰκίᾳ τῇ σῇ ἂν ἀποθῇ χρήματα πενήτων καὶ κατὰ Κυριακὴν συλλέγῃς, ταῦτα ἐκείνων ἔσται ἀσφάλεια. Οὕτω καὶ οἰκονόμος γενήσῃ τῶν σαυτοῦ χρημάτων ὑπὸ Παύλου χειροτονηθείς. Τί λέγω; Καὶ τὰ ἤδη συλλεγέντα πρὸς τὸ πλείονα συλλέξαι πάλιν ὑπόθεσίς σοι γενήσεται καὶ ἀφορμὴ πλείων. Ἂν γὰρ ἀρχὴν ποιήσῃ μόνον τῆς καλῆς ταύτης συνηθείας, αὐτὸς ὑπὸ σαυτοῦ δυνήσῃ διανίστασθαι πάλιν, οὐδενὸς γενομένου συμβούλου. Γενέσθω τοίνυν ἐκκλησία τῷ τρόπῳ τούτῳ ἡ ἑκάστου οἰκία, χρημάτων ἱερῶν ἔνδον ἀποκειμένων. Καὶ γὰρ τὰ γαζοφυλάκια τὰ ἐνταῦθα κείμενα τούτων ἐστὶ σύμβολον. Ὅπου πενήτων κεῖται χρήματα, ἄβατος τοῖς δαίμοσιν ὁ τόπος ἐστί· καὶ ὑπὲρ ἀσπίδα, καὶ δόρυ, καὶ ὅπλα, καὶ σώματος ἰσχύν, καὶ στρατιωτῶν πλῆθος, τὰ πρὸς ἐλεημοσύνην συλλεγόμενα χρήματα τειχίζει τὰς οἰκίας.

Εἰπὼν τοίνυν πότε, καὶ παρὰ τίνων, καὶ πῶς τὰ τοιαῦτα συλλέγεσθαι δεῖ χρήματα, τὴν ποσότητα λοιπὸν αὐτοῖς τοῖς εἰσφέρουσιν ἐπέτρεψεν. Οὐ γὰρ εἶπεν, ὅτι τόσον καὶ τόσον εἰσένεγκε, ἵνα μὴ βαρὺ τὸ ἐπίταγμα γένηται, πολλῶν πενίαν προβαλλομένων· ὥστε μὴ λέγειν τοὺς πένητας, τί οὖν, ἂν μὴ δυνώμεθα; ἀλλὰ τῇ δυνάμει τῶν εἰσφερόντων τὸ μέτρον τῆς εἰσφορᾶς ὡρίσατο. «Ἕκαστος», φησίν, «ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων, ὅ,τι ἂν εὐοδῶται»· καὶ οὐκ εἶπεν, ὅπερ ἂν δυνηθῇ, ἢ ὅπερ ἂν εὑρεθῇ, ἀλλ' «Ὅπερ ἂν εὐοδωθῇ»· δεικνὺς ὅτι καὶ τὴν ἄνωθεν ῥοπὴν καὶ εὔνοιαν ἕξει συναντιλαμβανομένην αὐτῷ. Οὐ γὰρ δὴ τοῦτο μόνον ὁ Παῦ-

ἔτσι· καὶ μαζὶ μὲ τὸ ἀπόθεμα τῶν ἰδιωτικῶν μας χρημάτων, ἂς ἔχωμεν καὶ ἕνα ἀπόθεμα ἱερῶν χρημάτων, διὰ νὰ ἀσφαλίζωνται μὲ αὐτὰ καὶ τὰ ἰδιωτικά. Ὅπως εἰς τὰ βασιλικὰ ταμεῖα, ἂν εἶναι κατατεθειμένα καὶ τὰ χρήματα ἑνὸς ὑπηκόου, χάρις εἰς ἐκεῖνα ἐξασφαλίζονται καὶ αὐτά· ἔτσι καὶ εἰς τὴν οἰκίαν σου ἂν ἀποταμιεύῃς χρήματα διὰ τοὺς φτωχοὺς καὶ τὰ εἰσφέρῃς κάθε Κυριακήν, αὐτὰ ἀποτελοῦν ἀσφάλειαν καὶ διὰ τὰ ἄλλα. Ἔτσι θὰ γίνῃς οἰκονόμος τῶν χρημάτων σου, χειροτονημένος ἀπὸ τὸν Παῦλον. Τί λέγω; Καὶ αὐτὰ ποὺ ἤδη συνελέγησαν θὰ σοῦ γίνουν πάλιν αἰτία νὰ συγκεντρώσῃς ἀκόμη περισσότερα. Διότι ἂν κάνῃς μόνον ἀρχὴν τῆς καλῆς αὐτῆς συνηθείας, θὰ ἠμπορῇς νὰ παρακινῆσαι ὁ ἴδιος ἀπὸ τὸν ἑαυτόν σου, χωρὶς κανένα σύμβουλον. Ἂς γίνῃ ἐκκλησία, μὲ τὸν τρόπον αὐτόν, ἡ οἰκία καθενός, μέσα εἰς τὴν ὁποίαν νὰ ὑπάρχῃ ἀπόθεμα ἱερῶν χρημάτων. Καὶ πράγματι τὰ θησαυροφυλάκια ποὺ ὑπάρχουν ἐδῶ ἀποτελοῦν σύμβολον αὐτῶν. Ὅπου ὑπάρχουν χρήματα διὰ τοὺς πτωχοὺς τὸ μέρος αὐτὸ εἶναι ἀπρόσιτον εἰς τοὺς δαίμονας· καὶ περισσότερον ἀπὸ τὴν ἀσπίδα καὶ τὸ δόρυ καὶ τὰ ὅπλα καὶ τὴν σωματικὴν δύναμιν καὶ τὸ πλῆθος τῶν στρατιωτῶν προστατεύουν τὰς οἰκίας τὰ χρήματα ποὺ συγκεντρώνονται διὰ τοὺς πτωχούς.

Ἀφοῦ λοιπὸν εἶπε πότε πρέπει, ἀπὸ ποίους καὶ πῶς νὰ συλλέγωνται, τὴν ποσότητα τὴν ἄφησεν εἰς αὐτοὺς τοὺς ἰδίους ποὺ τὰ συγκεντρώνουν. Διότι δὲν εἶπε νὰ εἰσφέρῃς τόσον καὶ τόσον, διὰ νὰ μὴ γίνῃ βαρεῖα ἡ ἐπιταγὴ καὶ προβάλλουν πολλοὶ τὴν πενίαν ὡς πρόσχημα. Ὥστε νὰ μὴ λέγουν οἱ πτωχοὶ τί νὰ δώσωμεν, ἂν δὲν εἴμεθα εἰς θέσιν; Ἀλλὰ τὸ μέτρον τῆς εἰσφορᾶς τὸ ὥρισεν ἀναλόγως πρὸς τὴν δύναμιν τῶν εἰσφορόντων. «Κάθε ἕνας ἀπὸ ἐσᾶς», λέγει, «ἂς ξεχωρίζῃ εἰς τὸ σπίτι του κάποιο ποσὸν καὶ ἂς μαζεύῃ σιγὰ - σιγὰ θησαυρὸν μὲ ὅ,τι εὐκολύνεται»· καὶ δὲν εἶπεν ὅ,τι ἠμπορεῖ ἢ ὅ,τι εὑρεθῇ ἀλλὰ «ὅ,τι εὐκολύνεται», δεικνύων ὅτι θὰ ἔχῃ καὶ τὴν ἄνωθεν βοήθειαν καὶ εὔνοιαν εἰς τὸ ἔργον αὐτό. Διότι δὲν ἀπέβλεπε μόνον εἰς αὐτὸ ὁ

λος ἐσκόπει, ὅπως εἰσενεχθείη τοῖς πένησι χρήματα, ἀλλὰ καὶ ὅπως μετὰ προθυμίας πολλῆς. Ἐπεὶ καὶ ὁ Θεὸς τὴν ἐλεημοσύνην διὰ τοῦτο ὥρισεν, οὐχ ἵνα τρέφωνται μόνον οἱ δεόμενοι, ἀλλ' ἵνα καὶ οἱ παρέχοντες εὐεργετῶνται, καὶ διὰ τούτους μᾶλλον, ἢ δι' ἐκείνους. Εἰ γὰρ τὸ ἐκείνων ἐσκόπει μόνον, ὅπως δοθείη τὰ χρήματα μόνον ἐπέταττεν ἄν, οὐκ ἂν δὲ τὴν προθυμίαν τῶν διδόντων ἐζήτει· νυνὶ δὲ ὁρᾷς ἄνω καὶ κάτω ὑπὲρ τούτου μάλιστα τὸν ἀπόστολον διαταττόμενον, ὅπως χαίροντες, ὅπως ἱλαροὶ παρέχοιεν οἱ παρέχοντες. Καί ποτε μέν φησι, «Μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός»· οὐχ ἁπλῶς δότην, ἀλλὰ τὸν μεθ' ἡδονῆς τοῦτο ποιοῦντα. Καὶ πάλιν ἀλλαχοῦ, «Ὁ μεταδιδοὺς ἐν ἁπλότητι, ὁ προϊστάμενος ἐν σπουδῇ, ὁ ἐλεῶν ἐν ἱλαρότητι». Ἐπεὶ καὶ τοῦτό ἐστιν ἐλεημοσύνη, τὸ χαίροντα καὶ νομίζοντα λαμβάνειν μᾶλλον ἢ διδόναι, οὕτω παρέχειν. Διὰ τοῦτο παντὶ τρόπῳ πειρᾶται εὔκολον ποιῆσαι τὸ ἐπίταγμα, ἵνα μετὰ προθυμίας ἡ εἰσφορὰ γένηται. Καὶ σκόπει πόσοις ἐπεχείρησε κεφαλαίοις τὸ βαρὺ τοῦ πράγματος ἐπιτεμνόμενος.

Ἑνὶ μὲν καὶ πρώτῳ, τῷ μὴ παρ' ἑνὸς καὶ δύο ἢ τριῶν, ἀλλὰ παρὰ πάσης αὐτὸ κελεῦσαι εἰσενεχθῆναι τῆς πόλεως. Λογία γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἡ συλλογὴ καὶ ἔρανος παρὰ πάντων ἐπιδιδόμενος. Δευτέρῳ, τῷ τῶν λαμβανόντων ἀξιώματι· οὐ γὰρ εἶπε, πτωχούς, ἀλλ', «Ἁγίους». Τρίτῳ, τῷ παραδείγματι τῶν ἤδη πεποιηκότων· «Καθὼς διέταξα γάρ», φησί, «ταῖς Ἐκκλησίαις τῆς Γαλατίας». Πρὸς τούτοις,

---

15. Β' Κορ. 9, 7.
16. Ρωμ. 12, 8.

Παῦλος, εἰς τὸ νὰ συλλεγοῦν δηλαδὴ χρήματα διὰ τοὺς πτωχούς, ἀλλὰ καὶ πῶς νὰ συλλεγοῦν μὲ μεγάλην προθυμίαν. Ἀφοῦ καὶ ὁ Θεὸς ὥρισε τὴν ἐλεημοσύνην· διὰ τοῦτο, ὄχι μόνον διὰ νὰ τρέφωνται οἱ ἐνδεεῖς, ἀλλὰ διὰ νὰ εὐεργετοῦνται καὶ αὐτοὶ ποὺ προσφέρουν, καὶ περισσότερον δι' αὐτοὺς μᾶλλον, παρὰ δι' ἐκείνους. Διότι ἂν ἀπέβλεπε μόνον εἰς τὸ συμφέρον ἐκείνων, τότε θὰ διέτασσε μόνον νὰ δοθοῦν τὰ χρήματα καὶ δὲν θὰ ἐζητοῦσε καὶ τὴν προθυμίαν τῶν διδόντων. Τώρα ὅμως βλέπεις ὅτι ὁ ἀπόστολος μὲ κάθε τρόπον παραγγέλλει αὐτὸ κυρίως, νὰ προσφέρουν ὅσοι προσφέρουν μὲ πρόσωπον χαρούμενον. Καὶ λέγει μὲν κάποτε· «Νὰ δίδῃς ὄχι μὲ λύπην ἢ ἀπὸ ἀνάγκην, διότι ὁ Θεὸς ἀγαπᾷ ἐκεῖνον ποὺ δίδει μὲ προθυμίαν καὶ χαρούμενον πρόσωπον»[15]· καὶ δὲν λέγει ἁπλῶς ἐκεῖνον ποὺ δίδει, ἀλλὰ «ἐκεῖνον ποὺ δίδει μὲ χαράν». Καὶ πάλιν ἀλλοῦ λέγει· «Ἐκεῖνος ποὺ ἔχει κλίσιν νὰ μοιράζῃ ἀπὸ τὰ ἀγαθά του εἰς τοὺς πτωχούς, ἂς πράττῃ τοῦτο μὲ ἀφέλειαν, χωρὶς ἐπίδειξιν ἢ ἄλλα ἐγωιστικὰ ἐλατήρια. Ἐκεῖνος εἰς τὸν ὁποῖον ἀνετέθη ἡ ἐπιστασία καὶ φροντὶς καὶ ἐπιμέλεια ὁποιουδήποτε καλοῦ ἔργου, ἂς ἐπιστατῇ μὲ προθυμίαν καὶ δραστηριότητα. Καὶ ἐκεῖνος ποὺ κάμνει ἐλεημοσύνην, ἂς ἐλεῇ μὲ χαράν»[16]. Καθ' ὅσον καὶ τοῦτο εἶναι ἐλεημοσύνη τὸ νὰ δίδῃς μὲ τέτοιον τρόπον καὶ νὰ εἶσαι ὅλος χαρὰ καὶ νὰ νομίζῃς ὅτι λαμβάνεις μᾶλλον παρὰ δίδεις. Διὰ τοῦτο μὲ κάθε τρόπον προσπαθεῖ νὰ κάμῃ εὔκολον τὴν προσταγήν του διὰ νὰ γίνεται ἡ εἰσφορὰ μὲ προθυμίαν. Καὶ πρόσεξε νὰ ἰδῇς μὲ πόσους τρόπους ἐπεχείρησε νὰ καταστήσῃ ὀλιγώτερον βαρὺ τὸ πρᾶγμα.

Πρῶτον καὶ κύριον μὲ τὸ γεγονὸς ὅτι διέταξε νὰ μὴ γίνεται ἡ εἰσφορὰ μόνον ἀπὸ ἕνα ἢ δύο ἢ τρεῖς, ἀλλὰ ἀπὸ ὅλην τὴν πόλιν. Διότι «εἰσφορὰ» δὲν εἶναι τίποτε ἄλλο παρὰ συλλογὴ καὶ ἔρανος διδόμενος ἀπὸ ὅλους. Δεύτερον, μὲ τὸ κῦρος αὐτῶν ποὺ λαμβάνουν· διότι δὲν εἶπε, Διὰ τοὺς πτωχούς, ἀλλὰ διὰ τοὺς «ἁγίους». Τρίτον, μὲ τὸ παράδειγμα ἐκείνων ποὺ ἤδη τὸ ἔπραξαν· «Καθὼς ἐκανόνισα», λέγει,

τῇ τῆς ἡμέρας εὐκαιρίᾳ· «Κατὰ μίαν» γάρ, φησί, «Σαββάτων ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων». Πέμπτῳ, τῷ μὴ πᾶσαν ὑφ' ἓν κελεῦσαι εἰσενεχθῆναι τὴν ἐλεημοσύνην· ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν. Οὐ γάρ ἐστιν ἴσον ἐν ἡμέρᾳ μιᾷ κελεύειν τὸ εἰσφέρειν, καὶ ἐν τοσούτῳ κατακερματίζειν αὐτὸ χρόνῳ· τὸ γὰρ τοιοῦτον οὐδὲ αἴσθησιν παρέχει δαπάνης. Ἕκτῳ, τῷ μὴ μέτρον ὁρίσαι, ἀλλ' ἐπιτρέψαι τῇ γνώμῃ τῶν εἰσφερόντων, καὶ δεῖξαι παρὰ Θεοῦ τοῦτο διδόμενον· τῷ γὰρ εἰπεῖν, «Ὅ,τι ἂν εὐοδῶται», ἀμφότερα ταῦτα ἐδήλωσε. Προσέθηκε καὶ ἕβδομον ἕτερον τρόπον εἰπών, «Ἵνα μή, ὅταν ἔλθω, τότε λογίαι γίνωνται». Ὁμοῦ τε γὰρ αὐτοὺς καὶ κατεπείγει προσδοκῶντας αὐτοῦ τὴν παρουσίαν, καὶ παραμυθεῖται, προθεσμίαν αὐτοῖς πολλὴν παρέχων.

Καὶ οὐδὲ τούτοις ἠρκέσθη μόνον, ἀλλὰ καὶ ὄγδοον προσέθηκεν ἕτερον. Ποῖον δὲ τοῦτο; «Ἐπειδὰν δέ», φησί, «παραγένωμαι, οὓς ἂν δοκιμάσητε δι' ἐπιστολῶν, τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν· καὶ ἐὰν ᾖ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται». Ὅρα τὸ ἄτυφον καὶ ἐπιεικὲς τῆς μακαρίας καὶ γενναίας ἐκείνης ψυχῆς, καὶ τὸ κηδεμονικὸν καὶ φιλόστοργον. Οὐ γὰρ ἠθέλησεν αὐτός, οὐδὲ ἠνέσχετο τοὺς διακονησομένους τοῖς χρήμασι τούτους χειροτονῆσαι ἐξ οἰκείας γνώμης· ἀλλ' ἐκείνοις τὴν αἵρεσιν τούτων ἐπέτρεψε, καὶ οὐκ ἐνόμιζεν ὕβριν εἶναι τὸ πρᾶγμα, εἰ τῇ Κορινθίων ψήφῳ καὶ γνώμῃ, ἀλλὰ μὴ τῇ Παύλου μέλλοιεν οὕτω καθίστασθαι· τοὐναντίον μὲν οὖν αὐτῷ ἄτοπον εἶναι ἐφαίνετο, τὴν μὲν εἰσφορὰν ἐκείνων εἶναι, τὴν δὲ αἵρεσιν τῶν ὑπηρετησομένων αὐτοῦ. Διὰ τοῦτο αὐτοῖς τοῦ-

17. Α' Κορ. 16, 3-4.

«εἰς τὰς ἐκκλησίας τῆς Γαλατίας». Σὺν τοῖς ἄλλοις καὶ μὲ κατάλληλον ἡμέραν. Διότι λέγει «κατὰ τὴν πρώτην ἡμέραν τῆς ἑβδομάδος ἕκαστος ἀπὸ ἐσᾶς ἂς ξεχωρίζῃ εἰς τὴν ἄκρην κάποιο ποσόν, ὥστε σιγὰ-σιγὰ νὰ γίνῃ θησαυρός». Πέμπτον, μὲ τὸ ὅτι δὲν διέταξε νὰ εἰσφέρεται ὅλη ἡ ἐλεημοσύνη διὰ μιᾶς, ἀλλὰ ὀλίγον κατ' ὀλίγον. Διότι δὲν εἶναι τὸ ἴδιον νὰ διατάσσῃς νὰ γίνεται ἡ εἰσφορὰ μέσα εἰς μίαν ἡμέραν, μὲ τὸ νὰ τὴν κατακερματίζῃς εἰς τόσον χρόνον, διότι αὐτὸς ὁ τρόπος δὲν προκαλεῖ κἂν τὴν αἴσθησιν τῆς δαπάνης. Ἕκτον, μὲ τὸ ὅτι δὲν ὥρισε μέτρον εἰσφορᾶς, ἀλλὰ αὐτὸ τὸ ἄφησεν εἰς τὴν διάθεσιν τῶν εἰσφορόντων καὶ ἔδειξεν ὅτι αὐτὸ δίδεται ἀπὸ τὸν Θεόν. Διότι μὲ τὸ νὰ εἰπῇ «Ὅ,τι εὐκολύνεται ὁ καθένας», τὰ ἐδήλωσε καὶ τὰ δύο. Προσέθεσεν ἀκόμα καὶ ἕνα ἕβδομον τρόπον, ὅταν εἶπε «διὰ νὰ μὴ γίνωνται εἰσφοραὶ ὅταν ἔλθω ἐκεῖ». Μὲ αὐτὸ καὶ τοὺς βιάζει μὲ τὴν προσδοκίαν τῆς παρουσίας του καὶ τοὺς παρηγορεῖ, διότι τοὺς παρέχει μεγάλην προθεσμίαν.

Καὶ δὲν ἠρκέσθη μόνον εἰς αὐτοὺς τοὺς τρόπους, ἀλλὰ προσέθεσε καὶ ἕνα ἄλλον, ὄγδοον. Ποῖος εἶναι αὐτός; «Ὅταν», λέγει, «ἔλθω εἰς τὴν Κόρινθον ἐκείνους ποὺ θὰ ἐκλέξετε, αὐτοὺς μὲ συστατικὰς ἐπιστολάς μου θὰ στείλω διὰ νὰ μεταφέρουν τὴν χάριν τῆς ἀγάπης σας εἰς τὰ Ἱεροσόλυμα· καὶ ἐὰν ἀξίζῃ νὰ ὑπάγω καὶ ἐγώ, τότε μαζί μου θὰ ταξιδεύσουν»[17]. Βλέπε τὴν ταπεινοφροσύνην καὶ τὴν ἐπιείκειαν τῆς μακαρίας καὶ γενναίας ἐκείνης ψυχῆς, τὴν φροντίδα του καὶ τὴν στοργικήν του ἀγάπην. Διότι δὲν ἠθέλησεν ὁ ἴδιος, οὔτε ἠνέχθη νὰ ἐκλέξῃ μὲ τὴν ἰδικήν του γνώμην αὐτοὺς ποὺ ἐπρόκειτο νὰ διαχειρισθοῦν τὰ χρήματα αὐτά· ἀλλὰ ἀνέθεσεν τὴν ἐκλογὴν αὐτῶν εἰς ἐκείνους, καὶ δὲν ἐθεώρησε τοῦτο ὑποτιμητικόν, τὸ νὰ ὁρισθοῦν δηλαδὴ ἐκεῖνοι ὄχι μὲ τὴν γνώμην τοῦ Παύλου, ἀλλὰ μὲ τὴν γνώμην τῶν Κορινθίων· τὸ ἀντίθετον μάλιστα, τοῦ ἐφαίνετο ὅτι ἦτο ἄτοπον, ἡ μὲν εἰσφορὰ νὰ εἶναι ἐκείνων, ἡ δὲ ἐκλογή, αὐτῶν ποὺ θὰ διαχειριστοῦν αὐτήν, νὰ εἶναι ἰδική του. Διὰ τοῦτο τὸ ἀνέθεσεν αὐτὸ εἰς αὐτούς, δείχνων ταυτοχρό-

το ἐπέτρεψεν, ὁμοῦ τε τὴν ἐπιείκειαν ἐπιδεικνύμενος, ὁμοῦ τε πᾶσαν λαβὴν ἀναιρῶν καὶ σκιὰν ὑποψίας ἀτόπου. Εἰ γὰρ καὶ τοῦ ἡλίου λαμπρότερος ἦν, καὶ πάσης πονηρᾶς ὑποψίας ἀπηλλαγμένος, ἀλλ' ὅμως καὶ οὕτως ἐκ περιουσίας ἐσπούδαζε καὶ τῶν ἀσθενεστέρων φείδεσθαι, καὶ τὰς ψευδεῖς ὑπονοίας διαφεύγειν. Διὰ τοῦτό φησιν· «Ἐπειδὰν παραγένωμαι, οὓς ἐὰν δοκιμάσητε, τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν». Τί λέγεις; Σὺ δὲ οὐ πλεῖς, οὐδὲ δέχῃ τὰ χρήματα, ἀλλ' ἑτέροις τὸ πρᾶγμα ἐπιτρέπεις; Ἵν' οὖν μὴ ταῦτα ἐννοοῦντες ῥαθυμότεροι γένωνται, ὅρα πῶς καὶ τοῦτο πάλιν διώρθωσεν. Οὐ γὰρ εἶπεν ἁπλῶς, «οὓς δοκιμάσητε πέμψω», ἀλλὰ τί; «Δι' ἐπιστολῶν». Κἂν μὴ τῷ σώματι παρῶ, ἀλλὰ τοῖς γράμμασι παρέσομαι τοῖς ἐμοῖς, καὶ συναντιλήψομαι τῆς διακονίας ἐκείνοις.

5. Ἆρα ἄξιοι τῆς σκιᾶς ἐσμεν τῆς τοῦ Παύλου, ἢ τῶν ὑποδημάτων ἐκείνου, ὅταν ἐκεῖνος μὲν τοσαύτην παρὰ πᾶσι δόξαν ἔχων διακρούηται τὰς παρὰ πάντων τιμάς, ἡμεῖς δὲ καὶ ἀγανακτῶμεν, καὶ δυσχεραίνωμεν, ἂν μὴ τῇ ἡμετέρᾳ γνώμῃ, μηδὲ τῇ κρίσει καὶ τῇ ψήφῳ οἱ τὰ τοιαῦτα διακονούμενοι χρήματα χειροτονῶνται; ὅταν ὕβριν εἶναι νομίζωμεν τὸ μὴ μεθ' ἡμῶν καὶ τῆς ἡμετέρας γνώμης τοὺς τὰ αὐτῶν δαπανῶντας τοῦτο ποιεῖν; Καὶ ὅρα πῶς ἑαυτοῦ πανταχοῦ μέμνηται, καὶ οὐδαμοῦ ἐπιλανθάνεται· οὐδὲ γὰρ ἐνταῦθα ἐντολὴν ἐκάλεσεν, οὐδὲ ἐλεημοσύνην, ἀλλά, Χάριν· δεικνύς, ὅτι καθάπερ νεκροὺς ἐγείρειν, καὶ δαίμονας ἐλαύνειν, καὶ λεπροὺς καθαίρειν, χάριτος ἔργον ἐστίν· οὕτω καὶ πενίαν διορθοῦν, καὶ τοῖς δεομένοις χεῖρα ὀρέγειν, καὶ πολλῷ μᾶλλον τοῦτο ἢ ἐκεῖνο· ἀλλ' εἰ καὶ χάρις ἐστί, καὶ τῆς ἡμετέρας δεῖται σπουδῆς καὶ προθυμίας, ἵνα ἑλώμεθα καὶ βουληθῶ-

18. Α' Κορ. 16, 3.

νως τὴν μετριοφροσύνην του καὶ ἀφαιρῶν κάθε ἀφορμὴν καὶ σκιὰν πονηρᾶς ὑποψίας. Διότι ἂν καὶ ἦτο λαμπρότερος τοῦ ἡλίου καὶ ἀπηλλαγμένος ἀπὸ κάθε ὑποψίαν πονηράν, ὅμως ἐφρόντιζε πάλιν νὰ προφυλάξῃ τοὺς ἀδυνάτους καὶ νὰ διαφύγῃ τὰς ψευδεῖς ὑποψίας. Διὰ τοῦτο λέγει· «Ὅταν ἔλθω εἰς τὴν Κόρινθον ἐκείνους ποὺ θὰ ἐκλέξετε, αὐτοὺς θὰ στείλω διὰ νὰ μεταφέρουν τὴν χάριν τῆς ἀγάπης σας»[18]. Τί λέγεις; Καὶ σὺ δὲν ταξιδεύεις, καὶ ὅμως δὲν δέχεσαι τὰ χρήματα, ἀλλὰ ἀναθέτεις αὐτὰ εἰς ἄλλους; Διὰ νὰ μὴ σκέπτωνται ὅλα αὐτὰ καὶ γίνωνται ὀκνηρότεροι, πρόσεξε πάλιν πῶς τὸ διορθώνει. Διότι δὲν εἶπε, Θὰ στείλω ἐκείνους ποὺ θὰ ἐκλέξετε, ἀλλὰ τί εἶπεν; «Μὲ συστατικὰς ἐπιστολάς». Καὶ ἂν δὲν εἶμαι παρὼν σωματικῶς, ὅμως θὰ εἶμαι παρὼν μὲ τὰς ἐπιστολάς μου καὶ θὰ βοηθήσω ἐκείνους εἰς τὴν διακονίαν των.

5. Ἆρά γε εἴμεθα ἄξιοι τῆς σκιᾶς τοῦ Παύλου ἢ τῶν ὑποδημάτων του, ὅταν ἐκεῖνος μέν, ὁ ὁποῖος ἔχει τόσην μεγάλην δόξαν, ἀποκρούει τὰς τιμὰς ποὺ τοῦ προσφέρουν ὅλοι, ἐμεῖς δὲ ἀγανακτοῦμεν καὶ δυσανασχετοῦμεν ἂν αὐτοὶ ποὺ διαχειρίζονται τὰ χρήματα αὐτὰ δὲν διορίζωνται κατὰ τὴν ἰδικήν μας ἀντίληψιν καὶ κρίσιν καὶ ἀπόφασιν; Ὅταν νομίζωμεν ὅτι εἶναι ὕβρις αὐτοὶ ποὺ δαπανοῦν τὰ χρήματά των καὶ τὸ κάμουν αὐτὸ χωρὶς τὴν ἰδικήν μας γνώμην; Καὶ βλέπε πῶς παντοῦ ἐνθυμεῖται τὸν ἑαυτόν του καὶ πουθενὰ δὲν τὸν λησμονεῖ· διότι οὔτε ἐδῶ ἐχρησιμοποίησε τὴν λέξιν 'ἐντολὴ' οὔτε 'ἐλεημοσύνη' ἀλλὰ τὴν λέξιν «Χάρις»· δεικνύων ὅτι ὅπως εἶναι ἔργον τῆς θείας χάριτος ἡ ἀνάστασις τῶν νεκρῶν καὶ ἡ ἐκδίωξις τῶν δαιμονίων, καὶ ἡ κάθαρσις τῶν λεπρῶν, ἔτσι καὶ τὸ νὰ βοηθοῦμεν τοὺς πτωχοὺς καὶ νὰ τείνωμεν χεῖρα βοηθείας πρὸς τοὺς ἐνδεεῖς εἶναι ἔργον τῆς θείας χάριτος καὶ μάλιστα πολὺ περισσότερον ἀπὸ ἐκεῖνο· ἀλλ' ἂν καὶ εἶναι ἔργον τῆς θείας χάριτος ὅμως χρειάζεται καὶ τὴν προθυμίαν καὶ τὸν ζῆλον τὸν ἰδικόν μας, διὰ νὰ τὴν προτιμήσωμεν καὶ τὴν ἐπιθυμήσωμεν καὶ προετοιμάσωμεν τοὺς ἑαυτούς μας, ὥστε νὰ γίνουν

μεν, καὶ τῆς χάριτος ἀξίους ἑαυτοὺς παρασκευάσωμεν. Ἑνὶ μὲν οὖν τούτῳ παρεμυθήσατο, τῷ τὰ γράμματα αὐτοῦ πέμπειν μετ᾽ ἐκείνων· ἑτέρῳ δὲ μείζονι τοῦ προτέρου πάλιν, τῷ καὶ αὐτὸν ὑποσχέσθαι τῆς ἀποδημίας ταύτης κοινωνήσειν αὐτοῖς· «Ἐὰν γὰρ ᾖ ἄξιον», φησί, «τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται». Καὶ σκόπει κἀνταῦθα αὐτοῦ τὴν σύνεσιν. Οὔτε γὰρ ἠρνήσατο συναπιέναι, οὔτε ὑπέσχετο καθάπαξ, ἀλλὰ πάλιν τῇ τῶν διδόντων γνώμῃ τοῦτο ἐπέτρεψε, καὶ κυρίους αὐτοὺς ἐποίησε τῆς ἀποδημίας τῆς ἑαυτοῦ, ἐνδειξάμενος ὅτι εἰ δαψιλὲς εἴη τὸ δεδομένον καὶ τοσοῦτον ὡς καὶ αὐτὸν διαναστῆσαι, πάντως ἅψεται τῆς ὁδοῦ. Τὸ γὰρ εἰπεῖν, «Ἐὰν ᾖ ἄξιον», τοῦτό ἐστιν αἰνιττομένου. Εἰ μὲν οὖν καθόλου τὴν ἀποδημίαν ταύτην ἠρνήσατο, ἀθυμοτέρους ἂν ἐποίησε καὶ ὀκνηροτέρους αὐτούς· πάλιν εἰ ἀμφιβόλως ὡμολόγησε καὶ ὑπέσχετο, ῥαθυμοτέρους ἂν εἰργάσατο. Διὰ δὴ τοῦτο οὔτε ἀπαγορεύει καθόλου, οὔτε ὑπισχνεῖται· ἀλλ᾽ ἐπὶ τῇ γνώμῃ τῶν Κορινθίων τοῦτο ποιεῖ, εἰπών, «Ἐὰν δὲ ᾖ ἄξιον». Ἀκούοντες γὰρ ὅτι Παῦλος μέλλει τὴν προσφορὰν αὐτῶν ἀποφέρειν, πλείονι προθυμίᾳ καὶ σπουδῇ πρὸς τὸ πρᾶγμα ἐκέχρηντο· ὥστε τὰς ἁγίας χεῖρας ἐκείνας διακονήσασθαι τοῖς διδομένοις, καὶ τὰς εὐχὰς τὰς ἐκείνου προστεθῆναι τῇ θυσίᾳ ταύτῃ.

Εἰ δὲ Παύλῳ διδόναι μέλλοντες οἱ Κορίνθιοι ὥστε διακομίσαι, μετὰ πλείονος τοῦτο ἐποίουν τῆς προθυμίας· σὺ τῷ Παύλου μέλλων διδόναι Δεσπότῃ (διὰ γὰρ τῶν πενήτων ἐκεῖνος λαμβάνει), ποίαν ἕξεις ἀπολογίαν ἀναβαλλόμενος; Οὐδὲ γὰρ ἄν, εἰ μὴ μέγα ἦν τὸ πρᾶγμα πολλῆς ἄξιον σπουδῆς, ὁ τὴν οἰκουμένην πᾶσαν ἐγχειρισθείς, καὶ τὰς ὑφ᾽ ἡλίῳ κειμένας μεριμνῶν Ἐκκλησίας, ὑπέσχετο τῇ τῶν χρημάτων οἰκονομίᾳ διακονήσασθαι τούτων. Ταῦτ᾽ οὖν καὶ ἡμεῖς λογιζόμενοι, ἄν τε δοῦναι δέῃ, ἄν τε παρέχουσιν ἑτέροις ὑπηρετεῖν, μὴ κατοκνῶμεν, μηδὲ ἀθυμῶμεν, ὡς τῆς οὐσίας

ἄξιοι τῆς χάριτος. Μὲ τοῦτο μὲν τοὺς παρηγόρησε, μὲ τὸ ὅτι δηλαδὴ θὰ στείλῃ τὰς συστατικὰς ἐπιστολάς· καὶ μὲ ἕνα ἄλλο ὅμως σημαντικώτερον ἀπὸ τὸ προηγούμενον, μὲ τὸ ὅτι ὑπεσχέθη νὰ τοὺς συνοδεύσῃ καὶ ὁ ἴδιος εἰς τὸ ταξίδιόν των αὐτό· «Ἐάν», λέγει, «ἀξίζῃ νὰ ὑπάγω καὶ ἐγὼ τότε θὰ ταξιδεύσουν μαζί μου». Πρόσεξε νὰ διακρίνῃς καὶ ἐδῶ τὴν σοφίαν του. Διότι οὔτε ἠρνήθη νὰ συνταξιδεύσῃ μαζί τους, οὔτε τὸ ὑπεσχέθη ὅτι θὰ γίνῃ ὁπωσδήποτε, ἀλλὰ καὶ τοῦτο πάλιν τὸ ἀνέθεσεν εἰς τὴν γνώμην τῶν ἰδίων ποὺ εἰσφέρουν καὶ ἐξήρτησε τὸ ταξίδιόν του ἀπὸ αὐτοὺς τοὺς ἰδίους, ὑποδηλώσας ὅτι ἂν εἶναι μεγάλο τὸ ποσόν, τόσον μεγάλο ὥστε νὰ συγκινήσῃ καὶ τὸν ἴδιον, τότε ὁπωσδήποτε θὰ συνταξιδέψῃ μαζί τους. Διότι μὲ τὸ νὰ εἰπῇ «ἐὰν ἀξίζῃ» αὐτὸ ἀκριβῶς ἐννοεῖ. Ἐὰν εἶχεν ἀρνηθῇ ἐντελῶς αὐτὸ τὸ ταξίδι θὰ τοὺς ἔκαμε περισσότερον ὀκνηροὺς καὶ ὀλιγοψύχους· ἂν πάλιν τὸ ὑπέσχετο ἀορίστως θὰ τοὺς ἔκαμε περισσότερον ἀδιαφόρους. Διὰ τοῦτο οὔτε τὸ ἀποκλείει οὔτε τὸ ὑπόσχεται σαφῶς· ἀλλὰ τὸ ἐξαρτᾷ αὐτὸ ἀπὸ τὴν διάθεσιν τῶν Κορινθίων ὅταν λέγῃ· «ἂν ἀξίζῃ θὰ ὑπάγω καὶ ἐγώ». Διότι ἂν ἐγνώριζαν ὅτι ὁ Παῦλος ἐπρόκειτο νὰ μεταφέρῃ τὴν εἰσφοράν των, θὰ ἐδείκνυον μεγαλυτέραν προθυμίαν καὶ ζῆλον διὰ τὸ πρᾶγμα, ἀφοῦ ἐπρόκειτο νὰ μεταφερθῇ ἡ δωρεά των μὲ τὰ ἅγια χέρια ἐκείνου καὶ νὰ προστεθοῦν αἱ εὐχαί του εἰς αὐτὴν τὴν θυσίαν.

Ἐὰν δὲ οἱ Κορίνθιοι, ἐπειδὴ ἐπρόκειτο νὰ δώσουν εἰς τὸν Παῦλον νὰ μεταφέρῃ τὰ χρήματα, τὸ ἔκαμαν αὐτὸ μὲ μεγαλυτέραν προθυμίαν, τότε σύ, ποὺ πρόκειται νὰ δώσῃς εἰς τὸν Κύριον τοῦ Παύλου (διότι, ὅταν δίδῃς εἰς τοὺς πτωχούς, δίδεις εἰς ἐκεῖνον), ποίαν δικαιολογίαν θὰ ἔχῃς, ἂν τὸ ἀναβάλῃς; Ἐὰν τὸ πρᾶγμα δὲν ἦτο μέγα καὶ ἄξιον προσοχῆς, δὲν θὰ ὑπέσχετο νὰ διαχειρισθῇ τὰ χρήματα αὐτῶν ἐκεῖνος, εἰς τὸν ὁποῖον εἶχεν ἀνατεθῇ τὸ ἔργον τῆς διδασκαλίας εἰς ὁλόκληρον τὴν οἰκουμένην καὶ ἐφρόντιζε δι' ὅλας τὰς ἐκκλησίας τῆς οἰκουμένης. Αὐτὰ λοιπὸν νὰ σκεπτώμεθα καὶ ἐμεῖς καὶ ἂν πρέπει νὰ δώσωμεν, ἢ νὰ ὑ-

ἡμῖν ἐλαττουμένης. Πῶς γὰρ οὐκ ἄτοπον, τὸν μὲν γηπόνον τὰ σπέρματα καταβάλλοντα, καὶ τὰ ὄντα κενοῦντα, μὴ δάκνεσθαι, μηδὲ ἀλγεῖν, μηδὲ ἀνάλωμα νομίζειν εἶναι τὸ γινόμενον, ἀλλὰ κέρδος καὶ πρόσοδον, καίτοι ἀδήλου τῆς ἐλπίδος οὔσης· σὲ δὲ οὐκ ἐπὶ τοιούτοις, ἀλλ' ἐπὶ πολλῷ μείζοσι σπείροντα, καὶ αὐτῷ μέλλοντα τὸ ἀργύριον ἐγχειρίζειν τῷ Χριστῷ, ἀναδύεσθαι, καὶ ναρκᾶν, καὶ πενίαν προβάλλεσθαι; Μὴ γὰρ οὐκ ἠδύνατο ὁ Θεὸς κελεῦσαι τῇ γῇ χρυσίον ἀπηρτισμένον ἐκβαλεῖν; Ὁ γὰρ εἰπών, «Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου», καὶ δείξας αὐτὴν ἐξαίφνης κομῶσαν, ἠδύνατο κελεῦσαι καὶ πηγὰς καὶ ποταμοὺς χρυσίου ῥεῦσαι πάντοθεν. Ἀλλ' οὐκ ἠθέλησεν, ἀλλ' ἀφῆκεν εἶναι πολλοὺς ἐν πτωχείᾳ, διά τε τὸ ἐκείνοις, διά τε τὸ σοὶ συμφέρον.

Καὶ γὰρ πρὸς ἀρετὴν ἐπιτηδειότερον πενία πλούτου· καὶ τοῖς ἐν ἁμαρτήμασι καθεστηκόσιν οὐ μικρὰ παραμυθία γίνεται ἀπὸ τῆς εἰς τοὺς δεομένους βοηθείας, καὶ τοσαύτη τοῦ πράγματος σπουδὴ τῷ Θεῷ, ὅτι καὶ παραγενόμενος, καὶ σάρκα περιβαλλόμενος, καὶ τοῖς ἀνθρώποις συναναστραφείς, οὐ παρῃτήσατο, οὐδὲ αἰσχύνης ἄξιον εἶναι ἐνόμισεν οἰκονομεῖν αὐτὸς τὰ τῶν πενήτων. Καίτοι γε τοσούτους ἐργασάμενος ἄρτους, καὶ πάντα ἐξ ἐπιτάγματος ποιῶν ἅπερ ἤθελε, καὶ δυνάμενος δεῖξαι μυρίους ἀθρόον θησαυρούς, οὐκ ἐποίησε τοῦτο· ἀλλὰ γλωσσόκομον ἔχειν ἐκέλευσε τοῖς μαθηταῖς, καὶ τὰ βαλλόμενα βαστάζειν, καὶ τοῖς δεομένοις ἐκεῖθεν ἐπικουρεῖν. Ὅτε γοῦν τῷ Ἰούδᾳ περὶ τῆς προδοσίας αἰνιγματωδῶς διελέγετο, μὴ συνιέντες οἱ μαθηταὶ τὸ λεχθέν, ἐνόμισαν, φησίν, ὅτι εἶπεν αὐτῷ ἵνα τοῖς πτωχοῖς τι

19. Μικρὸν ἐπίμηκες ἀπὸ δέρμα ἢ ἀπὸ ὕφασμα ἢ συνηθέστερον ἀπὸ χαλκὸν σκεῦος, εἰς τὸ ὁποῖον ἐφύλασσον οἱ αὐληταὶ τὰς λεπτὰς γλώσσας τῶν αὐλῶν. Ἀργότερα ἐσήμαινε βαλάντιον, εἰς τὸ ὁποῖον ἔκλειον τὰ χρήματα ἢ καὶ ἄλλα πολύτιμα ἀντικείμενα. Αὐτὸ συνήθως διὰ λωρίου τὸ ἐκρεμοῦσαν ἀπὸ τὸν τράχηλόν των εἰς τὸ στῆθος ἢ εἰς τὸ πλευρόν των οἱ ἐμπορευόμενοι. Ἀλλὰ καὶ γυναῖκες πολλάκις ἐκρεμοῦσαν γλωσσόκομον, ὡς εἶδος κοσμήματος. Τὸ γλωσσόκομον, τὸ ὁποῖον ἐκράτει ὁ Ἰούδας, ἦτο κατὰ πᾶσαν πιθανότητα ἓν μικρὸν ξύλινον κιβωτίδιον, διῃρημένον εἰς τμήματα, ἐντὸς τῶν ὁποίων ἐναπετίθεντο κατὰ τὴν ἀξίαν των διάφορα νομίσματα.

πηρετήσωμεν ἄλλους ποὺ δίδουν, νὰ μὴ διστάζωμεν, οὔτε νὰ στενοχωρούμεθα, διότι ἐλαττώνεται ἡ περιουσία μας. Πῶς λοιπὸν δὲν εἶναι παράλογον ὁ μὲν γεωργός, ποὺ ρίπτει τὸν σπόρον καὶ ἐξαντλεῖ τὰ ἀγαθά του, νὰ μὴ στενοχωρῆται καὶ νὰ μὴ πονῇ καὶ νὰ μὴ θεωρῇ τὸ γεγονὸς δαπάνην, ἀλλὰ ἀπεναντίας τὸ θεωρεῖ πρόσοδον καὶ κέρδος, καίτοι ἡ ἐλπὶς εἶναι ἄδηλος· σὺ δέ, ποὺ δὲν σπείρεις διὰ νὰ λάβῃς ὑλικὰ ἀγαθά, ἀλλὰ ἄλλα πιὸ σημαντικά, καὶ πρόκειται νὰ δώσῃς τὰ χρήματα εἰς τὸν ἴδιον τὸν Χριστόν, δὲν εἶναι παράλογον λέγω, νὰ ἀποφεύγῃς καὶ νὰ ἀδρανῇς καὶ νὰ προφασίζεσαι πενίαν; Μήπως δὲν ἠμποροῦσεν ὁ Θεὸς νὰ διατάξῃ τὴν γῆν νὰ δίδῃ καθαρὸν χρυσόν; Διότι αὐτὸς ποὺ εἶπεν «ἂς βλαστήσῃ ἡ γῆ χόρτον» καὶ τὴν ἔκαμεν αἴφνης νὰ φουντώσῃ, ἠμποροῦσε νὰ διατάξῃ νὰ τρέξουν ἀπὸ παντοῦ πηγαὶ καὶ ποταμοὶ χρυσοῦ. Ὅμως δὲν τὸ ἠθέλησεν, ἀλλὰ ἄφησε νὰ εὑρίσκωνται πολλοὶ εἰς τὴν πτωχείαν διὰ τὸ συμφέρον καὶ ἐκείνων καὶ τὸ ἰδικόν σου.

Καὶ πράγματι ἡ πενία εἶναι προσφορωτέρα ἀπὸ τὸν πλοῦτον εἰς τὴν ἀρετήν· καὶ αὐτοὶ ποὺ περιέπεσαν εἰς ἁμαρτήματα, λαμβάνουν ὄχι μικρὰν παρηγορίαν ἀπὸ τὴν πρὸς τοὺς ἐνδεεῖς βοήθειαν, καὶ τόσον μεγάλη φροντὶς ἐξεδηλώθη διὰ τὸ πρᾶγμα ἀπὸ τὸν Θεόν, ὥστε καὶ ὅταν ἐφανερώθη καὶ περιεβλήθη σάρκα καὶ συνανεστράφη τοὺς ἀνθρώπους, δὲν ἀπέφυγεν οὔτε τὸ ἐθεώρησεν ἀξιόμεμπτον νὰ φροντίσῃ ὁ ἴδιος διὰ τοὺς πωχούς. Καὶ ὅμως αὐτὸς ποὺ ἔκαμε τόσους ἄρτους καὶ μὲ μίαν προσταγὴν ἔκαμεν ὅσα ἤθελε, καὶ ἠμποροῦσε νὰ ἀναδείξῃ ἀμέσως ἀναριθμήτους θησαυρούς, δὲν τὸ ἔκαμεν αὐτό· ἀλλὰ διέταξε τοὺς μαθητάς του νὰ ἔχουν γλωσσόκομον[19] διὰ τὰς εἰσφορὰς καὶ νὰ κρατοῦν τὰ ριπτόμενα εἰς αὐτὸ χρήματα, καὶ νὰ βοηθοῦν μὲ αὐτὰ ὅσους ἔχουν ἀνάγκην βοηθείας. Ὅταν, ὡς γνωστόν, ὡμίλει μὲ τὸν Ἰούδαν αἰνιγματωδῶς διὰ τὴν προδοσίαν, ἐπειδὴ δὲν κατενόησαν αὐτὸ ποὺ ἐλέχθη οἱ μαθηταί, ἐνόμισαν ὅτι εἶπεν εἰς αὐτὸν νὰ δώσῃ κάτι εἰς τοὺς πτωχούς· διότι αὐτὸς λέγει «εἶχε τὸ κυτίον τῶν συνεισφορῶν καὶ κατεκράτει κρυφὰ

δῷ· «Καὶ γὰρ τὸ γλωσσόκομον αὐτός», φησίν, «εἶχε, καὶ τὰ βαλλόμενα ἐβάσταζε». Πολὺς γὰρ τῷ Θεῷ λόγος ἐλέους, οὐ τοῦ παρ' αὐτοῦ μόνον εἰς ἡμᾶς, ἀλλὰ καὶ τοῦ παρ' ἡμῶν εἰς τοὺς συνδούλους ὀφείλοντος γίνεσθαι· καὶ ἐν τῇ Παλαιᾷ, καὶ ἐν τῇ Καινῇ μυρίους ὑπὲρ τούτου τίθησι νόμους, κελεύων διὰ πάντων εἶναι φιλάνθρωπον, καὶ διὰ ῥημάτων, καὶ χρημάτων, καὶ πραγμάτων. Καὶ Μωϋσῆς ἄνω καὶ κάτω τοὺς περὶ τούτων διασπείρει λόγους ταῖς νομοθεσίαις ἁπάσαις· καὶ οἱ προφῆται ἐκ προσώπου τοῦ Θεοῦ τοῦτο βοῶσιν, ὅτι «Ἔλεον θέλω, καὶ οὐ θυσίαν»· καὶ οἱ ἀπόστολοι πάντες συνῳδὰ τούτοις καὶ ποιοῦσι καὶ λέγουσι. Μὴ τοίνυν καταμελῶμεν τοῦ πράγματος· οὐ γὰρ τοὺς πένητας, ἀλλ' αὐτοὺς ἡμᾶς τὰ μέγιστα ὠφελοῦμεν, καὶ μείζονα λαμβάνομεν ὧν παρέχομεν.

6. Ταῦτα δὲ οὐχ ἁπλῶς λέγω νῦν, ἀλλ' ἐπειδὴ πολλοὶ πολλάκις πρὸς τοὺς δεομένους ἀκριβολογοῦνται, καὶ πατρίδα ἐξετάζοντες, καὶ βίον, καὶ τρόπους, καὶ ἐπιτήδευμα, καὶ τὴν τοῦ σώματος εὐεξίαν, ἐγκλήματα ποιούμενοι, καὶ μυρίας ὑπὲρ ὑγιείας ἀπαιτοῦντες εὐθύνας. Διά τοι τοῦτο, καὶ πολλοὶ πηρώσεις ὑπεκρίναντο σώματος, ἵνα τὴν ὠμότητα τὴν ἡμετέραν καὶ τὴν ἀπανθρωπίαν τῷ τῆς συμφορᾶς ταύτης ἐπικάμψωσι δράματι. Καὶ τὸ μέν, θέρους ὄντος, ταῦτα ἐγκαλεῖν, δεινὸν ὄν, οὐχ οὕτω δεινόν ἐστι· τὸ δὲ ἐν κρυμῷ καὶ ψύχει οὕτως ὠμὸν καὶ ἀπάνθρωπον γίνεσθαι δικαστήν, καὶ μηδεμίαν ἀπονέμειν τοῖς ἀργοῦσι συγγνώμην, οὐκ ἂν ἔχοι τινὰ ὠμότητος ὑπερβολήν; Τί οὖν ὁ Παῦλος, φησίν, ἐνομοθέτει Θεσσαλονικεῦσι, λέγων· «Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω»; Ἵνα καὶ σὺ ταῦτα ἀκούσῃς, καὶ μὴ πρὸς ἐκεῖνον μόνον, ἀλλὰ καὶ πρὸς σαυτὸν διαλέγῃ τὰ τοῦ Παύλου ῥήματα. Οἱ γὰρ τοῦ Παύλου νόμοι οὐχὶ τοῖς πένησι

20. Ὠσηὲ 6, 6.
21. Β' Θεσσ. 3, 10.

διὰ τὸν ἑαυτόν του τὰ ριπτόμενα εἰς αὐτὸ χρήματα». Ὁ Θεὸς ὑπολογίζει πολὺ τὸ ἔλεος, ὄχι μόνον τὸ ἔλεος τοῦ ἰδίου πρὸς ἡμᾶς, ἀλλὰ καὶ τὸ ἔλεος ποὺ ὀφείλει νὰ ἐκδηλώνεται ἀπὸ ἡμᾶς πρὸς τοὺς συνδούλους μας· καὶ εἰς τὴν Παλαιὰν καὶ εἰς τὴν Καινὴν Διαθήκην ἔθεσεν ἀναριθμήτους νόμους δι' αὐτό, καὶ μᾶς διατάσσει νὰ εἴμεθα φιλάνθρωποι καὶ μὲ τοὺς λόγους καὶ μὲ τὰ χρήματα καὶ μὲ τὰ ἔργα. Καὶ ὁ Μωυσῆς παντοῦ εἰς ὅλας τὰς νομοθεσίας του κάμνει λόγον διὰ τὸ θῦμα αὐτό· καὶ οἱ προφῆται φωνάζουν αὐτὸ ἐξ ὀνόματος τοῦ Θεοῦ ὅτι «ἔλεος θέλω καὶ ὄχι θυσίαν»[20]. Καὶ ὅλοι οἱ ἀπόστολοι ὁμιλοῦν καὶ πράττουν σύμφωνα πρὸς αὐτούς. Ἂς μὴ ἀμελοῦμεν λοιπὸν τὸ πρᾶγμα· διότι δὲν ὠφελοῦμεν τοὺς πτωχοὺς ἀλλὰ τοὺς ἑαυτούς μας πάρα πολὺ καὶ λαμβάνομεν μεγαλύτερα ἀπὸ ἐκεῖνα ποὺ δίδομεν.

6. Αὐτὰ δὲν τὰ λέγω χωρὶς λόγον τώρα, ἀλλὰ ἐπειδὴ πολλοὶ πολλὰς φορὰς προκειμένου νὰ δώσουν εἰς πτωχοὺς λεπτολογοῦν τὸ πρᾶγμα καὶ ἐρωτοῦν νὰ μάθουν διὰ τὴν πατρίδα των, διὰ τὴν ζωήν των, διὰ τὸν χαρακτῆρα, τὸ ἐπάγγελμα καὶ τὴν σωματικήν των ὑγείαν, ἀπευθύνουν κατηγορίας ἐναντίον των καὶ ζητοῦν ἀναριθμήτους εὐθύνας διὰ τὴν ὑγείαν των. Δι' αὐτὸν τὸν λόγον πολλοὶ ὑπεκρίθησαν καὶ σωματικὴν ἀναπηρίαν διὰ νὰ κάμψουν τὴν ἰδικήν μας ἀπανθρωπίαν καὶ ὠμότητα μὲ τεχνάσματα. Καὶ νὰ τοὺς ἀνακρίνῃς ἔτσι κατὰ τὸ θέρος, ἂν καὶ εἶναι φοβερὸν τὸ πρᾶγμα, δὲν εἶναι πάντως τόσον φοβερόν· ὅμως τὸ νὰ γίνεσαι τόσον σκληρὸς καὶ ἀπάνθρωπος δικαστὴς τὸν χειμῶνα μὲ τὸ ψῦχος, καὶ νὰ μὴ ἀπονέμῃς καμμίαν συγγνώμην εἰς τοὺς μὴ ἐργαζομένους δὲν ἐκφράζεις ὑπερβολικὴν ὠμότητα; Τί ἐνομοθέτει λοιπὸν ὁ Παῦλος πρὸς τοὺς Θεσσαλονικεῖς ὅταν ἔλεγεν· «Ἐὰν κανεὶς δὲν θέλῃ νὰ ἐργάζεται, δὲν πρέπει οὔτε νὰ τρώγῃ»[21]; Τὰ εἶπεν αὐτὰ διὰ νὰ τὰ ἀκούσῃς καὶ ἐσὺ καὶ νὰ μὴ κρίνῃς μόνον ἐκεῖνον μὲ τοὺς λόγους τοῦ Παύλου, ἀλλὰ καὶ τὸν ἑαυτόν σου. Διότι οἱ νόμοι τοῦ Παύλου ἔχουν τεθῆ ὄχι μόνον διὰ τοὺς πτωχούς, ἀλλὰ

μόνον, ἀλλὰ καὶ ἡμῖν κεῖνται. Εἴπω τι φορτικὸν καὶ ἐπαχθές· οἶδα μὲν ὅτι ὀργιεῖσθε· πλὴν ἀλλ' ὅμως ἐρῶ· οὐδὲ γὰρ ὥστε πλῆξαι, ἀλλ' ὥστε διορθῶσαι τοῦτο λέγω.

Τούτοις μὲν ἀργίαν ἐγκαλοῦμεν, πρᾶγμα καὶ συγγνώμης πολλάκις ἄξιον· αὐτοὶ δὲ ἐργαζόμεθα τοιαῦτα πολλάκις, ἃ πάσης ἀργίας ἐστὶ χαλεπώτερα. Ἀλλ' ἐγὼ πατρῷον ἔχω κλῆρον, φησίν. Ἐπεὶ οὖν οὗτος πένης ἐστί, καὶ ἐκ πενήτων, καὶ οὐκ ἔσχε προγόνους εὐπόρους, ἀπόλλυσθαι δίκαιος, εἰπέ μοι; Δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἐλεεῖσθαι καὶ κατοικτείρεσθαι ἄξιος ἂν εἴη παρὰ τῶν ἐχόντων. Σὺ μὲν γὰρ πολλάκις διημερεύων τὴν ἡμέραν ἐν θεάτροις, ἢ ἐν συνεδρίοις καὶ συλλόγοις οὐδὲν ἔχουσι κέρδος, καὶ μυρίοις λέγων κακῶς, οὐδὲν ἡγῇ ποιεῖν δεινόν, οὐδὲ ἀργεῖν· τὸν δὲ ἄθλιον τοῦτον καὶ ταλαίπωρον πᾶσαν ἀναλίσκοντα τὴν ἡμέραν ἐν ἱκετηρίαις, ἐν δάκρυσιν, ἐν μυρίᾳ ταλαιπωρίᾳ, κρίνεις, καὶ εἰς δικαστήριον ἕλκεις, καὶ εὐθύνας ἀπαιτεῖς; Καὶ ποῦ ταῦτα γνώμης ἀνθρωπίνης, εἰπέ μοι; Ὥστε ὅταν λέγῃς, τί οὖν ἐροῦμεν τῷ Παύλῳ; μὴ τοῖς πένησιν, ἀλλὰ καὶ σαυτῷ διαλεγόμενος ταῦτα λέγε. Ἄλλως δέ, μὴ τὴν ἀπειλὴν ἀναγίνωσκε μόνον, ἀλλὰ καὶ τὴν συγγνώμην· ὁ γὰρ εἰπών, «Εἴ τις μὴ ἐργάζεται, μηδὲ ἐσθιέτω», προσέθηκεν· «Ὑμεῖς δέ, ἀδελφοί, μὴ ἐκκακήσητε τὸ καλὸν ποιοῦντες».

Ἀλλὰ τίς αὐτῶν ἡ εὐπρόσωπος πρόφασις; Δραπέται τινές εἰσι, φησί, καὶ ξένοι, καὶ μαστιγίαι, καὶ τὰς αὐτῶν ἀφέντες πατρίδας, εἰς τὴν ἡμετέραν πόλιν συρρέουσι. Διὰ τοῦτο οὖν ἀγανακτεῖς, εἰπέ μοι, καὶ τὸν στέφανον τῆς πόλεως διατίλλεις, ὅτι κοινὸν λιμένα πάντες αὐτὴν εἶναι νομίζουσι, καὶ τῆς ἐνεγκούσης τὴν ἀλλοτρίαν προτιθέασι; Διὰ τοῦτο μὲν οὖν ἀγάλλεσθαι ἔδει καὶ χαίρειν, ὅτι καθάπερ εἰς κοινὸν ἐμπόριον τὰς ὑμετέρας χεῖρας τρέχουσιν ἅπαντες, καὶ μητέρα κοινὴν εἶναι ταύτην τὴν πόλιν νομίζουσι. Μὴ δὴ δια-

22. Β' Θεσσ. 3, 13.

καὶ δι' ἡμᾶς. Θὰ σᾶς εἰπῶ κάτι βαρὺ ποὺ θὰ σᾶς ἐνοχλήσῃ· γνωρίζω ὅτι θὰ ὀργισθῆτε· ὅμως θὰ τὸ εἰπῶ· καὶ δὲν θὰ τὸ εἰπῶ διὰ νὰ σᾶς πλήξω, ἀλλὰ διὰ νὰ σᾶς διορθώσω.

Αὐτοὺς τοὺς ἀνθρώπους τοὺς κατηγοροῦμεν ὡς ἀργούς, πρᾶγμα ποὺ συχνὰ εἶναι ἄξιον συγχωρήσεως· ἐμεῖς ὅμως οἱ ἴδιοι κάμνομεν πολλὰς φορὰς πράγματα ποὺ εἶναι χειρότερα ἀπὸ κάθε ἀργίαν. Ἀλλά, θὰ εἰπῇς, ἐγὼ ἔχω πατρικὴν περιουσίαν. Εἰπέ μου, ἐπειδὴ λοιπὸν εἶναι αὐτὸς πτωχός, καὶ κατάγεται ἀπὸ πτωχοὺς γονεῖς, καὶ δὲν εἶχεν εὐπόρους προγόνους, εἶναι σωστὸν νὰ χαθῇ; Ἀκριβῶς δι' αὐτὸν τὸν λόγον ἀξίζει νὰ ἐλεηθῇ καὶ νὰ βοηθηθῇ ἀπὸ τοὺς πλουσίους. Ἐσὺ μὲν πολλὰς φορὰς περνᾷς τὴν ἡμέραν σου εἰς τὰ θέατρα ἢ εἰς τὰς συγκεντρώσεις, καὶ τὰς συναναστραφάς, ποὺ δὲν ἔχουν κανένα κέρδος, καὶ λέγεις ἀναρίθμητα κακά, καὶ νομίζεις ὅτι δὲν κάμνεις τίποτε κακόν, οὔτε ὅτι τεμπελιάζεις· αὐτὸν δὲ τὸν ἄθλιον καὶ ταλαίπωρον ποὺ διέρχεται ὅλην τὴν ἡμέραν μὲ ἱκεσίας, μὲ δάκρυα καὶ μὲ ἀφάνταστον ταλαιπωρίαν, τὸν κρίνεις καὶ τὸν σύρεις εἰς τὸ δικαστήριον, καὶ τοῦ ζητεῖς εὐθύνας; Εἰπέ μου, πῶς εἶναι δυνατὸν νὰ πηγάζουν αὐτὰ ἀπὸ ἀνθρωπίνην σκέψιν; Ὥστε, ὅταν λέγῃς, τί θὰ εἰποῦμεν εἰς τὸν Παῦλον; νὰ μὴ τὸ λέγῃς μόνον διὰ τοὺς πτωχούς, ἀλλὰ καὶ διὰ τὸν ἑαυτόν σου. Ἄλλως τε δὲν πρέπει νὰ ἀναγινώσκῃς μόνον τὴν ἀπειλήν, ἀλλὰ καὶ τὴν συγγνώμην· διότι ἀφοῦ εἶπεν «αὐτὸς ποὺ δὲν ἐργάζεται, δὲν πρέπει νὰ τρώγῃ», προσέθεσε· «Σεῖς δέ, ἀδελφοί μου, μὴ ἀποκάμνετε πράττοντες τὸ καλόν»[22].

Ἀλλὰ ποία εἶναι ἡ εὔσχημος πρόφασίς των; Λέγουν ὅτι εἶναι δραπέται καὶ ξένοι καὶ ἐλεεινοί, ποὺ ἄφησαν τὴν πατρίδα των καὶ συρρέουν εἰς τὴν πόλιν μας. Εἰπέ μου, διὰ τοῦτο λοιπὸν ἀγανακτεῖς, καὶ μαδᾷς τὸν στέφανον τῆς πόλεως, ἐπειδὴ ὅλοι τὴν θεωροῦν κοινὸν λιμένα καὶ προτιμοῦν τὴν ξένην πόλιν ἀπὸ τὴν γενέτειράν των; Ἔπρεπε λοιπὸν νὰ χαίρῃς καὶ νὰ ἀγάλλεσαι δι' αὐτό, διότι τρέχουν ὅλοι εἰς τὰς ἰδικάς σου χεῖρας, ὡσὰν εἰς κοινὸν λιμένα καὶ θεωροῦν αὐτὴν ὡς κοινὴν μητέρα ὅλων. Μὴ καταστρέψε-

φθείρητε τὸ ἐγκώμιον, μηδὲ ἀκρωτηριάσητε τὸν ἔπαινον πάτριον ὄντα αὐτῇ καὶ ἀρχαῖον. Καὶ γάρ ποτε λιμοῦ μέλλοντος εἰς τὴν γῆν ἐμβαλεῖν ἅπασαν, οἱ τὴν πόλιν ταύτην οἰκοῦντες τοῖς ἐν Ἱεροσολύμοις καθημένοις, αὐτοῖς δὲ τούτοις, περὶ ὧν ἡμῖν οὗτος ὁ λόγος ἅπας κεκίνηται, διὰ χειρὸς Βαρνάβα καὶ Σαύλου χρήματα ἔπεμψαν οὐκ ὀλίγα. Τίνος οὖν ἂν εἴημεν ἡμεῖς συγγνώμης ἄξιοι, ποίας δὲ ἀπολογίας, ὅταν οἱ μὲν πρόγονοι οἱ ἡμέτεροι καὶ τοὺς πόρρωθεν καθημένους φαίνωνται διὰ τῶν οἰκείων τρέφοντες χρημάτων, καὶ αὐτοὶ πρὸς ἐκείνους τρέχοντες· ἡμεῖς δὲ καὶ τοὺς ἀλλαχόθεν πρὸς ἡμᾶς καταφεύγοντας ἀπελαύνωμεν, καὶ ἀπαιτῶμεν εὐθύνας ἀκριβεῖς, καὶ ταῦτα εἰδότες, ὅτι μυρίων ὑπεύθυνοί ἐσμεν κακῶν; Κἂν ὁ Θεὸς οὕτως ἀκριβῶς τὰ καθ' ἡμᾶς ἐξετάσῃ, ὥσπερ ἡμεῖς τὰ τῶν πενήτων, οὐδεμιᾶς τευξόμεθα συγγνώμης, οὐδὲ ἐλέου τινός· «Ἐν ᾧ γὰρ κρίματι κρίνετε», φησί, «καὶ ὑμεῖς κριθήσεσθε». Γενοῦ τοίνυν φιλάνθρωπος καὶ ἥμερος τῷ συνδούλῳ, καὶ πολλὰ ἄφες τῶν ἡμαρτημένων, καὶ ἐλέησον, ἵνα καὶ αὐτὸς τοιαύτης τύχῃς τῆς ψήφου.

Τί πράγματα σαυτῷ πλέκεις; τί περιεργάζῃ; Ἆρα εἰ προσέταξεν ὁ Θεὸς βίους ἐρευνᾶν, καὶ εὐθύνας ἀπαιτεῖν, καὶ πολυπραγμονεῖν τρόπους, οὐκ ἂν ἐδυσχέραινον πολλοί; οὐκ ἂν εἶπον πρὸς ἑαυτούς· τί ποτε τοῦτό ἐστι; δύσκολον ἡμῖν τὸ πρᾶγμα κατέστησεν ὁ Θεός· μὴ γὰρ δυνάμεθα τὴν ἑτέρων ζωὴν ἐξετάζειν; μὴ γὰρ ἴσμεν τὰ ἡμαρτημένα τῷ δεῖνι; Οὐκ ἂν πολλοὶ πολλὰ τοιαῦτα εἶπον; Νῦν δέ, ὅτε πάσης ἡμᾶς τοιαύτης πολυπραγμοσύνης ἀπήλλαξε, καὶ ὑπέσχετο δώσειν ἀπηρτισμένον τὸν μισθόν, κἂν πονηροί, κἂν χρηστοὶ οἱ λαμβάνοντες ὦσιν, ἑαυτοῖς πράγματα ἐπισπώμε-

23. Ματθ. 7, 2.

τε λοιπὸν τὸ ἐγκώμιον, οὔτε νὰ ἀκρωτηριάσετε τὸν ἔπαινον ποὺ εἶναι παλαιὸς καὶ πατροπαράδοτος εἰς αὐτήν. Καθ' ὅσον κάποτε, ὅταν ἐπρόκειτο νὰ πέσῃ λιμός, οἱ κάτοικοι αὐτῆς τῆς πόλεως εἰς τοὺς κατοίκους τῶν Ἱεροσολύμων, εἰς αὐτοὺς διὰ τοὺς ὁποίους γίνεται τώρα λόγος, διὰ μέσου τοῦ Βαρνάβα καὶ τοῦ Παύλου ἔστειλαν πολλὰ χρήματα. Ποίας συγγνώμης θὰ εἴμεθα ἐμεῖς ἄξιοι, ποίαν δικαιολογίαν θὰ ἔχωμεν, ὅταν οἱ μὲν πρόγονοί μας ἔτρεφαν μὲ τὰ ἰδικά τους χρήματα καὶ αὐτοὺς ποὺ κατοικοῦσαν πολὺ μακρυά, καὶ μάλιστα ἔτρεχαν αὐτοὶ πρὸς ἐκείνους· ἐμεῖς δὲ καὶ αὐτούς, ποὺ ἀπὸ ἄλλα μέρη καταφεύγουν πρὸς ἡμᾶς, τοὺς διώχνομεν καὶ ζητοῦμεν εὐθύνας ἀπὸ αὐτούς, τὴν στιγμὴν μάλιστα ποὺ γνωρίζομεν ὅτι οἱ ἴδιοι εἴμεθα ὑπεύθυνοι ἀναριθμήτων κακῶν; Καὶ ἂν ὁ Θεὸς ἐξετάσῃ μὲ ἀκρίβειαν τὴν ζωήν μας, ὅπως ἐμεῖς ἐξετάζομεν τὴν ζωὴν τῶν πτωχῶν, δὲν θὰ ἐπιτύχωμεν οὐδεμιᾶς συγγνώμης καὶ εὐσπλαγχνίας· «Διότι μὲ τὴν αὐτὴν ἀσυμπαθῆ καὶ αὐστηρὰν κρίσιν μὲ τὴν ὁποίαν κατακρίνετε, θὰ κατακριθῆτε»[23]. Νὰ γίνῃς λοιπὸν φιλάνθρωπος καὶ εὐμενὴς πρὸς τὸν συνάνθρωπόν σου καὶ συγχώρεσε πολλὰ ἀπὸ τὰ ἁμαρτήματά του καὶ ἐλέησέ τον, διὰ νὰ τύχῃς καὶ σὺ παρομοίας ἐπιεικοῦς κρίσεως.

Διατί ἐμπλέκεις τὸν ἑαυτόν σου εἰς προσθέτους μερίμνας; Διατί λεπτολογεῖς μὲ περιέργειαν; Ἆρά γε ἐὰν ἐπρόσταζεν ὁ Θεὸς νὰ διερευνᾷ κανεὶς τὴν ζωὴν τῶν ἀνθρώπων καὶ νὰ ἀπαιτῇ εὐθύνας, καὶ νὰ σπουδάζῃ τὸν χαρακτῆρα των, δὲν θὰ ἐδυσφοροῦσαν πολλοί; Δὲν θὰ ἔλεγαν ἀπὸ μέσα των· τί εἶναι αὐτὸ τέλος πάντων; Δύσκολον πρᾶγμα μᾶς ἀνέθεσεν ὁ Θεός· μήπως ἠμποροῦμεν νὰ ἐξετάζωμεν τὴν ζωὴν τῶν ἄλλων; μήπως γνωρίζομεν τὰ ἁμαρτήματα τοῦ ἄλλου; Δὲν θὰ ἔλεγαν πολλοὶ τέτοια πράγματα; Τώρα δὲ ποὺ μᾶς ἀπήλλαξεν ἀπὸ ὅλην αὐτὴν τὴν πολυπραγμοσύνην καὶ ὑπεσχέθη νὰ μᾶς δώσῃ πλήρη τὸν μισθόν, καὶ ἂν εἶναι πονηροί, καὶ ἂν εἶναι καλοὶ αὐτοὶ ποὺ λαμβάνουν, δημιουργοῦμεν οἱ ἴδιοι προσθέτους φροντίδας

θα. Καὶ πόθεν τοῦτο δῆλον, φησίν, ὅτι χρηστοῖς, καὶ τοῖς μὴ τοιούτοις δόντες ληψόμεθα τὸν μισθόν; Ἀφ' ὧν αὐτὸς εἶπεν· «Εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων καὶ διωκόντων ὑμᾶς, ὅπως γένησθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν, τοῦ ἐν τοῖς οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.

Ὥσπερ οὖν ὁ Δεσπότης σου, μυρίων αὐτὸν βλασφημούντων, μυρίων πορνευόντων, κλεπτόντων, ληστευόντων, τάφους ἀνορυττόντων, μυρία ἐργαζομένων κακά, οὐκ ἀφίσταται τῆς εἰς ἅπαντας εὐεργεσίας, ἀλλὰ κοινὴν τὴν ἀκτῖνα, κοινοὺς τοὺς ὄμβρους, καὶ τοὺς καρποὺς τοὺς ἀπὸ τῆς γῆς προτίθησι, τὴν φιλανθρωπίαν ἐπιδεικνύμενος τὴν ἑαυτοῦ· οὕτω καὶ σὺ ποίησον, καὶ ὅταν ἐλέους καιρὸς ᾖ καὶ φιλανθρωπίας, διόρθου τὴν πενίαν, λύε τὸν λιμόν, ἀπάλλαττε τῆς θλίψεως, μηδὲν περαιτέρω περιεργάζου. Εἰ γὰρ δὴ μέλλοιμεν βίους ἐρευνᾶσθαι, οὐδέποτε οὐδένα ἄνθρωπον ἐλεήσομεν. Ἀλλ' ὑπὸ τῆς ἀκαίρου ταύτης πολυπραγμοσύνης ἐμποδισθέντες, ἄκαρποι καὶ πάσης ἔρημοι βοηθείας διαμενοῦμεν, καὶ πολὺν ὑποστησόμεθα πόνον εἰκῇ καὶ μάτην.

Διὸ δὴ παρακαλῶ τὴν ἄκαιρον ταύτην περιεργίαν ἐκβαλόντας, τοῖς δεομένοις διδόναι πᾶσι, καὶ μετὰ πολλῆς τοῦτο ποιεῖν τῆς δαψιλείας, ἵνα καὶ αὐτοὶ κατὰ τὴν ἡμέραν ἐκείνην πολλοῦ τοῦ ἐλέους καὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας τύχωμεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

24. Ματθ. 5, 44-45.

διὰ τοὺς ἑαυτούς μας. Καὶ ἀπὸ ποῦ εἶναι φανερόν, λέγουν, ὅτι θὰ λάβωμεν τὸν μισθόν μας, ἂν δώσωμεν καὶ εἰς τοὺς καλοὺς καὶ εἰς τοὺς κακούς; Ἀπὸ αὐτὰ ποὺ αὐτὸς εἶπεν· «Νὰ προσεύχεσθε ὑπὲρ ἐκείνων οἱ ὁποῖοι σᾶς ὑβρίζουν καὶ σᾶς συκοφαντοῦν καὶ σᾶς καταδιώκουν ἀδίκως, διὰ νὰ ἀναδειχθῆτε ἔτσι τέκνα τοῦ οὐρανίου Πατρός σας, ποὺ εἶναι εἰς τοὺς οὐρανούς, διότι καὶ αὐτὸς τὸν ἥλιον ποὺ εἶναι ἰδικός του ἀνατέλλει ἀδιακρίτως εἰς πονηροὺς καὶ ἀγαθοὺς καὶ στέλλει τὴν βροχήν του εἰς δικαίους καὶ ἀδίκους»[24].

Ὅπως λοιπὸν ὁ Κύριός σου, ἐνῷ τὸν βλασφημοῦν ἀναρίθμητοι ἄνθρωποι, ἐνῷ πορνεύουν ἄπειροι, κλέπτουν, ληστεύουν, σκάπτουν τάφους καὶ πράττουν ἀναρίθμητα κακά, δὲν παύει νὰ εὐεργετῇ ὅλους ἀνεξαιρέτως, ἀλλὰ στέλλει τὰς ἀκτῖνας τοῦ ἡλίου εἰς ὅλους, τὰς βροχὰς εἰς ὅλους καὶ θέτει ἐνώπιον ὅλων τοὺς καρποὺς ποὺ παράγονται ἀπὸ τὴν γῆν, δεικνύων κατ' αὐτὸν τὸν τρόπον τὴν φιλανθρωπίαν του· ἔτσι κάμε καὶ ἐσύ, καὶ ὅταν εἶναι καιρὸς εὐσπλαγχνίας καὶ φιλανθρωπίας, βοήθησε τοὺς πτωχούς, ἀνακούφισέ τους ἀπὸ τὴν πεῖναν, ἀπάλλαξέ τους ἀπὸ τὴν θλῖψιν καὶ μὴ προχωρῇς περαιτέρω εἰς περίεργον ἔρευναν. Διότι ἂν πρόκειται νὰ ἐξετάσωμεν τὴν ζωὴν τῶν ἀνθρώπων, τότε δὲν θὰ ἐλεήσωμεν κανένα ἄνθρωπον. Ἠμποδισμένοι ἀπὸ αὐτὴν τὴν ἄκαιρον πολυπραγμοσύνην, δὲν θὰ ἐλεήσωμεν κανένα καὶ θὰ ὑποστοῦμεν πολὺν κόπον ἄνευ λόγου καὶ ματαίως.

Δι' αὐτὸ λοιπόν, σᾶς παρακαλῶ, νὰ ἀποβάλετε αὐτὴν τὴν ἄκαιρον περιέργειαν καὶ νὰ δίδετε εἰς ὅλους τοὺς ἐνδεεῖς καὶ νὰ τὸ κάμνετε μὲ μεγάλην γενναιοδωρίαν, διὰ νὰ τύχωμεν καὶ ἡμεῖς κατὰ τὴν ἡμέραν ἐκείνην μεγάλου ἐλέους καὶ φιλανθρωπίας, τὴν ὁποίαν εὔχομαι νὰ ἐπιτύχωμεν ὅλοι μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ ὁποίου δόξα, δύναμις καὶ τιμὴ ἀνήκουν εἰς τὸν Πατέρα, μαζὶ καὶ εἰς τὸ ἅγιον Πνεῦμα, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων **Ἀμήν.**

17
ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΙΝ ΑΝΑΘΕΜΑΤΙΖΕΙΝ
ζῶντας ἢ τεθνηκότας

1. Πρῴην μὲν περὶ ἀκαταλήπτου γνώσεως Θεοῦ διαλεγόμενος πρὸς ὑμᾶς καὶ πολλοὺς λόγους κινήσας, ἀπεδείκνυον ἀπό τε γραφικῶν φωνῶν καὶ ἀπὸ φυσικῶν λογισμῶν, ὅπως καὶ αὐταῖς ταῖς ἀοράτοις δυνάμεσιν ἀνέφικτός ἐστι παντελῶς ἡ τοῦ θείου κατάληψις, ἐκείναις ταῖς ἄϋλον καὶ μακαρίαν πολιτευομέναις διαγωγήν, καὶ ὅτι ἐν πάσῃ χαυνώσει καὶ ῥύσει βίου ζῶντες ἡμεῖς καὶ πρὸς πᾶσαν ἐξενεχθέντες κακίαν, τὸ καὶ ταῖς ἀοράτοις οὐσίαις παντελῶς ἀγνοούμενον ἐπιχειροῦμεν λαβεῖν. Τῶν τοιούτων λόγων ὑπόθεσιν ἔχοντες τὴν κρίσιν τῶν ἑαυτῶν λογισμῶν, καὶ ταύτην τὴν παρὰ τῶν ἀκουόντων κενὴν δόξαν, μήτε τὸ μέτρον τῆς ἑαυτῶν φύσεως τῷ λογισμῷ περιγράφοντες, μήτε τῇ θείᾳ Γραφῇ καὶ τοῖς πατράσιν ἑπόμενοι, ἀλλὰ δίκην ὕδατος χειμερίου, τῇ φρενίτιδι τῆς ἑαυτῶν προλήψεως ὑποσυρόμενοι εἰς τοσαύτην ἁμαρτίαν ἐκπεπτώκαμεν.

Φέρε δὴ καὶ περὶ ἀναθέματος ὑμῖν τὰ εἰκότα διαλεχθέντες, καὶ δείξαντες τὴν δύναμιν τούτου τοῦ μηδενὸς νομιζομένου κακοῦ, παύσωμεν ἐξ αὐτοῦ τὰ ἀχαλίνωτα στόματα, τὴν νόσον τῶν ὡς ἔτυχεν αὐτῷ κεχρημένων ὑμῖν ἐκκαλύπτοντες. Εἰς τοσαύτην γὰρ καχεξίαν ἤλασε τὰ ἡμέτερα, ὅτι καὶ ἐσχάτως ἔχοντες ἀγνοοῦμεν τὰ χείρονα τῶν παθῶν μὴ ὑπερβαίνοντες· ὥστε τὴν προφητικὴν φωνὴν εἰς ἡμᾶς πληρωθῆ-

17

ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΔΕΝ ΠΡΕΠΕΙ ΝΑ ΑΝΑΘΕΜΑΤΙΖΩΜΕΝ οὔτε αὐτοὺς ποὺ ζοῦν οὔτε αὐτοὺς ποὺ ἔχουν ἀποθάνει.

1. Παλαιότερα ὁμιλῶν πρὸς ἐσᾶς περὶ τοῦ ὅτι εἶναι ἀκατάληπτος ἡ γνῶσις τοῦ Θεοῦ καὶ ἀναφέρων πολλὰ ἐπιχειρήματα, σᾶς ἀπέδειξα καὶ ἀπὸ τὰ λεγόμενα εἰς τὰς Γραφὰς καὶ ἀπὸ τοὺς ἀνθρωπίνους λογισμοὺς ὅτι καὶ εἰς αὐτὰς τὰς ἀοράτους δυνάμεις εἶναι ἀδύνατος ἡ πλήρης κατανόησις τοῦ θείου, εἰς ἐκείνας τὰς δυνάμεις ποὺ ἀπολαύουν τὴν ἄυλον καὶ μακαρίαν ζωὴν καὶ ὅτι ἐμεῖς ποὺ ζῶμεν μὲ πλήρη πνευματικὴν νωθρότητα καὶ ὑποκείμεθα εἰς τὴν φθορὰν καὶ ἔχομεν φθάσει πρὸς κάθε εἶδους κακίας, ἐπιχειροῦμεν νὰ γνωρίσωμεν ἐκεῖνο ποὺ καὶ εἰς τὰς ἀοράτους δυνάμεις εἶναι τελείως ἄγνωστον. Ἔχοντες τὴν κρίσιν τῶν ἰδικῶν μας συλλογισμῶν ὡς βάσιν τῶν τοιούτων λόγων καὶ αὐτὴν τὴν ματαίαν δόξαν ἐκ μέρους αὐτῶν ποὺ ἀκούουν τοὺς λόγους, οὔτε περιορίζομεν τὸ μέτρον τῆς ἰδικῆς μας φύσεως εἰς τὸν λογισμὸν οὔτε ἀκολουθοῦμεν τὴν ἁγίαν Γραφὴν καὶ τοὺς πατέρας, ἀλλὰ παρασυρόμενοι ἀπὸ τὴν μανίαν τῆς ἰδικῆς μας ἐκ τῶν προτέρων γνώμης, ὡσὰν ἀπὸ χειμερινὰ ὁρμητικὰ ὕδατα, ἔχομεν πέσει εἰς τόσον μεγάλην ἁμαρτίαν.

Ἐμπρὸς λοιπὸν ἂς ἀναπτύξωμεν πρὸς ἐσᾶς καὶ τὰ πρέποντα περὶ ἀναθέματος καὶ ἀφοῦ ἀποδείξωμεν τὴν δύναμιν ποὺ ἔχει αὐτὸ ποὺ θεωρεῖται ὅτι δὲν εἶναι πρόξενον κανενὸς κακοῦ, νὰ κλείσωμεν τὰ ἀχαλίνωτα στόματα, ἀποκαλύπτοντες εἰς ἐσᾶς τὴν νόσον ἐκείνων ποὺ χρησιμοποιοῦν αὐτὸ τελείως ἀπερίσκεπτα. Διότι εἰς τόσον ἀθλίαν κατάστασιν ἔφθασαν τὰ ἔχοντα σχέσιν μὲ ἡμᾶς, ὥστε, μολονότι ἔχομεν φθάσει εἰς τὸ τέρμα νὰ ἀγνοοῦμεν ὅτι δὲν ἔχομεν ὑπερβῆ τὰ χειρότερα τῶν παθῶν καὶ ἔτσι νὰ εὑρίσκουν ἐκπλήρωσιν εἰς ἡμᾶς τὰ προφητικὰ λόγια· «Ὅτι δὲν ὑπάρ-

ναι, «ὅτι οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε καταδέσμους».

Πόθεν γὰρ ἄρξομαι περὶ τούτου τοῦ κακοῦ διαλέγεσθαι; ἀπὸ τῶν διατάξεων τῶν δεσποτικῶν ἐντολῶν, ἢ ἀπὸ τῆς ἀλόγου ἀπαιδευσίας καὶ ἀναισθησίας ὑμῶν; Καὶ ἄρα οὐ γελῶμαι παρά τινων ταῦτα λέγων, καὶ ἐξεστηκέναι δοκῶ; ἄρα μὴ καταβοῶμαι, ὅτι τὰ σκυθρωπὰ ταῦτα καὶ δακρύων ἄξια διαλέγεσθαι μέλλω; Ἀλλὰ τί πάθω; ἀλγῶ καὶ διαπρίομαι τὴν διάνοιαν καὶ τὰ σπλάγχνα κόπτομαι, τὴν τοσαύτην ἀναλγησίαν ὁρῶν, ὅτι τὴν Ἰουδαϊκὴν παρανομίαν καὶ τὴν τῶν ἐθνῶν δυσέβειαν ὑπερέβαλε τὰ ἡμέτερα. Θεωρῶ γὰρ ἄνδρας προϊὼν μήτε λογισμὸν πεπαιδευμένον ἐκ τῆς θείας Γραφῆς κεκτημένους, μήτε δὲ αὐτῆς ὅλως τι τῆς Γραφῆς ἐπισταμένους, καὶ τὰ πολλὰ ἐρυθριῶν σιωπῶ, μεμηνότας καὶ ἐρεσχελοῦντας, «Μὴ εἰδότας μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται», αὐτὸ τοῦτο δογματίζειν ἀμαθῶς μόνον τολμῶντας, καὶ ἀναθεματίζειν ἅπερ οὐκ ἴσασιν, ὡς γελᾶσθαι τὰ ἡμέτερα παρὰ τῶν τῆς πίστεως ἀλλοτρίων, μήτε πολιτείας φροντίζοντας ἀγαθῆς, μηδὲ ἀγαθοεργεῖν μεμαθηκότας.

2. Οἴμοι τῶν δεινῶν, οἴμοι. Πόσοι δίκαιοι καὶ προφῆται ἐπεθύμησαν ἰδεῖν ἃ εἴδομεν, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἠκούσαμεν, καὶ οὐκ ἤκουσαν· καὶ ἡμεῖς τούτοις ἐμπαίζομεν. Προσέχετε τοῖς ἀκουσθεῖσι, παρακαλῶ, μήποτε παραρρυῶμεν. Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμε-

1. Ἠσ. 1, 6.
2. Α' Τιμ. 1, 7.

χει οὔτε καταπραϋντικὸν φάρμακον διὰ νὰ ἐπιθέσωμεν, οὔτε ἔλαιον, οὔτε ἐπίδεσμοι»[1].

Ἀπὸ ποῦ λοιπὸν ν' ἀρχίσω νὰ ὁμιλῶ περὶ αὐτοῦ τοῦ κακοῦ; ἀπὸ τὰς διατάξεις τῶν δεσποτικῶν ἐντολῶν ἢ ἀπὸ τὴν ἀπερίσκεπτον ἀπαιδευσίαν καὶ ἀναισθησίαν σας; Ἀρά γε δὲν θὰ χλευασθῶ ἀπὸ μερικοὺς ἐπειδὴ λέγω αὐτὰ καὶ φαίνομαι ὅτι ἀπορῶ δι' αὐτά; ἆρά γε δὲν θὰ κατηγορηθῶ ἐπειδὴ πρόκειται νὰ ὁμιλήσω δι' αὐτὰ τὰ θλιβερὰ καὶ ἄξια δακρύων; Ἀλλὰ τί θὰ πάθω; πονῶ καὶ σχίζεται ἡ καρδία μου καὶ ὀδύρομαι, παρατηρῶν τὴν τόσον μεγάλην ἀναλγησίαν, διότι τὰ ἰδικά μας παραπτώματα ὑπερέβαλον τὴν Ἰουδαϊκὴν παρανομίαν καὶ τὴν ἀσέβειαν τῶν εἰδωλολατρῶν. Διότι ἐξακολουθῶ νὰ βλέπω ἄνδρας, ποὺ δὲν ἔχουν οὔτε τὸν νοῦν των ἠσκημένον ἐκ τῆς ἁγίας Γραφῆς οὔτε κἂν γνωρίζουν κάτι ἀπὸ τὴν Γραφήν, νὰ κατέχωνται ἀπὸ μανίαν καὶ μωρολογίαν καὶ μολονότι κοκκινίζω πολὺ ἀπὸ ἐντροπήν, σιωπῶ, διότι «χωρὶς νὰ ἐννοοῦν οὔτε ἐκεῖνα ποὺ λέγουν οὔτε ἐκεῖνα τὰ ὁποῖα προσφέρουν μὲ τόσον αὐθεντικὰς τάχα καὶ κατηγορηματικὰς διαβεβαιώσεις»[2], τολμοῦν μόνον νὰ δογματίζουν ἀμαθῶς καὶ νὰ ἀναθεματίζουν ἐκεῖνα ποὺ δὲν γνωρίζουν, ὥστε νὰ περιγελῶνται τὰ ἰδικά μας ἀπὸ τοὺς ἀλλοπίστους, οἱ ὁποῖοι οὔτε καταβάλλουν καμμίαν προσπάθειαν δι' ἀγαθὴν ζωὴν ἀλλὰ καὶ οὔτε ἔχουν μάθει νὰ πράττουν ἀγαθὰ ἔργα.

2. Ἀλλοίμονον διὰ τὰ δεινά, ἀλλοίμονον. Πόσοι δίκαιοι καὶ πόσοι προφῆται ἐπεθύμησαν νὰ ἰδοῦν ὅσα εἴδομεν, καὶ δὲν τὰ εἶδον, καὶ νὰ ἀκούσουν ὅσα ἠκούσαμεν καὶ δὲν τὰ ἤκουσαν· καὶ ἡμεῖς ἐμπαίζομεν αὐτούς. Παρακαλῶ προσέχετε πολὺ εἰς τὰ ὅσα ἐλέχθησαν, μὴ τυχὸν συμβῇ ποτὲ καὶ παραπλανηθῶμεν. Διότι ἐὰν ὁ παλαιὸς νόμος ποὺ ἐλέχθη εἰς τὸν Μωϋσῆν διὰ μέσου τῶν ἀγγέλων, ἀπεδείχθη ἔγκυρος καὶ ἰσχυρὸς καὶ κάθε παράβασις αὐτοῦ καὶ παρακοὴ ἔλαβε σὰν μισθόν της τὴν δικαίαν τιμωρίαν, πῶς ἡμεῖς θὰ διαφύγωμεν τὴν τιμωρίαν, ποὺ ἀδιαφορήσαμεν διὰ μίαν τό-

λήσαντες σωτηρίας; εἰπὲ γάρ τίς ὁ σκοπὸς τοῦ Εὐαγγελίου τῆς χάριτος; τί ἡ διὰ σαρκὸς τοῦ Υἱοῦ τοῦ Θεοῦ παρουσία; ἵνα ἀλλήλους δάκνωμεν καὶ κατεσθίωμεν; Καὶ μὴν καὶ πανταχοῦ τὰ κατὰ Χριστὸν τελειότερα τῆς νομικῆς διατάξεως ὄντα, μειζόνως παρ' ἡμῶν τὴν ἀγάπην ἀπαιτοῦνται. Ἐκεῖ γάρ φησιν, «Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν»· ἐνταῦθα δὲ καὶ θνήσκειν ὑπὲρ τοῦ πλησίον. Ἄκουε αὐτοῦ τοῦ Χριστοῦ λέγοντος.

«Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἰερουσαλὴμ εἰς Ἱεριχώ, καὶ λῃσταῖς περιέπεσεν, οἳ καὶ ἐκδύσαντες αὐτὸν καὶ πληγὰς ἐπιθέντες ἀπῆλθον ἀφέντες ἡμιθανῆ. Κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθεν. Ὁμοίως καὶ Λευΐτης, γενόμενος κατὰ τὸν τόπον, ἰδὼν ἀντιπαρῆλθε. Σαμαρείτης δέ τις ἐλθὼν εἰς τὸν τόπον καὶ ἰδὼν αὐτὸν ἐσπλαγχνίσθη, καὶ προσελθὼν κατέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον· ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν εἰς πανδοχεῖον, καὶ ἐπεμελήθη αὐτοῦ. Καὶ ἐπὶ τὴν αὔριον ἐκβαλὼν δύο δηνάρια ἔδωκε τὸ πανδοχεῖ εἰπών, Ἐπιμελήθητι αὐτοῦ, καὶ ὅ,τι ἂν προσδαπανήσῃς, ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι. Τίς οὖν τῶν τριῶν πλησίον γεγονέναι σοι δοκεῖ τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς; Ὁ δὲ εἶπεν· ὁ ποιήσας μετ' αὐτοῦ τὸ ἔλεος. Εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· Πορεύου καὶ σὺ ποίει ὁμοίως».

---

3. Ματθ. 22, 39. Λευΐτ. 19, 18.
4. Λουκᾶ 10, 30-37.

σον μεγάλην καὶ ἀνεκτίμητον σωτηρίαν; Διότι εἰπέ μου· ποῖος εἶναι ὁ σκοπὸς τοῦ Εὐαγγελίου τῆς χάριτος; ποῖος εἶναι ὁ σκοπὸς τῆς ἐνσάρκου παρουσίας τοῦ Υἱοῦ τοῦ Θεοῦ; διὰ νὰ δαγκώνωμεν καὶ νὰ κατατρώγωμεν ὁ ἕνας τὸν ἄλλον; Καθόσον βέβαια αὐτὰ ποὺ εἶναι κατὰ Χριστὸν τελειότερα ἀπὸ κάθε πλευρὰν ἀπὸ τὰς διατάξεις τοῦ Μωσαϊκοῦ νόμου, ἀπαιτοῦν ἀπὸ ἡμᾶς περισσότερον τὴν ἀγάπην. Διότι ἐκεῖ μὲν λέγει, «Θὰ ἀγαπήσῃς τὸν πλησίον σου ὅπως τὸν ἑαυτόν σου»[3], ἐδῶ ὅμως λέγει ὅτι πρέπει νὰ πεθαίνῃς ὑπὲρ τοῦ πλησίον σου. Ἄκουε τὸν ἴδιον τὸν Χριστὸν ποὺ λέγει·

«Κάποιος ἄνθρωπος κατέβαινεν ἀπὸ τὴν Ἰερουσαλὴμ εἰς τὴν Ἰεριχὼ καὶ ἔπεσεν εἰς τὰ χέρια τῶν ληστῶν, οἱ ὁποῖοι, ἀφοῦ τὸν ἐγύμνωσαν καὶ τὸν ἐπλήγωσαν, ἔφυγαν, ἀφήσαντες αὐτὸν μισοπεθαμένον. Κατὰ σύμπτωσιν ἕνας ἱερεὺς κατέβαινεν εἰς τὸν δρόμον ἐκεῖνον καί, μολονότι εἶδε τὸν τραυματίαν, τὸν ἐπροσπέρασε χωρὶς νὰ τοῦ δώσῃ καμμίαν βοήθειαν. Τὸ ἴδιο καὶ κάποιος Λευΐτης ὅταν ἔφθασεν εἰς τὸ μέρος ἐκεῖνο, ἐπλησίασε τὸν πληγωμένον, τὸν εἶδεν, ἀλλὰ τὸν ἐπροσπέρασεν ἀσυγκίνητος. Ἕνας ὅμως Σαμαρείτης, ὁ ὁποῖος ἐπερνοῦσεν ἀπὸ τὸν δρόμον ἐκεῖνον, ἦλθεν εἰς τὸ μέρος, ὅπου εὑρίσκετο μισοπεθαμένος ὁ τραυματίας, τὸν εἶδε καὶ τὸν εὐσπλαγχνίσθη, καὶ πλησιάσας αὐτὸν ἔδεσε τὰ τραύματά του, ἀφοῦ τὰ ἔπλυνε μὲ λάδι καὶ κρασί, τὸν ἀνέβασεν εἰς τὸ ζῶον του, τὸν ἐπῆγεν εἰς κάποιο πανδοχεῖον καὶ τὸν ἐπεριποιήθη ὁ ἴδιος. Τὴν ἄλλην δὲ ἡμέραν ἔβγαλε δύο δηνάρια, τὰ ἔδωσεν εἰς τὸν ξενοδόχον καὶ τοῦ εἶπεν· Περιποιήσου τον καὶ ὅ,τι ἐξοδεύσῃς παραπάνω, ἐγώ, ὅταν ἐπιστρέψω, θὰ σοῦ τὸ πληρώσω. Ποῖος ἀπὸ τοὺς τρεῖς αὐτοὺς νομίζεις ὅτι ἐφάνη πραγματικὸς πλησίον καὶ ἀδελφὸς διὰ τὸν ἄνθρωπον αὐτόν, ποὺ εἶχε πέσει εἰς τὰ χέρια τῶν ληστῶν; Ἐκεῖνος δὲ εἶπεν· αὐτὸς ποὺ ἔδειξε τὴν εὐσπλαγχνίαν του καὶ τὴν ἀγάπην του πρὸς ἐκεῖνον. Εἶπε λοιπὸν πρὸς αὐτὸν ὁ Ἰησοῦς· Πήγαινε καὶ σὺ καὶ πράττε ὅμοια μὲ αὐτόν»[4].

Βαβαὶ τοῦ θαύματος! οὐχ ἱερέα, οὐ Λευΐτην εἶπε πλησίον, ἀλλ' ἐκεῖνον τὸν κατὰ τὸ δόγμα ἐκβεβλημένον ὑπὸ τῶν Ἰουδαίων, τὸν Σαμαρείτην φημί, τὸν ἀλλότριον, τὸν πολλὰ βλασφημοῦντα, ἐκεῖνον μόνον εἶπε πλησίον, ἐπειδὴ παρ' αὐτῷ εὑρέθη τὸ ἔλεος.

Ταῦτα τὰ ῥήματα τοῦ Υἱοῦ τοῦ Θεοῦ, ταῦτα καὶ διὰ τῶν οἰκείων ἔργων ἐλθὼν ἐπεδείξατο, οὐχ ὑπὲρ φίλων μόνον καὶ ἰδίων ἀποθανών, ἀλλ' ὑπὲρ ἐχθρῶν, ὑπὲρ τυράννων, ὑπὲρ γοήτων, ὑπὲρ μισούντων, ὑπὲρ τῶν σταυρωσάντων, οὓς πρὸ τῆς τοῦ κόσμου καταβολῆς ᾔδει ἐσομένους τοιούτους καὶ προειδὼς ἐδημιούργησε, νικήσας τὴν πρόγνωσιν τῇ ἀγαθότητι, καὶ ὑπὲρ τούτων τὸ ἴδιον ἐξέχεεν αἷμα, ὑπὲρ τούτων τὴν σφαγὴν κατεδέξατο. «Ὁ γὰρ ἄρτος», φησίν, «ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς». Καὶ Παῦλος δὲ ταῦτα ἐπιστέλλων λέγει· «Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ». Καὶ πάλιν ἐν τῇ πρὸς Ἑβραίους ὑπὲρ παντὸς αὐτὸν λέγει γεύσασθαι θανάτου.

Εἰ τοίνυν ταῦτα γεγένηται παρ' αὐτοῦ, καὶ τούτων τοὺς τύπους ἡ Ἐκκλησία πληροῖ, καθ' ἑκάστην ὑπὲρ πάντων τὰς ἱκετηρίας ποιουμένη, πῶς σὺ τολμᾷς τοιαῦτα φθέγγεσθαι;

Εἰπὲ γάρ μοι, τί ἐστι τοῦτο ὃ λέγεις ἀνάθεμα; Ὅρα ὃ λέγεις, ἐπίστασαι τί φής, ἔγνως τούτου δύναμιν; Καίτοι γε ἐν τῇ θεοπνεύστῳ Γραφῇ εὑρήσεις ἐπὶ τῆς Ἰεριχὼ τοῦτο λεγόμενον, «Καὶ ἀναθεματιεῖς πᾶσαν τὴν πόλιν Κυρίῳ τῷ Θεῷ σου». Καὶ παρ' ἡμῖν ἄχρι τῆς σήμερον ἡμέρας κοινὴ συνήθεια

5. Ἰω. 6, 51.
6. Ρωμ. 5, 10.
7. Πρβλ. Ἑβρ. 2, 9.
8. Ἰησ. Ναυῆ 6, 17.

Ὢ τοῦ θαύματος! Οὔτε τὸν ἱερέα, οὔτε τὸν Λευΐτην εἶπεν ὅτι ἐφάνη πλησίον πρὸς αὐτόν, ἀλλὰ ἐκεῖνον ὁ ὁποῖος εἶχεν ἐκδιωχθῆ ἀπὸ τὴν θρησκείαν ὑπὸ τῶν Ἰουδαίων, δηλαδὴ τὸν Σαμαρείτην, τὸν ξένον, αὐτὸν ποὺ τὸν ἐμισοῦσε πολύ, ἐκεῖνον μόνον ἐθεώρησεν ὅτι ἐφάνη πλησίον, ἐπειδὴ αὐτὸς ἔκαμε τὴν πρᾶξιν τῆς εὐσπλαγχνίας.

Αὐτὰ εἶναι τὰ λόγια τοῦ Υἱοῦ τοῦ Θεοῦ, αὐτὰ ἐπραγματοποίησεν ὅταν ἦλθε, καὶ διὰ τῶν ἔργων του, καὶ δὲν ἀπέθανε μόνον ὑπὲρ τῶν φίλων του καὶ τῶν ἰδικῶν του, ἀλλὰ ὑπὲρ τῶν ἐχθρῶν, ὑπὲρ τῶν τυράννων, ὑπὲρ τῶν γοήτων, ὑπὲρ τῶν μισούντων, ὑπὲρ ἐκείνων ποὺ τὸν ἐσταύρωσαν, τοὺς ὁποίους πρὸ τῆς δημιουργίας τοῦ κόσμου ἐγνώριζεν ὅτι θὰ εἶναι τέτοιοι, καί, ἐνῷ τὸ προεγνώριζε, τοὺς ἐδημιούργησε, νικήσας τὴν πρόγνωσιν διὰ τῆς ἀγαθότητος, καὶ ὑπὲρ αὐτῶν ἔχυσε τὸ αἷμα του, ὑπὲρ τούτων ἐθυσιάσθη. Διότι λέγει· «Ὁ ἄρτος τὸν ὁποῖον ἐγὼ θὰ σᾶς δώσω εἶναι ἡ σάρξ μου, ἡ ἀνθρωπίνη μου ὑπόστασις τὴν ὁποίαν θὰ προσφέρω θυσίαν διὰ τὴν σωτηρίαν καὶ ζωὴν τοῦ κόσμου»[5]. Καὶ ὁ Παῦλος γράφων πρὸς τοὺς Ρωμαίους αὐτὰ λέγει· «Διότι, μολονότι ἤμεθα ἐχθροί, ἐσυμφιλιώθημεν μὲ τὸν Θεὸν διὰ τοῦ σταυρικοῦ θανάτου τοῦ Υἱοῦ του»[6]. Καὶ πάλιν εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολὴν λέγει ὅτι ὁ Χριστὸς ἐγεύθη τὸ ποτήριον τοῦ θανάτου ὑπὲρ τῆς σωτηρίας τοῦ κάθε ἀνθρώπου[7].

Ἐὰν λοιπὸν αὐτὰ ἔχουν πραγματοποιηθῆ ἀπὸ αὐτὸν καὶ ἡ Ἐκκλησία πληροῖ τοὺς τύπους αὐτῶν ἐκπέμπουσα τὰς ἱκεσίας καθημερινῶς ὑπὲρ ὅλων, πῶς σὺ τολμᾷς νὰ λέγῃς τέτοια λόγια;

Διότι, εἰπέ μου, τί εἶναι αὐτὸ ποὺ ἐσὺ τὸ ὀνομάζεις ἀνάθεμα; Σκέψου αὐτὸ ποὺ λέγεις, γνωρίζεις καλῶς τί λέγεις, γνωρίζεις τὴν δύναμιν αὐτοῦ; Ἂν καὶ βέβαια θὰ εὕρῃς τοῦτο νὰ λέγεται εἰς τὴν θεόπνευστον Γραφὴν διὰ τὴν Ἰεριχώ· «Καὶ θὰ γίνῃ ὅλη αὐτὴ ἡ πόλις ἀνάθεμα διὰ τὸν Κύριον τὸν Θεόν σου»[8]. Καὶ εἰς ἡμᾶς μέχρι σήμερον

παρὰ πᾶσι κεκράτηκεν, ὁ δεῖνα τόδε πεποιηκώς, τὸ ἀνάθεμα εἰς τόνδε τὸν τόπον ἐπήγαγεν. Ἆρα γε τοῦτό ἐστι τὸ ἀνάθεμα; Καίτοι γε τοῦτο ὡς περί τινος ἀγαθοῦ λέλεκται τὸ ἀναθέσθαι Θεῷ. Τί οὖν ἐστιν ὃ λέγεις ἀνάθεμα, ἀλλ' ὅτι ἀναθέσθω οὗτος διαβόλῳ, καὶ μηκέτι χώραν σωτηρίας ἐχέτω, γενέσθω ἀλλότριος ἀπὸ τοῦ Χριστοῦ;

3. Καὶ τίς εἶ σὺ ταύτης τῆς ἐξουσίας καὶ τῆς μεγάλης δυνάμεως; Τότε γὰρ καθίσει Υἱὸς τοῦ Θεοῦ καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. Τί οὖν τῆς τοσαύτης ἐπελάβου ἀξίας, ἧς τὸ κοινὸν μόνον τῶν ἀποστόλων ἠξιῶται, καὶ εἰ κατὰ πᾶσαν ἀκρίβειαν τούτων ὡς ἀληθῶς γεγονότες διάδοχοι, πλήρεις χάριτος καὶ δυνάμεως; Καὶ μὴν ἐκεῖνοι τὴν ἐντολὴν ἀκριβῶς φυλάξαντες, ὡς τὸν ὀφθαλμὸν τὸν δεξιὸν ἐξορύττοντες, οὕτω τοὺς αἱρετικοὺς ἔξω τῆς Ἐκκλησίας ἀπέβαλον, ὅπερ ἔνδειξιν ἔχει τῆς μεγάλης αὐτῶν συμπαθείας καὶ ἀλγηδόνος, ὡς ἐπικαιρίου μέλους γενομένης ἀποκοπῆς. Διὰ τοῦτο γὰρ καὶ δεξιὸν ὀφθαλμὸν τοῦτον ἀπεκάλεσεν ὁ Χριστός, τὴν παρὰ τῶν ἀποβαλόντων συμπάθειαν ἐνδεικνύμενος.

Ὅθεν καὶ ἐν τούτῳ ὡς καὶ πᾶσιν ἀκρίβειαν ἔχοντες, τὰς μὲν αἱρέσεις διήλεγχον καὶ ἀπέβαλλον, οὐδενὶ δὲ τῶν αἱρετικῶν ταύτην ἐπιτιμίαν προσῆγον. Τοιγαροῦν ὁ Ἀπόστολος ἐν δυσὶ μόνοις τόποις τὴν φωνὴν ταύτην ἐξ ἀνάγκης φαίνεται εἰπών, οὐχ ὁριστικῷ δὲ προσώπῳ ταύτην ἐπήγαγεν, ἐν μὲν τῇ πρὸς Κορινθίους εἰπών, «Εἴ τις οὐ φιλεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἔστω ἀνάθεμα»· καί· «Εἴ τις ὑμᾶς

9. Α΄ Κορ. 16, 22.

ἐπεκράτησεν εἰς ὅλους ὡς κοινὴ συνήθεια νὰ λέγεται ὁ τάδε ἔχει πράξει ἐκεῖνο καὶ ἔγινεν αἰτία νὰ ἀναθεματισθῇ ἐκεῖνος ὁ τόπος. Ἀρά γε αὐτὸ εἶναι τὸ ἀνάθεμα; Ἂν καὶ βέβαια τοῦτο ἔχει λεχθῇ ὡσὰν νὰ πρόκειται περὶ κάποιου ἀγαθοῦ ποὺ ἀφιερώνεται εἰς τὸν Θεόν. Τί εἶναι λοιπὸν αὐτὸ ποὺ ὀνομάζεις ἀνάθεμα, μήπως τὸ ὅτι πρέπει νὰ ἀφιερωθῇ αὐτὸς εἰς τὸν διάβολον καὶ νὰ μὴ ἔχῃ πλέον ἐλπίδα σωτηρίας καὶ νὰ ἀπομακρυνθῇ ἀπὸ τὸν Χριστόν;

3. Καὶ ποῖος εἶσαι σὺ ὁ ὁποῖος ἔχεις τόσον μεγάλην ἐξουσίαν καὶ δύναμιν; Διότι τότε θὰ καθίσῃ ἐπάνω εἰς τὸν θρόνον του ὁ Υἱὸς τοῦ Θεοῦ καὶ θὰ τοποθετήσῃ τὰ μὲν πρόβατα ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ ἀριστερῶν. Διατί λοιπὸν ἐπιζητεῖς τόσον μεγάλην ἀξίαν, τὴν ὁποίαν ἠξιώθη νὰ λάβῃ μόνον ὁ ὅμιλος τῶν ἀποστόλων καὶ οἱ κατ' ἀπόλυτον ἀκρίβειαν γενόμενοι διάδοχοι αὐτῶν, οἱ ὁποῖοι εἶναι πλήρεις χάριτος καὶ δυνάμεως; Καὶ πράγματι ἐκεῖνοι φυλάξαντες τὴν ἐντολὴν ἐπακριβῶς, ὡσὰν νὰ ἔβγαζαν τὸν δεξιὸν ὀφθαλμόν, ἔτσι ἀκριβῶς ἐξεδίωξαν ἀπὸ τὴν Ἐκκλησίαν τοὺς αἱρετικούς· πρᾶγμα ποὺ ἀποτελεῖ καὶ ἀπόδειξιν τῆς μεγάλης αὐτῶν συμπαθείας καὶ θλίψεως, διότι ἀπεκόπη ἀξιόλογον μέρος τῆς Ἐκκλησίας. Διὰ τοῦτο ὠνόμασεν ὁ Θεὸς αὐτὸν δεξιὸν ὀφθαλμὸν διὰ νὰ δείξῃ τὴν μεγάλην συμπάθειαν αὐτῶν ποὺ τοὺς ἀπέκοψαν ἀπὸ τὴν ἐκκλησίαν.

Ὅθεν καὶ εἰς αὐτὸ καθὼς καὶ εἰς ὅλα ἐφαρμόζοντες μὲ ἀπόλυτον ἀκρίβειαν τὰ ὅσα ἔλαβον, τὰς μὲν αἱρέσεις τὰς ἤλεγχον καὶ τὰς ἀπέβαλλον ἀπὸ τὴν ἐκκλησίαν, εἰς κανένα δὲ ἀπὸ τοὺς αἱρετικοὺς δὲν ἀπέδιδον αὐτὴν τὴν ἐπιτίμησιν. Καὶ ὁ ἀπόστολος λοιπὸν εἰς δύο μόνον περιπτώσεις φαίνεται νὰ εἶπε τὸν λόγον αὐτὸν ἐξ ἀνάγκης καὶ δὲν ἀπέδωσεν αὐτὴν τὴν λέξιν εἰς ὡρισμένον πρόσωπον· διότι εἰς μὲν τὴν πρὸς Κορινθίους ἐπιστολὴν λέγει· «Ἐὰν κανεὶς δὲν ἀγαπᾷ μὲ ὅλην του τὴν ψυχὴν καὶ τὴν δύναμιν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἂς εἶναι χωρισμένος ἀπὸ τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ»[9]· καί· «Ἐὰν κα-

εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω». Τί οὖν; ὃ μηδεὶς τῶν εἰληφότων τὴν ἐξουσίαν τοῦτο πεποίηκν, ἢ ἀποφήνασθαι τετόλμηκε, σὺ τολμᾷς ταῦτα ποιεῖν ἐναντία τοῦ δεσποτικοῦ θανάτου διαπραττόμενος, καὶ προλαμβάνεις τοῦ βασιλέως τὴν κρίσιν;

Βούλεσθε μαθεῖν οἷά τις ἐφθέγξατο ἅγιός τις πρὸ ἡμῶν τῆς διαδοχῆς τῶν ἀποστόλων γινόμενος, ὃς καὶ μαρτυρίου ἠξίωτο; Δεικνὺς τούτου τοῦ λόγου τὸ φορτικόν, τοσούτῳ ἐχρήσατο ὑποδείγματι· Ὃν τρόπον ὁ περιθεὶς ἑαυτῷ ἁλουργίδα βασιλικήν, ἰδιώτης τυγχάνων, αὐτός τε καὶ οἱ αὐτῷ συνεργήσαντες ὡς τύραννοι ἀναιροῦνται, οὕτως, ἔφη, οἱ τῇ δεσποτικῇ ἀποφάσει χρησάμενοι, καὶ ἀνάθεμα τῆς Ἐκκλησίας ποιήσαντες ἄνθρωπον, εἰς παντελῆ ὄλεθρον ἀπάγουσιν ἑαυτούς, τὴν ἀξίαν τοῦ Υἱοῦ ἀφαρπάζοντες. Ἆρα τὸ τυχὸν εἶναι τὸ τοιοῦτον ἡγεῖσθε, τὸ πρὸ καιροῦ καὶ κριτοῦ τῇ τοιαύτῃ ἀποφάσει καταδικάσαι τινά; Τὸ γὰρ ἀνάθεμα παντελῶς τοῦ Χριστοῦ ἀποκόπτει.

Ἀλλὰ τί λέγουσιν οἱ πάντα δεινοὶ τὴν κακίαν; Αἱρετικός, φησίν, ἐκεῖνος γεγένηται, ἔνοικον τὸν διάβολον ἔχων, καὶ λαλῶν κατὰ τοῦ Θεοῦ ἀδικίαν, καὶ πολλοὺς διὰ πιθανολογίας καὶ κενῆς ἀπάτης εἰς βυθὸν ἀπωλείας ἀπάγων· καὶ διὰ τοῦτο ὑπὸ τῶν Πατέρων ἐκβέβληται, μάλιστα ὁ τούτου διδάσκαλος μοῖραν τῆς Ἐκκλησίας ἀποτεμών, ἢ διὰ Παυλιανὸν ἢ Ἀπολλινάριον λέγοντες. Περὶ γὰρ τῆς ἑκάστου τούτων διαφορᾶς ὁ λόγος τοῖς πλείοσι καλῶς τὴν καινοτομίαν διέφυγεν, διελέγχων τὴν πλάνην ἐν τοῖς μυχοῖς τῆς δεινοτάτης προλήψεως κρατηθεῖσαν. «Δίδαξον ἐν πραότητι παιδεύων τοὺς

10. Γαλ. 1, 8.

νεὶς σᾶς διδάσκῃ ἄλλο εὐαγγέλιον, διαφορετικὸν ἀπὸ ἐκεῖνο, ποὺ ἔχετε παραλάβει, ἂς εἶναι ἀναθεματισμένος»[10]. Τί λοιπόν; ἐκεῖνο ποὺ δὲν ἔκαμε κανεὶς ἀπὸ αὐτοὺς ποὺ ἔλαβαν τὴν ἐξουσίαν ἢ δὲν ἐτόλμησε νὰ ὁμιλήσῃ κατὰ τοιοῦτον τρόπον, τολμᾷς σὺ νὰ κάμῃς αὐτά, ἐνεργῶν ἀντίθετα ἀπὸ τὸν σκοπὸν τῆς σταυρικῆς θυσίας, καὶ προλαμβάνεις τὴν κρίσιν τοῦ βασιλέως Χριστοῦ;

Θέλετε νὰ μάθετε τί εἶπε κάποιος ἅγιος πρὸ ἡμῶν ὁ ὁποῖος ἦτο ἐκ τῶν διαδόχων τῶν ἀποστόλων, καὶ ὁ ὁποῖος ἠξιώθη καὶ νὰ μαρτυρήσῃ; Διὰ νὰ δείξῃ τὴν βαρύτητα ποὺ ἔχει ὁ λόγος αὐτὸς αὐτὸ τὸ παράδειγμα ἐχρησιμοποίησεν. Ὅπως ἀκριβῶς αὐτός, ποὺ εἶναι ἰδιώτης καὶ ἐφόρεσε τὴν βασιλικὴν στολήν, θὰ φονευθῇ καὶ αὐτὸς καὶ αὐτοὶ ποὺ ἐνήργησαν μαζὶ μὲ αὐτὸν ὡς τύραννοι, ἔτσι, εἶπεν, καὶ αὐτοὶ ποὺ ἔκαμαν χρῆσιν τῆς δεσποτικῆς ἀποφάσεως καὶ ἀπέκοψαν ἀπὸ τὴν ἐκκλησίαν ἄνθρωπον, ὁδηγοῦν τοὺς ἑαυτούς των εἰς ὁλοκληρωτικὴν καταστροφήν, ἐπειδὴ κλέπτουν ἀπὸ τὸν Υἱὸν τοῦ Θεοῦ τὴν ἀξίαν του. Ἆρα τὸ θεωρεῖτε ἀσήμαντον αὐτό, τὸ νὰ καταδικάσῃ κανεὶς κάποιον ἀκαίρως καὶ χωρὶς νὰ εἶναι κριτὴς μὲ τέτοιαν ἀπόφασιν; Διότι τὸ ἀνάθεμα ἀποκόπτει τελείως ἀπὸ τὸν Χριστόν.

Ἀλλὰ τί λέγουν οἱ πάντα φοβεροὶ ὡς πρὸς τὴν κακίαν; Ἔχει γίνει, λέγει, ἐκεῖνος αἱρετικός, καὶ κατοικεῖ μέσα του ὁ διάβολος καὶ ὁμιλεῖ ὑβριστικῶς περὶ τοῦ Θεοῦ καὶ πολλοὺς ὁδηγεῖ διὰ διαφόρων ἐπιχειρημάτων καὶ ἀπάτης εἰς τὸν μεγάλον βυθὸν ἀπωλείας· καὶ διὰ τοῦτο ἔχει ἐκδιωχθῆ ἀπὸ τοὺς Πατέρας, μάλιστα δὲ ὁ διδάσκαλος αὐτοῦ ἀπέκοψεν ὁλόκληρον μέρος ἀπὸ τὴν Ἐκκλησίαν, ἐννοοῦντες μὲ αὐτὸ ἢ τὸν Παυλιανὸν ἢ τὸν Ἀπολλινάριον. Διότι ὁ λόγος αὐτὸς περὶ τῆς διαφορετικῆς διδασκαλίας αὐτῶν τῶν δύο ἔκαμε τοὺς περισσοτέρους νὰ ἀποφύγουν τὴν καινοτομίαν, ἐλέγχων αὐστηρῶς τὴν πλάνην ἡ ὁποία ἐκρατήθη εἰς τὰ βάθη τῆς τόσον φοβερῆς προλήψεως· «Νὰ παιδαγωγῇς μὲ πραότητα ἐκείνους, ποὺ ἀντιτίθενται εἰς τὴν

ἀντιδιατιθεμένους, μήποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος, ἐζωγρημένοι εἰς ἐκείνου θέλημα».

Ἔκτεινον τὴν τῆς ἀγάπης σαγήνην, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον· δεῖξον ὅτιπερ ἐκ πολλῆς διαθέσεως τὸ οἰκεῖον ἀγαθὸν βούλει ποιῆσαι κοινόν· ἐπίβαλε τὸ γλυκὺ ἄγκιστρον τῆς συμπαθείας, καὶ οὕτως ἐρευνήσας τὰ κεκρυμμένα, ἀνάσπασον ἐκ τοῦ βάθους τῆς ἀπωλείας τὸν καταδύντα τὸ φρόνημα. Τὸ νομισθὲν καλὸν εἶναι ἐκ προλήψεως ἢ ἀγνοίας, παίδευσον ὡς τῆς ἀποστολικῆς παραδόσεως ἀλλότριον· κἂν μὲν βουληθῇ τοῦτο δέξασθαι ὁ τὴν πλάνην ὑποδεξάμενος ἄνθρωπος, κατὰ τὴν τοῦ προφήτου φωνήν, ἐκεῖνος ζωῇ ζήσεται, καὶ σὺ τὴν ψυχήν σου ῥύσῃ· εἰ δὲ μὴ βούλεται, ἀλλ' ἐμμένει φιλονεικῶν, ὅπως ἂν μὴ ὑπεύθυνος γένῃ, διαμαρτύρου μόνον μετὰ μακροθυμίας καὶ χρηστότητος, ἵνα μὴ τὴν ψυχὴν αὐτοῦ ἐκζητήσῃ ἐκ χειρός σου ὁ κριτής· μὴ μισῶν, μὴ ἀποστρεφόμενος, μὴ διώκων, ἀλλὰ τὴν ἀγάπην ἐπιδεικνὺς εἰλικρινῆ καὶ ἀληθῆ πρὸς αὐτόν. Ταύτην κέρδανον, κἂν μηδὲν ἕτερον ὠφελῇς, αὕτη μεγάλη ὠφέλεια, τοῦτο μέγα κέρδος, τὸ ἀγαπῆσαι καὶ διδάξαι τὴν τοῦ Χριστοῦ μαθητείαν. «Ἐν τούτῳ γάρ», φησί, «γνώσονται ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχετε ἐν ἀλλήλοις»· ἧς μὴ παρούσης, οὔτε γνῶσιν μυστηρίων Θεοῦ, οὐ πίστιν, οὐ προφητείαν, οὐκ ἀκτημοσύνην, οὐ τὴν ὑπὲρ Χριστοῦ μαρτυρίαν ὠφελεῖν ἀπέδειξεν ὁ Ἀπόστολος. «Ἐὰν» γάρ, φησίν, «ἔχω τὰ μυστήρια πάντα, καὶ πᾶσαν τὴν γνῶσιν καὶ πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην

---

11. Β' Τιμ. 2, 25-26.
12. Ἰω. 13, 35.

ἀλήθειαν, μήπως καὶ ὁ Θεὸς τοὺς δώσῃ κάποτε μετάνοιαν, διὰ νὰ γνωρίσουν ἔτσι καλὰ τὴν ἀλήθειαν, καὶ ξυπνήσουν καὶ συνέλθουν ἀπὸ τὴν παγίδα τοῦ διαβόλου, ἀπὸ τὸν ὁποῖον ἔχουν συλληφθῆ ὡς δοῦλοι διὰ νὰ πράττουν τὸ θέλημά του»[11].

Ἅπλωσε τὰ δίκτυα τῆς ἀγάπης, διὰ νὰ μὴ λοξοδρομήσῃ ὁ ἀτελὴς πνευματικά, μᾶλλον δὲ νὰ θεραπευθῇ· δεῖξε ὅτι ἀπὸ μεγάλην διάθεσιν θέλεις νὰ κάμῃς κοινὸν τὸ ἀγαθὸν ποὺ ἔχεις σύ· ρίψε τὸ γλυκὺ ἄγκιστρον τῆς συμπαθείας καὶ κατ' αὐτὸν τὸν τρόπον ἀφοῦ ἐρευνήσῃς τὰ κεκρυμμένα ἐκρίζωσε ἀπὸ τὸ βάθος τῆς ἀπωλείας αὐτὸν ποὺ συσκοτίζει τὸν νοῦν. Ἐκεῖνο ποὺ ἐθεωρήθη ὅτι εἶναι καλὸν εἴτε ἐκ προλήψεως εἴτε ἐξ ἀγνοίας, δίδαξε ὅτι εἶναι ξένον πρὸς τὴν ἀποστολικὴν παράδοσιν, καὶ ἂν μὲν θελήσῃ νὰ δεχθῇ τοῦτο ὁ ἄνθρωπος ποὺ ἐδέχθη τὴν πλάνην, σύμφωνα μὲ τὰ λόγια τοῦ προφήτου, ἐκεῖνος θὰ ζήσῃ εἰς τὴν ζωὴν καὶ σὺ θὰ σώσῃς τὴν ψυχήν σου, ἐὰν ὅμως δὲν θέλῃ νὰ τὸ παραδεχθῇ, ἀλλὰ ἐπιμένει νὰ φιλονεικῇ, διὰ νὰ μὴ γίνῃς ὑπεύθυνος, νὰ διαμαρτυρηθῇς μόνον μὲ μακροθυμίαν καὶ ἐπιείκειαν, διὰ νὰ μὴ ζητήσῃ ὁ κριτὴς τὴν ψυχήν του ἀπὸ τὰ ἰδικά σου χέρια· νὰ διαμαρτυρηθῇς πρὸς αὐτὸν χωρὶς νὰ ἐκδηλώσῃς τὸ μῖσος, τὴν ἀποστροφήν, χωρὶς νὰ τὸν καταδιώξῃς, ἀλλὰ νὰ κάμῃς τοῦτο δεικνύων πρὸς αὐτὸν τὴν ἀληθῆ καὶ εἰλικρινῆ ἀγάπην. Αὐτὴν νὰ κερδήσῃς καὶ ἂν τίποτε ἄλλο ἀκόμα δὲν ὠφελήσῃς, αὐτὴ εἶναι μεγάλη ὠφέλεια, τοῦτο εἶναι μεγάλο κέρδος, τὸ νὰ ἀγαπήσῃς καὶ νὰ διδάξῃς τὴν διδασκαλίαν τοῦ Χριστοῦ. Διότι λέγει· «Μὲ αὐτὸ θὰ μάθουν καὶ θὰ πεισθοῦν ὅτι εἶσθε μαθηταί μου, ἐὰν ἔχετε ἀγάπην μεταξύ σας»[12]· καὶ ἂν αὐτὴ δὲν εἶναι παροῦσα ἀπέδειξεν ὁ ἀπόστολος ὅτι οὔτε ἡ γνῶσις τῶν μυστηρίων, οὔτε ἡ πίστις, οὔτε τὸ χάρισμα τῆς προφητείας, οὔτε ἡ ἀκτημοσύνη, οὔτε ἡ ὑπὲρ τοῦ Χριστοῦ μαρτυρία ὠφελοῦν. Διότι λέγει· «Ἐὰν γνωρίζω ὅλα τὰ ἄγνωστα καὶ ἀπόκρυφα μυστήρια, καὶ ὅλην τὴν γνῶσιν ποὺ ἠμπορεῖ νὰ

δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι· καὶ ἐὰν ταῖς γλώσσαις τῶν ἀγγέλων λαλῶ, καὶ ἐὰν ψωμίσω μου πάντα τὰ ὑπάρχοντα, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. Ἡ ἀγάπη χρηστεύεται, οὐ φυσιοῦται, οὐ ζητεῖ τὰ ἑαυτῆς, πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει».

4. Οὐδεὶς ἐξ ὑμῶν, ἀγαπητοί, τοιαύτην περὶ Χριστὸν διάθεσιν ἐνεδείξατο, οἵαν ἡ ἁγία ἐκείνη ψυχή· οὐδεὶς ἐτόλμησεν ἀνθρώπων πλὴν ἐκείνου τοιαῦτα φθέγξασθαι ῥήματα. Αὐτὴν τὴν ψυχὴν περιεκαίετο λέγων, «Ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν σαρκί μου»· καὶ τό, «Ηὐχόμην αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου»· καί, «Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ;». Καὶ τοσαύτην ἔχων περὶ Χριστὸν διάθεσιν, οὐχ ὕβρεις, οὐκ ἀνάγκας, οὐκ ἀναθέματα ἐπέφερεν οὐδενί· ἢ γὰρ ἂν οὐ τοσαῦτα ἔθνη καὶ πόλεις ὁλοκλήρους προσέφερε τῷ Θεῷ· ἀλλὰ ταπεινούμενος, τυπτόμενος, κολαφιζόμενος, γέλως παρὰ πᾶσι γενόμενος, ταῦτα ἔπραττε, κολακεύων, παρακαλῶν, δεόμενος.

Οὕτως οὖν καὶ πρὸς Ἀθηναίους τὴν εἴσοδον ποιησάμε-

13. Α' Κορ. 13, 1 ἑξ.
14. Κολ. 1, 24.
15. Ρωμ. 9, 3.
16. Β' Κορ. 11, 29.

χωρέσῃ ἀνθρωπίνη διάνοια καὶ ἐὰν ἔχω τὴν πίστιν εἰς ὅλην της τὴν πληρότητα, ὥστε μὲ τὴν δύναμίν της νὰ μετακινῶ βουνά, δὲν ἔχω ὅμως ἀγάπην, τίποτε δὲν ὠφελοῦμαι· καὶ ἐὰν ἔχω τὴν ἱκανότητα ὥστε νὰ ἐννοῶ καὶ νὰ ὁμιλῶ τὰς γλώσσας τῶν ἀγγέλων, καὶ ἂν διαθέσω ὅλα μου τὰ ὑπάρχοντα διὰ νὰ ἀγοράσω ψωμιὰ καὶ θρέψω μὲ τὰ ἴδια μου τὰ χέρια τοὺς πεινῶντας, καὶ ἂν παραδώσω τὸ σῶμα μου νὰ καῇ εἰς τὴν φωτιάν, ἀλλὰ δὲν ἔχω ἀγάπην, δὲν εἶμαι τίποτε. Ἡ ἀγάπη εἶναι εὐεργετικὴ καὶ ἐξυπηρετική, δὲν ὑπερηφανεύεται καὶ δὲν ξυπάζεται, δὲν ζητεῖ ἐγωϊστικῶς τὰ ἰδικά της συμφέροντα, σκεπάζει καὶ ὑποφέρει καὶ δικαιολογεῖ ὅλα τὰ μειονεκτήματα καὶ τὰ ἐλαττώματα τοῦ πλησίον, πιστεύει καὶ δέχεται μὲ ἐμπιστοσύνην κάθε τι καλὸν διὰ τὸν πλησίον, τὰ πάντα καὶ πάντοτε ἐλπίζει διὰ τὴν διόρθωσιν τῶν παρεκτρεπομένων, εἰς ὅλα δεικνύει ὑπομονὴν ἀπέναντι τοῦ πλησίον»[13].

4. Κανεὶς ἀπὸ ἐσᾶς, ἀγαπητοί, δὲν ἔδειξε διὰ τὸν Χριστὸν τέτοιαν διάθεσιν, ὅσην ἡ ἁγία ἐκείνη ψυχή· κανεὶς ἀπὸ τοὺς ἀνθρώπους, πλὴν ἐκείνου, δὲν ἐτόλμησε νὰ εἰπῇ τέτοια λόγια. Αὐτὴν τὴν ψυχὴν περιεκαίετο λέγων· «Ἀναπληρώνω ὅσα δὲν ἐπρόφθασε νὰ πάθῃ διὰ μᾶς ὁ Χριστός»[14], καὶ τό, «Θὰ ηὐχόμουν δὲ νὰ χωρισθῶ ἐγὼ ὁ ἴδιος ἀπὸ τὸν Χριστὸν καὶ νὰ γίνω ἀνάθεμα, ἐὰν ἦτο δυνατὸν μὲ τὴν καταδίκην μου αὐτὴν νὰ σωθοῦν οἱ κατὰ σάρκα ἀδελφοί μου»[15], καί· «Ποῖος χριστιανὸς ἀσθενεῖ καὶ δὲν ἀσθενῶ μαζί του καὶ δὲν συμπάσχω καὶ ἐγώ;»[16]. Καὶ ἐνῷ ἦτο τέτοια ἡ κατάστασις τῆς ψυχῆς του διὰ τὸν Χριστόν, οὔτε ὕβρεις, οὔτε βίαν, οὔτε ἀναθέματα ἐξεστόμισε διὰ κανένα, διότι ἄλλως δὲν θὰ προσέφερεν εἰς τὸν Θεὸν τόσα ἔθνη καὶ ὁλοκλήρους πόλεις· ἀλλὰ ἐνῷ ἐταπεινοῦτο, ἐκτυπᾶτο, ἐραπίζετο, καὶ ἐγίνετο περίγελως εἰς ὅλους, ἔπραττεν αὐτά, καταπραΰνων, παρηγορῶν, καὶ προσευχόμενος ὑπὲρ τῶν συνανθρώπων του.

Ἔτσι λοιπὸν καὶ ὅταν εἰσῆλθεν εἰς τὰς Ἀθήνας καὶ

νος, καὶ πάντας μεμηνότας εἰς τὴν εἰδωλολατρίαν εὑρών, οὐκ ὠνείδισε τούτους εἰπών. Ἄθεοί ἐστε ὑμεῖς καὶ ἀσεβεῖς παντελῶς· οὐκ εἶπε, Πάντα θεὸν ἡγεῖσθε ὑμεῖς, τὸν Θεὸν μόνον ἀρνεῖσθε τὸν Δεσπότην καὶ δημιουργὸν τοῦ παντός· ἀλλὰ τί; «Περιερχόμενος», φησί, «καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν, εὗρον καὶ βωμὸν ἐν ᾧ ἐπεγέγραπτο, Ἀγνώστῳ Θεῷ. Ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν». Ὢ τοῦ θαύματος, ὢ τῶν πατρικῶν σπλάγχνων! Εὐσεβεῖν εἶπεν Ἕλληνας, καίτοι εἰδωλολάτρας, καίτοι ἀσεβοῦντας. Διὰ τί; Ἐπείπερ ὡς εὐσεβεῖς ἐπετέλουν τὴν οἰκείαν θρησκείαν, Θεὸν νομίζοντες σέβειν, τοῦτο πείσαντες ἑαυτούς.

Τούτου μιμητὰς ὑμᾶς γίνεσθαι πάντας παρακαλῶ, καὶ ἐμαυτὸν σὺν ὑμῖν. Εἰ γὰρ ὁ προγινώσκων Κύριος τὴν ἑκάστου προαίρεσιν, καὶ εἰδὼς ὁποῖός τις ἕκαστος ἡμῶν γενήσεται, τοῦτο πεποίηκε, διὰ τὸ τὰς δωρεὰς καὶ φιλοτιμίας τὰς παρ' αὐτοῦ πληρῶσαι (οὐ γὰρ ἐπὶ κακοῖς κτίζει ὁ Θεός)· καὶ οὕτω τῶν κοινῶν ἠξίωσεν ἀγαθῶν, πάντας μιμητὰς αὐτοῦ βουλόμενος εἶναι, πῶς τὰ ἐναντία ποιεῖς καὶ ἐν ἐκκλησίᾳ συνέρχῃ, τὴν θυσίαν τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐκτελῶν; Οὐκ ἴστε ὅτι κάλαμον συντεθλασμένον οὐκ ἀπέκλασε καὶ στυππεῖον καπνιζόμενον οὐκ ἔσβεσε; Τίς δὲ τούτου ἡ δύναμις; Ἄκουε, ὅτι τὸν Ἰούδαν καὶ τοὺς κατ' αὐτὸν ἐξοκείλαντας οὐκ ἀπέβαλεν, ἄχρις οὗ ἑαυτὸν ἑλκύσας ἕκαστος τῇ πλάνῃ παρέδωκεν. Οὐχ ὑπὲρ τῶν τοῦ λαοῦ ἀγνοημάτων τὰς ἱκετηρίας προσφέρομεν; οὐχ ὑπὲρ ἐχθρῶν καὶ μισούντων καὶ

---

17. Πράξ. 17, 23.
18. Ἠσ. 42, 3.

ἐπεσκέφθη τοὺς Ἀθηναίους καὶ τοὺς εὗρεν ὅλους νὰ εἶναι προσκολλημένοι εἰς τὴν εἰδωλολατρίαν δὲν τοὺς ὠνείδισε λέγων, Σεῖς εἶσθε ἄθεοι καὶ ἐντελῶς ἀσεβεῖς· δὲν τοὺς εἶπε, Τὰ πάντα τὰ θεωρεῖτε ὡς θεὸν καὶ ἀρνεῖσθε μόνον τὸν Θεὸν τὸν ἀληθινὸν τὸν Κύριον καὶ δημιουργὸν τοῦ παντός· ἀλλὰ τί τοὺς εἶπεν; «Καθὼς ἐπερνοῦσα τοὺς δρόμους τῆς πόλεώς σας», λέγει, «καὶ ἔβλεπα μὲ προσοχὴν τὰ ἱερὰ ποὺ σέβεσθε, εὑρῆκα καὶ ἕνα βωμὸν εἰς τὸν ὁποῖον ἦτο χαραγμένη ἡ ἐπιγραφή, εἰς τὸν ἄγνωστον Θεόν. Αὐτὸν λοιπὸν τὸν ὁποῖον σέβεσθε χωρὶς νὰ τὸν γνωρίζετε, αὐτὸν ἐγὼ κηρύττω εἰς ἐσᾶς»[17]. Ὢ τοῦ θαύματος, ὢ τῆς πατρικῆς εὐσπλαγχνίας! Ὠνόμασεν εὐσεβεῖς τοὺς Ἕλληνας, μολονότι ἦσαν εἰδωλολάτραι, μολονότι ἦσαν ἀσεβεῖς. Διατί; Ἐπειδὴ ἔπεισαν τοὺς ἑαυτούς των ὅτι ἐπιτέλουν τὰ θρησκευτικά των καθήκοντα ὡς εὐσεβεῖς, νομίζοντες ὅτι σέβονται τὸν Θεόν.

Παρακαλῶ ὅλους ἐσᾶς καὶ μαζὶ μὲ σᾶς καὶ τὸν ἑαυτόν μου νὰ γίνωμεν μιμηταὶ τοῦ Παύλου. Διότι ἐὰν ὁ Κύριος, ὁ ὁποῖος προγνωρίζει τὴν προαίρεσιν τοῦ καθενὸς καὶ γνωρίζει τί θὰ γίνῃ κάθε ἕνας ἀπὸ ἡμᾶς, ἔκαμε τοῦτο, διὰ νὰ ἐκπληρωθοῦν αἱ παρ' αὐτοῦ παρεχομέναι δωρεαὶ καὶ ἡ ἔνθερμος ἀγάπη του (διότι δὲν κτίζει καὶ δὲν δημιουργεῖ ὁ Θεὸς διὰ νὰ ἐξυπηρετῇ τὸ κακὸν) καὶ ἔτσι μᾶς ἠξίωσεν τῶν κοινῶν ἀγαθῶν, θέλων νὰ εἶναι ὅλοι μιμηταί του, πῶς πράττεις σὺ τὰ ἀντίθετα καὶ ἔρχεσαι καὶ εἰς τὴν ἐκκλησίαν καὶ πραγματοποιεῖς καὶ τὴν θυσίαν τοῦ Υἱοῦ τοῦ Θεοῦ; Δὲν γνωρίζετε ὅτι αὐτὸς δὲν συνέτριψε τὴν λυγισμένην κάλαμον καὶ στυππεῖον ποὺ ἐτρεμόσβηνε καὶ ἐκάπνιζε δὲν τὸ ἔσβησε;[18] Ποία δὲ εἶναι ἡ δύναμις αὐτοῦ; Ἄκουε, ὅτι τὸν Ἰούδαν καὶ τοὺς κατὰ τὸν ἴδιον τρόπον μὲ αὐτὸν παρεκτραπέντας δὲν τοὺς ἐξεδίωξεν, μέχρις ὅτου κάθε ἕνας μόνος του ἔσυρε τὸν ἑαυτόν του καὶ τὸν παρέδωσεν εἰς τὴν πλάνην. Δὲν προσφέρομεν τὰς ἱκεσίας ὑπὲρ τῶν ἁμαρτημάτων τοῦ λαοῦ; δὲν ἔχομεν ἐντολὴν νὰ προσευχώμεθα

διωκόντων προσεύχεσθαι ἐνετάλθημεν; Ἰδοὺ τὴν δουλείαν πληροῦμεν, ἰδοὺ παρακαλοῦμεν ὑμᾶς· ἡ χειροτονία οὐκ εἰς ἐξουσίαν φέρει, οὐκ εἰς ὕψος ἐπαίρει, οὐ δεσποτείαν παρέχει· πάντες τὸ αὐτὸ Πνεῦμα ἐλάβομεν, πάντες εἰς υἱοθεσίαν ἐκλήθημεν· οὓς δὲ ὁ Πατὴρ ἐδοκίμασε, τούτους κατ' ἐξουσίαν τοῖς ἰδίοις ἀδελφοῖς δουλεύειν ἠξίωσεν.

Τὴν δουλείαν οὖν πληροῦντες παρακαλοῦμεν ὑμᾶς καὶ διαμαρτυρόμεθα, ἀποστῆναι τοῦ τοιούτου κακοῦ. Ἢ γὰρ ζῇ καὶ πάρεστιν ἐν τῷ θνητῷ βίῳ τούτῳ, ἢ τέθνηκεν, ὃν ἀναθεματίζειν προῄρησαι. Εἰ μὲν οὖν ἔτι περίεστιν, ἀσεβεῖς ἀποκόπτων τὸν ἐν τρεπτότητι ὄντα καὶ μετατεθῆναι δυνάμενον ἐκ τοῦ κακοῦ εἰς τὸ ἀγαθόν· εἰ δὲ τέθνηκεν, πολλῷ μᾶλλον. Τί δήποτε; Ὅτι τῷ ἰδίῳ Κυρίῳ στήκει ἢ πίπτει, οὐκέτι ὑπὸ ἐξουσίαν ἀνθρωπίνην τυγχάνων· καὶ τὸ κεκρυμμένον τῷ τῶν αἰώνων κριτῇ, ἐπισφαλὲς ἀποφαίνεσθαι, μόνῳ εἰδότι καὶ μέτρα γνώσεως καὶ ποσότητα πίστεως. Πόθεν γὰρ ἴσμεν, εἰπέ μοι, παρακαλῶ, ποίοις ρήμασι κατηγορήσει ἑαυτοῦ, ἢ καὶ ἀπολογήσεται ἐν ἡμέρᾳ, ὅτε μέλλει ὁ Θεὸς κρίνειν τὰ κρυπτὰ τῶν ἀνθρώπων; Ὄντως ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. «Τίς γαρ ἔγνω νοῦν Κυρίου ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;». Τάχα οὐδεὶς ἐξ ἡμῶν, ἀγαπητοί, ἠξιῶσθαι βαπτίσματος οἴεται, οὐδεὶς ἐπίσταται κρίσιν μέλλουσαν γίνεσθαι πώποτε. Τί λέγω κρίσιν; αὐτὸν τὸν θάνατον καὶ τὴν ἐκ τοῦ σώματος ἔξοδον ἠγνοή-

19. Ἠσ. 40, 13.

ὑπὲρ τῶν ἐχθρῶν μας, ὑπὲρ ἐκείνων ποὺ μᾶς μισοῦν καὶ μᾶς διώκουν; Ἰδοὺ ἐκπληροῦμεν τὴν ὑπηρεσίαν ποὺ μᾶς ἀνετέθη, ἰδοὺ σᾶς παρακαλοῦμεν· ἡ χειροτονία δὲν φέρει κάποιον εἰς τὴν ἐξουσίαν, δὲν τὸν κάνει ἀλαζόνα, δὲν τοῦ δίδει ἐξουσίαν κυρίου ἐπὶ δούλων· διότι ὅλοι ἐλάβομεν τὸ ἴδιον ἅγιον Πνεῦμα, ὅλοι ἐκλήθημεν νὰ γίνωμεν υἱοί· ἀλλ' ὅμως ἐκείνους ποὺ ὁ Πατὴρ ἐδοκίμασε καὶ ἔκρινεν ὡς ἀξίους εἰς αὐτοὺς ἔκαμε τὴν τιμὴν καὶ τοὺς ἔδωσε τὴν ἐξουσίαν νὰ ὑπηρετοῦν τοὺς ἀδελφούς των.

Ἐκπληροῦντες λοιπὸν αὐτὴν τὴν ὑπηρεσίαν σᾶς παρακαλοῦμεν καὶ ζητοῦμεν ἀπὸ ἐσᾶς μὲ ἐπιμονὴν νὰ ἀπομακρυνθῆτε ἀπὸ τὸ κακὸν αὐτοῦ τοῦ εἴδους. Διότι ἢ ζῇ καὶ εἶναι παρὼν εἰς τὴν θνητὴν αὐτὴν ζωήν, ἢ ἔχει ἀποθάνει, αὐτὸς τὸν ὁποῖον θέλεις νὰ ἀναθεματίσῃς. Ἐὰν μὲν λοιπὸν ζῇ ἀκόμη, ἀσεβεῖς, διότι ἀπομακρύνεις ἀπὸ τὴν ἐκκλησίαν αὐτὸν εἰς τὸν ὁποῖον ὑπάρχει ἡ δυνατότης νὰ μεταβληθῇ καὶ ἠμπορεῖ νὰ μετατεθῇ ἀπὸ τὸ κακὸν εἰς τὸ ἀγαθόν· ἐὰν δὲ ἔχῃ ἀποθάνει πολὺ περισσότερον ἀσεβεῖς. Διατί; Διότι αὐτὸς πλέον εὑρίσκεται πλησίον τοῦ Κυρίου ἢ μακρὰν αὐτοῦ καὶ δὲν εὑρίσκεται πλέον ὑπὸ ἀνθρωπίνην ἐξουσίαν· καὶ αὐτὸ ποὺ ἔχει κρυβῆ διὰ τὸν κριτὴν τῶν αἰώνων, εἶναι ἐπικίνδυνον εἰς ἡμᾶς νὰ ἀποφαινώμεθα δι' αὐτὸ καθ' ὅτι ἐκεῖνος μόνον γνωρίζει καὶ μέτρα γνώσεως καὶ ποσότητα πίστεως. Διότι, εἰπέ μου, σὲ παρακαλῶ, ἀπὸ ποῦ γνωρίζομεν τοὺς λόγους μὲ τοὺς ὁποίους θὰ κατηγορήσῃ τὸν ἑαυτόν του ἢ καὶ θὰ ἀπολογηθῇ κατὰ τὴν ἡμέραν ἐκείνην ποὺ πρόκειται ὁ Θεὸς νὰ κρίνῃ τὰ κρυπτὰ τῶν ἀνθρώπων; Πράγματι εἶναι ἀνεξερεύνητοι αἱ κρίσεις αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. «Διότι ποῖος ἐγνώρισε τὸν νοῦν τοῦ Κυρίου, ἢ ποῖος ἔγινε σύμβουλος αὐτοῦ;»[19]. Τάχα κανεὶς ἀπὸ σᾶς, ἀγαπητοί, νὰ μὴ γνωρίζῃ ὅτι ἔχει ἀξιωθῆ τοῦ βαπτίσματος, νὰ μὴ θέλῃ νὰ γνωρίζῃ ὅτι κάποτε θὰ γίνῃ ἡ μέλλουσα κρίσις. Καὶ διατί ὁμιλῶ διὰ μέλλουσαν κρίσιν; ἠγνοήσαμεν αὐτὸν τὸν θάνατον καὶ τὴν ἐκ τοῦ σώματος ἔ-

σαμεν, ἐκ τῆς ἐπισκηψάσης ἡμᾶς φρενίτιδος τῶν τοῦ βίου πραγμάτων.

Ἀπόστητε τοῦ τοιούτου κακοῦ, παρακαλῶ. Ἰδοὺ λέγω καὶ διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ὡς μεγάλου κακοῦ καὶ πυρὸς ἀνηκέστου γενήσεται ἡμῖν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως αἴτιον. Εἰ γὰρ ἐν τῇ παραστάσει τῶν παρθένων τοὺς μετὰ λαμπρᾶς πίστως καὶ φαιδρότητος βίου ζήσαντας, ὡς αὐτοῦ θεωροῦντος τὰ ἔργα αὐτῶν τοῦ τῶν ὅλων Δεσπότου, ἀλλοτρίους τοῦ νυμφῶνος διὰ τὸ ἀσυμπαθὲς ἐποίησεν, πῶς ἡμεῖς, οἱ κατὰ πᾶσαν ἄδειαν διαιτώμενοι, καὶ ἀνηλεῶς τοῖς ὁμοφύλοις προσφερόμενοι, σωτηρίας ἀξιωθῶμεν;

Διὸ δέομαι ὑμῶν, μὴ παρέργως τῶν τοιούτων λόγων ἀκούσητε. Τὰ γὰρ αἱρετικὰ δόγματα, τὰ παρ' ὧν παρελάβομεν, ἀναθεματίζειν χρὴ καὶ τὰ ἀσεβῆ δόγματα ἐλέγχειν, πᾶσαν δὲ φειδὼ ἀνθρώπων ποιεῖσθαι καὶ εὔχεσθαι ὑπὲρ τῆς αὐτῶν σωτηρίας.

Γένοιτο δὲ πάντας ἡμᾶς τῆς περὶ τὸν Θεὸν καὶ πλησίον ἀγάπης ἀντεχομένους, καὶ τῶν δεσποτικῶν ἐντολῶν τὴν ἐργασίαν πληροῦντας, μετὰ ἐλέους καὶ φαιδρῶν λαμπάδων ἀπαντῆσαι ἐν ἡμέρᾳ τῆς ἀναστάσεως αὐτῷ τῷ ἐπουρανίῳ νυμφίῳ, προσφέροντας αὐτῷ πλείστους ἐν δόξῃ ὠφεληθέντας ἐκ τῆς ἡμῶν συμπαθείας, χάριτι καὶ φιλανθρωπίᾳ αὐτοῦ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς αἰῶνας. Ἀμήν.

ξοδον τῆς ψυχῆς ἐξ αἰτίας τῆς μανίας ποὺ μᾶς κατεκυρίευσε διὰ τὰ πράγματα τῆς ζωῆς.

Ἀπομακρυνθῆτε ἀπὸ αὐτὸ τὸ κακόν, παρακαλῶ. Ἰδοὺ τὸ λέγω καὶ τὸ ἐπιβεβαιώνω ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων ὅτι θὰ γίνῃ αὐτὸ μεγάλη αἰτία κακῶν καὶ καταστρεπτικοῦ πυρὸς κατὰ τὴν ἡμέραν τῆς κρίσεως. Διότι, ἐὰν σύμφωνα μὲ τὸ παράδειγμα τῶν παρθένων, ἐκείνους ποὺ ἔζησαν μὲ λαμπρὰν πίστιν καὶ φωτεινὸν βίον, ὅταν ὁ τῶν ὅλων Κύριος ἐξήτασε τὰ ἔργα αὐτῶν, τοὺς ἀπεμάκρυνεν ἀπὸ τὸν νυμφῶνα, ἀπὸ ἔλλειψιν συμπαθείας, πῶς ἐμεῖς, οἱ ὁποῖοι ζῶμεν μὲ πλήρη ἀφοβίαν καὶ συμπεριφερόμεθα πρὸς τοὺς συνανθρώπους μας τόσον σκληρά, θὰ ἀξιωθῶμεν τῆς σωτηρίας;

Διὰ τοῦτο σᾶς παρακαλῶ νὰ μὴ θεωρήσετε τὰ λόγια αὐτὰ περιττά. Τὰς μὲν λοιπὸν αἱρετικὰς διδασκαλίας, τὰς ὁποίας παρελάβομεν ἀπὸ μερικοὺς πρέπει νὰ τὰς ἀναθεματίζωμεν καὶ νὰ ἐλέγχωμεν τὰς ἀσεβεῖς διδασκαλίας, νὰ ἐπιδεικνύωμεν ὅμως κάθε εὐσπλαγχνίαν διὰ τοὺς ἀνθρώπους καὶ νὰ εὐχώμεθα ὑπὲρ τῆς σωτηρίας αὐτῶν.

Εὔχομαι ὅλοι ἐμεῖς νὰ ἐπιδεικνύωμεν τὴν πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπην καὶ νὰ πληροῦμεν τὴν ζωήν μας μὲ τὰς δεσποτικὰς ἐντολάς, ὥστε νὰ συναντήσωμεν μετὰ ἐλέους καὶ λαμπρῶν λαμπάδων κατὰ τὴν ἡμέραν τῆς ἀναστάσεως αὐτὸν τὸν ἐπουράνιον νυμφίον, προσφέροντες εἰς αὐτὸν ἐν δόξῃ πάρα πολλοὺς ποὺ ὠφελήθησαν ἐκ τῆς ἐπιεικείας μας, διὰ τῆς χάριτος καὶ φιλανθρωπίας αὐτοῦ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, μετὰ τοῦ ὁποίου ἀνήκει εἰς τὸν Πατέρα ἡ δόξα συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

18
ΛΟΓΟΣ ΤΑΙΣ ΚΑΛΑΝΔΑΙΣ

ἐλέχθη δὲ κατὰ τῶν παρατηρούντων τὰς νεομηνίας, καὶ κατὰ τὴν πόλιν χορείας τελούντων, καὶ εἰς τὸ ῥητὸν τοῦ Ἀποστόλου· «Τὸ πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε».

1. Καθάπερ χορὸς τὸν κορυφαῖον ἐπιζητεῖ, καὶ ναυτῶν πλήρωμα τὸν κυβερνήτην, οὕτω καὶ ὁ τῶν ἱερέων τούτων σύλλογος τὸν ἀρχιερέα καὶ κοινὸν πατέρα τήμερον. Ἀλλὰ ἐπὶ μὲν τοῦ χοροῦ καὶ τοῦ πλοίου πολὺ καὶ τοῦ κόσμου, καὶ τῆς ἀσφαλείας, ἡ τῶν προεστώτων ἀπουσία παρασπᾶται πολλάκις· ἐνταῦθα δὲ οὐχ οὕτως. Εἰ γὰρ καὶ μὴ τῇ σαρκὶ πάρεστιν, ἀλλὰ τῷ πνεύματι πάρεστι, καὶ νῦν μεθ' ἡμῶν ἐστιν οἴκοι καθήμενος, ὥσπερ καὶ ἡμεῖς μετ' ἐκείνου ἑστῶτες ἐνταῦθα. Τοιαύτη γὰρ ἡ τῆς ἀγάπης δύναμις, τοὺς ἐκ πολλοῦ διαστήματος ὄντας συναγαγεῖν εἴωθε καὶ συνδεῖν. Τὸν γοῦν ἐν ἀλλοτρίᾳ διατρίβοντα καὶ μακροῖς διειργόμενον ἡμῶν πελάγεσιν ἂν φιλῶμεν, καθ' ἑκάστην φανταζόμεθα τὴν ἡμέραν, ὥσπερ ἂν πρός τινα ἀηδῶς ἔχωμεν, οὐδ' ἐγγὺς ἑστῶτα βλέπειν δοκοῦμεν πολλάκις. Οὕτω παρούσης μὲν ἀγάπης οὐδὲν βλάβος ἐκ τοῦ κατὰ τὸν τόπον διαστήματος, ἀπούσης δὲ οὐδὲν ὄφελος ἐκ τῆς τῶν τόπων ἐγγύτητος.

Πρώην γοῦν ἡμῶν ἐγκωμιαζόντων τὸν μακάριον Παῦλον, οὕτως ἐσκιρτήσατε, ὡς αὐτὸν ὁρῶντες πάροντα· καίτοι τὸ μὲν σῶμα ἐν τῇ βασιλίδι κεῖται Ῥώμῃ, ἡ δὲ ψυχὴ ἐν ταῖς χερσὶ τοῦ Θεοῦ· «Δικαίων γὰρ ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος»· ἀλλ' ὅμως ἡ τῆς ἀγάπης

---

1. Ἔτσι ὀνομάζεται ἡ πρώτη τοῦ νέου μηνός· ἐσήμαινεν ὅμως καὶ τὴν ἑορτὴν πού ἐγίνετο κατὰ τὴν πρώτην τοῦ μηνός. Συνῃρημένος τύπος τῆς λέξεως Νεομηνία.
2. Σοφ. Σολ. 3,1.

18
ΛΟΓΟΣ ΕΙΣ ΤΑΣ ΚΑΛΑΝΔΑΣ

ἐξεφωνήθη δὲ ἐναντίον αὐτῶν ποὺ παρακολουθοῦν τὰς νουμηνίας[1] καὶ ποὺ διοργανώνουν χοροὺς εἰς τὴν πόλιν· καὶ εἰς τὸ ρητὸν τοῦ Ἀποστόλου Παύλου «Τὰ πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε».

1. Ὅπως ἀκριβῶς ὁ χορὸς ἀπαιτεῖ τὸν κορυφαῖον καὶ τὸ πλήρωμα τῶν ναυτῶν τὸν Κυβερνήτην, ἔτσι καὶ ἡ συγκέντρωσις αὐτὴ τῶν ἱερέων ἀναζητεῖ σήμερα τὸν κοινὸν πατέρα, τὸν ἀρχιερέα. Ἀλλὰ προκειμένου περὶ τοῦ χοροῦ καὶ τοῦ πλοίου ἡ ἀπουσία τῶν ἀρχηγῶν προκαλεῖ μεγάλην ἀταξίαν καὶ ἀνασφάλειαν, ἐδῶ ὅμως δὲν συμβαίνει τὸ ἴδιον. Διότι καὶ ἂν δὲν εἶναι παρὼν σωματικῶς, εἶναι παρὼν μὲ τὸ πνεῦμα του καὶ στέκει τώρα μαζί μας, ἐνῷ εὑρίσκεται εἰς τὸ σπίτι, ὅπως καὶ ἐμεῖς εἴμεθα μαζί του ἐνῷ εὑρισκόμεθα ἐδῶ. Διότι τέτοια εἶναι ἡ δύναμις τῆς ἀγάπης, καθόσον συγκεντρώνει αὐτοὺς ποὺ εὑρίσκονται εἰς μεγάλην ἀπόστασιν καὶ τοὺς ἑνώνει. Αὐτὸν λοιπὸν ποὺ ζῇ εἰς ξένην χώραν καὶ τὸν χωρίζουν ἀπὸ ἐμᾶς ἀπέραντα πελάγη, ἂν τὸν ἀγαπῶμεν, τὸν ἐνθυμούμεθα κάθε ἡμέραν, ὅπως ἀκριβῶς καὶ ὅταν ἀπεχθανώμεθα κάποιον, νομίζομεν πῶς δὲν τὸν βλέπομεν, ἀκόμη καὶ ἂν στέκῃ πολὺ πλησίον μας. Ἔτσι, ἂν ὑπάρχῃ ἀγάπη, δὲν βλάπτει καθόλου ἡ ἀπόστασις, ἐὰν ὅμως δὲν ὑπάρχῃ, οὐδεμίαν ὠφέλειαν ἔχομεν ἀπὸ τὴν μικρὰν ἀπόστασιν.

Προηγουμένως λοιπὸν ὅταν ἐγκωμίαζα τὸν μακάριον Παῦλον, τόσον πολὺ ἐχαρήκατε, ὡσὰν νὰ τὸν ἐβλέπατε παρόντα, παρὰ τὸ ὅτι τὸ μὲν σῶμα του εὑρίσκεται εἰς τὴν πρωτεύουσαν Ρώμην, ἡ δὲ ψυχή του εἰς τὰ χέρια τοῦ Θεοῦ· «διότι αἱ ψυχαὶ τῶν δικαίων εὑρίσκονται εἰς τὰ χέρια τοῦ Θεοῦ, καὶ δὲν θὰ τὰς ἐγγίσῃ βάσανος»[2]· ὅμως ἡ δύναμις

δύναμις πρὸ τῶν ὀφθαλμῶν αὐτὸν ἔστησε τῶν ὑμετέρων. Καὶ ἐβουλόμην μὲν εἰς τὴν αὐτὴν ὑπόθεσιν καταβῆναι καὶ τήμερον, ἀλλὰ πρὸς ἕτερα κατεπείγοντα ἡμῖν ὁ λόγος ὥρμηται, τὰ σήμερον ὑπὸ τῆς πόλεως ἁπάσης ἁμαρτηθέντα. Τοὺς γὰρ ἀκούοντας τῶν ἐγκωμίων Παύλου πρότερον τῆς ἀρετῆς τοῦ Παύλου ζηλωτὰς εἶναι χρή, καὶ τῆς τοιαύτης ἀκροάσεως ἀξίους. Ἐπεὶ οὖν οὐ πάρεστιν ἡμῖν ὁ πατήρ, φέρε, ταῖς εὐχαῖς ταῖς ἐκείνου θαρρήσαντες τῆς πρὸς ὑμᾶς διδασκαλίας ἁψώμεθα.

Καὶ γὰρ Μωϋσῆς οὐ παρὼν τῷ σώματι τοῖς πολεμοῦσιν, οὐδὲν ἔλαττον τῶν πολεμούντων, ἀλλὰ καὶ πολλῷ πλέον, εἰς τὴν μάχην συνετέλεσεν ἐκείνην, τῇ τῶν χειρῶν ἐκτάσει τὰ πράγματα τῶν οἰκείων ἐπαίρων, καὶ φοβερὰ τοῖς ἐναντίοις ποιῶν. Ὥσπερ γὰρ ἡ τῆς ἀγάπης δύναμις οὐ διείργεται διαστήματι τόπου, οὕτως οὐδὲ ἡ τῆς εὐχῆς ἐνέργεια, ἀλλ' ὥσπερ ἐκείνη τοὺς ἀλλήλων ἀφεστῶτας συνδεῖ, οὕτω καὶ αὕτη τοὺς πόρρωθεν ὄντας τὰ μέγιστα ὠφελεῖν δύναται. Θαρροῦντες τοίνυν ἐπὶ τὴν μάχην χωρῶμεν. Καὶ γὰρ καὶ ἡμῖν πόλεμος συνέστηκε νῦν, οὐκ Ἀμαληκιτῶν ἐπελθόντων, καθάπερ τότε, οὐδ' ἑτέρων τινῶν βαρβάρων καταδραμόντων, ἀλλὰ δαιμόνων πομπευσάντων ἐπὶ τῆς ἀγορᾶς.

Αἱ γὰρ διαβολικαὶ παννυχίδες αἱ γινόμεναι τήμερον, καὶ τὰ σκώμματα, καὶ αἱ λοιδορίαι, καὶ αἱ χορεῖαι αἱ νυκτεριναί, καὶ ἡ καταγέλαστος αὕτη κωμῳδία, παντὸς πολεμίου χαλεπώτερον τὴν πόλιν ἡμῶν ἐξηχμαλώτισαν. Καὶ δέον ἐπὶ τούτοις κατεστάλθαι, πενθεῖν, καταδύεσθαι, καὶ τοὺς ἡμαρτηκότας, καὶ τοὺς οὐχ ἡμαρτηκότας, τοὺς μὲν ὑπὲρ ὧν ἐπλημμέλησαν, τοὺς δὲ ὑπὲρ ὧν τοὺς ἀδελφοὺς εἶδον ἀσχημονοῦντας. Περιχαρὴς ἡμῖν ἡ πόλις γέγονε καὶ φαιδρά, καὶ ἐστεφάνωται, καὶ καθάπερ γυνὴ φιλόκοσμος καὶ πολυτελής, οὕτως ἡ ἀγορὰ φιλοτίμως ἐκαλλωπίσατο σήμερον, χρυσία περιθεμένη, καὶ ἱμάτια πολυτελῆ, καὶ ὑποδήματα, καὶ ἕτερά

---

8. Ἦσαν μία ἰσχυρὰ νομαδικὴ φυλή, ἡ ὁποία ἐκατοικοῦσεν εἰς τὴν Παλαιστίνην πρὶν ἀπὸ τὴν ἐκ τῆς Αἰγύπτου ἐπάνοδον τῶν Ἑβραίων. Ἦταν ὁ πρῶτος ἐχθρὸς ποὺ ἀντιμετώπισε τὸ Ἰουδαϊκὸν ἔθνος εἰς τὴν προσπάθειάν του νὰ ἐγκατασταθῇ εἰς τὴν γῆν τῆς ἐπαγγελίας.

τῆς ἀγάπης τὸν ἔστησε ἐμπρὸς εἰς τὰ μάτια σας. Καὶ ἤθελα νὰ ἀσχοληθῶ καὶ σήμερα μὲ τὸ ἴδιο θέμα, ἀλλὰ ὁ λόγος ὁρμᾷ πρὸς ἄλλα πράγματα κατεπείγοντα, πρὸς ὅσα κακὰ διέπραξε σήμερον ὁλόκληρος ἡ πόλις. Διότι ὅσοι ἀκούουν τὰ ἐγκώμια τοῦ Παύλου πρέπει κατ' ἀρχὴν νὰ εἶναι ζηλωταὶ τῆς ἀρετῆς τοῦ Παύλου καὶ ἄξιοι διὰ τὴν ἀκρόασιν αὐτήν. Ἐπειδὴ λοιπὸν δὲν εἶναι μαζί μας ὁ πνευματικός μας πατὴρ ἐμπρὸς μὲ τὸ θάρρος ποὺ παίρνομεν ἀπὸ τὰς εὐχάς του, ἂς ἀρχίσω τὴν διδασκαλίαν πρὸς ἐσᾶς.

Διότι καὶ ὁ Μωυσῆς χωρὶς νὰ εἶναι παρὼν κατὰ τὸ σῶμα μὲ τοὺς πολεμοῦντας, ὅμως ἐξ ἴσου μὲ αὐτούς, καὶ περισσότερον μάλιστα, συνετέλεσεν εἰς ἐκείνην τὴν μάχην, ἐνισχύων τὴν παράταξίν του μὲ τὴν ἔκτασιν τῶν χειρῶν, καὶ προξενῶν μεγάλον φόβον εἰς τοὺς ἐχθρούς. Ὅπως δηλαδὴ ἡ δύναμις τῆς ἀγάπης δὲν ἐμποδίζεται ἀπὸ τὴν ἀπόστασιν, ἔτσι οὔτε καὶ ἡ ἐνέργεια τῆς προσευχῆς, ἀλλὰ ὅπως ἐκείνη ἑνώνει τοὺς ἀπομακρυσμένους, ἔτσι καὶ αὐτὴ αὐτοὺς ποὺ εὑρίσκονται μακρυὰ ἠμπορεῖ νὰ τοὺς ὠφελῇ τὰ μέγιστα. Μὲ θάρρος λοιπὸν νὰ προχωροῦμεν εἰς τὴν μάχην. Διότι καὶ δι' ἡμᾶς ἤρχισε τώρα πόλεμος, ὄχι διότι ἐπιτίθενται τώρα οἱ Ἀμαληκῖται[3], ὅπως τότε, οὔτε ἄλλοι βάρβαροι, ἀλλὰ διότι δαίμονες παρήλασαν εἰς τὴν ἀγοράν.

Διότι τὰ διαβολικὰ αὐτὰ πανηγύρια ποὺ γίνονται σήμερα, καὶ τὰ πειράγματα καὶ αἱ κοροϊδεῖαι καὶ οἱ νυχτερινοὶ χοροί, καὶ ἡ καταγέλαστος αὐτὴ κωμωδία, ἠχμαλώτησαν τὴν πόλιν μας χειρότερα ἀπὸ κάθε ἐχθρόν. Καὶ πρέπει λοιπὸν νὰ ἐντρέπωνται καὶ νὰ πενθοῦν καὶ νὰ κρύβωνται καὶ αὐτοὶ ποὺ ἡμάρτησαν, καὶ αὐτοὶ ποὺ δὲν ἡμάρτησαν, οἱ μὲν δι' ὅσα σφάλματα διέπραξαν, οἱ δὲ δι' ὅσας ἀσχημίας εἶδον νὰ διαπράττουν οἱ ἀδελφοί. Ἡ πόλις μας ἔγινε σήμερα χαρούμενη καὶ εὔθυμη καὶ ἐστεφανώθη, καὶ ὅπως ἡ γυναίκα ποὺ ἀγαπᾷ τὰ στολίδια καὶ τὴν πολυτέλειαν, ἔτσι καὶ ἡ ἀγορὰ ἐστολίσθη σήμερα, ἐφόρεσε χρυσαφικὰ καὶ πολυτε-

τινα τοιαῦτα, τῶν ἐν τοῖς ἐργαστηρίοις ἑκάστου τῇ τῶν οἰκείων ἔργων ἐπιδείξει τὸν ὁμότεχνον παραδραμεῖν φιλονεικοῦντος. Ἀλλ' αὕτη μὲν ἡ φιλοτιμία, εἰ καὶ παιδικῆς ἐστι διανοίας, καὶ ψυχῆς οὐδὲν μέγα οὐδὲ ὑψηλὸν φανταζομένης, ἀλλ' ὅμως οὐ τοσαύτην ἐπισύρεται βλάβην, ἀλλ' ἀνόητός τίς ἐστι μόνον σπουδή, γέλωτα καταχέουσα τῶν περὶ ταῦτα ἐσπουδακότων. Εἰ γὰρ καλλωπίζειν βούλει, μὴ τὸ ἐργαστήριον, ἀλλὰ τὴν σαυτοῦ ψυχήν· μὴ τὴν ἀγοράν, ἀλλὰ τὴν διάνοιαν· ἵνα ἄγγελοι θαυμάσωσι, καὶ ἀρχάγγελοι τὸ γινόμενον ἀποδέξωνται, καὶ ὁ τῶν ἀγγέλων Δεσπότης ἀμείψηταί σε ταῖς παρ' ἑαυτοῦ δωρεαῖς. Ὡς αὕτη γε ἡ ἐπίδειξις, ἡ νῦν γινομένη, καὶ γέλωτα καὶ βασκανίαν φέρει· παρὰ μὲν τῶν ὑψηλοτέρων τὴν διάνοιαν γέλωτα παρὰ δὲ τῶν τὰ αὐτὰ νοσούντων βασκανίαν καὶ φθόνον πολύν.

2\. *Ἀλλ', ὅπερ ἔφην, οὐ τοσούτων ἐγκλημάτων ἀξία αὕτη ἡ φιλοτιμία· οἱ δὲ ἐν τοῖς καπηλείοις ἀγῶνες γινόμενοι τήμερον, οὗτοι μὲν μάλιστα ὀδυνῶσι, καὶ ἀσωτίας καὶ ἀσεβείας ἐμπεπλησμένοι πολλῆς. Ἀσεβείας μέν, ὅτι παρατηροῦσιν ἡμέρας οἱ ταῦτα ποιοῦντες, καὶ οἰωνίζονται, καὶ νομίζουσιν, εἰς τὴν νουμηνίαν τοῦ μηνὸς τούτου μεθ' ἡδονῆς καὶ εὐφροσύνης ἐπιτελέσαιεν, καὶ τὸν ἅπαντα τοιοῦτον ἕξειν ἐνιαυτόν· ἀσωτίας δέ, ὅτι ὑπὸ τὴν ἕω γυναῖκες καὶ ἄνδρες φιάλας καὶ ποτήρια πληρώσαντες μετὰ πολλῆς τῆς ἀσωτίας τὴν ἄκρατον πίνουσι. Ταῦτα ἀνάξια τῆς ὑμετέρας φιλοσοφίας, κἂν ὑμεῖς ποιῆτε, κἂν ἑτέρους ποιοῦντας περιίδητε, κἂν οἰκέτας, κἂν φίλους, κἂν γείτονας. Οὐκ ἤκουσας Παύλου λέγοντος· «Ἡμέρας παρατηρεῖσθε καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτούς. Φοβοῦμαι μήπως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς».*

Ἄλλως δὲ καὶ τῆς ἐσχάτης ἀνοίας ἂν εἴη ἀπὸ τῆς μιᾶς ἡμέρας, εἰ δεξιὰ γένοιτο, καὶ τοῦ παντὸς τοῦτο προσδοκᾶν ἐνιαυτοῦ· οὐκ ἀνοίας δὲ μόνον, ἀλλὰ καὶ διαβολικῆς ἐνερ-

4\. Πρόκειται περὶ συναγωνισμῶν εἰς τὸ ποῖος θὰ προβῇ εἰς μεγαλυτέρας ἀσχημίας, ἢ εἰς ἐπίδειξιν διαφόρων τεχνασμάτων πρὸς πρόκλησιν γέλωτος. Ἐγίνοντο ὅμως καὶ ἐκθέσεις ἐμπορευμάτων εἰς διαφόρους χώρους καπηλείων.

λῆ ροῦχα καὶ ὑποδήματα καὶ ἄλλα ὅμοια, ἀπ' αὐτὰ ποὺ ὁ κάθε τεχνίτης προσπαθεῖ εἰς τὴν ἔκθεσιν τῶν ἔργων του νὰ ξεπεράσῃ τὸν ὁμότεχνον. Αὐτὴ ὅμως ἡ φροντὶς ἂν καὶ εἶναι γνώρισμα παιδικῆς σκέψεως καὶ ψυχῆς καὶ δὲν βλέπει τίποτε τὸ μεγάλο, τὸ ὑψηλόν, δὲν εἶναι βέβαια τόσον βλαβερή, ἀλλὰ εἶναι μία ἀνόητος ἀπασχόλησις ποὺ προκαλεῖ τὸν γέλωτα αὐτῶν ποὺ ἀσχολοῦνται μὲ αὐτά. Διότι ἂν θέλῃς νὰ στολίζῃς, μὴ στολίζῃς τὸ ἐργαστήριον, ἀλλὰ τὴν ψυχήν σου, ὄχι τὴν ἀγοράν, ἀλλὰ τὴν σκέψιν· διὰ νὰ θαυμάσουν οἱ ἄγγελοι, νὰ ἀποδεχθοῦν τὸ γεγονὸς οἱ ἀρχάγγελοι καὶ διὰ νὰ σὲ ἀνταμείψῃ ὁ Κύριος τῶν ἀγγέλων μὲ τὰς δωρεάς του. Διότι αὐτὴ τουλάχιστον ἡ ἐπίδειξις ποὺ γίνεται τώρα προκαλεῖ καὶ γέλωτα καὶ φθόνον· εἰς μὲν τὴν σκέψιν τῶν καλυτέρων γέλωτα, εἰς αὐτοὺς δὲ ποὺ ἔχουν τὴν ἰδίαν ἀσθένειαν ζήλειαν καὶ φθόνον πολύν.

2. Ἀλλ' ὅπως εἶπα αὐτὴ ἡ φιλοτιμία δὲν εἶναι τόσον ἀξιοκατάκριτος· οἱ συναγωνισμοὶ ὅμως ποὺ γίνονται σήμερα εἰς τὰ καπηλεῖα[4], αὐτοὶ στενοχωροῦν ἰδιαιτέρως, διότι εἶναι γεμᾶτοι ἀπὸ ἀσωτίαν καὶ ἀσέβειαν. Εἶναι γεμᾶτοι ἀπὸ ἀσέβειαν διότι αὐτοὶ ποὺ τὰ κάνουν παρακολουθοῦν τὰς ἡμέρας καὶ προμαντεύουν καὶ πιστεύουν ὅτι, ἂν περάσουν τὴν νουμηνίαν τοῦ μηνὸς αὐτοῦ μὲ εὐχαρίστησιν καὶ ἀπόλαυσιν, ὅλος ὁ χρόνος θὰ περάσῃ δι' αὐτοὺς τὸ ἴδιο· ἀπὸ ἀσωτίαν δὲ διότι ἀπὸ πολὺ πρωὶ γυναῖκες καὶ ἄνδρες ἀφοῦ γεμίσουν μπουκάλια καὶ ποτήρια πίνουν μὲ μεγάλην ἀσωτίαν τὸ ἁγνὸ κρασί. Αὐτὰ εἶναι ἀνάξια τῆς πίστεώς μας, εἴτε τὰ κάνετε ἐσεῖς, εἴτε παρακολουθεῖτε ἄλλους ποὺ τὰ κάνουν, εἴτε συγγενεῖς εἶναι αὐτοί, εἴτε φίλοι, εἴτε γείτονες. Δὲν ἄκουσες τὸν Παῦλον ποὺ λέγει· «Φυλάττετε ὡρισμένας ἡμέρας καὶ μῆνας καὶ ἐποχὰς καὶ ἔτη. Φοβοῦμαι μήπως μάταια ἐκοπίασα διὰ σᾶς»[5].

Ἄλλωστε θὰ ἦτο πολὺ μεγάλη ἀνοησία νὰ περιμένῃ νὰ πάῃ καλὰ ὅλος ὁ χρόνος ἐπειδὴ θὰ περάσῃ εὐνοϊκὰ μία ἡμέρα. Ὄχι μόνον ἀνόητη εἶναι αὐτὴ ἡ γνώμη, ἀλλὰ εἶ-

5. Γαλ. 4, 10-11.

γείας ἡ κρίσις αὕτη, μὴ τῇ οἰκείᾳ σπουδῇ καὶ προθυμίᾳ, ἀλλὰ ταῖς τῶν ἡμερῶν περιόδοις τὰ κατὰ τὸν βίον ἐπιτρέπειν τὸν ἡμέτερον. Δεξιὸς ὁ ἐνιαυτὸς ἔσται σοι δι' ὅλου, οὐκ ἐὰν ἐν νουμηνίᾳ μεθύῃς, ἀλλ' ἐὰν καὶ ἐν νουμηνίᾳ, καὶ καθ' ἑκάστην ἡμέραν, τὰ τῷ Θεῷ δοκοῦντα ποιῇς. Πονηρὰ γὰρ ἡμέρα καὶ ἀγαθὴ γίνεται, οὐ παρὰ τὴν οἰκείαν φύσιν, οὐδὲν γὰρ ἡμέρα διενήνοχεν ἡμέρας, ἀλλὰ παρὰ τὴν ἡμετέραν σπουδὴν καὶ ῥαθυμίαν. Ἂν δικαιοσύνην ἐργάσῃ, χρηστή σοι γέγονεν ἡ ἡμέρα· ἂν ἁμαρτίαν ἐργάσῃ, πονηρὰ καὶ κολάσεως γέμουσα. Ἂν ταῦτα φιλοσοφῇς, καὶ οὕτω διακείμενος ᾖς, ἅπαντα δεξιὸν ἕξεις τὸν ἐνιαυτόν, εὐχάς, ἐλεημοσύνας καθ' ἑκάστην ἐργαζόμενος τὴν ἡμέραν· ἂν δὲ τῆς μὲν κατὰ σαυτὸν ἀρετῆς ἀμελῇς, ἀρχαῖς δὲ μηνῶν καὶ ἀριθμοῖς ἡμερῶν ἐπιστεύσῃς σου τῆς ψυχῆς τὴν εὐφροσύνην, πάντων ἔρημος ἔσῃ τῶν κατὰ σαυτὸν ἀγαθῶν.

Ὅπερ οὖν καὶ ὁ διάβολος συνιδών, καὶ σπουδάζων ἡμῶν ἐκλῦσαι τοὺς περὶ τὴν ἀρετὴν πόνους, καὶ τῆς ψυχῆς σβέσαι τὴν προθυμίαν, ταῖς ἡμέραις ἐπιγράφειν ἐπαίδευσε τὰς εὐπραγίας καὶ τὰς κακοπραγίας. Ὁ γὰρ πείσας ἑαυτὸν ὅτι ἡμέρα ἐστὶ κακὴ καὶ ἀγαθή, οὔτε ἐν τῇ κακῇ τῶν ἀγαθῶν ἔργων ἐπιμελήσεται, ὡς εἰκῇ πάντα ποιῶν, καὶ οὐδὲν ὀφελῶν διὰ τὴν τῆς ἡμέρας ἀνάγκην· οὔτε ἐν τῇ ἀγαθῇ πάλιν τοῦτο ἐργάσεται, ὡς οὐδὲν ἐκ τῆς οἰκείας παραβλαπτόμενος ῥαθυμίας, διὰ τὴν τῆς ἡμέρας εὐκληρίαν. Πάλιν καὶ οὕτως ἑκατέρωθεν τὴν ἑαυτοῦ προδώσει σωτηρίαν· καὶ ποτὲ μὲν ὡς ἀνόνητα πονῶν, ποτὲ δὲ ὡς περιττά, ἐν ἀργίᾳ καὶ πονηρίᾳ βιώσεται.

Ὅπερ οὖν εἰδότας φεύγειν δεῖ τοῦ διαβόλου τὰς μεθοδείας, καὶ ταύτην ἐκβαλεῖν τῆς διανοίας τὴν ψῆφον, καὶ μὴ παρατηρεῖν ἡμέρας, μηδὲ τὴν μὲν μισεῖν, τὴν δὲ φιλεῖν.

ναι καὶ ἀποτέλεσμα διαβολικῆς ἐνεργείας, νὰ ἐμπιστευώμεθα δηλαδὴ τὴν ζωήν μας ὄχι εἰς τὴν ἰδικήν μας φροντίδα καὶ προσπάθειαν, ἀλλὰ εἰς τὰς ἐναλλαγὰς τῶν ἡμερῶν. Ὁλόκληρος ὁ χρόνος θὰ περάσῃ δι' ἐσένα εὐτυχισμένος, ὄχι ἐὰν μεθύσῃς κατὰ τὴν νουμηνίαν, ἀλλὰ ἐὰν καὶ κατὰ τὴν νουμηνίαν καὶ κάθε ἡμέραν κάνῃς τὸ θέλημα τοῦ Θεοῦ. Γίνεται ἡ ἡμέρα κακὴ καὶ καλὴ ὄχι ἀπὸ τὴν φύσιν της, διότι δὲν διαφέρει ἡ μία ἡμέρα ἀπὸ τὴν ἄλλην, ἀλλὰ ἀπὸ τὴν ἰδικήν μας φροντίδα ἢ ἀμέλειαν. Ἂν πράττῃς τὴν δικαιοσύνην, ἡ ἡμέρα σου θὰ γίνῃ καλή· ἐὰν πράττῃς τὴν ἁμαρτίαν ἡ ἡμέρα σου θὰ εἶναι πονηρὰ καὶ γεμάτη κόλασιν. Ἂν πιστεύῃς αὐτὰ καὶ τὰ ἐφαρμόζῃς ὅλος ὁ χρόνος θὰ σοῦ πηγαίνῃ καλά, καὶ κάθε ἡμέραν θὰ κάνῃς προσευχὰς καὶ ἐλεημοσύνας· ἂν ὅμως παραμελῇς τὴν ἀρετήν σου καὶ ἐξαρτᾷς τὴν εὐχαρίστησιν τῆς ψυχῆς σου ἀπὸ τὰς νουμηνίας καὶ τοὺς ἀριθμοὺς τῶν ἡμερῶν, θὰ μείνῃς ἔρημος ἀπὸ ὅλα τὰ ἀγαθά σου.

Ἐπειδὴ λοιπὸν καὶ ὁ διάβολος τὸ γνωρίζει αὐτό, καὶ ἐπειδὴ φροντίζει πάντα νὰ ἀχρηστεύῃ τοὺς κόπους ποὺ καταβάλλομεν διὰ τὴν ἀρετήν, καὶ νὰ σβήσῃ τὴν προθυμίαν τῆς ψυχῆς μας, μᾶς ἔμαθε νὰ συνδέωμεν τὴν εὐτυχίαν καὶ τὴν κακοτυχίαν μὲ τὰς ἡμέρας. Διότι αὐτὸς ποὺ ἔχει πείσει τὸν ἑαυτόν του ὅτι ὑπάρχει ἡμέρα κακὴ καὶ ἡμέρα καλή, οὔτε κατὰ τὴν κακὴν ἡμέραν θὰ φροντίσῃ διὰ τὰ καλὰ ἔργα, ἀφοῦ ἄσκοπα θὰ ἐφρόντιζε καὶ οὐδὲν θὰ ὠφελοῦσε λόγῳ τῆς ἡμέρας, οὔτε πάλιν κατὰ τὴν καλὴν θὰ ἐφρόντιζε δι' αὐτό, ἀφοῦ εἰς τίποτε δὲν θὰ βλάπτεται ἀπὸ τὴν ἀμέλειάν του, λόγῳ τοῦ καλοῦ τῆς ἡμέρας. Καὶ κατ' αὐτὸν τὸν τρόπον καὶ ἀπὸ τὴν μίαν καὶ ἀπὸ τὴν ἄλλην περίπτωσιν ζημιώνει τὴν σωτηρίαν του, καὶ θὰ περάσῃ ὅλην του τὴν ζωὴν εἰς τὴν ἀργίαν καὶ τὴν πονηρίαν μὲ τὴν πεποίθησιν ὅτι ἄλλοτε κοπιάζει ἄσκοπα, ἄλλοτε δὲ ὅτι πράττει πράγματα περιττά.

Ἀφοῦ λοιπὸν γνωρίζωμεν αὐτὰ πρέπει νὰ ἀποφεύγωμεν τὰς πονηρίας τοῦ διαβόλου καὶ νὰ διώξωμεν αὐτὴν τὴν σκέψιν ἀπὸ τὸν νοῦν μας καὶ νὰ μὴ παρατηροῦμεν τὰς ἡ-

Οὐ γὰρ ἵνα ἡμᾶς εἰς ῥαθυμίαν ἐμβάλῃ μόνον, ἀλλ' ἵνα καὶ τοῦ Θεοῦ τὰ δημιουργήματα διαβάλῃ, ταῦτα ὁ πονηρὸς δαίμων ἐκεῖνος σκευωρεῖ, καὶ εἰς ἀσέβειαν ὁμοῦ καὶ εἰς ῥαθυμίαν τὰς ἡμετέρας καθελκύσαι βουλόμενος ψυχάς.

Ἀλλ' ἡμᾶς ἀποπηδᾶν χρή, καὶ σαφῶς εἰδέναι ὅτι οὐδὲν κακόν, ἀλλ' ἁμαρτία μόνον, καὶ οὐδὲν ἀγαθόν, ἀλλ' ἀρετὴ μόνον, καὶ τὸ διὰ παντὸς ἀρέσκειν Θεῷ. Οὐ ποιεῖ μέθη εὐφροσύνην, ἀλλ' εὐχὴ πνευματική· οὐκ οἶνος, ἀλλὰ λόγος διδασκαλικός. Ὁ οἶνος χειμῶνα, ὁ δὲ λόγος γαλήνην ἐργάζεται· ἐκεῖνος θόρυβον ἐπεισάγει, οὗτος ταραχὴν ἐκβάλλει· ἐκεῖνος σκοτοῖ τὴν διάνοιαν, οὗτος ἐσκοτισμένην φωτίζει· ἐκεῖνος ἀθυμίας τὰς οὐκ οὔσας ἐμβάλλει, οὗτος τὰς οὔσας ἀπελαύνει. Οὐδὲν γὰρ οὕτως εὐθυμίαν καὶ εὐφροσύνην ποιεῖν εἴωθεν, ὡς τὰ περὶ φιλοσοφίας δόγματα, τὸ τῶν παρόντων ὑπερορᾶν πραγμάτων, τὸ πρὸς τὰ μέλλοντα κεχηνέναι, τὸ μηδὲν τῶν ἀνθρωπίνων βέβαιον εἶναι νομίζειν, μὴ πλοῦτον, μὴ δυναστείαν, μὴ τιμάς, μὴ θεραπείας. Ἂν ταῦτα εἰδῇς φιλοσοφεῖν, κἂν πλουτοῦντα θεάσῃ τινά, οὐ δηχθήσῃ φθόνῳ, κἂν εἰς πενίαν καταπέσῃς, οὐ ταπεινωθήσῃ τῇ πτωχείᾳ. Οὕτω διὰ παντὸς ἑορτάζειν δύνασαι.

Τὸν γὰρ Χριστιανὸν οὐχὶ μῆνας, οὐδὲ νουμηνίας, οὐδὲ Κυριακὰς ἑρτάζειν χρή, ἀλλὰ διὰ παντὸς τοῦ βίου τὴν αὐτῷ πρέπουσαν ἑορτὴν ἄγειν. Τίς δ' αὐτῷ πρέπουσα ἑορτή; Ἀκούσωμεν Παύλου λέγοντος· «Ὥστε ἑορτάζωμεν, μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας». Ἂν τοίνυν καθαρὸν ἔχῃς τὸ συνειδός, ἑορτὴν ἔχεις διὰ παντός, χρησταῖς συντρεφόμενος ἐλπίσι, καὶ ἐντρυφῶν τῇ τῶν μελλόντων ἀγαθῶν προσδοκίᾳ· ὥσπερ οὖν ἂν ἀπαρρησίαστον ἔχῃς, καὶ ἁμαρτημάτων πολλῶν ὑπεύθυνος ᾖς, κἂν μυρίαι ὦσιν ἑορταὶ καὶ

---

6. Α' Κορ. 5, 8.

μέρας, καὶ οὔτε τὴν μίαν νὰ μισοῦμεν καὶ τὴν ἄλλην νὰ ἀγαπῶμεν. Διότι τὰ μηχανεύεται αὐτὰ ὁ διάβολος ὄχι μόνον διὰ νὰ μᾶς ρίψῃ εἰς ἀμέλειαν, ἀλλὰ καὶ διὰ νὰ συκοφαντήσῃ τὰ δημιουργήματα τοῦ Θεοῦ καὶ νὰ παρασύρῃ τὰς ψυχάς μας εἰς τὴν ἀσέβειαν μαζὶ καὶ τὴν ραθυμίαν.

Ἀλλὰ ἐμεῖς πρέπει νὰ ξεφύγωμεν καὶ νὰ μάθωμεν σαφῶς ὅτι τίποτε δὲν εἶναι κακὸν ἀλλὰ μόνον ἡ ἁμαρτία καὶ τίποτε δὲν εἶναι ἀγαθόν, ἀλλὰ μόνον ἡ ἀρετὴ καὶ τὸ νὰ ἀρέσωμεν εἰς τὸν Θεὸν κατὰ πάντα. Δὲν προξενεῖ ἡ μέθη εὐχαρίστησιν, ἀλλὰ ἡ πνευματικὴ προσευχή· ὄχι τὸ κρασί, ἀλλὰ ὁ διδακτικὸς λόγος. Τὸ κρασὶ φέρει τρικυμίαν ἐνῷ ὁ λόγος γαλήνην· ἐκεῖνο φέρει τὸν θόρυβον ἐνῷ ὁ λόγος διώχνει τὴν ταραχήν· ἐκεῖνο σκοτίζει τὸν νοῦν, αὐτὸς ὅμως, ὅταν εἶναι σκοτισμένος ὁ νοῦς, τὸν φωτίζει· ἐκεῖνο μᾶς δημιουργεῖ ἀνυπάρκτους στενοχωρίας, αὐτὸς διώχνει αὐτὰς ποὺ ὑπάρχουν. Διότι κανένα πρᾶγμα δὲν συνηθίζει νὰ προξενῇ τόσην χαρὰν καὶ εὐχαρίστησιν, ὅσον αἱ ἀλήθειαι τῆς πίστεως, ἡ περιφρόνησις τῶν παρόντων πραγμάτων καὶ ἡ ἀναμονὴ τῶν μελλόντων καὶ τὸ νὰ θεωροῦμεν ὡς μὴ βέβαια ὅλα τὰ ἀνθρώπινα πράγματα, καὶ τὸν πλοῦτον καὶ τὴν ἐξουσίαν καὶ τὰς τιμὰς καὶ τὰς ἀπολαύσεις. Ἂν μπορῇς νὰ σκέπτεσαι ἔτσι, ἀκόμη καὶ ἂν ἰδῇς κανένα νὰ πλουτίζῃ δὲν θὰ σὲ κεντρίζῃ ὁ φθόνος, καὶ ἂν περιπέσῃς εἰς στέρησιν δὲν θὰ ταπεινωθῇς ἀπὸ τὴν πτωχείαν. Ἔτσι ἠμπορεῖς νὰ ἑορτάζῃς πάντοτε.

Ὁ Χριστιανὸς λοιπὸν δὲν πρέπει νὰ ἑορτάζῃ τοὺς μῆνας, ἢ τὰς νουμηνίας, ἢ τὰς Κυριακάς, ἀλλὰ ὅλην του τὴν ζωὴν πρέπει νὰ ζῇ μὲ τὴν πρέπουσαν ἑορτήν. Ποία εἶναι ἡ πρέπουσα ἑορτὴ τοῦ Χριστιανοῦ; Ἂς ἀκούσωμεν τὸν Παῦλον ποὺ λέγει· «ὥστε ἂς ἑορτάζωμεν ὄχι μὲ παλαιὸ προζύμι, οὔτε μὲ προζύμι κακίας καὶ πονηρίας, ἀλλὰ μὲ ἄζυμα εἰλικρινείας καὶ ἀληθείας»[6]. Ἂν ἔχῃς λοιπὸν καθαρὰν τὴν συνείδησιν, ἔχεις διαρκῶς ἑορτήν, ἐπειδὴ τρέφεσαι μαζὶ μὲ τὰς καλὰς ἐλπίδας, καὶ εὐχαριστεῖσαι μὲ τὴν ἀναμονὴν τῶν μελλόντων ἀγαθῶν· ὅπως ἐπίσης ἂν ἔχῃς ἔνοχον τὴν συνείδησίν σου καὶ εἶσαι ὑπεύθυνος διὰ πολ-

πανηγύρεις, τῶν πενθούντων οὐδὲν ἄμεινον διακείσῃ. Τί γὰρ ὄφελός μοι λαμπρᾶς ἡμέρας, τῆς ψυχῆς ἐσκοτισμένης μοι τῷ συνειδότι; Εἰ δὲ ἄρά τι καὶ καρπώσασθαι ἀπὸ νουμηνίας βούλει, ἐκεῖνο ποίησον. Ὅταν ἴδῃς ἐνιαυτὸν πληρωθέντα, εὐχαρίστησον τῷ Δεσπότῃ, ὅτι σε εἰσήγαγεν εἰς τὴν περίοδον ταύτην τῶν ἐνιαυτῶν. Κατάνυξόν σου τὴν καρδίαν, ἀναρίθμησαί σου τὸν χρόνον τῆς ζωῆς, εἰπὲ πρὸς ἑαυτόν· αἱ ἡμέραι τρέχουσι καὶ παρέρχονται, οἱ ἐνιαυτοὶ πληροῦνται, πολὺ τῆς ὁδοῦ προεκόψαμεν· Ἆρα τί ἡμῖν εἴργασται καλόν; Ἆρα μὴ κενοὶ καὶ ἔρημοι δικαιοσύνης ἁπάσης ἐντεῦθεν ἀπελευσόμεθα; Τὸ δικαστήριον ἐπὶ θύραις, πρὸς γῆρας ἡμῶν ἐπείγεται λοιπὸν ἡ ζωή.

3. Ταῦτα ἀπὸ νουμηνίας φιλοσόφει, ταῦτα ἀπὸ τῆς περιόδου τῶν ἐνιαυτῶν ἀναμιμνήσκου· τῆς μελλούσης ἡμέρας ἀναλογιζώμεθα, μή ποτε καὶ πρὸς ἡμᾶς εἴπῃ τις ἐκεῖνο, τὸ πρὸς τοὺς Ἰουδαίους εἰρημένον τῷ προφήτῃ· «Ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν, καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς». Ταύτην τὴν ἑορτὴν ἣν εἶπον ἐγώ, τὴν διηνεκῆ, καὶ περιόδους ἐτῶν οὐκ ἀναμένουσαν, οὐδὲ περιγραφομένην ἡμέραις, καὶ πλούσιος καὶ πένης ἄγειν δυνήσεται ὁμοίως. Οὐ γὰρ χρημάτων ἐνταῦθα χρεία, οὐδ᾽ εὐπορίας, ἀλλ᾽ ἀρετῆς μόνης. Οὐκ ἔχεις χρήματα; Ἀλλὰ ἔχεις τοῦ Θεοῦ τὸν φόβον, πάντων χρημάτων εὐπορώτερον θησαυρόν, οὐκ ἀναλισκόμενον, οὐ μεταβαλλόμενον, οὐ δαπανώμενον. Ἴδε εἰς τὸν οὐρανόν, καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ, τὴν γῆν, τὴν θάλασσαν, τὸν ἀέρα, τὰ γένη τῶν ζώων, τὰ παντοδαπὰ φυτά, τὴν φύσιν τῶν ἀνθρώπων ἅπασαν. Ἐννόησον ἀγγέλους, ἀρχαγγέλους, τὰς ἀνωτέρας δυνάμεις ἀναμνήσθητι, ταῦτα πάντα τοῦ Δεσπότου σού ἐστι κτήματα. Οὐκ ἔστι δὲ οὕτως εὐπόρου δεσπότου δοῦλον πένητα εἶναι, ἐὰν ἵλεω τὸν ἑαυτοῦ Κύριον ἔχῃ.

Τὸ παρατηρεῖν ἡμέρας οὐ Χριστιανικῆς φιλοσοφίας, ἀλλ᾽ Ἑλληνικῆς πλάνης ἐστίν. Εἰς τὴν ἄνω πόλιν ἀπεγράψω, εἰς

---

7. Ψαλμ. 77, 33.

λὰς ἁμαρτίας, καὶ ἂν ὑπάρχουν ἀκόμη χιλιάδες ἑορταὶ καὶ πανηγύρεις, δὲν θὰ αἰσθάνεσαι καθόλου καλύτερα ἀπὸ αὐτοὺς ποὺ πενθοῦν. Ποῖο λοιπὸν εἶναι τὸ ὄφελος ἐὰν ἡ ἡμέρα εἶναι λαμπρά, ἡ ψυχή μου ὅμως εἶναι σκοτισμένη εἰς τὴν συνείδησιν; Ἂν ὅμως θέλῃς νὰ ὠφεληθῇς κάτι καὶ ἀπὸ τὴν νουμηνίαν αὐτὸ κάμε. Ὅταν ἰδῇς νὰ συμπληρώνεται ἕνας χρόνος εὐχαρίστησε τὸν Κύριον ποὺ σὲ εἰσήγαγεν εἰς τὸν κύκλον αὐτῶν τῶν ἐτῶν. Νὰ συγκινηθῇ ἡ καρδία σου, μέτρησε τὸν χρόνον τῆς ζωῆς σου καὶ εἰπὲ εἰς τὸν ἑαυτόν σου. Αἱ ἡμέραι τρέχουν καὶ περνοῦν, τὰ χρόνια συμπληρώνονται, πολὺν δρόμον ἐπροχωρήσαμεν· ποῖον καλὸν ἔργον ἐπράξαμεν; Μήπως φύγωμεν ἀπὸ ἐδῶ κενοὶ καὶ ἔρημοι ἀπὸ κάθε εἶδος ἀγαθοεργίας; Τὸ δικαστήριον πλησιάζει, ἡ ζωὴ τρέχει βιαστικὰ πρὸς τὸ γῆρας.

3. Αὐτὰ νὰ συλλογίζεσαι μὲ ἀφορμὴν τὰς νουμηνίας, αὐτὰ νὰ ἐνθυμῆσαι εἰς κάθε ἀλλαγὴν τῶν ἐτῶν· ἂς σκεπτώμεθα τὴν ἡμέραν τῆς μελλούσης κρίσεως, μήπως εἰπῇ κανεὶς καὶ πρὸς ἡμᾶς αὐτὸ ποὺ ἔχει λεχθῇ ἀπὸ τὸν προφήτην εἰς τοὺς Ἰουδαίους· «ἐτελείωσαν αἱ ἡμέραι των ἐν ματαιότητι καὶ τὰ ἔτη των αἰφνιδίως»[7]. Αὐτὴν τὴν ἑορτὴν ποὺ ἀνέφερα, τὴν συνεχῆ, ποὺ δὲν περιμένει ἐναλλαγὰς τῶν ἐτῶν, οὔτε καθορίζεται ἀπὸ ἡμέρας, καὶ ὁ πλούσιος καὶ ὁ πτωχὸς ἠμπορεῖ νὰ τὴν ἑορτάσῃ κατὰ τὸν ἴδιον τρόπον. Διότι δὲν χρειάζονται χρήματα, οὔτε πλοῦτος, ἀλλὰ μόνον ἀρετή. Δὲν ἔχεις χρήματα; Ἔχεις ὅμως τὸν φόβον τοῦ Θεοῦ, ποὺ εἶναι πλουσιώτερος θησαυρὸς ἀπὸ ὅλα τὰ χρήματα, ποὺ δὲν ξοδεύεται, ποὺ δὲν μεταβάλλεται, ποὺ δὲν δαπανᾶται. Κοίταξε εἰς τὸν οὐρανὸν καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ, τὴν γῆν, τὴν θάλασσαν, τὸν ἀέρα, τὰ εἴδη τῶν ζώων, τὰ κάθε εἴδους φυτά, ὅλον τὸ γένος τῶν ἀνθρώπων. Φαντάσου τοὺς ἀγγέλους, τοὺς ἀρχαγγέλους, τὰς ἀνωτέρας δυνάμεις· αὐτὰ ὅλα ἀνήκουν εἰς τὸν Κύριόν σου. Δὲν εἶναι λοιπὸν δυνατὸν ἕνας δοῦλος τόσον πλουσίου Δεσπότου νὰ εἶναι φτωχός, ἐὰν ἔχῃ εὐνοϊκὸν τὸν Κύριόν του.

Τὸ νὰ παρατηρῇ κανεὶς τὰς ἡμέρας δὲν εἶναι γνώρισμα τῆς χριστιανικῆς πίστεως, ἀλλὰ τῆς εἰδωλολατρικῆς

τὴν ἐκεῖ πολιτείαν τελεῖς, ἀγγέλοις σαυτὸν ἀναμίξας· οὗ οὐκ ἔστι φῶς εἰς σκότος λῆγον, οὐδ' ἡμέρα εἰς νύκτα τελευτῶσα, ἀλλὰ διὰ παντὸς ἡμέρα, διὰ παντὸς φῶς. Πρὸς ἐκεῖνα τοίνυν βλέπωμεν διὰ παντός. «Τὰ ἄνω γάρ», φησί, «ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος». Οὐδὲν ἔχεις κοινὸν πρὸς τὴν γῆν, ἔνθα ἡλίου δρόμοι, καὶ περίοδοι, καὶ ἡμέραι· ἀλλ' ἐὰν ὀρθῶς ζῇς, ἡ νὺξ ἡμέρα σοι γίνεται· ὥσπερ οὖν τοῖς ἐν ἀσελγείᾳ καὶ μέθῃ καὶ ἀκολασίᾳ βιοῦσιν ἡ ἡμέρα αὐτῶν πρὸς τὸ τῆς νυκτὸς μεταφέρεται σκότος, οὐ τοῦ ἡλίου σβεννυμένου, ἀλλὰ τῆς ἐκείνων διανοίας τῇ μέθῃ σκοτιζομένης. Τὸ πρὸς ἡμέρας ἐπτοῆσθαι τοιαύτας, καὶ πλείονα ἐν αὐταῖς δέχεσθαι ἡδονήν, καὶ λύχνους ἅπτειν ἐπὶ τῆς ἀγορᾶς, καὶ στεφανώματα πλέκειν, παιδικῆς ἀνοίας ἐστίν. Σὺ δὲ ταύτης ἀπήλλαξαι τῆς ἀσθενείας, καὶ εἰς ἄνδρας τελεῖς, καὶ εἰς τὴν τῶν οὐρανῶν ἐνεγράφης πολιτείαν. Μὴ τοίνυν ἐπὶ τῆς ἀγορᾶς ἀνακαύσῃς, πῦρ αἰσθητόν, ἀλλ' ἐπὶ τῆς διανοίας ἄναψον φῶς πνευματικόν. «Λαμψάτω γάρ», φησί, «τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς».

Τοῦτο τὸ φῶς πολλήν σοι φέρει τὴν ἀμοιβήν. Μὴ τὴν θύραν τῆς οἰκίας στεφανώσῃς, ἀλλὰ τοιαύτην ἐπίδειξαι πολιτείαν, ὥστε τῆς δικαιοσύνης στέφανον τῇ σῇ κεφαλῇ παρὰ τῆς τοῦ Χριστοῦ δέξασθαι χειρός. «Μηδὲν εἰκῇ, μηδὲ ἁπλῶς γενέσθω»· οὕτω Παῦλος ἐπέταξε πάντα εἰς δόξαν Θεοῦ ποιεῖν. «Εἴτε γὰρ ἐσθίετε», φησίν, «εἴτε πίνετε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε». Καὶ πῶς ἐστι, φησί, φαγεῖν καὶ πιεῖν εἰς δόξαν Θεοῦ; Κάλεσον πένητα κοινωνὸν ποίησον τῆς τραπέζης τὸν Χριστόν, καὶ εἰς δόξαν Θεοῦ ἔφαγες καὶ ἔπιες. Ἀλλ' οὐ τοῦτο μόνον ἐπέταξεν εἰς δόξαν Θεοῦ ποιεῖν, ἀλλὰ

---

8. Κολ. 3, 1.
9. Ματθ. 5, 16.
10. Κάτι ἀνάλογον μὲ αὐτὸ πού συμβαίνει σήμερον κατὰ τὴν πρωτομαγιάν, ἐστόλιζον δηλαδὴ τὰς εἰσόδους τῶν σπιτιῶν τους μὲ στεφάνια ἀπὸ λουλούδια.
11. Α' Κορ. 10, 31.

πλάνης. Ἔχεις ἀπογραφῆ εἰς τὴν οὐράνιον πόλιν, διαμένεις εἰς τὴν ἐκεῖ πολιτείαν, ἀνέμιξες τὸν ἑαυτόν σου μὲ τοὺς ἀγγέλους· ἐκεῖ ποὺ δὲν ὑπάρχει φῶς ποὺ νὰ καταλήγῃ εἰς τὸ σκοτάδι οὔτε ἡμέρα ποὺ νὰ τελειώνῃ εἰς νύκτα, ἀλλὰ πάντοτε ἡμέρα, πάντοτε φῶς. Πρὸς ἐκεῖνα λοιπὸν νὰ βλέπωμεν πάντοτε· διότι λέγει· «νὰ ζητᾶτε ὅσα εἶναι ἐπάνω, ὅπου ὁ Χριστὸς κάθεται εἰς τὰ δεξιὰ τοῦ Θεοῦ»[8]. Δὲν ἔχεις τίποτε κοινὸν μὲ τὴν γῆν, ὅπου ἐξουσιάζουν οἱ δρόμοι τοῦ ἡλίου καὶ οἱ κύκλοι αὐτοῦ καὶ αἱ ἡμέραι· ἀλλὰ ἐὰν ζῇς ὀρθῶς, ἡ νύκτα γίνεται δι' ἐσένα ἡμέρα· ὅπως εἰς αὐτοὺς ποὺ ζοῦν εἰς τὴν ἀσέλγειαν καὶ τὴν μέθην καὶ τὴν ἀκολασίαν, ἡ ἡμέρα μετατρέπεται εἰς σκότος τῆς νύκτας, ὄχι διότι σβήνει ὁ ἥλιος, ἀλλὰ διότι ὁ νοῦς των σκοτίζεται μὲ τὴν μέθην. Τὸ νὰ δίνῃ κανεὶς εἰς τὰς ἡμέρας αὐτὰς τόσην σημασίαν καὶ νὰ ἀπολαμβάνῃ μεγαλυτέραν εὐχαρίστησιν κατ' αὐτάς, καὶ νὰ φωταγωγῇ τὰς ἀγοράς, καὶ νὰ πλέκῃ στεφάνια, εἶναι χαρακτηριστικὸν παιδικῆς ἀνοησίας. Σὺ ὅμως ἔχει ἀπαλλαγῆ ἀπὸ αὐτὴν τὴν ἀδυναμίαν, καὶ ἔγινες ἄνδρας καὶ ἐνεγράφης εἰς τὴν οὐράνιον πολιτείαν. Μὴ ἀνάβῃς λοιπὸν εἰς τὴν ἀγορὰν φωτιὰ αἰσθητή, ἀλλ' ἄναψε εἰς τὴν σκέψιν σου φῶς πνευματικόν. Διότι λέγει· «ἔτσι πρέπει νὰ λάμψῃ τὸ φῶς σας ἐμπρὸς εἰς τοὺς ἀνθρώπους, διὰ νὰ ἰδοῦν τὰ καλά σας ἔργα καὶ νὰ δοξάσουν τὸν Πατέρα σας ποὺ εἶναι εἰς τοὺς οὐρανούς[9].

Αὐτὸ τὸ φῶς σοῦ δίδει μεγάλην ἀμοιβήν. Μὴ στεφανώσῃς τὴν πόρταν τοῦ σπιτιοῦ[10], ἀλλὰ ζῆσε κατὰ τέτοιον τρόπον, ὥστε νὰ δεχθῇς εἰς τὴν κεφαλήν σου τὸν στέφανον τῆς δικαιοσύνης ἀπὸ τὸ χέρι τοῦ Χριστοῦ. «Τίποτε νὰ μὴ γίνεται ἀσκόπως καὶ χωρὶς λόγον». Ἔτσι διέταξεν ὁ Παῦλος νὰ κάνωμεν τὰ πάντα διὰ τὴν δόξαν τοῦ Θεοῦ. «Εἴτε λοιπὸν τρώγετε, εἴτε πίνετε εἴτε κάνετε κάτι, ὅλα νὰ τὰ κάνετε διὰ τὴν δόξαν τοῦ Θεοῦ»[11]. Πῶς ὅμως, λέγει, εἶναι δυνατὸν νὰ φάγω καὶ νὰ πίω εἰς δόξαν Θεοῦ; Κάλεσε πτωχόν, κάμε ὥστε ὁ Χριστὸς νὰ μετάσχῃ εἰς τὸ τραπέζι, καὶ ἔτσι μ' αὐτὸν τὸν τρόπον τρώγεις καὶ πίνεις εἰς δόξαν Θεοῦ. Δὲν διέταξεν ὅμως

καὶ τὰ λοιπὰ ἅπαντα, οἷόν ἐστιν ἐμβαλεῖν εἰς ἀγοράν, καὶ οἴκοι μεῖναι· ἀμφότερα ταῦτα διὰ τὸν Θεὸν γενέσθω. Καὶ πῶς ἐστιν ἀμφότερα ταῦτα γίνεσθαι διὰ τὸν Θεόν; Ὅταν εἰς Ἐκκλησίαν βαδίζῃς, ὅταν εὐχῆς μετέχῃς, ὅταν διδασκαλίας πνευματικῆς, ἡ πρόοδος εἰς δόξαν Θεοῦ γέγονε. Πάλιν ἐστὶν οἴκοι διὰ τὸν Θεὸν μεῖναι. Πῶς καὶ τίνι τρόπῳ; Ὅταν ἀκούσῃς θορύβους, ἀταξίας, καὶ πομπὰς διαβολικάς, πονηρῶν ἀνθρώπων καὶ ἀκολάστων τὴν ἀγορὰν πεπληρωμένην, οἴκοι μένε, καὶ τῆς ταραχῆς ἀπαλλάττου ταύτης, καὶ ἔμεινες εἰς δόξαν Θεοῦ. Ὥσπερ δὲ τὰς οἴκοι διατριβὰς καὶ τὰς ἐξόδους ἔξεστι ποιεῖσθαι διὰ τὸν Θεόν, οὕτω καὶ ἐπαίνους καὶ ψόγους.

Πῶς ἐστιν εἰς δόξαν Θεοῦ τινα ἐπαινέσαι, φησί, καὶ αἰτιάσασθαι; Καθίζεσθε πολλάκις ἐν τοῖς ἐργαστηρίοις, ὁρᾶτε παριόντας πονηροὺς καὶ φαύλους ἀνθρώπους· τὰς ὀφρῦς ἀνασπῶντας, πεφυσιωμένους, παρασίτους καὶ κόλακας πολλοὺς ἐπισυρομένους, πολυτελῆ φοροῦντας ἱμάτια, πολλὴν περιβεβλημένους τὴν φαντασίαν, τὰ πάντων ἁρπάζοντας, πλεονεκτοῦντας. Ἂν ἀκούσῃς τινὸς λέγοντος· οὐ ζηλωτὸς οὗτος, οὐχὶ μακάριος; ἐπιτίμησον, ἐγκάλεσον, ἐπιστόμισον, ταλάνισον, δάκρυσον· τουτό ἐστι ψέξαι διὰ τὸν Θεόν. Ὁ ψόγος διδασκαλία τοῖς συγκαθημένοις φιλοσοφίας καὶ ἀρετῆς ὁ τοιοῦτος, μηκέτι περὶ τὰ βιωτικὰ κεχηνέναι. Εἰπέ πρὸς τὸν ταῦτα εἰρηκότα· διὰ τί μακάριος οὗτος; Ἐπειδὴ θαυμαστὸν ἵππον ἔχει καὶ χρυσοχάλινον, καὶ οἰκέτας πολλοὺς κέκτηται, καὶ φαιδρὰν περιβέβληται στολήν, καὶ μέθῃ καὶ τρυφῇ διαρρήγνυται καθ᾿ ἑκάστην ἡμέραν; Ἀλλὰ διὰ τοῦτο ἄθλιος ἂν εἴη καὶ ταλαίπωρος, καὶ μυρίων δακρύων ἄξιος. Ὁρῶν γοῦν ὑμᾶς οὐδὲν δυναμένους ἐπαινέσαι τῶν αὐτοῦ,

μόνον αὐτὸ νὰ κάμωμεν εἰς δόξαν Θεοῦ, ἀλλὰ καὶ ὅλα τὰ ὑπόλοιπα, ὅπως παραδείγματος χάριν τὸ νὰ μεταβῇς εἰς τὴν ἀγορὰν καὶ τὸ νὰ μείνῃς εἰς τὸ σπίτι· καὶ τὰ δύο αὐτὰ νὰ γίνωνται διὰ τὸν Θεόν. Καὶ πῶς εἶναι δυνατὸν καὶ τὰ δύο αὐτὰ νὰ γίνωνται διὰ τὸν Θεόν; Ὅταν βαδίζῃς πρὸς τὴν ἐκκλησίαν, ὅταν μετέχῃς εἰς τὴν προσευχὴν ἢ εἰς πνευματικὴν διδασκαλίαν, αὐτὴ ἡ μετάβασις γίνεται εἰς δόξαν Θεοῦ. Εἶναι πάλιν δυνατὸν νὰ μείνῃς εἰς τὸ σπίτι διὰ τὸν Θεόν. Πῶς καὶ μὲ ποῖον τρόπον; Ὅταν ἀκούσῃς θορύβους, ἀταξίας καὶ διαβολικὰς παρελάσεις καὶ ὅταν ἡ ἀγορὰ εἶναι γεμάτη ἀπὸ πονηροὺς καὶ ἀκολάστους ἀνθρώπους, τότε νὰ μείνῃς εἰς τὸ σπίτι διὰ νὰ ἀπαλλάσσεσαι ἀπὸ τὴν ταραχὴν αὐτήν, καὶ ἔτσι μένεις διὰ τὴν δόξαν τοῦ Θεοῦ. Ὅπως λοιπὸν ἠμποροῦμεν νὰ μένωμεν εἰς τὸ σπίτι ἢ νὰ ἐξερχώμεθα διὰ τὸν Θεόν, κατὰ τὸν ἴδιον τρόπον ἠμποροῦμεν νὰ κάνωμεν καὶ τοὺς ἐπαίνους καὶ τὰς κατακρίσεις πάλιν διὰ τὸν Θεόν.

Καὶ πῶς εἶναι δυνατὸν νὰ ἐπαινέσωμεν κάποιον εἰς δόξαν Θεοῦ ἢ νὰ κατηγορήσωμεν; Πολλὰς φορὰς κάθεσθε εἰς τὰ ἐργαστήρια καὶ βλέπετε πολλοὺς πονηροὺς καὶ κακοὺς ἀνθρώπους ποὺ περνοῦν μὲ ἀνυψωμένα τὰ φρύδια, φαντασμένους, νὰ περιτριγυρίζωνται ἀπὸ πολλὰ παράσιτα καὶ κόλακας, νὰ φοροῦν πολυτελῆ ἐνδύματα, νὰ ἔχουν μεγάλην ὑπερηφάνειαν, νὰ ἁρπάζουν τὰ πάντα, νὰ πλεονεκτοῦν. Ἂν ἀκούσῃς κάποιον νὰ λέγῃ πὼς αὐτὸς εἶναι ἀξιοζήλευτος καὶ εὐτυχὴς νὰ τὸν ἐπιπλήξῃς, νὰ τὸν κατακρίνῃς, νὰ τὸν ἀποστομώσῃς, νὰ τὸν λυπηθῇς, νὰ δακρύσῃς. Αὐτὸ σημαίνει νὰ κατακρίνῃς διὰ τὸν Θεόν. Αὐτὴ ἡ κατάκρισίς σου εἶναι διδασκαλία πίστεως καὶ ἀρετῆς διὰ τοὺς συγκαθημένους, ὥστε νὰ μὴ θαυμάζουν τὰ βιωτικά. Εἰπὲ πρὸς αὐτὸν ποὺ εἶπεν αὐτά· διατί εἶναι αὐτὸς εὐτυχής; Ἐπειδὴ ἔχει ὡραῖον καὶ χρυσοχάλινον ἄλογον καὶ πολλοὺς δούλους, καὶ φορεῖ φανταχτερὴν στολήν, καὶ καθημερινῶς σκάζει ἀπὸ τὴν μέθην καὶ τὴν ἀπόλαυσιν; Ἀλλὰ δι' αὐτὸ θὰ ἦτο ἄθλιος καὶ ταλαίπωρος καὶ ἀξιοδάκρυτος. Σᾶς βλέπω λοιπὸν ποὺ δὲν ἠμπορεῖτε νὰ ἐπαινέσετε τίποτε τὸ ἰδι-

ἀλλὰ τὰ ἐκτὸς αὐτοῦ πάντα, τὸν ἵππον, τὸν χαλινόν, τὰ ἱμάτια, ὧν οὐδέν ἐστι πρὸς αὐτόν. Τί γένοιτ' ἂν οὖν ἀθλιώτερον, εἰπέ μοι, τούτου, ὅταν ὁ μὲν ἵππος αὐτοῦ, καὶ ὁ χαλινὸς τοῦ ἵππου, καὶ τῶν ἱματίων τὸ κάλλος, καὶ ἡ σωματικὴ τῶν οἰκετῶν εὐεξία θαυμάζηται, αὐτὸς δ' ἀνεγκωμίαστος παρατρέχῃ; Τί τοίνυν γένοιτ' ἂν πενέστερον τούτου, τοῦ μηδὲν ἔχοντος καλὸν οἰκεῖον, μήθ' ὃ δυνήσεται ἐντεῦθεν ἀπενεγκεῖν, ἀλλὰ τοῖς ἀλλοτρίοις καλλωπιζομένου πᾶσιν; Οἰκεῖος γὰρ ἡμῶν κόσμος καὶ πλοῦτος, οὐκ οἰκέται, καὶ ἱμάτια, καὶ ἵπποι, ἀλλὰ ψυχῆς ἀρετή, καὶ πλοῦτος ἀγαθῶν ἔργων, καὶ ἡ πρὸς Θεὸν παρρησία.

4. Πάλιν ἕτερον ἂν ἴδῃς πτωχόν, ἀπερριμμένον, καταφρονούμενον, πτωχείᾳ καὶ ἀρετῇ συζῶντα, καὶ ταλανιζόμενον παρὰ τῶν συγκαθημένων, ἐπαίνεσον τοῦτον καὶ γέγονεν ὁ ἔπαινος τοῦ παρελθόντος παραίνεσις καὶ συμβουλὴ χρηστῆς καὶ ἀγαθῆς πολιτείας. Εἰ λέγουσιν, ἄθλιος καὶ ταλαίπωρος, εἰπὲ ὅτι πάντων μὲν οὖν οὗτος μακαριώτατος, τὸν Θεὸν ἔχων φίλον, ἀρετῇ συζῶν, πλοῦτον κεκτημένος οὐδέποτ' ἐπιλείποντα, συνειδὸς ἔχων καθαρόν. Τί γὰρ αὐτῷ βλάβος ἐκ τῆς ἐνδείας τῶν χρημάτων, ὅταν τὸν οὐρανόν, καὶ τὰ ἐν τῷ οὐρανῷ μέλλῃ κληρονομεῖν ἀγαθά; Ἂν οὕτως φιλοσοφῇς, καὶ αὐτοὺς καὶ ἄλλους παιδεύῃς, πολλὴν λήψῃ καὶ τοῦ ψόγου καὶ τῶν ἐπαίνων τὴν μισθαποδοσίαν, ἀμφότερα εἰς δόξαν Θεοῦ ποιήσας. Καὶ ὅτι οὐ μάτην σε ψυχαγωγῶ ταῦτα λέγων, ἀλλὰ μεγάλη τις τοῖς οὕτω τὴν γνώμην διακειμένοις κεῖται παρὰ τοῦ Θεοῦ τῶν ὅλων ἀμοιβή, καὶ ἀρετή τις νενόμισται τὸ πρᾶγμα, τὸ τὰ τοιαῦτα ψηφίζεσθαι, περὶ τῶν οὕτω ζώντων, ἄκουσον τί φησιν ὁ προφήτης, καὶ πῶς ἐν τάξει κατορθωμάτων τίθησι τὸ τοὺς πονηρευομένους ἐξουθενεῖν, καὶ τοὺς φοβουμένους τὸν Θεὸν δοξάζειν.

Μετὰ γὰρ τὸ καταλέξαι τὴν ἄλλην ἀρετὴν τοῦ μέλ-

κόν του, ἀλλὰ ὅλα τὰ ξένα, τὸ ἄλογον, τὸ χαλινάρι, τὰ ἐνδύματα, αὐτὰ δηλαδὴ πού δὲν ἔχουν σχέσιν μὲ αὐτόν. Τί ἀθλιώτερον τούτου θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ, ὅταν τὸ μὲν ἄλογόν του καὶ τὸ χαλινάρι τοῦ ἀλόγου του, καὶ τὸ κάλλος τῶν ἐνδυμάτων του, καὶ ἡ καλὴ σωματικὴ διάπλασις τῶν δούλων του ἐγκωμιάζωνται, αὐτὸς δὲ μένει ἀνεγκωμίαστος; Καὶ τί φτωχότερον τούτου θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ, πού δὲν ἔχει τίποτε καλὸν ἰδικόν του, οὔτε κάτι πού θὰ ἠμποροῦσε νὰ πάρῃ μαζί του ἀπὸ ἐδῶ, ἀλλὰ στολίζεται μὲ ὅλα τὰ ξένα; Διότι ἰδικόν μας στολίδι καὶ πλοῦτος δὲν εἶναι οἱ δοῦλοι καὶ τὰ ἐνδύματα καὶ τὰ ἄλογα, ἀλλ' ἡ ἀρετὴ τῆς ψυχῆς, καὶ ὁ πλοῦτος τῶν ἀγαθῶν ἔργων καὶ τὸ θάρρος ἐνώπιον τοῦ Θεοῦ.

4. Ἂν πάλιν ἰδῇς ἄλλον πτωχόν, παραπεταμένον, καταφρονημένον, πού ζῇ μέσα εἰς τὴν πτωχείαν καὶ τὴν ἀρετὴν νὰ τὸν κακοτυχίζουν οἱ διπλανοί του, ἐσὺ νὰ τὸν ἐπαινέσῃς καὶ ἔτσι ὁ ἔπαινος διὰ τὸ παρελθόν του γίνεται συμβουλὴ διὰ καλὸν καὶ ἀγαθὸν τρόπον ζωῆς. Ἐὰν λέγουν ὅτι αὐτὸς εἶναι ἄθλιος καὶ ταλαίπωρος, ἐσὺ εἰπὲ ὅτι αὐτὸς ἐπειδὴ ἔχει φίλον τὸν Θεόν, ζῇ μὲ ἀρετήν, οὐδέποτε ἀπέκτησε πλοῦτον πού χάνεται, ἔχει καθαρὰν συνείδησιν, εἶναι εὐτυχέστερος ἀπὸ ὅλους. Ποία λοιπὸν ζημία ἐπροξενήθη εἰς αὐτὸν ἀπὸ τὴν ἀνέχειαν, ἀφοῦ πρόκειται νὰ κληρονομήσῃ τὸν οὐρανὸν καὶ τὰ οὐράνια ἀγαθά; Ἂν λοιπὸν σκέπτεσαι κατ' αὐτὸν τὸν τρόπον, καὶ διδάσκῃς καὶ ἄλλους νὰ σκέπτωνται ἔτσι, θὰ λάβῃς μεγάλην ἀνταπόδοσιν καὶ διὰ τὴν κατάκρισιν καὶ διὰ τοὺς ἐπαίνους, ἀφοῦ καὶ τὰ δύο τὰ ἔκαμες εἰς δόξαν Θεοῦ. Καὶ ὅτι δὲν σὲ καθοδηγῶ ματαίως μὲ τὸ νὰ σοῦ λέγω αὐτά, ἀλλὰ ἐπιφυλάσσεται μεγάλη ἀρετὴ ἀπὸ τὸν Θεὸν τῶν πάντων δι' αὐτοὺς πού σκέπτονται ἔτσι, καὶ ὅτι τὸ νὰ συμφωνῇ κανεὶς μὲ αὐτὰ θεωρεῖται ἀρετή, ἄκουσε τί λέγει ὁ προφήτης δι' αὐτοὺς πού ζοῦν κατ' αὐτὸν τὸν τρόπον καὶ πῶς θεωρεῖ κατόρθωμα τὸ νὰ ἐντροπιάζῃ κανεὶς τοὺς πονηρευομένους ἢ καὶ τὸ νὰ ἐπαινῇ τοὺς φοβουμένους τὸν Θεόν.

Ἀφοῦ δηλαδὴ ἀνέφερε τὴν ἄλλην ἀρετὴν αὐτοῦ πού

λοντος παρὰ τοῦ Θεοῦ τιμᾶσθαι, καὶ εἰπεῖν, οἷον εἶναι χρὴ τὸν ἐν ἁγίῳ κατοικοῦντα σκηνώματι, ὅτι ἄμωμον, καὶ ἐργαζόμενον δικαιοσύνην, καὶ ἀπόνηρον, καὶ τοῦτο προσέθηκεν· εἰπών, «Ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ, καὶ οὐκ ἐποίησε τῷ πλησίον αὐτοῦ κακόν»· ἐπήγαγεν, «Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος, τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει»· δεικνὺς ὅτι καὶ τοῦτο ἕν τι τῶν κατορθωμάτων ἐστί, τοῦτ᾽ ἔστι, τὸ καταφρονεῖν τῶν πονηρῶν, καὶ ἐπαινεῖν, καὶ μακαρίζειν τοὺς ἀγαθούς. Καὶ πάλιν ἀλλαχοῦ τὸ αὐτὸ τοῦτο δηλῶν ἔλεγεν· «Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός, λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν». Ὃν ὁ Θεὸς ἐπαινεῖ, μὴ μέμψῃ· ἐπαινεῖ δὲ τὸν ἐν δικαιοσύνῃ ζῶντα, κἂν πτωχὸς ᾖ. Ὃν ὁ Θεὸς ἀποστρέφεται, μὴ ἐπαινέσῃς· ἀποστρέφεται δὲ τὸν ἐν πονηρίᾳ ζῶντα, κἂν πολὺν ᾖ περιβεβλημένος πλοῦτον. Ἀλλ᾽ ἄν τ᾽ ἐπαινῇς, ἄν τε ψέγῃς, ἀμφότερα ὡς Θεὸς βούλεται ποίει. Ἔστι καὶ ἐγκαλέσαι εἰς δόξαν Θεοῦ. Πῶς; Ἐπὶ τῶν οἰκετῶν ἀγανακτοῦμεν πολλάκις. Πῶς οὖν ἐστιν ἐγκαλέσαι διὰ τὸν Θεόν; Ἂν μεθύοντα ἴδῃς, ἂν κλέπτοντα ἢ τὸν οἰκέτην ἢ τὸν φίλον ἢ ἕτερόν τινα τῶν σοι προσηκόντων, ἂν εἰς θέατρα τρέχοντα, ἂν τῆς ψυχῆς ἀμελοῦντα τῆς ἑαυτοῦ, ἂν ὀμνύοντα, ἂν ἐπιορκοῦντα, ἂν ψευδόμενον, ἀγανάκτησον, κόλασον, ἐπίστρεψον, διόρθωσαι· καὶ ταῦτα πάντα ἐποίησας διὰ τὸν Θεόν. Ἂν εἰς σὲ ἁμαρτάνοντα ἴδῃς, καὶ τῆς εἰς σὲ θεραπείας ἐλλείποντα, σύγγνωθι· καὶ συνέγνως διὰ τὸν Θεόν· Νυνὶ δὲ πολλοὶ τοὐναντίον ποιοῦσι, καὶ ἐπὶ τῶν φίλων, καὶ ἐπὶ τῶν οἰκετῶν. Ὅταν μὲν γὰρ εἰς αὐτοὺς ἁμάρτωσιν, πικροὶ καὶ ἀσύγγνωστοι γίνονται δικασταί· ὅταν δὲ εἰς τὸν Θεὸν ἐνυβρίζωσι καὶ τὰς ἑαυτῶν ἐναπόλωσι ψυχάς, οὐδένα ποιοῦνται λόγον.

---

12. Ψαλμ. 14, 3-4.
13. Ψαλμ. 138, 17.

θὰ δοξασθῇ ἀπὸ τὸν Θεόν, καὶ ἀφοῦ εἶπεν ὁποῖος πρέπει νὰ εἶναι αὐτὸς ποὺ κατοικεῖ εἰς τὴν ἁγίαν σκηνήν, δηλαδὴ ἄμωμος, δίκαιος καὶ ἀπόνηρος, προσέθεσε καὶ τοῦτο· «αὐτὸς ποὺ δὲν ἔβαλε δόλον εἰς τὴν γλῶσσαν του, καὶ δὲν ἔκαμε κακὸν εἰς τὸν πλησίον του»· καὶ ἀκόμη «ἐξουδενοῦται ἐνώπιόν του ὁ πονηρευόμενος, ἀλλὰ τιμᾷ τοὺς φοβουμένους τὸν Κύριον»[12], καὶ ἀπέδειξεν ἔτσι ὅτι καὶ αὐτὸ εἶναι μία ἐπιτυχία, τὸ νὰ περιφρονοῦμεν δηλαδὴ τοὺς πονηροὺς καὶ νὰ ἐπαινοῦμεν καὶ νὰ καλοτυχίζωμεν τοὺς ἀγαθούς. Καὶ ἀλλοῦ πάλιν ἔδειξε τὸ ἴδιο λέγων· «ἀπὸ ἐμὲ πολὺ ἐτιμήθησαν οἱ φίλοι σου, Θεέ, πολὺ ὑπερίσχυσαν αἱ ἀρχαὶ αὐτῶν»[13]. Αὐτὸν ποὺ ἐπαινεῖ ὁ Θεὸς σὺ μὴ τὸν κατηγορῇς· καὶ ὁ Θεὸς ἐπαινεῖ αὐτὸν ποὺ ζῇ μὲ ἀρετήν, ἀκόμη καὶ ἂν εἶναι πτωχός. Αὐτὸν ποὺ ἀποστρέφεται ὁ Θεὸς σὺ μὴ ἐπαινέσῃς· καὶ ἀποστρέφεται ὁ Θεὸς αὐτὸν ποὺ ζῇ εἰς τὴν πονηρίαν, ἀκόμη καὶ ἂν περιστοιχίζεται ἀπὸ πολὺν πλοῦτον. Ἀλλὰ εἴτε ἐπαινεῖς, εἴτε κατακρίνεις, καὶ τὰ δύο νὰ τὰ κάνῃς ὅπως θέλει ὁ Θεός. Εἶναι δυνατὸν καὶ νὰ κατηγορήσῃς εἰς δόξαν Θεοῦ. Πῶς; Πολλὰς φορὰς ἀγανακτοῦμεν διὰ τοὺς ὑπηρέτας. Πῶς λοιπὸν εἶναι δυνατὸν νὰ κατηγορήσωμεν διὰ τὸν Θεόν; Ἂν τὸν ἰδῇς νὰ μεθᾷ, νὰ κλέπτῃ ἢ τὸν ὑπηρέτην ἢ τὸν φίλον ἢ κάποιον ἄλλον ἀπὸ τοὺς ἰδικούς σου, ἂν τὸν ἰδῇς νὰ τρέχῃ εἰς τὰ θέατρα ἢ νὰ ἀδιαφορῇ διὰ τὴν ψυχήν του, ἢ νὰ ὁρκίζεται, ἢ νὰ παραβαίνῃ τὸν ὅρκον του ἢ νὰ ψεύδεται, τότε νὰ ἀγανακτήσῃς, νὰ τὸν τιμωρήσῃς, νὰ τὸν ἐπαναφέρῃς εἰς τὸν ὀρθὸν δρόμον, νὰ τὸν διορθώσῃς· ἐὰν κάνῃς ὅλα αὐτὰ θὰ τὰ κάνῃς διὰ τὸν Θεόν. Ἂν πάλιν τὸν ἰδῇς νὰ παρακούῃ εἰς ἐσένα καὶ νὰ μὴ σοῦ προσφέρῃ κανονικὰ τὰς ὑπηρεσίας του, συγχώρησέ τον, καὶ θὰ τὸν συγχωρήσῃς διὰ τὸν Θεόν. Τώρα ὅμως πολλοὶ κάνουν τὸ ἀντίθετον καὶ διὰ τοὺς φίλους καὶ διὰ τοὺς ὑπηρέτας των. Ὅταν σφάλλουν ἀπέναντί των γίνονται αὐστηροὶ καὶ ἀνελέητοι δικασταί, ὅταν ὅμως ὑβρίζουν τὸν Θεὸν καὶ χάνουν τὰς ψυχάς των, τότε δὲν τοὺς ὁμιλοῦν καθόλου.

Πάλιν, φίλους ποιῆσαι χρή; Διὰ τὸν Θεὸν ποίησον. Ἐχθροὺς ποιῆσαι χρή; Διὰ τὸν Θεὸν ποίησον. Καὶ πῶς ἐστι φίλους ποιῆσαι διὰ τὸν Θεὸν καὶ ἐχθρούς; Ἂν μὴ τὰς φιλίας ἐκείνας ἐφελκώμεθα, ὅθεν ἐστὶ χρήματα λαβεῖν, ὅθεν κοινωνῆσαι τραπέζης, ὅθεν προστασίας ἀνθρωπίνης τυχεῖν, ἀλλ' ἐκείνους θηρεύωμεν καὶ ποιῶμεν φίλους, τοὺς δυναμένους ἡμῶν ἀεὶ ρυθμίσαι τὴν ψυχήν, συμβουλεῦσαι τὰ δέοντα, ἁμαρτάνουσιν ἐπιτιμῆσαι, πλημμελοῦντας ἐλέγξαι, ὑποσκελιζομένους ἀναρθῶσαι, καὶ συμβουλῇ καὶ εὐχαῖς βοηθοῦντας προσάγειν τῷ Θεῷ. Πάλιν ἐχθροὺς ἔξεστι ποιῆσαι διὰ τὸν Θεόν. Ἐὰν ἴδῃς τινὰ ἀκόλαστον, μιαρόν, πονηρίας γέμοντα, δογμάτων ἀκαθάρτων πεπληρωμένον, ὑποσκελίζοντά σε καὶ παραβλάπτοντά σε, ἀπόστηθι καὶ ἀποπήδησον, καθάπερ καὶ ὁ Χριστὸς ἐκέλευσεν εἰπών· «Ἐὰν ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζῃ σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ», κελεύων τοὺς φίλους ἐκείνους, τοὺς ἐν ὀφθαλμῶν τάξει ποθεινοὺς ὄντας, καὶ ἀναγκαίους ἐν τοῖς βιωτικοῖς πράγμασιν, ἀποκόπτειν, καὶ βάλλειν, ἂν παραβλάπτωσιν εἰς τὴν τῆς ψωχῆς σωτηρίαν ἡμᾶς.

Ἂν συλλόγων κοινωνῇς, καὶ λόγον ἀποτείνῃς μακρόν, διὰ τὸν Θεὸν καὶ τοῦτο ποίησον, κἂν σιγᾷς, διὰ τὸν Θεὸν σίγησον. Καὶ πῶς ἔσται συλλόγου κοινωνεῖν διὰ τὸν Θεόν; Ἂν συγκαθήμενός τισι, μηδὲν περὶ βιωτικῶν διαλέγῃς πραγμάτων μηδὲ τῶν ἁπλῶς καὶ εἰκῇ καὶ οὐδὲν ἡμῖν προσηκόντων, ἀλλὰ περὶ φιλοσοφίας τῆς ἡμετέρας, περὶ γεέννης, περὶ βασιλείας οὐρανῶν, ἀλλὰ μὴ τὰ περιττὰ καὶ ἀνόνητα, οἷον· Τίς ἀρχῆς ἐπέβη; Τίς παρελύθη τῆς ἀρχῆς; Τίνος οὖν ἕνεκεν ὁ δεῖνα ἐζημιώθη; Πόθεν ὁ δεῖνα ἐκέρδανεν καὶ εὐπορώτερος γέγονε; Τί κατέλιπεν ὁ δεῖνα τῷ δεῖνι τελευτῶν; Πῶς δὲ ὁ δεῖνα ἀπέτυχεν εἰς τοὺς πρώτους τῶν κλη-

---

14. Ματθ. 5, 29.

Πάλιν, πρέπει νὰ κάμῃς φίλους; Νὰ τοὺς κάμῃς διὰ τὸν Θεόν. Πρέπει νὰ κάμῃς ἐχθρούς; Νὰ τοὺς κάμῃς διὰ τὸν Θεόν. Καὶ πῶς εἶναι δυνατὸν νὰ κάμῃς φίλους καὶ ἐχθροὺς χάριν τοῦ Θεοῦ; Ἐὰν δὲν ἐπιδιώκωμεν τὰς φιλίας ἐκείνας ἀπὸ τὰς ὁποίας εἶναι δυνατὸν νὰ κερδίσωμεν χρήματα, ἢ νὰ παρακαθήσωμεν εἰς πλούσια τραπέζια, ἢ νὰ ἐπιτύχωμεν ἀνθρωπίνην ὑποστήριξιν, ἀλλὰ ἐὰν ψάχνωμεν καὶ κάνωμεν φίλους ἐκείνους, οἱ ὁποῖοι ἠμποροῦν νὰ κατευθύνουν τὴν ψυχήν μας, νὰ μᾶς συμβουλεύσουν τὰ πρέποντα, νὰ μᾶς ἐπιπλήξουν ὅταν ἁμαρτάνωμεν, νὰ μᾶς στηρίξουν ὅταν καταπατούμεθα, καὶ αὐτοὺς οἱ ὁποῖοι μὲ τὰς συμβουλάς των καὶ τὰς προσευχάς των μᾶς βοηθοῦν νὰ πλησιάσωμεν τὸν Θεόν. Εἶναι δυνατὸν πάλιν νὰ κάμῃς ἐχθροὺς χάριν τοῦ Θεοῦ. Ἐὰν ἰδῇς κάποιον ἀκόλαστον, μολυσμένον, γεμᾶτον πονηρίαν, φορτωμένον μὲ ἀκαθάρτους δοξασίας, ποὺ σὲ καταπατεῖ καὶ σὲ ζημιώνει, ἀπομακρύνσου ἀπὸ αὐτὸν καὶ ἀπόφυγέ τον, ὅπως εἶπε καὶ ὁ Χριστός· «ἐὰν ὁ δεξιός σου ὀφθαλμὸς σὲ σκανδαλίζῃ, βγάλε τον καὶ πέταξέ τον μακρυὰ ἀπὸ σένα»[14] μὲ αὐτὸ διέταξε νὰ ἀπομακρύνωμεν καὶ νὰ διώχνωμεν τοὺς φίλους ἐκείνους, οἱ ὁποῖοι εἶναι ὡσὰν τὰ μάτια ἀγαπητοὶ καὶ ἀναγκαῖοι εἰς τὰ ζητήματα τῆς ζωῆς, ἐὰν αὐτοὶ μᾶς ζημιώνουν εἰς τὴν σωτηρίαν τῆς ψυχῆς.

Ἂν συμμετέχῃς εἰς συγκεντρώσεις καὶ ἐκφωνῇς μεγάλον λόγον καὶ αὐτὸ νὰ τὸ κάνῃς διὰ τὸν Θεόν, καὶ ἂν πάλιν σιωπᾷς, νὰ σιωπᾷς διὰ τὸν Θεόν. Καὶ πῶς εἶναι δυνατὸν νὰ λαμβάνῃς μέρος εἰς συγκεντρώσεις διὰ τὸν Θεόν; Ἐάν, καθ' ὃν χρόνον κάθεσαι μὲ ἄλλους, δὲν συζητᾷς διὰ βιωτικὰ ζητήματα, ἢ δι' ἀσήμαντα καὶ μάταια καὶ τελείως ἄπρεπα, ἀλλὰ συζητᾷς περὶ τῆς πίστεώς μας, περὶ τῆς κολάσεως, περὶ τῆς βασιλείας τῶν οὐρανῶν, ὄχι ὅμως τὰ περιττὰ καὶ ἀνώφελα, ὅπως περὶ τοῦ ποῖος ἀνέβη εἰς τὴν ἐξουσίαν; ἢ ποῖος ἔχασε τὴν ἐξουσίαν; ἢ διὰ ποῖον λόγον ἐζημιώθη ὁ τάδε; ἢ ἀπὸ ποὺ ἐκέρδισε κάποιος καὶ ἔγινε πλουσιώτερος; ἢ τί ἄφησε κάποιος εἰς κάποιον ἄλλον ὅταν ἀπέθανεν; ἢ πῶς δὲν κατώρθωσεν ἄλλος νὰ ἐγγραφῇ με-

ρονόμων ἐγγραφήσεσθαι προσδοκήσας; καὶ πολλὰ ἕτερα τοιαῦτα. Μὴ δὴ τὰ τοιαῦτα διαλεγώμεθα, μηδὲ ἑτέρων διαλεγόντων ἀνεχώμεθα· ἀλλὰ σκοπῶμεν τί ποιοῦντας ἢ τί λέγοντάς ἐστιν ἀρέσαι Θεῷ. Πάλιν ἐστὶ σιγῆσαι διὰ τὸν Θεὸν ὑβριζόμενος, λοιδορούμενος, μυρία πάσχων κακά, ἂν φέρῃς γενναίως, καὶ μηδὲν ῥῆμα βλάσφημον ἐξενέγκῃς εἰς τὸν ταῦτα ποιοῦντα.

Οὐκ ἐπαινέσαι δὲ καὶ ψέξαι μόνον, οὐδὲ ἔνδον μεῖναι καὶ ἐξελθεῖν, οὐδὲ φθέγξασθαι καὶ σιγῆσαι, ἀλλὰ καὶ κλαῦσαι καὶ λυπηθῆναι, καὶ ἡσθῆναι καὶ εὐφρανθῆναί ἐστιν εἰς δόξαν Θεοῦ. Ὅταν ἴδῃς ἢ ἀδελφὸν ἁμαρτάνοντα ἢ σαυτὸν παραπτώματι περιπεσόντα, εἶτα στενάξῃς καὶ λυπηθῇς, ἐκέρδανας ἀπὸ τῆς λύπης σωτηρίαν ἀμεταμέλητον, καθάπερ ὁ Παῦλός φησιν· «Ἡ γὰρ κατὰ Θεὸν λύπη σωτηρίαν ἀμεταμέλητον κατεργάζεται». Ἂν ἴδῃς εὐδοκιμοῦντα ἕτερον, εἶτα μὴ βασκάνῃς, ἀλλ' ὡς ἐπὶ οἰκείοις ἀγαθοῖς εὐχαριστήσῃς τῷ Θεῷ, τῷ ποιήσαντι λαμπρόν σου τὸν ἀδελφόν, καὶ τῆς χαρᾶς ταύτης πολὺν ἔλαβες τὸν μισθόν.

5. Τί γένοιτ' ἄν, εἰπέ μοι, τῶν βασκάνων ἐλεεινότερον, ὅταν ἐξὸν καὶ χαίρειν καὶ κερδαίνειν διὰ τὴν χαράν, αὐτοὶ καὶ λυπεῖσθαι ἐρῶνται μᾶλλον ἐπὶ ταῖς τῶν ἑτέρων εὐδοκιμήσεσι, καὶ μετὰ τῆς λύπης ἔτι καὶ κόλασιν ἐπισπᾶσθαι παρὰ τοῦ Θεοῦ, καὶ τιμωρίαν ἀφόρητον; Καὶ τί χρὴ λέγειν ἐπαίνους, καὶ ψόγους, καὶ λύπας, καὶ χαράς, ὅπου γε καὶ ἀπὸ τῶν μικροτάτων αὐτῶν καὶ εὐτελεστάτων πραγμάτων τὰ μέγιστ' ἔστι καρπώσασθαι, ἂν διὰ τὸν Θεὸν αὐτὰ ποιῶμεν; Τί γὰρ τοῦ κείρασθαι εὐτελέστερον; Ἀλλ' ἔστι καὶ τοῦτο ποιῆσαι διὰ τὸν Θεόν. Ὅταν μὴ τὴν κόμην διαθῇς, μηδὲ καλλωπίσῃς τὴν ὄψιν, μηδὲ πρὸς δέλεαρ καὶ

15. Β' Κορ. 7, 10.

ταξὺ τῶν πρώτων κληρονόμων, καὶ πολλὰ ἄλλα παρόμοια. Νὰ μὴ συζητοῦμεν λοιπὸν τέτοια πράγματα οὔτε νὰ ἐπιτρέπωμεν εἰς ἄλλους νὰ συζητοῦν δι' αὐτά, ἀλλὰ νὰ προσέχωμεν τί νὰ κάνωμεν ἢ τί νὰ λέγωμεν διὰ νὰ ἀρέσωμεν εἰς τὸν Θεόν. Πάλιν ἠμπορεῖς νὰ σιγῇς ἂν ὑβρίζεσαι, κατηγορῆσαι, ὑποφέρῃς χιλιάδες κακά, καὶ ὅμως τὰ ἀνέχεσαι μὲ γενναιότητα καὶ χωρὶς νὰ προφέρῃς οὔτε ἕνα βλάσφημον λόγον εἰς αὐτὸν ποὺ σοῦ κάνει αὐτά.

Ὄχι μόνον τὸ νὰ ἐπαινέσῃς ἢ νὰ κατηγορήσῃς, οὔτε τὸ νὰ μείνῃς εἰς τὸ σπίτι ἢ νὰ ἐξέλθῃς, νὰ ὁμιλήσῃς ἢ νὰ σιωπήσῃς, ἀλλὰ καὶ νὰ κλάψῃς καὶ νὰ λυπηθῇς ἢ νὰ χαρῇς καὶ νὰ εὐφρανθῇς εἶναι δυνατὸν νὰ γίνῃ εἰς δόξαν Θεοῦ. Ὅταν δηλ. ἰδῇς ἢ τὸν ἀδελφόν σου νὰ ἁμαρτάνῃ ἢ τὸν ἑαυτόν σου νὰ πίπτῃ εἰς κάποιο παράπτωμα καὶ ἀναστενάξῃς καὶ λυπηθῇς, κερδίζεις ἀπὸ τὴν λύπην αὐτὴν σωτηρίαν διὰ τὴν ὁποίαν οὐδέποτε θὰ μετανοήσῃς, ὅπως λέγει καὶ ὁ Παῦλος· «διότι ἡ λύπη, ὅπως τὴν θέλει ὁ Θεός, παράγει μετάνοιαν, ἡ ὁποία καταλήγει εἰς σωτηρίαν, διὰ τὴν ὁποίαν κανεὶς ποτὲ δὲν μετανοεῖ»[15]. Ἂν ἰδῇς ἄλλον ποὺ νὰ προκόπτῃ καὶ δὲν τὸν φθονήσῃς, ἀλλὰ εὐχαριστήσῃς τὸν Θεόν, ποὺ ἔκαμε τόσον λαμπρὸν τὸν ἀδελφόν σου, ὡσὰν νὰ ἐπρόκειτο διὰ ἰδικά σου ἀγαθά, λαμβάνεις μεγάλον μισθὸν δι' αὐτὴν τὴν χαράν σου.

5. Εἰπέ μου λοιπὸν τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ἐλεεινότερον ἀπὸ τοὺς ζηλοφθόνους ποὺ ἐνῷ ἠμποροῦν νὰ χαίρωνται καὶ νὰ κερδίζουν διὰ τὴν χαράν, αὐτοὶ προτιμοῦν καλύτερα νὰ λυποῦνται διὰ τὰς προόδους τῶν ἄλλων καὶ ἔτσι ἐκτὸς ἀπὸ τὴν λύπην, προκαλοῦν καὶ τὴν ἐκ μέρους τοῦ Θεοῦ καταδίκην καὶ ἀφόρητον τιμωρίαν; Καὶ διατί νὰ ὁμιλοῦμεν δι' ἐπαίνους καὶ κατηγορίας καὶ λύπας καὶ χαράς, ὅταν καὶ ἀπὸ τὰ πλέον ἀσήμαντα καὶ ἀνάξια λόγου πράγματα εἶναι δυνατὸν νὰ ἐπωφεληθῶμεν τὰ μέγιστα, ἂν ὅλα αὐτὰ τὰ κάνωμεν διὰ τὸν Θεόν; Διότι τί εἶναι εὐτελέστερον ἀπὸ τὸ νὰ κουρευθῇ κανείς; Ἀλλὰ καὶ αὐτὸ ἠμπορεῖς νὰ τὸ κάνῃς διὰ τὸν Θεόν. Ὅταν δηλ. δὲν τακτοποιῇς τὰ μαλλιὰ οὔτε καλλωπίζῃς τὸ πρόσωπον οὔτε καταστολί-

ἀπάτην τῶν ὁρώντων σαυτὸν κατακοσμήσῃς, ἀλλ' ἁπλῶς καὶ ὡς ἔτυχεν, καὶ ὅσον ἡ χρεία ἀπαιτεῖ μόνον, διὰ τὸν Θεὸν τοῦτο ἐποίησας, καὶ πάντως ἕξεις τὸν μισθόν, ὅτι ἐπιθυμίαν ἐκόλασας πονηράν, καὶ φιλοτιμίαν ἄκαιρον ἔκοψας. Εἰ γὰρ ὁ ποτήριον μόνον ψυχροῦ δοὺς διὰ τὸν Θεόν, βασιλείαν οὐρανῶν κληρονομήσει, ὁ πάντα ποιῶν διὰ τὸν Θεὸν ἐννόησον πόσης ἀπολαύσεται τῆς ἀμοιβῆς.

Ἔστι καὶ βαδίζειν διὰ τὸν Θεόν, καὶ βλέπειν διὰ τὸν Θεόν. Πῶς ἔστι βλέπειν διὰ τὸν Θεὸν καὶ βαδίζειν; Ὅταν μὴ πρὸς πονηρίαν τρέχῃς, ὅταν μὴ περιεργάζῃ τὰ ἀλλότρια κάλλη, ὅταν ἰδὼν γυναῖκα ἀπαντῶσαν, χαλινώσῃς τὸν ὀφθαλμόν, τειχίσῃς τὴν ὄψιν τῷ τοῦ Θεοῦ φόβῳ, διὰ τὸν Θεὸν τοῦτ' ἐποίησας· ὅταν τὰ μὴ πολυτελῆ, καὶ μαλακωτέρους ἡμᾶς ποιοῦντα, ἀλλὰ τὰ δυνάμενα ἡμᾶς σκέπειν, ταῦτα περιβαλλώμεθα μόνον. Ἔστι καὶ μέχρις ὑποδημάτων τοῦτον ἐξαγαγεῖν τὸν νόμον. Καὶ γὰρ πολλοὶ πρὸς τοῦτο βλακείας καὶ ἀσωτίας ἐξώλισθον, ὡς καὶ τὰ ὑποδήματα καλλωπίζειν, καὶ πάντοθεν αὐτὰ ποικίλλειν, οὐχ ἧττον ἢ τὰς ὄψεις ἕτεροι· ὅπερ ψυχῆς ἐστιν ἀκαθάρτου καὶ διεφθαρμένης. Εἰ γὰρ αὐτὸ μικρὸν εἶναι δοκεῖ, ἀλλὰ μεγάλης ἐξωλείας δεῖγμα, καὶ ἔλεγχος ἂν εἴη τοῦτο, καὶ ἐπ' ἀνδρῶν καὶ ἐπὶ γυναικῶν. Ἔξεστι τοίνυν καὶ ὑποδήμασι χρῆσθαι διὰ τὸν Θεόν, ὅταν πανταχοῦ τὴν χρείαν ἐπιζητῶμεν, καὶ τοῦτο μέτρον τῆς ἀπολαύσεως ποιώμεθα.

Καὶ ὅτι διὰ βαδίσεως καὶ διὰ στολῆς ἔστι τὸν Θεὸν δοξάσαι, ἄκουσον τί φησι σοφός τις ἀνήρ· «Στολισμὸς ἀνδρός, καὶ γέλως ὀδόντων, καὶ βῆμα ποδὸς ἀναγγέλλει τὰ περὶ αὐτοῦ». Ὅταν κατεσταλμένοι καὶ σεμνοί, καὶ σεμνότητος γέμοντες, καὶ πολλὴν πανταχόθεν ἐπιδεικνύμενοι τὴν σωφροσύνην φαινώμεθα· καὶ ἀπὸ ψιλῆς τῆς συντυχίας καὶ ὁ

---

16. Σοφ. Σειρ. 19, 30.

ζῃς τὸν ἑαυτόν σου διὰ νὰ δελεάσῃς ἢ διὰ νὰ ἀπατήσῃς αὐτοὺς ποὺ σὲ βλέπουν, ἀλλὰ πράττεις αὐτὸ μὲ ἁπλότητα καὶ ὅπως τύχῃ, καὶ ὅσον ἀπαιτεῖ ἡ ἀνάγκη μόνον, τότε καὶ αὐτὸ τὸ κάνεις διὰ τὸν Θεόν, καὶ ὁπωσδήποτε θὰ λάβῃς τὸν μισθόν, διότι κατεδίκασες τὴν πονηρὰν ἐπιθυμίαν καὶ ἀνέκοψες τὴν ἄσκοπον φιλοτιμίαν. Διότι ἂν αὐτὸς ποὺ δίδει καὶ ἕνα μόνο ποτήριον ψυχροῦ ὕδατος διὰ τὸν Θεὸν θὰ κληρονομήσῃ τὴν βασιλείαν τῶν οὐρανῶν, σκέψου πόσην ἀμοιβὴν θὰ κερδίσῃ αὐτὸς ποὺ κάνει τὰ πάντα διὰ τὸν Θεόν.

Εἶναι δυνατὸν πάλιν καὶ νὰ βαδίζῃς διὰ τὸν Θεὸν καὶ νὰ βλέπῃς διὰ τὸν Θεόν. Πῶς εἶναι δυνατὸν νὰ βλέπῃς ἢ νὰ βαδίζῃς διὰ τὸν Θεόν; Ὅταν δὲν τρέχῃς διὰ τὴν πονηρίαν, ὅταν δὲν περιεργάζεσαι τὴν ξένην ὀμορφιάν, ὅταν ἰδῇς τὴν γυναῖκα ποὺ συναντᾷς καὶ συγκρατήσῃς τὰ μάτια σου, περιφρουρήσῃς τὴν ὅρασίν σου μὲ τὸν φόβον τοῦ Θεοῦ, τότε τὸ κάνεις διὰ τὸν Θεόν· ὅταν ἐνδυώμεθα ὄχι τὰ πολυτελῆ ἐνδύματα καὶ αὐτὰ ποὺ μᾶς κάνουν μαλθακούς, ἀλλὰ μόνον αὐτὰ ποὺ εἶναι ἀρκετὰ διὰ νὰ μᾶς σκεπάζουν. Αὐτὸ ἠμπορεῖ κανεὶς νὰ τὸ ἐπεκτείνῃ ἀκόμη καὶ εἰς τὰ ὑποδήματά του. Διότι πολλοὶ ἔφθασαν εἰς τόσον μεγάλην βλακείαν καὶ ἀσωτίαν, ὥστε νὰ καλλωπίζουν καὶ τὰ ὑποδήματά των, καὶ νὰ τὰ στολίζουν παντοῦ, ὄχι ὀλιγώτερον ἀπὸ ὅσον ἄλλοι τὰ πρόσωπα· αὐτὸ εἶναι γνώρισμα ψυχῆς ἀκαθάρτου καὶ διεφθαρμένης. Διότι ἂν καὶ φαίνεται αὐτὸ ἀσήμαντον, ὅμως ἠμπορεῖ νὰ εἶναι καὶ σημεῖον καὶ ἀπόδειξις μεγάλης καταπτώσεως καὶ διὰ τοὺς ἄνδρας καὶ διὰ τὰς γυναῖκας. Εἶναι δυνατὸν λοιπὸν νὰ χρησιμοποιοῦμεν καὶ τὰ ὑποδήματα διὰ τὸν Θεόν, ὅταν ἐπιδιώκωμεν ἀπὸ παντοῦ τὴν ἱκανοποίησιν τῶν ἀναγκαίων καὶ αὐτὸ ὁρίζωμεν ὡς μέτρον διὰ τὴν ἀπόλαυσιν.

Καὶ ὅτι εἶναι δυνατὸν νὰ δοξάζωμεν τὸν Θεὸν καὶ διὰ τοῦ βαδίσματος καὶ διὰ τῆς ἐνδυμασίας ἄκουσε τί λέγει κάποιος σοφός· «ἡ ἐνδυμασία τοῦ ἄνδρα καὶ τὸ γέλιο τῶν δοντιῶν καὶ τὸ βάδισμά του μαρτυροῦν δι' αὐτόν»[16]. Ὅταν δηλαδὴ φαινώμεθα μετρημένοι καὶ σεμνοὶ καὶ δείχνωμεν παντοῦ φρόνησιν· ὅταν αὐτὸν ποὺ ζῇ ἔτσι τὸν ἰδῇ, ἔστω καὶ

ἄπιστος, καὶ ὁ ἀκόλαστος, καὶ ὁ θορυβώδης τὸν τοιοῦτον ἰδὼν θαυμάσεται, κἂν ἁπάντων ἀναισθητότερος ᾖ.

Κἂν γυναῖκα ἀγώμεθα, διὰ τὸν Θεὸν τοῦτο ποιῶμεν, οὐχ ἵνα τὴν οὐσίαν εὐπορωτέραν ἐργαζώμεθα, ἀλλ' ἵνα ψυχῆς εὐγένειαν ἐπιζητῶμεν, μὴ χρημάτων περιουσίαν, μηδὲ προγόνων περιφάνειαν, ἀλλὰ τρόπων ἀρετὴν καὶ ἐπιείκειαν· συνέμπορον τοῦ βίου λαμβάνωμεν, οὐχὶ καπηλείας κοινωνόν.

Καὶ τί δεῖ πάντα καταλέγειν; Ἔξεστι γὰρ λοιπὸν ἡμῖν ἐκ τῶν εἰρημένων ἕκαστον ἐφοδεύειν τῶν γινομένων καὶ πραττομένων, καὶ πάντα διὰ τὸν Θεὸν ποιεῖν. Καὶ καθάπερ οἱ ἔμποροι περιπλέοντες τὸ πέλαγος, καὶ εἰς πόλεις ὁρμίζοντες, οὐ πρότερον ἀποβαίνουσι τοῦ λιμένος, οὐδὲ εἰς τὴν ἀγορὰν ἀναβαίνουσιν, ἕως ἂν πύθωνται, ὅτι κέρδος ἔχει τι τῶν ἐκεῖ διατιθεμένων· οὕτω καὶ σὺ μηδὲν μήτε πράξῃς, μήτ' εἴπῃς, ἂν μὴ κέρδος ἔχῃ τὸ κατὰ Θεόν. Καὶ μή μοι λέγε ὅτι οὐ δυνατὸν διὰ τὸν Θεὸν πάντα ποιεῖν. Ὅταν γὰρ ὑπόδεσις, καὶ κουρά, καὶ ἱματίων στολή, καὶ βάδισις, καὶ ὄψις, καὶ ῥήματα, καὶ συνέδρια, καὶ εἴσοδοι, καὶ ἔξοδοι, καὶ σκώμματα, καὶ ἔπαινοι, καὶ ψόγοι, καὶ ἐγκώμια, καὶ φιλίαι καὶ ἔχθραι δύνωνται διὰ τὸν Θεὸν γίνεσθαι, τί ἐστι λοιπόν, ὃ μὴ δυνατὸν γενέσθαι διὰ τὸν Θεόν, ἂν θέλωμεν; Τί δεσμοφύλακος χεῖρον; Οὐ πάντων βίος ὁ πονηρότατος εἶναι δοκεῖ; Ἀλλ' ἔξεστι τῷ βουλομένῳ κἀκεῖθεν κερδᾶναι, ὅταν τῶν δεδεμένων φείδηται, ὅταν τοὺς ἀδίκως ἐμβεβλημένους θεραπεύῃ, ὅταν μὴ πραγματεύηται ἀπ' ἀλλοτρίας συμφορᾶς, ὅταν κοινὸς προκέηται λιμὴν τοῖς δεομένοις ἅπασι. Οὕτως ὁ δεσμοφύλαξ ἐκεῖνος ἐσώθη ὁ ἐπὶ Παύλου· ὅθεν δῆλον ὅτι πάντοθεν, ἂν θέλωμεν, δυνάμεθα πραγματεύεσθαι.

Τί φόνου χαλεπώτερον, εἰπέ μοι; Ἀλλ' ἠδυνήθη ποτὲ δικαιοσύνην τεκεῖν τῷ ποιήσαντι τοῦτο τὸ τόλμημα· τοσοῦτόν

τελείως τυχαῖα, ὁ ἄπιστος ἢ ὁ ἀκόλαστος καὶ αὐτὸς ποὺ ζῇ βίον θορυβώδη θὰ τὸν θαυμάσῃ, ἀκόμη καὶ ἂν εἶναι καὶ ὁ πιὸ ἀναίσθητος.

Καὶ ὅταν παίρνωμεν γυναῖκας νὰ τὸ κάνωμεν διὰ τὸν Θεόν, ὄχι διὰ νὰ κάνωμεν μεγαλυτέραν τὴν περιουσίαν, ἀλλὰ νὰ ἐπιζητοῦμεν εὐγένειαν ψυχῆς, ὄχι χρηματικὴν περιουσίαν, οὔτε προγονικὴν δόξαν, ἀλλὰ ἀρετὴν καὶ πραότητα χαρακτῆρος· σύντροφον εἰς τὴν ζωὴν παίρνομεν καὶ ὄχι συμμέτοχον εἰς τὴν πανουργίαν.

Καὶ διατί νὰ τὰ ἀναφέρω ὅλα αὐτά; Ἀπὸ ὅσα ἐλέχθησαν λοιπὸν εἶναι δυνατὸν εἰς τὸν κάθε ἕνα νὰ ἐξετάσῃ ὅσα κάνει καὶ ὅλα νὰ τὰ κάνῃ διὰ τὸν Θεόν. Καὶ ὅπως ἀκριβῶς οἱ ἔμποροι ποὺ πλέουν εἰς τὸ πέλαγος καὶ ἀράζουν εἰς τὰς πόλεις δὲν ἀποβιβάζονται εἰς τὸ λιμάνι, οὔτε εἰσέρχονται εἰς τὴν ἀγορὰν ἐὰν δὲν μάθουν καλὰ ὅτι ἔχει κέρδος κάποιο ἀπὸ τὰ ἐμπορεύματά των ἐκεῖ, ἔτσι καὶ σὺ μὴ πράξῃς κάτι οὔτε νὰ εἰπῇς, ἐὰν αὐτὸ δὲν ἔχῃ τὸ κατὰ Θεὸν κέρδος. Καὶ μὴ μοῦ εἰπῇς ὅτι δὲν εἶναι δυνατὸν νὰ τὰ κάνῃς ὅλα διὰ τὸν Θεόν. Διότι ὅταν ἡ ὑπόδησις καὶ τὸ κούρεμα καὶ τὰ ἐνδύματα καὶ τὸ βάδισμα καὶ τὸ κοίταγμα καὶ τὰ λόγια καὶ αἱ συγκεντρώσεις καὶ ἡ εἴσοδος καὶ ἡ ἔξοδος καὶ τὰ πειράγματα καὶ οἱ ἔπαινοι καὶ αἱ κατηγορίαι καὶ τὰ ἐγκώμια καὶ αἱ φιλίαι καὶ αἱ ἔχθραι ἠμποροῦν νὰ γίνωνται διὰ τὸν Θεόν, τί ὑπάρχει ἀκόμη ποὺ νὰ μὴ ἠμπορῇ νὰ γίνῃ διὰ τὸν Θεόν, ἂν θέλωμεν; Τί εἶναι χειρότερον ἀπὸ τὸν δεσμοφύλακα; Δὲν φαίνεται πὼς ἡ ζωή του εἶναι ἡ πιὸ πονηρὴ ἀπὸ τὴν ζωὴν ὅλων; Εἶναι ὅμως δυνατὸν δι' αὐτὸν ποὺ θέλει καὶ ἀπὸ αὐτὸ νὰ κερδίσῃ, ὅταν φροντίζῃ διὰ τοὺς φυλακισμένους, ὅταν ἐξυπηρετῇ αὐτοὺς ποὺ ἄδικα ἔχουν φυλακισθῇ, ὅταν δὲν κερδοσκοπῇ ἀπὸ τὰς συμφορὰς τῶν ἄλλων, ὅταν γίνεται κοινὸ λιμάνι εἰς ὅλους ὅσους τὸν ἔχουν ἀνάγκην. Ἔτσι ἐσώθη καὶ ὁ δεσμοφύλακας ἐκεῖνος εἰς τὴν περίπτωσιν τοῦ Παύλου· Εἶναι λοιπὸν φανερὸν ὅτι ἐὰν θέλωμεν ἠμποροῦμεν νὰ ἔχωμεν κέρδος ἀπὸ ὅλα.

Εἰπέ μου, τί βαρύτερον ἀπὸ τὸν φόνον ὑπάρχει; Ὅμως αὐτὸ τὸ τόλμημα ἠμπόρεσε κάποτε νὰ φέρῃ σωτηρίαν

ἐστι τὸ διὰ τὸν Θεόν τι ποιεῖν. Καὶ πῶς ἠδυνήθη δικαιοσύνην ἐργάσασθαι φόνος; Οἱ Μαδιηναῖοι ποτὲ βουλόμενοι τὸν Θεὸν ἐκπολεμῶσαι τοῖς Ἰουδαίοις, καὶ ταύτῃ προσδοκῶντες αὐτῶν περιέσεσθαι, εἰ τῆς εὐνοίας αὐτοὺς ἀποστερήσαιε τοῦ Δεσπότου· κόρας καλλωπίσαντες, καὶ τοῦ στρατοπέδου προστήσαντες ἐδελέασαν αὐτούς, καὶ εἰς πορνείαν ἤγαγον, εἶτα ἐκεῖθεν εἰς ἀσέβειαν. Τοῦτο ἰδὼν Φινεές, μεταχειρισάμενος ξίφος, καὶ πορνεύοντας δύο καταλαβών, ἐν αὐτῇ τῇ ἁμαρτίᾳ ἀμφοτέρους ἐξεκέντησε, καὶ ἔστησε τοῦ Θεοῦ τὴν ὀργὴν ἀπὸ τῆς γνώμης. Καὶ τὸ μὲν γενόμενος φόνος ἦν, τὸ δὲ κατορθούμενον ἐξ ἐκείνου σωτηρία τῶν ἀπολλυμένων ἁπάντων, ὅθεν καὶ δικαιοσύνην ἤνεγκε τῷ ποιήσαντι. Καὶ οὐ μόνον οὐκ ἐμίανε τὰς χεῖρας, ἀλλὰ καὶ καθαρωτέρας εἰργάσατο ὁ φόνος ἐκεῖνος. Καὶ μάλα εἰκότως· οὐ γὰρ τοὺς ἀναιρεθέντας μισῶν, ἀλλὰ τῶν λοιπῶν φειδόμενος τοῦτ' εἰργάσατο. Ἀπέκτεινε δύο, καὶ ἔσωσε μυριάδας ἀπείρους. Καθάπερ ἰατροὶ ποιοῦσι τὰ σεσηπότα τῶν μελῶν ἐκτέμνοντες, ὁλόκληρον σῴζουσι τὸ σῶμα καὶ ὑγιές· οὕτω κἀκεῖνος ἐποίησε. Διὰ τοῦτό φησιν ὁ ψαλμῳδός· «Ἔστη Φινεὲς καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην εἰς γενεὰν καὶ γενεάν, ἕως τοῦ αἰῶνος». Ἀθάνατος γοῦν ἡ μνήμη τοῦ κατορθώματος μένει.

Πάλιν ἕτερος ηὔξατο καὶ προσέκρουσε τῷ Θεῷ· τοσοῦτόν ἐστι τὸ μὴ ποιεῖν τι διὰ τὸν Θεόν· ὁ Φαρισαῖος λέγω. Ἀλλ' ὥσπερ Φινεὲς φόνον ποιήσας εὐδοκίμησεν, οὕτω καὶ οὗτος οὐ παρὰ τὴν εὐχήν, ἀλλὰ παρὰ τὴν γνώμην, μεθ' ἧς ηὔξατο, καὶ κατέπεσε προσκρούσας. Οὕτως ὅταν μὴ διὰ τὸν Θεὸν γίνηταί τι, κἂν πνευματικὸν ᾖ τὸ γινόμενον, τὰ μέγιστα βλάψειεν· ὥσπερ οὖν ὅταν διὰ τὸν Θεὸν γίνηται, κἂν βιωτικὸν ᾖ τὸ γινόμενον, τὰ μέγιστα ὠφελεῖ τὸν μετὰ φιλοθέου γνώμης ποιοῦντα. Τί γὰρ φόνου χεῖρον καὶ χαλεπώτερον; Ἀλλ' ὅμως δίκαιον εἰργάσατο τὸν τολμήσαντα.

---

17. Φυλὴ τῆς Παλαιστίνης, ἐχθρικὴ πρὸς τοὺς Ἰσραηλίτας. Τὰ σχετικὰ μὲ τὸ περιστατικὸν αὐτὸ ἐξιστοροῦνται εἰς τὸ βιβλίον τῶν Ἀριθμῶν κεφ. 25.
18. Ψαλμ. 105, 30.

εἰς αὐτὸν ποὺ τὸ διέπραξεν. Καὶ πῶς ἠμπόρεσε νὰ φέρῃ σωτηρίαν ὁ φόνος; Οἱ Μαδιανῖται[17] ἠθέλησαν κάποτε νὰ ἐξοργίσουν τὸν Θεὸν κατὰ τῶν Ἰουδαίων, διότι ἤλπιζαν ὅτι θὰ τοὺς ἐνικοῦσαν μόνον ἐὰν τοὺς ἀποστεροῦσαν τὴν εὔνοιαν τοῦ Θεοῦ· ἐστόλισαν λοιπὸν κορίτσια καὶ τὰ ἔστησαν ἐμπρὸς εἰς τὸ στρατόπεδον καὶ ἔτσι ἐδελέασαν καὶ τοὺς ὡδήγησαν εἰς τὴν πορνείαν καὶ ἔπειτα εἰς τὴν ἀσέβειαν. Ὅταν ἀντελήφθη τοῦτο ὁ Φινεὲς ἔλαβε τὸ ξίφος καὶ μόλις συνέλαβε δύο νὰ πορνεύουν, τὴν στιγμὴν τῆς ἁμαρτίας τοὺς ἐτρύπησε καὶ τοὺς δύο καὶ ἔτσι μὲ τὴν ἀπόφασιν αὐτὴν ἐσταμάτησε τὴν ὀργὴν τοῦ Θεοῦ. Αὐτὸ ποὺ ἔγινεν ἦτο φόνος, τὸ ἐπίτευγμα ὅμως ἡ σωτηρία ὅλων αὐτῶν ποὺ κατεστρέφοντο, καὶ διὰ τοῦτο ἔφερε σωτηρίαν εἰς αὐτὸν ποὺ τὸν διέπραξεν. Καὶ ὄχι μόνον δὲν ἐμόλυνε τὰ χέρια του ὁ φόνος αὐτός, ἀλλὰ τὰ ἔκαμε περισσότερον καθαρά. Καὶ τοῦτο εἶναι πολὺ φυσικόν· διότι αὐτὸ τὸ ἔκαμεν ὄχι ἐπειδὴ ἐμισοῦσεν αὐτοὺς ποὺ ἐφόνευσεν, ἀλλὰ διότι ἐφρόντιζε διὰ τοὺς ὑπολοίπους. Ἐφόνευσε δύο καὶ ἔσωσεν ἀμετρήτους χιλιάδας. Ὅπως κάνουν δηλαδὴ οἱ γιατροὶ ποὺ ἀποκόπτουν τὰ σάπια μέρη καὶ σώζουν ὁλόκληρον τὸ σῶμα, αὐτὸ ἔκαμε καὶ ἐκεῖνος. Διὰ τοῦτο λέγει ὁ ψαλμωδός· «ἀλλ' ὁ Φινεὲς καὶ ἔκαμε κρίσιν καὶ ἐσταμάτησε τὸ κακόν, καὶ τοῦτο ἐλογίσθη εἰς αὐτὸν ὡς δικαιοσύνη ἀπὸ γενεᾶς εἰς γενεὰν ἕως τοῦ αἰῶνος»[18]. Ἀθάνατος λοιπὸν μένει ἡ μνήμη αὐτοῦ τοῦ κατορθώματος.

Ἄλλος πάλιν προσηυχήθη ἀλλὰ συνεκρούσθη μὲ τὸν Θεόν· ἐννοῶ τὸν Φαρισαῖον. Ὅπως ὁ Φινεές, ἐνῷ διέπραξε φόνον, ἐπέτυχε καλόν, ἔτσι καὶ αὐτός, ὄχι ἐξ αἰτίας τῆς προσευχῆς, ἀλλ' ἐξ αἰτίας τῆς διαθέσεως μὲ τὴν ὁποίαν προηυχήθη προσέκρουσεν εἰς τὸν Θεὸν καὶ ἡμάρτησεν. Ἔτσι, ὅταν δὲν γίνεται κάτι διὰ τὸν Θεόν, ἀκόμη καὶ τὸ πλέον πνευματικὸν ἔργον, βλάπτει τὰ μέγιστα· ὅπως καὶ τὸ πιὸ κοσμικόν, ὅταν γίνεται διὰ τὸν Θεόν, ὠφελεῖ τὰ μέγιστα αὐτὸν ποὺ μὲ φιλόθεον σκέψιν τὸ κάνει. Διότι τί εἶναι χειρότερον καὶ βαρύτερον ἀπὸ τὸν φόνον; Καὶ ὅμως ἔκαμε δίκαιον αὐτὸν ποὺ τὸν ἔκαμεν.

Ποίαν οὖν ἕξομεν ἀπολογίαν ἡμεῖς οἱ λέγοντες, ὅτι οὐ δυνατὸν πάντοθεν κερδαίνειν, καὶ πάντα διὰ τὸν Θεὸν ἐργάζεσθαι, ὅταν εὑρεθῇ τις καὶ ἀπὸ φόνου κερδάνας; Ἂν ἐθέλωμεν προσέχειν, διὰ παντὸς τοῦ βίου τὴν πνευματικὴν ταύτην ἐμπορευσόμεθα πραγματείαν, κἂν πρίασθαί τι, κἂν ἀποδόσθαι δέῃ· οἷον ὅταν μὴ πλέον τῆς νενομισμένης ἀπαιτῶμεν τιμῆς, ὅταν μὴ τοὺς καιροὺς τῆς στενοχωρίας παρατηρῶμεν, καὶ τότε τοῖς δεομένοις μεταδιδῶμεν· «Ὁ γὰρ τιμιουλκῶν σῖτον δημοκατάρατος», φησί.

Καὶ τί χρὴ καθ' ἕκαστον λέγειν, δέον δι' ἑνὸς ὑποδείγματος τὸ πᾶν συλλαβεῖν; Καθάπερ γὰρ οἱ οἰκοδόμοι, ἐπειδὰν μέλλωσι τοῖχον ἐγείρειν, σπαρτίον τείναντες ἀπὸ γωνίας εἰς γωνίαν, οὕτως ὑφαίνουσι τὴν οἰκοδομήν, ὥστε μὴ ἀνώμαλον αὐτῆς γενέσθαι τὴν ἐπιφάνειαν· οὕτω δὴ καὶ ἡμεῖς ἀντὶ σπαρτίου τὸ ῥῆμα τοῦτο τείναντες τὸν λόγον· «Εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε». Ἂν τε εὐχώμεθα, ἄν τε νηστεύωμεν, ἄν τε ἐγκαλῶμεν, ἄν τε συγγινώσκωμεν, ἄν τε ἐπαινῶμεν, ἄν τε ψέγωμεν, ἄν τε εἰσίωμεν, ἄν τε ἐξίωμεν, ἄν τε πωλῶμεν, ἄν τε ἀγοράζωμεν, ἄν τε σιγῶμεν, ἄν τε διαλεγώμεθα, ἄν τε ὁτιοῦν πράττωμεν, εἰς δόξαν Θεοῦ πάντα ποιῶμεν, κἂν μή τι εἰς δόξαν Θεοῦ γίνηται, μηδὲ γινέσθω, μηδὲ λεγέσθω παρ' ἡμῶν· ἀλλ' ἀντὶ βακτηρίας μεγάλης, ἀνθ' ὅπλου καὶ ἀσφαλείας, ἀντὶ θησαυρῶν ἀφάτων, ὅπου περ ἂν ὦμεν, τὸ ῥῆμα τοῦτο μεθ' ἑαυτῶν περιφέρωμεν, ἐγγράψαντες τῇ διανοίᾳ, ἵνα πάντα εἰς δόξαν Θεοῦ καὶ ποιήσαντες, καὶ εἰπόντες, καὶ πραγματευσάμενοι, τῆς παρ' αὐτοῦ τύχωμεν δόξης, καὶ ἐνταῦθα, καὶ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν. «Τοὺς γὰρ δοξάζοντάς με», φησί, «δοξάσω». Μὴ τοίνυν ῥήμασιν, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων αὐτὸν δοξάσωμεν συνεχῶς σὺν Χριστῷ τῷ Θεῷ ἡμῶν, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

19. Παροιμ. 11, 26.
20. Α' Κορ. 10, 31.
21. Α' Βασ. 2, 30.

Ποίαν λοιπὸν ἀπολογίαν θὰ ἔχωμεν ἐμεῖς ποὺ λέγομεν ὅτι δὲν εἶναι δυνατὸν νὰ ὠφελούμεθα ἀπὸ τὰ πάντα ἢ νὰ κάνωμεν τὰ πάντα διὰ τὸν Θεόν, ὅταν ὑπάρχῃ κάποιος ποὺ καὶ ἀπὸ τὸν φόνον ὠφελήθη; Ἂν θέλωμεν νὰ προσέχωμεν αὐτὰ εἰς ὅλην μας τὴν ζωήν, θὰ κάνωμεν αὐτὸ τὸ πνευματικὸν ἐμπόριον, εἴτε πρέπει νὰ ἀγοράσωμεν κάτι, εἴτε νὰ ἀποδώσωμεν· ὅπως, παραδείγματος χάριν, ὅταν δὲν ζητοῦμεν παραπάνω ἀπὸ τὴν πραγματικὴν τιμὴν ἢ ὅταν δὲν περιμένωμεν τὴν ἐποχὴν τῆς δυσκολίας διὰ νὰ πωλήσωμεν εἰς αὐτοὺς ποὺ ἔχουν ἀνάγκην· διότι λέγει, «αὐτὸς ποὺ ὑψώνει τὴν τιμὴν τοῦ σίτου εἶναι καταραμένος»[19].

Καὶ διατί νὰ τὰ ἀναφέρω ἕνα ἕνα ὅταν πρέπει νὰ τὰ περιλάβω ὅλα εἰς ἕνα μόνον παράδειγμα; Ὅπως δηλαδὴ οἱ οἰκοδόμοι ὅταν πρόκειται νὰ κτίσουν ἕνα τοῖχον τεντώνουν ἕνα σπάγγον ἀπὸ τὴν μίαν γωνίαν ἕως τὴν ἄλλην καὶ ἔτσι κατασκευάζουν τὴν οἰκοδομήν, ὥστε νὰ μὴ γίνῃ ἀνώμαλος ἡ ἐπιφάνειά της, ἔτσι καὶ ἐμεῖς ἀντὶ σπάγγον αὐτὸν τὸν λόγον νὰ τεντώσωμεν ποὺ λέγει· «Εἴτε λοιπὸν τρώγετε εἴτε πίνετε εἴτε κάνετε κάτι, ὅλα νὰ τὰ κάνετε διὰ τὴν δόξαν τοῦ Θεοῦ»[20]. Εἴτε προσευχόμεθα εἴτε νηστεύομεν εἴτε κατηγοροῦμεν εἴτε συγχωροῦμεν εἴτε ἐπαινοῦμεν εἴτε κατακρίνομεν εἴτε εἰσερχόμεθα εἴτ ἐξερχόμεθα εἴτε πωλοῦμεν εἴτε ἀγοράζομεν εἴτε σιωποῦμεν εἴτε συζητοῦμεν ἢ ὁ,τιδήποτε ἄλλο πράττομεν, ὅλα νὰ τὰ πράττωμεν εἰς δόξαν Θεοῦ, καὶ ἂν κάτι δὲν γίνεται εἰς δόξαν Θεοῦ ἂς μὴ γίνεται καθόλου, οὔτε νὰ λέγεται ἀπὸ ἡμᾶς· ἀλλὰ νὰ φέρωμεν μαζί μας τὸν λόγον αὐτὸν ἀντὶ μεγάλης βακτηρίας, ἀντὶ ὅπλου ἀσφαλείας, ἀντὶ ἀπεριγράπτων θησαυρῶν, ὅπου καὶ νὰ εὑρεθῶμεν, καὶ νὰ τὸ ἔχωμεν γραμμένον εἰς τὴν σκέψιν μας, ὥστε νὰ πράττωμεν καὶ νὰ λέγωμεν καὶ νὰ ἀσχολούμεθα μὲ τὰ πάντα εἰς δόξαν Θεοῦ, διὰ νὰ ἀξιωθῶμεν ἔτσι τὴν ἀπ' αὐτοῦ δόξαν καὶ ἐδῶ καὶ μετὰ τὴν ἀπὸ ἐδῶ ἀναχώρησιν. Διότι λέγει· «Αὐτοὺς ποὺ μὲ δοξάζουν θὰ δοξάσω»[21]. Ὄχι λοιπὸν μὲ τὰ λόγια ἀλλὰ καὶ ἐμπράκτως ἂς τὸν δοξάζωμεν συνεχῶς μαζὶ μὲ τὸν Χριστὸν τὸν Θεὸν ἡμῶν, διότι εἰς αὐτὸν ἀνήκει κάθε δόξα, τιμὴ καὶ προσκήνυσις, τώρα καὶ πάντοτε καὶ αἰωνίως. Ἀμήν.

19
ΟΤΙ ΤΟΝ ΕΑΥΤΟΝ ΜΗ ΑΔΙΚΟΥΝΤΑ
οὐδεὶς παραβλάψαι δύναται.

1. Οἶδα μέν, ὅτι τοῖς παχυτέροις, καὶ πρὸς τὰ παρόντα κεχηνόσι, καὶ τῇ γῇ προσηλωμένοις, καὶ αἰσθηταῖς μὲν δουλεύουσιν ἡδοναῖς, τῶν δὲ νοερῶν οὐ σφόδρα ἀντεχομένοις, καινός τις καὶ παράδοξος ὁ λόγος οὗτος εἶναι δόξει· καὶ γελάσονται δαψιλές, καὶ καταγνώσονται ἡμῶν, ὡς ἀπίθανα λεγόντων ἐκ προοιμίων τῆς ὑποσχέσεως. Οὐ μὴν διὰ τοῦτο ἀποστησόμεθα τῆς ἐπαγγελίας, ἀλλὰ καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἐπὶ τὰς ἀποδείξεις, ὧν ὑπεσχόμεθα, μετὰ πολλῆς βαδιούμεθα τῆς σπουδῆς. Ἂν γὰρ βουληθῶσιν οἱ οὕτω διακείμενοι μὴ θορυβεῖν, μηδὲ ταράττειν, ἀλλὰ ἀναμένειν τοῦ λόγου τὸ τέλος, εὖ οἶδ' ὅτι μεθ' ἡμῶν στήσονται, καὶ ἑαυτῶν καταγνώσονται, ὡς τὸν ἔμπροσθεν ἠπατημένοι χρόνον, καὶ παλινῳδίαν ᾄσονται, καὶ ἀπολογήσονται, καὶ συγγνώμην αἰτήσονται, ὑπὲρ ὧν οὐκ ὀρθὴν περὶ τῶν πραγμάτων ἔσχον τὴν ψῆφον, καὶ χάριν ἡμῖν εἴσονται πολλήν, ὥσπερ οἱ κάμνοντες τοῖς ἰατροῖς, ἐπειδὰν τῶν νοσημάτων ἀπαλλαγῶσι, τῶν τὸ σῶμα πολιορκούντων αὐτοῖς. Μὴ γάρ μοι τὴν νῦν κατέχουσαν παρὰ σοὶ κρίσιν λέγε, ἀλλὰ ἀνάμεινον καὶ τῶν λόγων τῶν ἡμετέρων τοὺς ἀγῶνας, καὶ τότε δυνήσῃ τὴν ψῆφον ἀδέκαστον ἐνεγκεῖν, οὐδὲν ἐξ ἀγνοίας εἰς τὸ τἀληθῆ κρίνειν παραβλαπτόμενος.

Ἐπεὶ καὶ οἱ ἐπὶ τῶν βιωτικῶν τούτων πραγμάτων καθήμενοι δικασταί, οὐκ ἀνέχονται, κἂν σφοδρῶς ῥέοντα ἴδωσι τὸν πρότερον ῥήτορα, καὶ πάντα ἐπικλύζοντα τῇ γλώττῃ, μὴ καὶ τὰ θατέρου μετὰ μακροθυμίας ἀκούσαντες τοῦ πρὸς

19
ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΚΑΝΕΙΣ ΔΕΝ ΗΜΠΟΡΕΙ
Νὰ βλάψῃ ἐκεῖνον ὁ ὁποῖος δὲν ἀδικεῖ τὸν ἑαυτόν του.

1. Γνωρίζω ὅτι ὁ λόγος αὐτὸς θὰ φανῇ καινούργιος καὶ παράδοξος εἰς τοὺς παχυλοτέρους, καὶ εἰς ἐκείνους οἱ ὁποῖοι εἶναι προσηλωμένοι εἰς τὰ γήινα καὶ μένουν μὲ τὸ στόμα ἀνοικτὸν ἐνώπιον τῶν παρόντων, καὶ εἶναι δοῦλοι τῶν σωματικῶν ἡδονῶν, ἐνῷ διὰ τὰς πνευματικὰς δὲν ἐνδιαφέρονται πολύ· καὶ θὰ γελάσουν πολὺ καὶ θὰ μὲ κατηγορήσουν ὅτι ἀπὸ τὴν ἀρχὴν τῆς ὁμιλίας μου λέγω ἀπίθανα πράγματα. Ὅμως δὲν θὰ ἀπομακρυνθῶ ἀπὸ τὴν ὑπόσχεσίν μου, ἀλλὰ καὶ διὰ τοῦτο ἀκριβῶς θὰ βαδίσω μὲ πολλὴν προθυμίαν εἰς τὰς ἀποδείξεις τὰς ὁποίας ὑπεσχέθην. Διότι ἂν θελήσουν ὅσοι διάκεινται ἔτσι νὰ μὴ θορυβοῦν, νὰ μὴ ἀτακτοῦν, ἀλλὰ νὰ περιμένουν τὸ τέλος τοῦ λόγου, γνωρίζω καλὰ ὅτι θὰ συμφωνήσουν μαζί μου, καὶ θὰ κατηγορήσουν τοὺς ἑαυτούς των ὅτι ἠπατήθησαν τὸν προηγούμενον καιρόν, καὶ θὰ ἀλλάξουν γνώμην, καὶ θὰ ἀπολογηθοῦν, καὶ θὰ ζητήσουν συγγνώμην διὰ ἐκεῖνα τὰ πράγματα ποὺ εἶχαν ἐσφαλμένην γνώμην, καὶ θὰ μοῦ ὀφείλουν πολλὴν εὐγνωμοσύνην, ὅπως οἱ ἀσθενεῖς εἰς τοὺς ἰατρούς, ὅταν θεραπευθοῦν ἀπὸ τὰ νοσήματα τὰ ὁποῖα κυριεύουν τὸ σῶμα των. Καὶ μὴ μοῦ ἀναφέρῃς τὴν γνώμην ποὺ ἔχεις τώρα, ἀλλὰ περίμενε νὰ ἀκούσῃς τὴν ἐπιχειρηματολογίαν τῶν λόγων μου καὶ τότε θὰ ἠμπορέσῃς νὰ ἐκφέρῃς ἀμερόληπτον γνώμην καὶ καθόλου δὲν θὰ σφάλῃς ἀπὸ ἄγνοιαν εἰς τὴν κρίσιν τῆς ἀληθείας.

Ἐπειδὴ καὶ ὅσοι ἔχουν τοποθετηθῆ δικασταὶ αὐτῶν τῶν κοσμικῶν πραγμάτων, δὲν ἀνέχονται, ἀκόμη καὶ ἂν ἰδοῦν τὸν πρῶτον ρήτορα νὰ ὁμιλῇ ὁρμητικὰ καὶ νὰ γεμίζῃ τὰ πάντα μὲ τὴν εὐφράδειάν του, νὰ ἐκφέρουν γνώμην,

αὐτὸν ἱσταμένου, τὴν ψῆφον ἐνεγκεῖν· ἀλλὰ κἂν μυριάκις ὁ πρότερος δοκῇ δίκαια λέγειν, ἀνέπαφον τὴν ἀκοὴν καὶ τῷ δευτέρῳ τηροῦσιν. Ἐπειδήπερ καὶ αὕτη δικαστῶν ἐστιν ἀρετή, τὰ παρ' ἑκατέρων μαθόντας μετὰ ἀκριβείας ἁπάσης, τότε τὰ παρ' ἑαυτῶν ἐπάγειν. Ἐπεὶ οὖν καὶ νῦν ἀντὶ ῥήτορός τινος ἡ κοινὴ τῶν πολλῶν πρόληψις, καὶ ἐν τῷ μακρῷ χρόνῳ ῥιζωθεῖσα παρὰ ταῖς τῶν πολλῶν διανοίαις, ταῦτα κατὰ τὴν οἰκουμένην ἅπασαν ῥητορεύει λέγουσα, πάντα, φησίν, ἄνω καὶ κάτω γέγονε, πολλῆς συγχύσεως τὸ τῶν ἀνθρώπων ἐμπέπλησται γένος, καὶ πολλοὶ καθ' ἑκάστην ἡμέραν οἱ ἀδικούμενοι, οἱ ἐπηρεαζόμενοι, οἱ βιαζόμενοι, οἱ βλαπτόμενοι, οἱ ἀσθενεῖς παρὰ τῶν δυνατωτέρων, οἱ πένητες παρὰ τῶν πλουσίων· καὶ ὥσπερ τὰ κύματα τῆς θαλάσσης οὐκ ἔστιν ἀριθμεῖν, οὕτως οὐδὲ τὸ πλῆθος τῶν ἐπιβουλευομένων, τῶν ἐπηρεαζομένων, τῶν κακῶς πασχόντων· καὶ οὔτε νόμων διόρθωσις, οὔτε δικαστηρίων φόβος, οὔτε ἄλλο οὐδὲν τὸν λοιμὸν τοῦτον ἔστησε καὶ τὴν νόσον, ἀλλὰ καθ' ἑκάστην ἡμέραν αὔξάνεται τὸ κακόν, καὶ οἰμωγαὶ πανταχοῦ, καὶ θρῆνοι, καὶ δάκρυα τῶν ἀδικουμένων. Καὶ οἱ ταχθέντες τὰ τοιαῦτα διορθοῦν δικασταί, αὐτοὶ τὸν χειμῶνα ἐπιτείνουσι, καὶ τὴν νόσον ἐπιτρίβουσι· πολλοὶ δὲ ἐντεῦθεν τῶν ἀνοητοτέρων καὶ ἀθλιωτέρων, καινήν τινα μανέντες μανίαν, τῆς τοῦ Θεοῦ κατηγοροῦσι προνοίας, ὁρῶντες τὸν μὲν ἐπιεικῆ πολλάκις ἑλκόμενον, σπαραττόμενον, ἀγχόμενον, τὸν δὲ θρασύν, καὶ ἰταμόν, καὶ ἄτιμον, καὶ ἐξ ἀτίμων, πλουτοῦντα, καὶ δυναστείαν περιβεβλημένον, φοβερόν τε πολλοῖς γινόμενον, καὶ μυρία προστριβόμενον τοῖς ἐπιεικεστέροις δεινά, καὶ ταῦτα ἐν πόλεσι καὶ ἐν χώραις, καὶ ἐν ἐρημίαις, καὶ ἐν γῇ καὶ ἐν θαλάττῃ τολμώμενα. Ἀναγκαῖος ἡμῖν

πρὶν ἀκούσουν μὲ ὑπομονὴν καὶ τὸν ἄλλον ποὺ ἵσταται πλησίον του· ἀλλὰ καὶ ἂν ἀκόμα μυρίας φορὰς φαίνεται νὰ ὁμιλῇ δίκαια ὁ πρῶτος, διατηροῦν τὴν ἀκοήν των ἀνέπαφον καὶ διὰ τὸν δεύτερον. Ἐπειδὴ αὐτὴ ἀκριβῶς εἶναι ἡ ἀρετὴ τῶν δικαστῶν, ἀφοῦ μάθουν μὲ πᾶσαν ἀκρίβειαν τοὺς ἰσχυρισμοὺς τῶν διαδίκων, τότε νὰ ἐκφέρουν τὴν γνώμην των. Ἐπειδὴ λοιπὸν καὶ τώρα ἀντὶ ρήτορος ὑπάρχει ἡ κοινὴ γνώμη τῶν πολλῶν ἀπὸ πρίν, ἡ ὁποία διὰ μακροῦ χρόνου ἐρριζώθη εἰς τὰς διανοίας τῶν πολλῶν, καὶ ὡσὰν ρήτωρ ρητορεύει εἰς ὁλόκληρον τὴν οἰκουμένην καὶ λέγει ὅτι ὅλα ἔχουν γίνει ἄνω κάτω, ὅτι τὸ γένος τῶν ἀνθρώπων εἶναι γεμᾶτον ἀπὸ πολλὴν σύγχυσιν, καὶ ὅτι πολλοὶ εἶναι ἐκεῖνοι ποὺ κάθε ἡμέραν ἀδικοῦνται, ὑβρίζονται, ἐκβιάζονται, βλάπτονται, οἱ ἀδύνατοι ἀπὸ τοὺς δυνατωτέρους καὶ οἱ πτωχοὶ ἀπὸ τοὺς πλουσίους· καὶ ὅπως δὲν ἠμποροῦμεν νὰ μετρήσωμεν τὰ κύματα τῆς θαλάσσης, ἔτσι δὲν ἠμποροῦμεν καὶ νὰ μετρήσωμεν τὸ πλῆθος τῶν κατατρεγμένων, τῶν ὑβριζομένων, τῶν ἀδικουμένων· καὶ οὔτε ἡ ἀπειλὴ τῶν νόμων, οὔτε ὁ φόβος τῶν δικαστηρίων, οὔτε τίποτε ἄλλο σταματᾷ αὐτὸν τὸν ὄλεθρον καὶ αὐτὴν τὴν ἀσθένειαν, ἀλλὰ καθημερινῶς αὐξάνεται τὸ κακόν, καὶ ἀπὸ παντοῦ πληθύνονται οἱ ἀναστεναγμοὶ καὶ οἱ θρῆνοι καὶ τὰ δάκρυα τῶν ἀδικουμένων. Καὶ οἱ δικασταὶ ἀκόμη ποὺ ἐτάχθησαν διὰ νὰ διορθώνουν τὰ τοιούτου εἴδους πράγματα, αὐτοὶ ἐπαυξάνουν τὴν συμφορὰν καὶ ἐπιδεινώνουν τὴν ἀσθένειαν· καὶ διὰ τοῦτο πολλοὶ ἀπὸ τοὺς πλέον ἀνοήτους καὶ δυστυχισμένους, καταλαμβανόμενοι ἀπὸ κάποιαν καινούργιαν παραφροσύνην, κατηγοροῦν τὴν πρόνοιαν τοῦ Θεοῦ, βλέποντες τὸν μὲν σώφρονα ἄνθρωπον πολλάκις νὰ τὸν διασύρουν, νὰ τὸν προσβάλλουν, νὰ τὸν καταπιέζουν, τὸν δὲ θρασὺν καὶ ἀδιάντροπον καὶ ἄτιμον καὶ γόνον ἀτίμων νὰ πλουτίζῃ καὶ νὰ περιβάλλεται μὲ δύναμιν καὶ νὰ γίνεται ἐπίφοβος εἰς πολλούς, καὶ νὰ προξενῇ ἀναρίθμητα δεινὰ εἰς τοὺς δικαίους καὶ αὐτὰ νὰ γίνωνται καὶ εἰς τὰς πόλεις καὶ εἰς τοὺς ἀγροὺς καὶ εἰς τὰς ἐρημίας καὶ εἰς τὴν ξηρὰν καὶ εἰς τὴν θάλασσαν. Κατ' ἀνάγκην λοιπὸν ὁ λόγος μου αὐ-

ὁ λόγος οὗτος εἰσέρχεται, ἀπεναντίας τοῖς εἰρημένοις ἱστάμενος, καὶ ἀγῶνα ἀγωνιζόμενος καινὸν μέν, ὅπερ ἀρχόμενος εἶπον, καὶ παράδοξον, χρήσιμον δὲ καὶ ἀληθῆ, καὶ τοῖς βουλομένοις προσέχειν καὶ πείθεσθαι λυσιτελῆ· καὶ γὰρ ἐπαγγέλλεται δείξειν (ἀλλὰ μὴ θορυβεῖσθε) οὐδένα τῶν ἀδικουμένων παρ' ἑτέρου τινὸς ἀδικούμενον, ἀλλὰ παρ' ἑαυτοῦ τοῦτο πάσχοντα.

2. *Ἵνα δὲ σαφέστερος ὁ λόγος γένηται, φέρε πρῶτον ἐξετάσωμεν τί ἐστιν ἀδικία, καὶ περὶ ποίων πραγμάτων ὕλην συνίστασθαι πέφυκε· καὶ τί ποτέ ἐστιν ἀνθρωπίνη ἀρετή, καὶ τί τὸ λυμαινόμενον ταύτην, καὶ τί ποτε δοκεῖ μὲν λυμαίνεσθαι, οὐ λυμαίνεται δέ. Οἷον (δεῖ γὰρ ἐκ παραδειγμάτων ἐντελῆ ποιῆσαι τὸν λόγον), ἕκαστον τῶν πραγμάτων ἓν ἔχει τὸ λυμαινόμενον· ὁ σίδηρος τὸν ἰόν, τὸν σῆτα τὸ ἔριον, προβάτων ἀγέλαι τοὺς λύκους. Καὶ οἴνου μὲν ἀρετῆς βλάβη τὸ παρατραπῆναι καὶ εἰς ὀξίνην καταπεσεῖν· μέλιτος δὲ τὸ τὴν σύμφυτον ἀπολέσαι γλυκύτητα, καὶ εἰς πικρὸν κατενεχθῆναι χυμόν. Λυμαίνεται δὲ καὶ ληΐων κόμαις ἐρυσίβη καὶ αὐχμός, καὶ ἀμπέλων καρπῷ, καὶ φύλλοις, καὶ κλήμασι τὸ πονηρὸν τῶν ἀκρίδων στρατόπεδον, καὶ ἑτέροις δένδρεσιν ἡ κάμπη, καὶ σώμασι δὲ ἀλόγοις ποικίλα νοσήματα· καὶ ἵνα μὴ πάντα ἐπεξιόντες μακρὸν ποιήσωμεν τὸν λόγον, καὶ τῇ σαρκὶ δὲ τῇ ἡμετέρᾳ καὶ πυρετοί, καὶ παρέσεις, καὶ ἑτέρων νοσημάτων ἑσμός.*

Ὥσπερ οὖν τούτων ἕκαστον ἔχει τὸ λυμαινόμενον αὐτοῦ τῇ ἀρετῇ, φέρε σκοπήσωμεν τί καὶ τὸ τῶν ἀνθρώπων παραβλάπτει γένος, καὶ τί ποτέ ἐστι τὸ λυμαινόμενον ἀνθρώπου ἀρετήν. Οἱ μὲν οὖν πολλοὶ ἕτερά τινα ἄλλα νομίζουσι. Δεῖ γὰρ καὶ τὰς πεπλανημένας δόξας εἰπεῖν, καὶ ἀνελόντας αὐτάς, οὕτω τὴν ὄντως λυμαινομένην ἡμῶν ταῖς ἀρεταῖς εἰς μέσον ἀγαγεῖν, καὶ δεῖξαι σαφῶς, ὅτι ταύτην ἡμᾶς οὐδεὶς δύναιτ' ἂν ἀδικῆσαι τὴν ἀδικίαν, οὐδὲ λυμήνασθαι τὴν λύ-

---

1. Εἶδος νόσου τῶν φυτῶν καὶ τῶν καρπῶν, ἰδίως τοῦ σίτου καὶ τῆς κριθῆς, στάχτη, καπνιά, συρίκι, μπάστρα, σιναπίδι.

τὸς ἔρχεται, διὰ νὰ σταθῇ ἀντίθετος πρὸς ὅσα ἐλέχθησαν, καὶ ἐπιχειρεῖ ἀγῶνα καινούργιον, ὅπως εἶπα εἰς τὴν ἀρχὴν τῆς ὁμιλίας μου, παράδοξον, χρήσιμον ὅμως καὶ ἀληθινόν, καὶ εἰς ἐκείνους ποὺ θέλουν νὰ προσέχουν καὶ νὰ πείθωνται ὠφέλιμον· διότι ὑπόσχεται νὰ δείξῃ (ἀλλὰ μὴ θορυβῆσθε) ὅτι κανεὶς ἀπὸ τοὺς ἀδικουμένους δὲν ἀδικεῖται ἀπὸ κάποιον ἄλλον, παρὰ μόνον ἀπὸ τὸν ἴδιον τὸν ἑαυτόν του.

2. Καὶ διὰ νὰ γίνωνται τὰ λόγια μου σαφέστερα, ἐμπρὸς ἂς ἐξετάσωμεν τί εἶναι ἀδικία καὶ ἐκ ποίων πραγμάτων συνίσταται, καὶ τί εἶναι ἀνθρωπίνη ἀρετή, καὶ τί εἶναι ἐκεῖνο ποὺ τὴν βλάπτει, καὶ τί εἶναι ἐκεῖνο ποὺ φαίνεται ὅτι τὴν βλάπτει, ἐνῷ δὲν τὴν βλάπτει. Παραδείγματος χάριν (διότι μὲ παραδείγματα πρέπει νὰ διασαφηνίσω τὸν λόγον) κάθε πρᾶγμα ἔχει κάτι ποὺ τὸ βλάπτει· ὁ σίδηρος τὴν σκωρίαν, τὸ μαλλὶ τὸν σκόρον, αἱ ἀγέλαι τῶν προβάτων τοὺς λύκους. Καὶ βλάβη τοῦ καλοῦ οἴνου εἶναι τὸ νὰ ἀλλοιωθῇ καὶ νὰ γίνῃ ὄξινος· τοῦ μέλιτος δὲ τὸ νὰ χάσῃ τὴν σύμφυτον γλυκύτητά του καὶ νὰ γίνῃ πικρὸς χυμός. Βλάπτουν δὲ καὶ τὰ σπαρτὰ ἡ ἐρυσίβη[1] καὶ ἡ ξηρασία, καὶ τὸν καρπὸν τῶν ἀμπέλων καὶ τὰ φύλλα καὶ τὰ κλήματα καὶ ἄλλα δένδρα, ἡ κάμπη, καὶ τὰ σώματα τῶν ἀλόγων αἱ διάφοροι ἀσθένειαι· καὶ διὰ νὰ μὴ μακρυγορήσωμεν ἀναφέροντες ὅλα, ἀναφέρω ὅτι καὶ τὴν σάρκα τὴν ἰδικήν μας τὴν βλάπτουν πυρετοὶ καὶ παραλύσεις καὶ πλῆθος ἄλλων νοσημάτων.

Ὅπως λοιπὸν κάθε ἕνα ἀπὸ αὐτὰ ἔχει ἐκεῖνο τὸ ὁποῖον βλάπτει τὴν ἀρετήν του, ἐμπρὸς ἂς ἐξετάσωμεν τί εἶναι ἐκεῖνο τὸ ὁποῖον βλάπτει τὸ γένος τῶν ἀνθρώπων, καὶ τί εἶναι ἐκεῖνο ποὺ βλάπτει τὴν ἀρετὴν τοῦ ἀνθρώπου. Ἄλλοι μὲν νομίζουν κάποια ἄλλα, πολλά. Διότι πρέπει νὰ ἀναφέρωμεν καὶ τὰς πεπλανημένας γνώμας, καὶ ἀφοῦ τὰς ἀναιρέσωμεν κατόπιν νὰ παρουσιάσωμεν ἐκείνην ποὺ πραγματικῶς βλάπτει τὰς ἀρετάς μας, καὶ νὰ ἀποδείξωμεν, ὅτι αὐτὴν τὴν ἀδικίαν κανεὶς δὲν ἠμπορεῖ νὰ μᾶς τὴν προξενήσῃ οὔτε νὰ μᾶς φέρῃ αὐτὴν τὴν βλάβην, ἂν ἐμεῖς οἱ ἴδιοι δὲν

μην, εἰ μὴ αὐτοὶ ἑαυτοὺς προδοίημεν. Οἱ μὲν οὖν πολλοὶ πεπλανημένας ἔχοντες δόξας, ἕτερα νομίζουσιν εἶναι τὰ λυμαινόμενα ἡμῶν τῇ ἀρετῇ, οἱ μὲν πενίαν, οἱ δὲ νόσον σώματος, οἱ δὲ τὴν ἐν χρήμασι ζημίαν, ἕτεροι συκοφαντίαν, ἄλλοι θάνατον, καὶ ταῦτα ἀποδυρόμενοι καὶ θρηνοῦντες διατελοῦσι· καὶ τοὺς πάσχοντας ἐλεοῦντες, καὶ δακρύοντες, καὶ ἐκπληττόμενοι πρὸς ἀλλήλους λέγουσιν· οἷα πέπονθεν ὁ δεῖνα; ἀθρόον ἀφηρέθη τὴν οὐσίαν ἅπασαν. Ἕτερος περὶ ἑτέρου πάλιν· ὁ δεῖνα δὲ ἀρρωστίᾳ χαλεπῇ περιπεσὼν ἀπέγνωσται παρὰ τῶν πρὸς αὐτὸν εἰσιόντων ἰατρῶν. Καὶ ὁ μὲν τοὺς τὸ δεσμωτήριον οἰκοῦντας, ὁ δὲ τοὺς τῆς πατρίδος ἐκπεσόντας, καὶ πρὸς τὴν ὑπερορίαν μεταναστάντας, ἄλλος τοὺς ἐλευθερίας ἐκπεπτωκότας, ἕτερος τοὺς ὑπὸ πολεμίων ἁρπαγέντας, καὶ γενομένους αἰχμαλώτους, ἕτερος τὸν καταποντισθέντα ἢ καέντα, ἄλλος τὸν ὑπὸ οἰκίας καταχωσθέντα θρηνοῦσι, καὶ ὀλοφύρονται, τοὺς δὲ ἐν πονηρίᾳ ζῶντας οὐδείς· ἀλλ', ὃ πάντων ἐστὶ χαλεπώτερον, πολλάκις αὐτοὺς καὶ μακαρίζουσιν, ὃ καὶ πάντων αἴτιόν ἐστι τῶν κακῶν.

Φέρε οὖν (ἀλλ' ὅπερ ἀξ ἀρχῆς παρεκάλεσα, μὴ θορυβεῖτε), δείξωμεν, ὡς οὐδὲν τῶν εἰρημένων ἀδικεῖ τὸν νήφοντα ἄνθρωπον, οὐδὲ τὴν ἀρετὴν αὐτοῦ λυμήνασθαι δύναιτ' ἄν. Τί γάρ, εἰπέ μοι, τὸν τὰ αὐτοῦ πάντα ἀπολωλεκότα, ἢ παρὰ συκοφαντῶν ἢ παρὰ λῃστῶν ἢ καὶ οἰκετῶν κακούργων ἀφαιρεθέντα τὰ ὄντα, ἔβλαψεν αὕτη ἡ ζημία εἰς ἀρετὴν τοῦ ἀνθρώπου; Μᾶλλον δέ, εἰ δοκεῖ, πρῶτον ὑπογράφωμεν, τί ποτέ ἐστιν ἀνθρώπου ἀρετή, ἐν ἑτέραις οὐσίαις πρότερον τὸν λόγον γυμνάσαντες, ὥστε εὐμαθέστερον αὐτὸν ποιῆσαι καὶ σαφέστερον τοῖς πολλοῖς.

3. Τί ποτ' οὖν ἐστιν ἵππου ἀρετή; Ἆρα τὸ χρυσοῦν ἔχειν χαλινόν, καὶ τελαμῶνας τοιούτους, καὶ στρωμάτων δεσμὸν ἐκ σηρικῶν νημάτων συγκείμενον, καὶ τάπητας ποι-

προδώσωμεν τοὺς ἑαυτούς μας. Οἱ πολλοὶ ἐπειδὴ ἔχουν πεπλανημένας γνώμας, ἄλλα νομίζουν ὅτι εἶναι τὰ ὁποῖα βλάπτουν τὴν ἀρετήν μας, καὶ ἄλλοι μὲν νομίζουν ὅτι εἶναι ἡ φτώχεια, ἄλλοι δὲ ἡ σωματικὴ ἀσθένεια, ἄλλοι ἡ χρηματικὴ ζημία, ἄλλοι ἡ συκοφαντία, ἄλλοι ὁ θάνατος, καὶ δι' αὐτὰ συνεχῶς θρηνοῦν καὶ ὀδύρονται· καὶ λυποῦνται δι' ὅσους ὑφίστανται αὐτά, καὶ δακρύζουν, καὶ ἔκπληκτοι μεταξύ τους λέγουν· τί ἔπαθεν ὁ τάδε; Διὰ μιᾶς ἔχασε τὴν περιουσίαν του ὅλην. Ἄλλος πάλιν λέγει περὶ ἄλλου· ὁ τάδε περιέπεσεν εἰς βαρεῖαν ἀσθένειαν καὶ τὸν ἔχουν ξεγράψει οἱ ἰατροὶ ποὺ τὸν ἐπισκέπτονται. Καὶ ἄλλος μὲν θρηνεῖ καὶ ὀδύρεται διὰ τοὺς φυλακισμένους, ἄλλος δὲ δι' ἐκείνους ποὺ ἐξεδιώχθησαν ἀπὸ τὴν πατρίδα των καὶ ἐξωρίσθησαν, ἄλλος δι' ἐκείνους ποὺ ἐστερήθησαν τὴν ἐλευθερίαν των, ἄλλος δι' ἐκείνους ποὺ συνελήφθησαν ὑπὸ τῶν ἐχθρῶν καὶ ἔγιναν αἰχμάλωτοι, ἄλλος δι' αὐτὸν ποὺ ἐπνίγη ἢ ποὺ ἐκάη, ἄλλος δι' αὐτὸν ποὺ ἐτάφη κάτω ἀπὸ τὴν οἰκίαν του, κανεὶς ὅμως δὲν θρηνεῖ δι' αὐτοὺς ποὺ ζοῦν εἰς τὴν ἁμαρτίαν. Ἀλλὰ πολλὰς φορὰς μακαρίζουν αὐτοὺς δι' ἐκεῖνο ποὺ εἶναι πολὺ λυπηρὸν καὶ αἴτιον ὅλων τῶν κακῶν.

Ἐμπρὸς λοιπὸν (ἀλλ' ὅπως σᾶς παρεκλεσα ἐξ ἀρχῆς μὴ θορυβῆτε) ἂς ἀποδείξωμεν ὅτι τίποτε ἀπὸ ὅλα αὐτὰ ποὺ ἐλέχθησαν δὲν ἀδικεῖ τὸν νηφάλιον ἄνθρωπον, οὔτε ἠμπορεῖ νὰ βλάψῃ τὴν ἀρετήν του. Διότι, εἰπέ μου, αὐτὸν ὁ ὁποῖος ἔχασεν ὅλα τὰ ὑπάρχοντά του, ἀπὸ τὸν ὁποῖον ἀφῃρέθησαν τὰ πάντα, ἢ ἀπὸ τοὺς συκοφάντας, ἢ ἀπὸ τοὺς λῃστάς, ἢ καὶ ὑπὸ ὑπηρετῶν κακούργων, τὸν ἔβλαψεν αὐτὴ ἡ ζημία ὡς πρὸς τὴν ἀρετήν του; Μᾶλλον δέ, ἂν θέλετε, πρῶτον ἂς περιγράψωμεν τί εἶναι ἀρετὴ τοῦ ἀνθρώπου, ἀφοῦ ἀσχοληθῶμεν προηγουμένως μὲ ἄλλα ζητήματα, διὰ νὰ κάνωμεν τὸν λόγον μας σαφέστερον καὶ εὐκολοκατανόητον εἰς τοὺς πολλούς.

3. Τί εἶναι λοιπὸν ἀρετὴ ἵππου; Μήπως τὸ νὰ ἔχῃ χρυσοῦν χαλινὸν καὶ χρυσᾶ λουριά, καὶ σέλλα ἀπὸ μεταξωτὰ ὑφάσματα καὶ ποικίλα καὶ χρυσοΰφαντα ἐπιστρώματα,

κίλους καὶ χρυσοπάστους, καὶ φάλαρα λιθοκόλλητα, καὶ πλοκάμους χρυσοῖς σχοινίοις συμπεπλεγμένους· ἢ τὸ δρομικὸν εἶναι καὶ εὐσκελῆ, καὶ βαδίζειν εὔρυθμα, καὶ ὁπλὰς ἔχειν ἵππῳ πρεπούσας γενναίῳ, καὶ ἀνδρίαν κεκτῆσθαι τὴν ἐν ἀποδημίαις μακραῖς, τὴν ἐν πολέμοις ἁρμόζουσαν, καὶ δύνασθαι καὶ ἐν παρατάξει μετὰ πολλοῦ φαίνεσθαι τοῦ παραστήματος, καὶ τροπῆς γενομένης σώζειν τὸν ἀναβάτην; Οὐκ εὔδηλον ὅτι ταῦτα ἵππου ἀρετή, οὐκ ἐκεῖνα; Τί δέ, ὄνων καὶ ἡμιόνων ποίαν φαίης ἀρετὴν εἶναι; Οὐ τὸ δύνασθαι μετ' εὐκολίας ἀχθοφορεῖν, καὶ ῥᾳδίως τὰς ὁδοὺς διανύειν, καὶ πόδας ἔχειν στερρότητι πέτρας μιμουμένους; Μὴ τὰ ἔξωθεν αὐτοῖς περικείμενα συντελεῖν τι πρὸς τὴν οἰκείαν ἀρετὴν αὐτῶν φήσομεν; Οὐδαμῶς. Ἄμπελον δὲ ποίαν θαυμασόμεθα; Τὴν τοῖς φύλλοις κομῶσαν καὶ τοῖς κλήμασιν ἢ τὴν τῷ καρπῷ βριθομένην; Ποίαν δὲ ἀρετὴν ἐλαίας εἶναί φαμεν; Ὅταν μεγάλους ἔχῃ τοὺς κλάδους, καὶ πολλὴν τὴν ἀπὸ τῶν φύλλων κόμην ἢ ὅταν τὸν οἰκεῖον καρπὸν δαψιλῆ καὶ πανταχοῦ διεσπαρμένον ἐμφαίνῃ;

Οὕτω δὴ καὶ ἐπὶ τῶν ἀνθρώπων ποιῶμεν· διευκρινήσωμεν τὴν ἀρετὴν τὴν τοῦ ἀνθρώπου, καὶ βλάβην εἶναι ἐκείνην νομίσωμεν μόνην, τὴν αὐτῇ λυμαινομένην. Τί οὖν ἐστιν ἀρετὴ ἀνθρώπου; Οὐ χρήματα, ἵνα πενίαν δείσῃς· οὐδὲ ὑγίεια σώματος, ἵνα φοβηθῇς νόσον· οὐδὲ ἡ τῶν πολλῶν ὑπόληψις, ἵνα ὑπίδῃς δόξαν πονηράν· οὐδὲ τὸ ζῆν ἁπλῶς καὶ εἰκῇ, ἵνα φοβερός σοι γένηται ὁ θάνατος· οὐδὲ ἐλευθερία, ἵνα δουλείαν φύγῃς· ἀλλ' ἡ τῶν ἀληθῶν δογμάτων ἀκρίβεια, καὶ ἡ κατὰ τὸν βίον ὀρθότης. Ταῦτα δὲ οὐδὲ αὐτὸς ὁ διάβολος ἀποσυλῆσαι δυνήσεται, ἐὰν ὁ κεκτημένος αὐτὰ μετὰ τῆς προσηκούσης ἀκριβείας διαφυλάττῃ· καὶ ταῦτα καὶ ὁ πονηρότατος καὶ ἄγριος δαίμων ἐκεῖνος οἶδε. Διὰ γάρ τοι τοῦτο καὶ τὴν οὐσίαν ἐσύλα τοῦ Ἰώβ, οὐχ ἵνα πένητα ποιήσῃ,

καὶ προμετωπίδας στολισμένας μὲ πολυτίμους λίθους, καὶ χαίτην πλεγμένην μὲ χρυσᾶ σχοινιά· ἢ τὸ νὰ εἶναι γρήγορος καὶ σταθερός, καὶ νὰ βαδίζῃ κανονικά, καὶ νὰ ἔχῃ ὄνυχας ἁρμόζοντας εἰς γενναῖον ἵππον, καὶ νὰ ἔχῃ δύναμιν ποὺ ἀπαιτεῖται διὰ μακρυνὰ ταξίδια, διὰ πολέμους, καὶ νὰ ἠμπορῇ καὶ εἰς τὴν παράταξιν νὰ δεικνύῃ ἐπιβλητικὸν παράστημα, καὶ κατὰ τὴν φυγὴν νὰ σώζῃ τὸν ἱππέα; Δὲν εἶναι φανερὸν ὅτι αὐτὰ εἶναι ἀρετὴ τοῦ ἵππου, καὶ ὄχι ἐκεῖνα; Καὶ ἀκόμη τῶν ὄνων καὶ τῶν ἡμιόνων ποία θὰ ἔλεγες ὅτι εἶναι ἡ ἀρετή των; Δὲν εἶναι τὸ νὰ ἠμποροῦν μὲ εὐκολίαν νὰ σηκώνουν βάρη, καὶ μὲ εὐκολίαν νὰ διαβαίνουν τοὺς δρόμους καὶ νὰ ἔχουν πόδια στερεὰ σὰν τὴν πέτραν; Μήπως θὰ εἰποῦμεν ὅτι ὁ ἐξωτερικός των στολισμὸς συμβάλλει κατά τι πρὸς τὴν ἀρετήν των; Καθόλου. Ποίαν ἄμπελον θὰ θαυμάσωμεν; Ἐκείνην τῆς ὁποίας κυματίζουν τὰ φύλλα καὶ τὰ κλήματα ἢ ἐκείνην ποὺ εἶναι κατάφορτος ἀπὸ καρπούς; Καὶ ποία θὰ εἰπῶμεν ὅτι εἶναι ἡ ἀρετὴ τῆς ἐλαίας; Ὅταν ἔχῃ μεγάλους κλάδους καὶ πυκνὸν τὸ φύλλωμα ἢ ὅταν παρουσιάζῃ ἄφθονον τὸν καρπόν της καὶ παντοῦ διασκορπισμένον;

Ἔτσι λοιπὸν ἂς κάνωμεν καὶ ἐπὶ τῶν ἀνθρώπων· ἂς ἐξετάσωμεν ἀκριβῶς τὴν ἀρετὴν τοῦ ἀνθρώπου, καὶ ἂς θεωρήσωμεν βλάβην μόνον ἐκείνην ἡ ὁποία βλάπτει αὐτήν. Ποία λοιπὸν εἶναι ἡ ἀρετὴ τοῦ ἀνθρώπου; Ὄχι τὸ χρήματα διὰ νὰ φοβηθῇς τὴν πτωχείαν· οὔτε ἡ ὑγεία τοῦ σώματος διὰ νὰ φοβηθῇς τὴν ἀσθένειαν· οὔτε ἡ ἐκτίμησις τῶν πολλῶν διὰ νὰ ἀποφύγῃς τὴν κακὴν φήμην· οὔτε τὸ νὰ ζῇ κανεὶς ὅπως τύχῃ, διὰ νὰ σοῦ προξενῇ φόβον ὁ θάνατος· οὔτε ἡ ἐλευθερία διὰ νὰ ἀποφεύγῃς τὴν δουλείαν· ἀλλὰ ἡ ἀκριβὴς ἐμμονὴ εἰς τὴν ἀληθινὴν πίστιν καὶ ὁ ὀρθὸς τρόπος ζωῆς. Αὐτὰ δὲ οὔτε ὁ διάβολος θὰ ἠμπορέσῃ νὰ τὰ ἀφαιρέσῃ, ἂν αὐτὸς ποὺ τὰ κατέχει τὰ διαφυλάττῃ μὲ τὴν πρέπουσαν προσοχήν· καὶ αὐτὰ τὰ γνωρίζει ὁ πονηρότατος καὶ ἄγριος ἐκεῖνος δαίμων. Διότι δι' αὐτὴν τὴν αἰτίαν ἀφῄρει καὶ τὴν περιουσίαν τοῦ Ἰώβ, ὄχι διὰ νὰ τὸν κάμῃ πτωχόν, ἀλλὰ διὰ νὰ τὸν ἐξαναγκάσῃ νὰ εἰπῇ κάποιαν

ἀλλ' ἵνα βλάσφημόν τι ῥῆμα ἐκβαλεῖν βιάσηται· καὶ τὸ σῶμα κατέτεμεν, οὐχ ἵνα ἀρρωστίᾳ περιβάλῃ, ἀλλ' ἵνα ὑποσκελίσῃ τὴν κατὰ ψυχὴν ἀρετήν. Ἀλλ' ὅμως πάντα αὐτοῦ κινήσας τὰ μηχανήματα, καὶ πένητα ἀντὶ πλουτοῦντος ποιήσας (τοῦτο δὴ τὸ πάντων ἡμῖν φρικωδέστατον εἶναι δοκοῦν), ἀντὶ πολύπαιδος ἄπαιδα, καὶ καταξάνας αὐτοῦ τὸ σῶμα ἅπαν, τῶν ἐν δικαστηρίοις δημίων χαλεπώτερον (οὐ γὰρ οὕτω διορύττουσιν οἱ ἐκείνων ὄνυχες τὰς πλευρὰς τῶν ἐμπιπτόντων αὐτοῖς, ὡς κατέξαναν αὐτοῦ τὴν σάρκα τῶν σκωλήκων τὸ στόματα), καὶ πονηρὰν αὐτῷ περιθεὶς δόξαν (οἱ γὰρ φίλοι αὐτῷ παρόντες ἔλεγον, οὐκ ἄξια ὧν ἥμαρτες μεμαστίγωσαι, καὶ πολλοὺς ἐπέτεινον κατ' αὐτοῦ κατηγορίας λόγους), καὶ οὐχὶ τῆς πόλεως ἐκβαλὼν μόνον, οὐδὲ τῆς οἰκίας, καὶ εἰς ἄλλην μεταστήσας πόλιν, ἀλλὰ τὴν κοπρίαν καὶ οἰκίαν αὐτῷ καὶ πόλιν καταστήσας, οὐ μόνον οὐδὲν αὐτὸν ἐλυμήνατο, ἀλλὰ καὶ λαμπρότερον δι' ὧν ἐπεβούλευσεν ἀπέφηνεν. Ὁ δὲ οὐ μόνον τι τῶν ὄντων οὐκ ἀφείλετο, καίτοι τοσαῦτα ἀφελόμενος, ἀλλὰ καὶ μείζονα αὐτῷ τὸν πλοῦτον τῆς ἀρετῆς εἰργάσατο. Καὶ γὰρ πλείονος μετὰ ταῦτα ἀπήλαυσε παρρησίας, ἅτε καὶ σφοδρότερον ἀγωνισάμενος ἀγῶνα. Εἰ δὲ ὁ τοσαῦτα παθὼν οὐδὲν ἠδίκηται, καὶ παθὼν οὐ παρὰ ἀνθρώπου, τίς ἕξει λοιπὸν ἀπολογίαν τῶν λεγόντων, ὅτι ὁ δεῖνά με ἠδίκησε καὶ παρέβλαψεν; Εἰ γὰρ ὁ διάβολος ὁ τοσαύτης γέμων κακίας, πάντα αὐτοῦ κινήσας τὰ ὄργανα, καὶ πάντα ἀφεὶς τὰ βέλη, καὶ ὅσα ἦν ἐν ἀνθρώποις κακά, μετὰ πολλῆς τῆς ὑπερβολῆς, καὶ εἰς τὴν οἰκίαν τοῦ δικαίου καὶ εἰς τὸ σῶμα κενώσας, οὐδὲν τὸν ἄνδρα ἠδίκησεν, ἀλλ', ὅπερ ἔφην, καὶ μᾶλλον ὠφέλησε, πῶς δυνήσονταί τινες τὸν δεῖνα καὶ τὸν δεῖνα αἰτιάσασθαι, ὡς παρ' αὐτῶν, ἀλλ' οὐχ ὡς οἴκοθεν ἠδικημένοι;

βλασφημίαν· καὶ κατέκοπτε τὸ σῶμα του, ὄχι διὰ νὰ τὸ κάνῃ ἀσθενές, ἀλλὰ διὰ νὰ καταβάλῃ τὴν ἀρετὴν τῆς ψυχῆς. Ἀφοῦ ὅμως ἐχρησιμοποίησεν ὅλους τοὺς δόλους του καὶ τὸν ἔκαμεν ἀπὸ πλούσιον πτωχὸν (αὐτὸ δηλαδὴ ποὺ φαίνεται εἰς ὅλους μας πιὸ φρικτὸν ἀπὸ ὅλα), ἀπὸ πολύτεκνον ἄτεκνον, ἀφοῦ ἔσχισεν ὅλον τὸ σῶμα του χειρότερα ἀπὸ ὅσα κάνουν οἱ δήμιοι στὰ δικαστήρια (διότι δὲν τρυποῦν οἱ ὄνυχες ἐκείνων τὰς πλευρὰς αὐτῶν ποὺ πίπτουν εἰς τὰ χέρια των, ὅσον κατεξέσχισαν τὴν σάρκα ἐκείνου τὰ στόματα τῶν σκωλήκων), καὶ τὸν περιέβαλε μὲ κακὴν φήμην (διότι οἱ φίλοι του παρουσίᾳ του ἔλεγον εἰς αὐτόν, δὲν ἐτιμωρήθης τόσον ὅσον ἄξιζαν τὰ ἁμαρτήματά σου, καὶ ἐπέρριπτον εἰς αὐτὸν πολλὰς κατηγορίας), καὶ τὸν ἐξώρισεν ὄχι ἁπλῶς ἀπὸ τὴν πόλιν καὶ ἀπὸ τὴν οἰκίαν του, διὰ νὰ τὸν μεταφέρῃ εἰς ἄλλην πόλιν, ἀλλὰ ἀφοῦ ἔδωσεν εἰς αὐτὸν ὡσὰν πόλιν καὶ ὡσὰν οἰκίαν τὴν κοπριάν, ὄχι μόνον δὲν τὸν κατέστρεψεν, ἀλλὰ καὶ τὸν παρουσίασε λαμπρότερον ἐξ αἰτίας ἐκείνων ποὺ ἐσκέφθη ἐναντίον του. Αὐτὸς ὅμως ὄχι μόνον δὲν ἐστερήθη κάτι ἀπὸ τὴν περιουσίαν του, ἂν καὶ τοῦ ἀφῄρεσαν τόσα, ἀλλὰ καὶ μεγαλύτερον τὸν πλοῦτον τῆς ἀρετῆς του ἔκαμεν ἐξ αἰτίας αὐτοῦ. Καθόσον μετὰ ταῦτα ἀπήλαυσε μεγαλυτέραν παρρησίαν, ἐπειδὴ ἠγωνίσθη δυνατώτερον ἀγῶνα. Ἂν δὲ αὐτὸς ὁ ὁποῖος ἔπαθε τόσα καὶ δὲν ἠδικήθη καθόλου, ἂν καὶ ἔπαθεν αὐτὰ ὄχι ἀπὸ ἄνθρωπον, ἀλλὰ ἀπὸ δαίμονα ποὺ εἶναι πονηρότερος ἀπὸ ὅλους τοὺς ἀνθρώπους, ποῖος θὰ ἔχῃ δικαιολογίαν ἀπὸ αὐτοὺς οἱ ὁποῖοι λέγουν ὅτι ὁ τάδε μὲ ἠδίκησε καὶ μὲ ἔβλαψε; Διότι ἐὰν ὁ διάβολος, ὁ ὁποῖος εἶναι γεμᾶτος ἀπὸ τόσην κακίαν, ἀφοῦ ἐχρησιμοποίησεν ὅλα τὰ ὄργανά του, καὶ ἀφοῦ ἔρριψε τὰ βέλη του, καὶ ὅσα κακὰ ὑπάρχουν μεταξὺ τῶν ἀνθρώπων, μὲ μεγάλη ὑπερβολὴ τὰ ἔφερε καὶ τὰ ἄδειασεν εἰς τὴν οἰκίαν καὶ εἰς τὸ σῶμα τοῦ δικαίου, καθόλου δὲν ἠδίκησε τὸν ἄνθρωπον, ἀλλὰ ὅπως εἶπα, τὸν ὠφέλησε περισσότερον· πῶς θὰ ἠμπορέσουν μερικοὶ νὰ κατηγορήσουν τὸν τάδε καὶ τὸν τάδε, ὅτι ἠδικήθησαν ἀπὸ αὐτοὺς καὶ ὄχι ἀπὸ τὸν ἑαυτόν των;

4. Τί οὖν, φησί, τὸν Ἀδὰμ οὐκ ἠδίκησε, καὶ ὑπεσκέλισε, καὶ ἐξέβαλε τοῦ παραδείσου; Οὐχ οὗτος, ἀλλ' ἡ τοῦ ἀδικηθέντος ῥᾳθυμία, καὶ τὸ μὴ νήφειν, μηδὲ ἐγρηγορέναι. Ὁ γὰρ τοιαῦτα καὶ τοσαῦτα προσαγαγὼν μηχανήματα, καὶ τὸν Ἰὼβ κατενεγκεῖν μὴ δυνηθείς, πῶς ἂν ἐξ ἐλαττόνων ἐκράτησε τοῦ Ἀδάμ, εἰ μὴ διὰ τῆς οἰκείας ῥᾳθυμίας ἑαυτὸν προέδωκεν ἐκεῖνος; Τί οὖν; ὁ συκοφάνταις περιπεσών, καὶ δημευθεὶς τὴν οὐσίαν, οὐκ ἠδίκηται, τὰ ὄντα πάντα ἀφαιρεθείς, καὶ πατρῴων ἐκπεσών, καὶ πενίᾳ παλαίων ἐσχάτῃ; Οὐκ ἠδίκηται, ἀλλὰ καὶ ἐκέρδανεν, ἐὰν νήφῃ. Τί γάρ, εἰπέ μοι, τοῦτο παρέβλαψε τοὺς ἀποστόλους; Οὐ λιμῷ καὶ δίψει καὶ γυμνότητι συνεχῶς ἐπάλαιον; καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο καὶ σφόδρα ἦσαν λαμπροὶ καὶ ἐπίσημοι, καὶ πολλὴν παρὰ τοῦ Θεοῦ τὴν βοήθειαν ἐπεσπάσαντο. Τί δὲ τὸν Λάζαρον ἡ νόσος, καὶ τὰ ἕλκη, καὶ ἡ πενία, καὶ ἡ ἐρημία τῶν προστησομένων παρέβλαψεν; Οὐκ ἐντεῦθεν αὐτῷ μειζόνως ἐπλάκησαν οἱ στέφανοι; Τί δὲ τὸν Ἰωσὴφ τὸ πονηρὰν δόξαν κτήσασθαι ἐπὶ τῆς οἰκείας γῆς καὶ ἐπὶ τῆς ἀλλοτρίας; καὶ γὰρ καὶ μοιχὸς καὶ ἑταιρικὸς εἶναι ἐνομίζετο· τί δὲ ἡ δουλεία; τί δὲ τὸ τῆς πατρίδος ἐκπεσεῖν; Οὐ διὰ ταῦτα αὐτὸν μάλιστα θαυμάζομεν καὶ ἐκπληττόμεθα; Καὶ τί λέγω τὴν εἰς τὴν ὑπερορίαν μετάστασιν, καὶ πενίαν, καὶ πονηρὰν δόξαν, καὶ δουλείαν; Αὐτὸς γὰρ ὁ θάνατος τί τὸν Ἄβελ παρέβλαψε, καὶ βίαιος καὶ ἄωρος γενόμενος, καὶ ὑπὸ χειρὸς ἀδελφικῆς τολμηθείς; Οὐ διὰ τοῦτο πανταχοῦ τῆς οἰκουμένης ᾄδεται; Ὁρᾷς πῶς πλέον, ἤπερ ὑπέσχετο, ὁ λόγος ἀπέδειξεν; Οὐ γὰρ δὴ μόνον οὐδένα παρ' οὐδενὸς ἀδικούμενον ἀπέφηνεν, ἀλλὰ καὶ μειζόνως κερδαίνοντας τοὺς ἑαυτοῖς προσέχοντας.

4. Τί λοιπόν, λέγουν μερικοί, τὸν Ἀδὰμ δὲν τὸν ἠδίκησε καὶ τὸν ὑπεσκέλισε καὶ τὸν ἐξεδίωξεν ἀπὸ τὸν παράδεισον; Ὄχι αὐτὸς ἀλλὰ ἡ ἀπερισκεψία τοῦ ἀδικηθέντος καὶ τὸ ὅτι δὲν ἦτο συνετὸς καὶ ἐν ἐγρηγόρσει. Διότι αὐτὸς ποὺ μετεχειρίσθη τόσους καὶ τέτοιου εἴδους δόλους καὶ δὲν ἠμπόρεσε νὰ κατανικήσῃ τὸν Ἰὼβ πῶς θὰ ἠμποροῦσε νὰ κυριεύσῃ τὸν Ἀδὰμ μὲ ὀλιγώτερα μέσα, ἐὰν ἐκεῖνος ἐξ αἰτίας τῆς ἀπερισκεψίας του δὲν ἐπρόδιδε τὸν ἑαυτόν του; Τί λοιπόν; Αὐτὸς ποὺ ἔπεσεν εἰς τοὺς συκοφάντας καὶ ἔχασε τὴν περιουσίαν του καὶ ἀπὸ τὸν ὁποῖον ἀφῃρέθησαν ὅλα ὅσα εἶχε καὶ ἐξεδιώχθη ἀπὸ τὴν πατρικὴν γῆν, καὶ ἐπάλαισε μὲ τὴν μεγαλυτέραν φτώχειαν, δὲν ἠδικήθη; Ὄχι μόνον δὲν εἶχε ἀδικηθῆ ἀλλὰ καὶ ἐκέρδισεν ἐπειδὴ ἦτο συνετός. Διότι, εἰπέ μου, εἰς τί παρέβλαψε τοῦτο τοὺς ἀποστόλους; Δὲν ἐπάλαιον συνεχῶς μὲ τὴν πεῖναν, τὴν δίψαν καὶ τὴν γυμνότητα; Ἀλλὰ δι' αὐτὸ ἀκριβῶς ἦσαν καὶ τόσον πολὺ λαμπροὶ καὶ ὀνομαστοὶ καὶ ἐδέχθησαν πολλὴν βοήθειαν ἀπὸ τὸν Θεόν. Εἰς τί ἐζημίωσε τὸν Λάζαρον ἡ ἀσθένεια καὶ αἱ πληγαὶ καὶ ἡ φτώχεια καὶ ἡ ἐγκατάλειψις ἀπὸ τοὺς ἰδικούς του; Μήπως ἐξ αἰτίας αὐτῶν δὲν ἐπλέχθησαν δι' αὐτὸν περισσότεροι στέφανοι; Τί ἔβλαψε τὸν Ἰωσὴφ τὸ ὅτι ἀπέκτησε κακὴν φήμην καὶ εἰς τὴν χώραν του καὶ εἰς τὴν ξένην χώραν; Διότι καὶ μοιχὸς καὶ πόρνος ἐνομίζετο ὅτι εἶναι· εἰς τί τὸν ἔβλαψεν ἡ δουλεία; εἰς τί δὲ τὸ ὅτι ἐστερήθη τὴν πατρίδα του; Δὲν τὸν θαυμάζομεν καὶ δὲν ἐκπληττόμεθα δι' αὐτὰ περισσότερον; Καὶ διατί ἀναφέρω τὴν μετάβασιν εἰς τὴν ξένην χώραν, τὴν πτωχείαν, τὴν κακὴν φήμην καὶ τὴν δουλείαν; Διότι ὁ ἴδιος ὁ θάνατος τί ἐζημίωσε τὸν Ἄβελ, ὁ ὁποῖος ἔγινε καὶ κατὰ τρόπον βίαιον καὶ πρόωρον καὶ ἐτολμήθη ἀπὸ χέρια ἀδελφικά; Δὲν ἐγκωμιάζεται διὰ τοῦτο εἰς ὅλα τὰ μέρη τῆς οἰκουμένης; Βλέπεις λοιπὸν ὅτι ὁ λόγος ἀπέδειξε περισσότερα ἀπὸ ὅσα ὑπέσχετο; Διότι ὄχι μόνον ἀπέδειξεν ὅτι κανεὶς δὲν ἀδικεῖται ἀπὸ κανένα ἀλλὰ καὶ ὅτι περισσότερον κερδίζουν ὅσοι προσέχουν τοὺς ἑαυτούς των.

Τίνος οὖν ἕνεκεν τιμωρίαι καὶ κολάσεις, φησί; τίνος ἕνεκεν γέεννα; τίνος ἕνεκεν ἀπειλαὶ τοσαῦται, εἰ μηδεὶς μήτε ἀδικεῖται, μήτε ἀδικεῖ; Τί λέγεις; τί συγχέεις τὸν λόγον; Οὐδὲ γὰρ εἶπον ὅτι οὐδεὶς ἀδικεῖ, ἀλλ' ὅτι οὐδεὶς ἀδικεῖται. Καὶ πῶς ἔνι, φησίν, ἀδικούντων πολλῶν, μὴ ἀδικεῖσθαί τινα; Οὕτως ὡς ἐδίδαξα νῦν. Ἐπεὶ καὶ τὸν Ἰωσὴφ ἠδίκησαν μὲν οἱ ἀδελφοί, αὐτὸς δὲ οὐκ ἠδικήθη· καὶ τῷ Ἄβελ ἐπεβούλευσε μὲν ὁ Κάιν, αὐτὸς δὲ οὐκ ἐπεβουλεύθη. Διὰ τοῦτο τιμωρίαι καὶ κολάσεις. Οὐδὲ γὰρ διὰ τὴν τῶν παθόντων ἀρετὴν ἀναιρεῖ τὰς τιμωρίας ὁ Θεός· ἀλλὰ διὰ τὴν κακίαν τῶν πονηρευομένων τίθησι τὰς κολάσεις. Εἰ γὰρ καὶ λαμπρότεροι οἱ πάσχοντες κακῶς ἀπὸ τῶν ἐπιβούλων γίνονται, ἀλλ' οὐ τῆς γνώμης τοῦτο τῶν ἐπιβουλευόντων, ἀλλὰ τῆς ἀνδρείας τῶν ἐπιβουλευομένων ἐστί. Διὰ τοῦτο τοῖς μὲν τῆς φιλοσοφίας τὰ βραβεῖα, ἐκείνοις δὲ τῆς πονηρίας αἱ τιμωρίαι εὐτρεπίζονται καὶ παρασκευάζονται. Ἀφῃρέθης τὰ χρήματα; Λέγε, «Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι». Καὶ προστίθει τὸ ἀποστολικόν· «Οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον τοῦτον· δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα». Ἤκουσας κακῶς, καὶ μυρίαις σέ τινες ἔπλυναν λοιδορίαις; Ἀναμνήσθητι τῆς ῥήσεως ἐκείνης τῆς λεγούσης· «Οὐαὶ ὑμῖν ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι»· καί, «Χαίρετε καὶ σκιρτᾶτε, ὅταν ἐκβάλωσι καθ' ὑμῶν ὄντα πονηρόν». Πρὸς τὴν ὑπερορίαν μετῳκίσθης; Ἐννόησον ὅτι οὐκ ἔχεις ἐνταῦθα πατρίδα, ἀλλ' εἰ μέλλεις φιλοσοφεῖν, καὶ τὴν γῆν ἅπασαν ξένην ἐκελεύσθης εἶναι νομίζειν. Ἀλλὰ νόσῳ παρεδόθης χαλεπῇ; Εἰπὲ τὸ ἀποστολικὸν ἐκεῖνο· «Ὅσῳ ὁ ἔξωθεν ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσούτῳ ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ». Ἀλλὰ θάνατον ὑπέμεινέ τις βίαιον; Ἐννόησον τὸν Ἰωάννην, καὶ τὴν ἀποτμηθεῖσαν ἐν δεσμωτηρίῳ κεφαλήν, ἐπὶ πίνακος ἐνεχθεῖσαν, καὶ πορνι-

2. Ἰὼβ 1, 21.
3. Α' Τιμ. 6, 7.
4. Λουκᾶ 6, 26.
5. Ματθ. 5, 11.
6. Β' Κορ. 4, 16.

Τότε διὰ ποῖον λόγον, λέγει, ὑπάρχουν τιμωρίαι καὶ κολάσεις; Διατί ὑπάρχει γέεννα; Διατί ὑπάρχουν τόσαι ἀπειλαί, ἐὰν κανεὶς οὔτε ἀδικῆται οὔτε ἀδικῇ; Τί λέγεις; Διατί συγχέεις τὰ πράγματα; Διότι ἐγὼ δὲν εἶπα ὅτι κανεὶς δὲν ἀδικεῖ, ἀλλ' ὅτι κανεὶς δὲν ἀδικεῖται. Καὶ πῶς εἶναι δυνατόν, λέγουν, νὰ ἀδικοῦν πολλοὶ καὶ κανεὶς νὰ μὴ ἀδικῆται; Ἔτσι ἀκριβῶς ὅπως σᾶς τὸ ἐδίδαξα τώρα. Διότι καὶ τὸν Ἰωσὴφ τὸν ἠδίκησαν οἱ ἀδελφοί του, αὐτὸς ὅμως δὲν ἠδικήθη· καὶ ἐναντίον τοῦ Ἄβελ ἐσκέφθη κακὸν ὁ Κάιν, αὐτὸς δὲ δὲν ἔπαθε κανένα κακόν. Διὰ τοῦτο ὑπάρχουν τιμωρίαι καὶ κολάσεις. Διότι ὁ Θεὸς δὲν καταργεῖ τὰς τιμωρίας ἐξ αἰτίας τῆς ἀρετῆς τῶν πασχόντων, ἀλλὰ ἐπιβάλλει τὰς τιμωρίας ἕνεκα τῆς κακίας τῶν πανούργων ἀνθρώπων. Διότι ἂν γίνωνται ἐνδοξότεροι ὅσοι ὑποφέρουν ἀπὸ τοὺς κακοβούλους αὐτὸ δὲν ὀφείλεται εἰς τὴν πρόθεσιν τῶν κακοβούλων, ἀλλὰ εἰς τὴν καρτερίαν ἐκείνων ποὺ πάσχουν. Διὰ τοῦτο δι' ἐκείνους μὲν τακτοποιοῦνται καὶ προετοιμάζονται τὰ βραβεῖα τῆς ἀρετῆς των, δι' αὐτοὺς δὲ αἱ τιμωρίαι τῆς πονηρίας των. Σοῦ ἀφήρεσαν τὰ χρήματα; Λέγε, «γυμνὸς ἐβγῆκα ἀπὸ τὴν κοιλίαν τῆς μητρός μου, γυμνὸς καὶ θὰ ἀπέλθω»[2]. Καὶ πρόσθεσε ἐκεῖνο τὸ ἀποστολικόν· «Δὲν ἐφέραμεν τίποτε εἰς τὸν κόσμον καὶ εἶναι φανερὸν ὅτι δὲν ἠμποροῦμεν οὔτε νὰ πάρωμεν τίποτε μαζί μας»[3]. Σὲ ἐκακολόγησαν καὶ σὲ περιέλουσαν μὲ ἀναριθμήτους ὕβρεις ὡρισμένοι; Νὰ ἐνθυμηθῇς τὸν λόγον ἐκεῖνον ποὺ λέγει· «Ἀλλοίμονον εἰς ἐσᾶς ὅταν ὅλοι οἱ ἄνθρωποι λέγουν καλὰ λόγια δι' ἐσᾶς»[4]· καὶ «Νὰ χαίρετε τότε καὶ νὰ ἀγαλλιᾶσθε, ὅταν λέγουν ἐναντίον σας λόγια κακά»[5]. Σὲ ἐξώρισαν μακρυά; Σκέψου ὅτι δὲν ἔχεις ἐδῶ πατρίδα, καὶ ἂν θέλῃς νὰ σκεφθῇς βαθύτερα, ἔχεις ἐντολὴν νὰ θεωρῇς ὅλην τὴν γῆν ὡς ξένην. Μήπως περιέπεσες εἰς βαρεῖαν ἀσθένειαν; Εἰπὲ ἐκεῖνο τὸ ἀποστολικόν· «Ὅσον ὁ ἐξωτερικός μας ἄνθρωπος φθείρεται, τόσον ὁ ἐσωτερικὸς ἀνακαινίζεται ἡμέρα μὲ τὴν ἡμέραν»[6]. Μήπως ὑπέστη κανεὶς βίαιον θάνατον; Σκέψου τὸν Ἰωάννην καὶ τὴν κεφαλήν του ποὺ ἀπεκόπη εἰς τὸ δεσμωτήριον καὶ μετεφέρθη ἐπὶ δίσκου καὶ ἐδόθη ὡς ἀμοιβὴ

κῆς ὀρχήσεως γενομένην μισθόν. Ἐννόησον τὰς ἐντεῦθεν ἀμοιβάς· ταῦτα γὰρ ἅπαντα τὰ παθήματα, ὅταν ἀδίκως παρά τινος ἐπάγηταί τινι, καὶ ἁμαρτήματα λύει, καὶ δικαιοσύνην ἐργάζεται. Τοσοῦτον αὐτῶν τῆς ὠφελείας τὸ μέγεθος ἐπὶ τῶν γενναίως αὐτὰ φερόντων.

5. Ὅταν οὖν μήτε ζημία χρημάτων, μήτε συκοφαντίαι καὶ λοιδορίαι, μήτε τὸ πρὸς τὴν ὑπερορίαν μεταστῆναι, μήτε νόσοι καὶ βάσανοι, μήτε αὐτό, ὃ πάντων δοκεῖ φοβερώτερον εἶναι, ὁ θάνατος, βλάπτῃ τοὺς πάσχοντας, ἀλλὰ καὶ ὠφελῇ μειζόνως, πόθεν ἔχεις μοι δεῖξαί τινα ἀδικούμενον, ὅταν ἐντεῦθεν μηδὲν ἀδικῆται; Ἐγὼ γὰρ τοὐναντίον ἀποδεῖξαι πειράσομαι, ὅτι οἱ μάλιστα ἀδικούμενοι καὶ ἐπηρεαζόμενοι, καὶ τὰ ἀνήκεστα πάσχοντες, οἱ ταῦτα ποιοῦντές εἰσι. Τί γὰρ ἀθλιώτερον γένοιτ' ἂν τοῦ Κάιν, τοῦ τοιαῦτα τὸν ἀδελφὸν διαθέντος; τί δὲ τῆς Φιλίππου γυναικὸς ἐλεεινότερον, τῆς τὸν Ἰωάννην ἀποτεμούσης; τί δὲ τῶν ἀδελφῶν τοῦ Ἰωσήφ, τῶν ἀπεμπολησάντων αὐτόν, καὶ πρὸς τὴν ὑπερορίαν μεταστησάντων; τί δὲ τοῦ διαβόλου τοῦ τὸν Ἰὼβ τοσούτοις καταξάναντος κακοῖς; Οὐ γὰρ δὴ μόνον τῶν ἄλλων, ἀλλὰ καὶ οὕτως οὐ τὴν τυχοῦσαν δώσει δίκην τῆς ἐπιβουλῆς. Εἶδες πῶς κἀνταῦθα πλείω τῆς ὑποσχέσεως ὁ λόγος ἀπέδειξεν; οὐ μόνον οὐδεμίαν λύμην ἀπὸ τῶν ἐπιβούλων τούτων ὑπομένοντας τοὺς ἐπηρεαζομένους, ἀλλὰ καὶ τὸ πᾶν εἰς τὴν τῶν ἐπιβουλευόντων περιτρεπόμενον κεφαλήν; Ἐπειδὴ γὰρ οὔτε πλοῦτος, οὔτε τὸ ἐλεύθερον εἶναι, οὔτε τὸ πατρίδα οἰκεῖν, οὔτε τὰ ἄλλα, ἅπερ εἶπον, ἀνθρώπου εἰσὶν ἀρεταί, ἀλλὰ τῆς ψυχῆς τὰ κατορθώματα· εἰκότως, ὅταν εἰς ταῦτα ἡ βλάβη γίνηται, οὐδὲν ἡ ἀνθρωπίνη παραβλάπτεται ἀρετή. Τί οὖν, ἂν εἰς αὐτήν τις παραβλαβῇ τῆς ψυχῆς τὴν φιλο-

εἰς τὸν χορὸν τῆς πόρνης. Σκέψου τὰς ἀμοιβὰς ποὺ σὲ περιμένουν· διότι ὅλα αὐτὰ τὰ παθήματα, ὅταν ἄδικα γίνωνται ἀπὸ κάποιον ἐναντίον ἄλλου, καὶ τὰ ἁμαρτήματα λύνουν καὶ τὴν δικαιοσύνην φέρουν. Τόσον μεγάλο εἶναι τὸ μέγεθος τῆς ὠφελείας εἰς αὐτοὺς ποὺ τὰ ὑποφέρουν μὲ γενναιότητα.

5. Ὅταν λοιπὸν οὔτε χρηματικὴ ζημία, οὔτε αἱ συκοφαντίαι καὶ κατηγορίαι, οὔτε ἡ ἐξορία, οὔτε αἱ ἀσθένειαι καὶ αἱ δοκιμασίαι, οὔτε αὐτὸ ποὺ φαίνεται ὅτι εἶναι φοβερώτερον ὅλων, δηλαδὴ ὁ θάνατος, βλάπτουν τοὺς πάσχοντας, μᾶλλον δὲ καὶ τοὺς ὠφελοῦν περισσότερον, ἀπὸ ποῦ ἠμπορεῖς νὰ μοῦ δείξῃς κάποιον ἀδικούμενον, ὅταν ἐξ ὅλων ὅσα ἀνεφέραμεν δὲν ἀδικῆται; Διότι ἐγὼ θὰ προσπαθήσω νὰ ἀποδείξω τὸ ἀντίθετον, ὅτι δηλαδὴ αὐτοὶ ποὺ περισσότερον ἀδικοῦνται καὶ προσβάλλονται καὶ πάσχουν τὰ ἀνεπανόρθωτα εἶναι ἐκεῖνοι οἱ ὁποῖοι διαπράττουν αὐτά. Διότι ποῖος ἠμποροῦσε νὰ γίνῃ ἀθλιώτερος ἀπὸ τὸν Κάιν, ὁ ὁποῖος ἔδειξεν αὐτὴν τὴν συμπεριφορὰν πρὸς τὸν ἀδελφόν του; Τί δὲ ἐλεεινότερον ἀπὸ τὴν γυναῖκα τοῦ Φιλίππου, ἡ ὁποία ἀπεκεφάλισε τὸν Ἰωάννην; Τί δὲ ἀπὸ τοὺς ἀδελφοὺς τοῦ Ἰωσήφ, οἱ ὁποῖοι τὸν ἔδιωξαν καὶ τὸν ἐπώλησαν εἰς ξένην γῆν; Τί δὲ ἀπὸ τὸν διάβολον, ὁ ὁποῖος ἐπροξένησε τόσα κακὰ εἰς τὸν Ἰώβ; Διότι ὄχι μόνον διὰ τὰ ἄλλα, ἀλλὰ καὶ δι' αὐτὰ θὰ τιμωρηθῇ ὄχι μὲ τὰς συνήθεις τιμωρίας. Εἶδες λοιπὸν πῶς καὶ ἐδῶ ὁ λόγος ἀπέδειξε περισσότερα ἀπὸ ὅσα ὑπεσχέθη; Ὅτι ὄχι μόνον καμμίαν ζημίαν δὲν παθαίνουν οἱ ὑβριζόμενοι ἀπὸ τοὺς ἐχθρούς των, ἀλλὰ καὶ τὸ κάθε τι στρέφεται ἐναντίον τῆς κεφαλῆς τῶν κακοβούλων; Διότι ἐπειδὴ οὔτε ὁ πλοῦτος, οὔτε τὸ νὰ εἶσαι ἐλεύθερος, οὔτε τὸ νὰ κατοικῇς εἰς τὴν πατρίδα σου, οὔτε τὰ ἄλλα ὅσα ἀνέφερα, εἶναι ἀρεταὶ τοῦ ἀνθρώπου, ἀλλὰ τὰ κατορθώματα τῆς ψυχῆς· εἶναι εὔλογον λοιπὸν ὅταν ἡ βλάβη ἐπέρχεται εἰς αὐτὰ νὰ μὴ ζημιώνεται καθόλου ἡ ἀρετὴ τοῦ ἀνθρώπου. Τί λοιπὸν συμβαίνει ἂν ζημιωθῇ κανεὶς εἰς αὐτὴν τὴν φιλοσοφίαν τῆς ψυχῆς; Οὔτε καὶ ἐδῶ ἂν ζημιωθῇ, ζημιώνε-

σοφίαν; Οὐδὲ ἐνταῦθα, ἂν βλαβῇ, παρ' ἑτέρου βλάπτεται, ἀλλ' οἴκοθεν καὶ παρ' ἑαυτοῦ.

Πῶς οἴκοθεν καὶ παρ' ἑαυτοῦ, φησίν; Ὅταν μαστιχθεὶς παρ' ὁτουοῦν, ἢ τὰ ὄντα ἀφαιρεθείς, ἢ χαλεπήν τινα ἑτέραν ὑπομείνας ἐπήρειαν, βλάσφημόν τι ῥῆμα ἐξενέγκῃ, ἐβλάβη μὲν ἐνταῦθα, καὶ βλάβην μεγίστην, οὐ μὴν παρὰ τοῦ ἐπηρεάσαντος, ἀλλὰ παρὰ τῆς οἰκείας μικροψυχίας. Ὅπερ γὰρ ἔμπροσθεν εἶπον, καὶ νῦν ἐρῶ, οὐδεὶς ἀνθρώπων κἂν μυριάκις ᾖ πονηρός, τοῦ ἀλάστορος ἐκείνου δαίμονος καὶ ἀκαταλλάκτως πρὸς ἡμᾶς ἔχοντος, τοῦ διαβόλου, πονηρότερον ἄν τινι προσβάλοι, οὐδὲ πικρότερον· ἀλλ' ὅμως ὁ χαλεπὸς οὗτος δαίμων οὐκ ἴσχυσε τὸν πρὸ τοῦ νόμου, τὸν πρὸ τῆς χάριτος, τοσαῦτα κατ' αὐτοῦ βέλη καὶ οὕτω πικρὰ πανταχόθεν ἀφείς, ὑποσκελίσαι καὶ καταβαλεῖν. Τοσαύτη τῆς ψυχῆς ἐστιν ἡ εὐγένεια.

Τί δὲ ὁ Παῦλος; Οὐ τοσαῦτα ἔπαθε δεινά, ἃ μηδὲ καταλέξαι ῥᾴδιον; Δεσμωτήρια οἰκῶν, ἁλύσεις περικείμενος, ἀγόμενος καὶ περιαγόμενος, μαστιγούμενος παρὰ Ἰουδαίων, λιθαζόμενος, οὐχ ἱμᾶσι μόνοις, ἀλλὰ καὶ ῥάβδοις τὰ νῶτα ξαινόμενος, καταποντιζόμενος, λῃσταῖς πολλάκις περιπίπτων, ἐμφύλιον ὑπομένων πόλεμον, παρὰ τῶν ἐχθρῶν, παρὰ τῶν γνωρίμων βαλλόμενος διηνεκῶς, μυρίαις ἐπιβουλευόμενος ἐπιβουλαῖς, λιμῷ καὶ γυμνότητι παλαίων, ἑτέρας πυκνὰς καὶ συνεχεῖς ὑπομένων περιστάσεις καὶ θλίψεις· καὶ τί δεῖ τὰ πολλὰ λέγειν; καθ' ἑκάστην ἀποθνήσκων τὴν ἡμέραν· ἀλλ' ὅμως τοσαῦτα πάσχων καὶ τηλικαῦτα, οὐ μόνον οὐδὲν ἐξήνεγκε ῥῆμα βλάσφημον, ἀλλ' ἔχαιρεν ἐπὶ τούτοις καὶ ἐκαυχᾶτο· καὶ νῦν μέν φησι «Χαίρω ἐν τοῖς παθήμασί μου»· νῦν δὲ πάλιν· «Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν». Εἰ τοίνυν τοσαῦτα πάσχων αὐτὸς ἔχαιρε, καὶ ἐκαυ-

7. Ἐννοεῖ ἐδῶ τὸν Ἰώβ.
8. Κολ. 1, 24.
9. Ρωμ. 5, 3.

ται ἀπὸ κανένα ἄλλον, ἀλλὰ μόνος του καὶ ἀπὸ τὸν ἑαυτόν του.

Πῶς μόνος του καὶ ἀπὸ τὸν ἑαυτόν του, λέγει; Ὅταν μαστιγωθῇ ἀπὸ κάποιον, ἢ τοῦ ἀφαιρεθῇ ἡ περιουσία του, ἢ ὑποστῇ κάποιαν ἄλλην φοβερὰν προσβολήν, καὶ ἐκφέρῃ κάποιαν βλασφημίαν, ἐζημιώθη μὲν καὶ μάλιστα πολύ, ὄχι ὅμως ἀπὸ ἐκεῖνον ποὺ τὸν ἠδίκησεν, ἀλλὰ ἐξ αἰτίας τῆς ἰδικῆς του μικροψυχίας. Αὐτὸ δηλαδὴ ποὺ εἶπα προηγουμένως θὰ εἰπῶ καὶ τώρα, ὅτι δηλαδὴ κανεὶς ἄνθρωπος, ἀκόμη καὶ ἂν εἶναι ἀπείρους φορὰς πονηρότερος ἀπὸ τὸν πονηρὸν ἐκεῖνον δαίμονα ποὺ μᾶς ἐχθρεύεται διαρκῶς, δὲν θὰ ἠμποροῦσε νὰ προσβάλῃ κάποιον κατὰ χειρότερον καὶ σκληρότερον τρόπον· καὶ ὅμως ὁ φοβερὸς αὐτὸς δαίμων δὲν ἠμπόρεσε νὰ ὑπερισχύσῃ καὶ νὰ καταβάλῃ τὸν πρὸ τοῦ νόμου, τὸν πρὸ τῆς χάριτος[7], ἂν καὶ ἔρριψεν ἐναντίον του ἀπὸ παντοῦ τόσα καὶ τόσον πικρὰ βέλη. Εἶναι τόσον μεγάλη ἡ ἀνωτερότητα τῆς ψυχῆς.

Καὶ ὁ Παῦλος; Δὲν ἔπαθε τόσα δεινά, τὰ ὁποῖα δὲν εἶναι εὔκολον οὔτε νὰ ἀπαριθμήσωμεν; Ἐφυλακίσθη, ἐδέθη μὲ ἁλυσίδας, ἐσύρετο καὶ περιεφέρετο, ἐμαστιγώνετο ἀπὸ τοὺς Ἰουδαίους, ἐλιθοβολεῖτο, ἐτραυματίζετο τὸ σῶμα του ὄχι μόνον μὲ μάστιγα, ἀλλὰ καὶ μὲ ράβδους, ἐναυάγει, ἔπιπτε πολλὰς φορὰς εἰς τὰ χέρια ληστῶν, ἐπολεμεῖτο ἀπὸ τοὺς ἰδικούς του, ἀπὸ τοὺς ἐχθροὺς καὶ ἀπὸ τοὺς γνωρίμους ἐδέχετο κτυπήματα συνεχῶς, ὑφίστατο ἀναριθμήτους κατατρεγμούς, ἐπάλαιε μὲ τὴν πεῖναν καὶ τὴν γυμνότητα, καὶ ὑπέμενεν ἄλλας πυκνὰς καὶ συνεχεῖς κακὰς περιστάσεις καὶ θλίψεις· καὶ διατί νὰ λέγωμεν πολλά; Καθημερινῶς ἀπέθνησκε· καὶ ὅμως ἐνῷ ὑφίστατο τόσα πολλὰ καὶ τοιούτου εἴδους κακά, ὄχι μόνον δὲν εἶπε καμμίαν βλασφημίαν, ἀλλὰ ἀντιθέτως ἐχαίρετο δι' αὐτὰ καὶ ἐκαυχᾶτο· καὶ ἀλλοῦ μὲν λέγει, «Χαίρομαι διὰ τὰ παθήματά μου»[8], ἀλλοῦ δὲ πάλιν, «Ὄχι μόνον αὐτό, ἀλλὰ καὶ καυχώμεθα διὰ τὰς θλίψεις»[9]. Ἂν λοιπόν, ἐνῷ ἔπασχε τόσα πολλά, ἔχαιρε καὶ ἐκαυχᾶτο, ποίαν συγγνώμην θὰ ἔχῃς ἐσὺ καὶ

χᾶτο, τίνα ἕξεις συγγνώμην, ποίαν δὲ ἀπολογίαν σὺ οὐ τὸ πολλοστὸν αὐτῶν ὑπομένων μέρος, καὶ βλασφημῶν;

6. Ἀλλ' ἑτέρως ἀδικοῦμαι, φησί, κἂν μὴ βλασφημήσω, τὰ χρήματα ἀφαιρεθεὶς ἄχρηστος γίνομαι πρὸς τὴν ἐλεημοσύνην, φησί. Σκῆψις ταῦτα καὶ πρόφασις. Εἰ γὰρ διὰ τοῦτο ἀλγεῖς, μάθε σαφῶς, ὅτι πενία ἐλεημοσύνης οὐ γίνεται κώλυμα. Κἂν γὰρ μυριάκις εἶ πένης, οὐκ εἶ πενέστερος τῆς δράκα ἀλεύρου μόνον κεκτημένης, καὶ τῆς δύο μόνον ἐχούσης ὀβολούς, ὧν ἑκατέρα τὴν οὐσίαν ἅπασαν εἰς τοὺς δεομένους κενώσασα παραδόξως ἐθαυμάσθη· καὶ ἡ τοσαύτη πενία τῇ τοσαύτῃ φιλανθρωπίᾳ οὐ γέγονε κώλυμα, ἀλλ' οὕτω δαψιλὴς καὶ φιλότιμος ἡ ἐκ τῶν δύο λεπτῶν γέγονεν ἐλεημοσύνη, ὡς τοὺς πλουτοῦντας ἅπαντας ἀποκρύψαι, καὶ τοὺς πολλοὺς στατῆρας καταβαλόντας ὑπερακοντίσαι τῷ πλούτῳ τῆς γνώμης καὶ τῇ περιουσίᾳ τῆς προθυμίας. Ὥστε οὐδὲ ἐνταῦθα ἠδίκησαι, ἀλλὰ καὶ μειζόνως ἐκέρδανας, δι' ὀλίγης εἰσφορᾶς τῶν τὰ πολλὰ καταθέντων λαμπροτέρους λαβὼν τοὺς στεφάνους.

Ἀλλ' ἐπειδή, κἂν μυριάκις ταῦτα εἴπωμεν, αἱ φιλοσώματοι ψυχαὶ καὶ τοῖς βιωτικοῖς ἡδέως ἐγκαλινδούμεναι, καὶ τοῖς παροῦσιν ἐνηδυπαθοῦσαι πράγμασιν, οὐκ ἂν ῥᾳδίως ἀνάσχοιντο τῶν κατασηπομένων ἀνθῶν ἀποστῆναι (τοιαῦτα γὰρ τοῦ βίου τὰ φαιδρὰ τούτου), οὐδὲ τὰς σκιὰς ἀφεῖναι ἀνέχονται· ἀλλ' οἱ μὲν ἐπιεικέστεροι κἀκείνων καὶ τούτων ἀντέχονται, οἱ δὲ ἐλεεινότεροι καὶ ἀθλιώτεροι ἐκ πλείονος μὲν ἐκείνων μοίρας, τούτων δὲ ἐξ ἐλάττονος σφόδρα· φέρε δὴ τὰ προσωπεῖα ἀφελόντες τὰ φαιδρὰ καὶ περιφανῆ τῆς αἰσχρᾶς καὶ δυσειδοῦς τῶν πραγμάτων ὄψεως τούτων, δείξωμεν τῆς ἑταιριζομένης γυναικὸς τὴν βδελυγμίαν. Τοιοῦτον γὰρ ἡ τοιαύτη ζωή, ἡ τρυφαῖς καὶ πλούτῳ καὶ δυναστείαις προσέ-

ποίαν ἀπολογίαν, ὁ ὁποῖος τὸ ἐλάχιστον αὐτῶν δὲν ὑπομένεις καὶ ὅμως βλασφημεῖς;

6. Ἀλλὰ ἀδικοῦμαι, λέγει, κατ' ἄλλον τρόπον, καὶ ἂν ἀκόμη δὲν βλασφημήσω, διότι ὅταν μοῦ ἀφαιρεθοῦν τὰ χρήματα, λέγει, γίνομαι ἄχρηστος διὰ τὴν ἐλεειμοσύνην. Αὐτὰ εἶναι δικαιολογία καὶ πρόφασις. Διότι ἂν διὰ τοῦτο λυπῆσαι, γνώριζε καλὰ ὅτι ἡ πενία δὲν γίνεται ἐμπόδιον διὰ τὴν ἐλεημοσύνην. Διότι καὶ ἂν ἀκόμη εἶσαι ἀπείρους φορὰς πτωχός, δὲν εἶσαι πτωχότερος ἀπὸ ἐκείνην ποὺ εἶχε μίαν φούχταν ἀλεύρου μόνον, καὶ ἀπὸ τὴν ἄλλην ποὺ εἶχε μόνον δύο ὀβολούς, καὶ αἱ ὁποῖαι προσέφεραν ὁλόκληρον τὴν περιουσίαν των εἰς αὐτοὺς ποὺ εἶχον ἀνάγκην καὶ ἐθαυμάσθησαν πάρα πολύ· καὶ ἡ τόση πενία των δὲν ἔγινεν ἐμπόδιον εἰς τόσον μεγάλην φιλανθρωπίαν, ἀλλὰ ἡ ἐλεημοσύνη τῶν δύο λεπτῶν ἔγινε τόσον πλουσία καὶ ἀξιόλογος ὥστε ἐπεσκίασεν ὅλους τοὺς πλουσίους, καὶ ὑπερέβαλεν ἐκείνους οἱ ὁποῖοι προσέφεραν πολλοὺς στατῆρας, μὲ τὸν πλοῦτον τῆς προθέσεως καὶ μὲ τὴν μεγάλην ἀξίαν τῆς προθυμίας. Ὥστε λοιπὸν οὔτε ἐδῶ ἀδικῆσαι, ἀλλὰ καὶ περισσότερον κερδίζεις, καθόσον μὲ ὀλίγην εἰσφορὰν λαμβάνεις λαμπροτέρους στεφάνους ἀπὸ ἐκείνους οἱ ὁποῖοι καταθέτουν πολλά.

Ἀλλ' ἐπειδή, ἂν καὶ αὐτὰ τὰ ἔχομεν εἰπεῖ ἀναριθμήτους φοράς, αἱ φιλοσώματοι ψυχαί, αἱ ὁποῖαι εὐχαρίστως κυλίονται εἰς τὰ βιοτικά, καὶ ἡδυπαθῶς ἀπολαμβάνουν τὰ πράγματα τῆς παρούσης ζωῆς, δὲν θὰ ἀπεφάσιζον εὔκολα νὰ ἀπομακρυνθοῦν ἀπὸ τὰ ἄνθη ποὺ σαπίζουν (διότι τέτοια εἶναι τὰ εὐχάριστα τῆς ζωῆς αὐτῆς) οὔτε δέχονται νὰ ἀφήσουν τὰς σκιάς· ἀλλ' οἱ μὲν λογικοὶ προσηλώνονται καὶ εἰς ἐκεῖνα καὶ εἰς αὐτά, οἱ δὲ ἐλεεινότεροι καὶ ἀθλιώτεροι περισσότερον μὲν εἰς ἐκεῖνα, ἐλάχιστα δὲ εἰς αὐτά, ἐμπρός, ἂς ἀφαιρέσωμεν τὰ φαιδρὰ καὶ ἐπιφανῆ προσωπεῖα τῆς αἰσχρᾶς καὶ ἀσχήμου μορφῆς τῶν πραγμάτων αὐτῶν, καὶ ἂς δείξωμεν τὴν ἀηδίαν τῆς γυναικός, ἡ ὁποία ζῇ σὰν ἑταίρα. Διότι κάτι τέτοιο εἶναι ἡ τοιούτου εἴδους ζωή, ἡ ὁποία δίδει τὴν προσοχήν της εἰς τὴν ἀπόλαυσιν, τὸν πλοῦ-

χουσα· τὸ αἰσχρὸν καὶ δυσειδὲς καὶ πολλῆς βδελυγμίας γέμον, τὸ ἀηδὲς καὶ φορτικὸν καὶ πικρίας ἐμπεπλησμένον. Καὶ γὰρ δὴ τοῦτο μάλιστά ἐστι τὸ πάσης ἀποστεροῦν τοὺς ἁλόντας συγγνώμης, ὅτι καὶ ἀηδίας καὶ πολλῆς τῆς πικρίας ἐμπεπλησμένος ὁ βίος οὗτος, ποθεινός τε αὐτοῖς καὶ περισπούδαστός ἐστι, καὶ μυρίων γέμων κακῶν, κινδύνων, αἱμάτων, κρημνῶν, σκοπέλων, καὶ φόνων, καὶ φόβων, καὶ τρόμων, καὶ φθόνου, καὶ βασκανίας, καὶ ἐπιβουλῆς, καὶ φροντίδος διηνεκοῦς καὶ μερίμνης, καὶ κέρδος ἔχων οὐδέν, οὐδὲ καρπὸν τῶν τοσούτων κακῶν οὐδένα φέρων, ἀλλ' ἢ κόλασιν καὶ τιμωρίαν, καὶ τὸ διηνεκῶς βασανίζεσθαι. Καίπερ τοιοῦτος ὤν, ζηλωτὸς εἶναι τοῖς πολλοῖς δοκεῖ καὶ περιμάχητος ὅ τῆς ἀνοίας τῶν ἁλισκομένων ἐστίν, οὐ τῆς τοῦ πράγματος μακαριότητος. Ἐπεὶ καὶ τὰ παιδία τὰ μικρὰ πρὸς μὲν τὰ ἀθύρματα κέχηνε καὶ ἐπτόηται, τῶν δὲ τελείοις ἀνδράσι πρεπόντων πραγμάτων οὐδὲ αἴσθησιν λαβεῖν δύναιτ' ἄν. Ἀλλ' ἐκείνοις μὲν συγγνώμη διὰ τὸ τῆς ἡλικίας ἄωρον· οὗτοι δὲ ἀπολογίας ἐκβέβληνται, ἐν ἡλικίᾳ τελείᾳ παιδικὴν ἔχοντες γνώμην, κἀκείνων ἀνοητότερον διακείμενοι.

Διὰ τί γὰρ ζηλωτὸν ὁ πλοῦτος, εἰπέ μοι; Καὶ γὰρ ἀναγκαῖον ἐντεῦθεν προοιμιάσασθαι, ἐπειδὴ ὑγείας καὶ ζωῆς καὶ τῆς παρὰ τῶν πολλῶν εὐφημίας, καὶ χρηστῆς ὑπολήψεως, καὶ πατρίδος, καὶ οἰκείων, καὶ φίλων, καὶ συγγενῶν, καὶ τῶν ἄλλων ἁπάντων τῶν τὸ χαλεπὸν τοῦτο νόσημα νενοσηκότων τιμιώτερον τοῖς πολλοῖς ἔδοξεν εἶναι. Καὶ πρὸς αὐτὰς ἀνέβη λοιπὸν τὰς νεφέλας ἡ πυρά· καὶ γῆν καὶ θάλατταν ἡ κάμινος αὕτη κατέλαβε. Καὶ ὁ μὲν σβεννύων τὴν φλόγα ταύτην οὐδείς· οἱ δὲ ἀνακαίοντες, ἅπαντες, αὐτοί τε οἱ ἁλόντες ἤδη, οἵ τε μηδέπω ἁλόντες, ἵνα ἁλῶσι. Καὶ ἕκαστον ἴδοι τις ἄν, καὶ ἄνδρα καὶ γυναῖκα, καὶ οἰκέτην καὶ ἐλεύθε-

τον καὶ τὴν δύναμιν· γεμάτη αἰσχρότητα, ἀσχημίαν καὶ πολλὴν ἐντροπήν, πλημμυρισμένη ἀπὸ ἀηδίαν, βάρος καὶ πικρίαν. Ἄλλωστε αὐτὸ εἶναι κυρίως ποὺ στερεῖ τοὺς κυριευμένους ἀπ' αὐτὴν τὴν ζωὴν ἀπὸ κάθε συγγνώμην, ὅτι ἐνῷ ἡ ζωὴ αὐτὴ εἶναι πλημμυρισμένη ἀπὸ ἀηδίαν καὶ πολλὴν πικρίαν, εἶναι εἰς αὐτοὺς ἐπιθυμητὴ καὶ περιζήτητος, ἂν καὶ εἶναι γεμάτη ἀπὸ ἀναρίθμητα κακά, κινδύνους, αἵματα, κρημνούς, σκοπέλους, καὶ φόνους, καὶ φόβους, καὶ τρόμους, καὶ φθόνον, καὶ βασκανίαν, καὶ ἐπιβουλήν, καὶ φροντίδα διαρκῆ καὶ μέριμναν καὶ δὲν ἔχει κανένα κέρδος, οὔτε ἀποφέρει κανένα ὄφελος ἐκ τῶν τόσων κακῶν, παρὰ κόλασιν καὶ τιμωρίαν καὶ διαρκεῖς βασάνους. Καὶ ἐνῷ εἶναι τέτοια ἡ ζωή, φαίνεται εἰς τοὺς πολλούς, ἀξιοζήλευτος καὶ περιζήτητος, πρᾶγμα τὸ ὁποῖον προέρχεται ἐκ τῆς μωρίας τῶν κυριευθέντων ἀπὸ αὐτήν, καὶ ὄχι ἀπὸ τὴν ἀξίαν τοῦ πράγματος. Ἐπειδὴ καὶ τὰ μικρὰ παιδιὰ θαυμάζουν καὶ σαστίζουν μὲ τὰ παιχνιδάκια, ὅσα πράγματα ὅμως ταιριάζουν εἰς τοὺς μεγάλους δὲν ἠμποροῦν νὰ τὰ νοιώσουν καθόλου. Ἀλλ' ἐκεῖνα μὲν συγχωροῦνται διὰ τὸ μικρὸν τῆς ἡλικίας των· αὐτοὶ ὅμως δὲν ἠμποροῦν νὰ ἀπολογηθοῦν, διότι ἐνῷ εὑρίσκονται εἰς ὥριμον ἡλικίαν, ἔχουν γνώμην παιδικὴν καὶ συμπεριφέρονται περισσότερον ἀνόητα καὶ ἀπὸ ἐκεῖνα.

Εἰπέ μου, διατί εἶναι ἀξιοζήλευτος ὁ πλοῦτος; Εἶναι ἀνάγκη νὰ ἀρχίσωμεν ἀπὸ ἐδῶ σὰν προοίμιον, διότι φαίνεται εἰς τοὺς πολλοὺς ποὺ εἶναι ἄρρωστοι ἀπὸ τὴν βαρεῖαν αὐτὴν ἀσθένειαν ὅτι εἶναι πολυτιμότερος ἀπὸ τὴν ὑγείαν καὶ τὴν ζωήν, καὶ ἀπὸ τὸν ἔπαινον τῶν πολλῶν, καὶ ἀπὸ τὴν καλὴν ὑπόληψιν, καὶ ἀπὸ τὴν πατρίδα, καὶ ἀπὸ τοὺς γνωστούς, καὶ ἀπὸ τοὺς φίλους, καὶ ἀπὸ τοὺς συγγενεῖς, καὶ ἀπὸ ὅλα τὰ ἄλλα. Καὶ ὑψώθη λοιπὸν ἡ φωτιὰ αὐτὴ μέχρι τὰ σύννεφα, καὶ ἐκυρίευσε γῆν καὶ θάλασσαν ἡ κάμινος αὐτή. Καὶ δὲν ὑπάρχει κανεὶς ποὺ νὰ σβήσῃ τὴν φλόγα αὐτήν· αὐτοὶ δὲ ποὺ τὴν συνδαυλίζουν εἶναι ὅλοι αὐτοὶ ποὺ ἐκυριεύθησαν ἀπὸ τὸ πάθος, καὶ αὐτοὶ ποὺ δὲν ἐκυριεύθησαν ἀκόμη, διὰ νὰ κυριευθοῦν. Καὶ ἠμπορεῖ νὰ ἰδῇ

ρον, καὶ πλούσιον καὶ πένητα, κατὰ δύναμιν τὴν ἑαυτοῦ φορτία βαστάζοντα, τὰ τῇ φλογὶ ταύτῃ δι' ἡμέρας τε καὶ νυκτὸς πολλὴν παρέχοντα τὴν τροφήν· φορτία οὐ ξύλων, οὐδὲ φρυγάνων (οὐ γὰρ τοιαύτη ἡ φλόξ), ἀλλὰ ψυχῶν καὶ σωμάτων, ἀδικίας καὶ παρανομίας. Ἀπὸ γὰρ τούτων ἀνάπτεσθαι πέφυκεν αὕτη τῆς φλογὸς ἡ φύσις. Οἵ τε γὰρ πλουτοῦντες οὐδαμοῦ τῆς ἀτόπου ταύτης ἵστανται ἐπιθυμίας, κἂν ἅπασαν περιβάλωνται τὴν οἰκουμένην· οἵ τε πένητες ἐπείγονται φθάσαι ἐκείνους, καὶ λύσσα τις ἀνίατος καὶ μανία ἀκάθεκτος, καὶ νόσος ἀδιόρθωτος τὰς πάντων κατέχει ψυχάς. Καὶ πάντα ἔρωτα οὗτος νικήσας ὁ ἔρως καὶ παρωσάμενος ἐξέβαλε τῆς ψυχῆς. Καὶ οὔτε φιλίας λόγος, οὔτε συγγενείας· καὶ τί λέγω φιλίας καὶ συγγενείας; οὐ φυναικὸς καὶ παίδων, οὗ τί γένοιτ' ἂν ἀνδράσι ποθεινότερον; ἀλλὰ πάντα χαμαὶ ἔρριπται καὶ καταπεπάτηται, τῆς ὠμῆς ταύτης καὶ ἀπανθρώπου δεσποίνης τῶν ἁλόντων τὰς ἁπάντων καταλαβούσης ψυχάς. Καὶ γὰρ ὡς δέσποινα τούτων ἀπάνθρωπος, καὶ ὡς τύραννος ἀπηνής, καὶ ὡς βάρβαρος ὠμή, καὶ ὡς πόρνη πάνδημος καὶ πολυτελής, καταισχύνει καὶ κατατείνει, καὶ μυρίοις κολάζει κινδύνοις τε καὶ τιμωρίαις τοὺς ἑλομένους δουλεύειν αὐτῇ· καὶ φοβερά τις οὖσα καὶ ἀμείλικτος, ἀγρία τε καὶ ἀπηνής, καὶ πρόσωπον ἔχουσα βαρβαρικόν, μᾶλλον δὲ θηριῶδες, καὶ λύκου καὶ λέοντος ἀγριώτερον, προσηνής τις εἶναι δοκεῖ, καὶ ποθεινὴ καὶ μέλιτος γλυκυτέρα τοῖς αἰχμαλωτισθεῖσιν ὑπ' αὐτῆς. Καὶ ξίφη καὶ ὅπλα καθ' ἑκάστην κατ' αὐτῶν χαλκεύουσα τὴν ἡμέραν, καὶ βάραθρα ἀνορύττουσα, καὶ ἐπὶ κρημνοὺς ἄγουσα καὶ σκοπέλους, καὶ μυρία αὐτοῖς πλέκουσα κολάσεως δίκτυα, ζηλωτοὺς αὐτοὺς νομίζεται ποιεῖν τοῖς τε ἑαλωκόσιν αὐτοῖς, τοῖς τε ἐπιθυμοῦσιν ἁλῶναι. Καὶ καθάπερ ὗς ἐν ἀμάρᾳ καὶ βορβόρῳ ἐγκαλινδουμένη ἥδεται καὶ τρυφᾷ, καὶ κάνθαροι κόπρον συνεχῶς ἀνελίττον-

κανεὶς καὶ ἄνδρα καὶ γυναῖκα καὶ δοῦλον καὶ ἐλεύθερον καὶ πλούσιον καὶ πτωχὸν νὰ μεταφέρῃ κατὰ τὴν δύναμίν του δεμάτια καὶ νὰ προσφέρῃ πολλὴν τροφὴν εἰς τὴν φλόγα αὐτὴν ἡμέρα καὶ νύκτα· τὰ δὲ φορτία δὲν εἶναι ἀπὸ ξύλα, οὔτε ἀπὸ φρύγανα (διότι δὲν εἶναι τέτοιου εἴδους ἡ φλόγα), ἀλλὰ ἀπὸ ψυχὰς καὶ σώματα, ἀδικίας καὶ παρανομίας. Διότι ἀπὸ αὐτὰ ἀνάβει τὸ εἶδος τῆς φλόγας αὐτῆς. Διότι καὶ οἱ πλούσιοι πουθενὰ δὲν σταματοῦν τὴν ἀνόητον αὐτὴν ἐπιθυμίαν, καὶ ἂν ἀκόμη ἀποκτήσουν ὁλόκληρον τὴν οἰκουμένην· καὶ οἱ πτωχοὶ βιάζονται νὰ φθάσουν ἐκείνους, καὶ κάποια λύσσα ἀθεράπευτος καὶ μανία ἀκατάσχετος καὶ ἀσθένεια ἀδιόρθωτος κυριεύει τὰς ψυχὰς ὅλων. Καὶ αὐτὸς ὁ ἔρωτας νικᾷ κάθε ἄλλον ἔρωτα καὶ τὸν ὠθεῖ καὶ τὸν ἐκβάλλει ἀπὸ τὴν ψυχήν. Καὶ οὔτε λόγος φιλίας ὑπάρχει, οὔτε συγγενείας· καὶ διατί λέγω φιλίας καὶ συγγενείας; οὔτε γυναικὸς οὔτε παιδιῶν, ἀπὸ τὰ ὁποῖα τί ἀγαπητότερον ἠμπορεῖ νὰ γίνῃ εἰς τοὺς ἄνδρας; Ἀλλὰ ὅλα ρίπτονται κάτω καὶ καταπατοῦνται, ὅταν ἡ ὠμὴ καὶ ἀπάνθρωπος αὐτὴ κυρία κυριεύσῃ τὰς ψυχὰς ὅλων ὅσων κυριευθοῦν. Διότι ὡσὰν κυρία των ἀπάνθρωπος, καὶ ὡσὰν σκληρὸς τύραννος, καὶ ὡσὰν βάναυσος βάρβαρος καὶ ὡσὰν πόρνη κοινὴ καὶ πολυδάπανος, καταντροπιάζει καὶ κατατυραννεῖ, καὶ καταδικάζει μὲ ἀναρίθμητους κινδύνους καὶ τιμωρίας ὅσους ἐπροτίμησαν νὰ τὴν ὑπηρετήσουν· καὶ ἐνῷ εἶναι φοβερὰ καὶ ἀμείλικτος, ἀγρία καὶ σκληρή, καὶ ἔχει πρόσωπον βαρβάρου, μᾶλλον δὲ θηριῶδες, καὶ ἀπὸ λύκον καὶ λέοντα ἀγριώτερον, φαίνεται ὅτι εἶναι εὐγενικὴ καὶ ποθητὴ καὶ γλυκυτέρα ἀπὸ τὸ μέλι εἰς ὅσους αἰχμαλωτισθοῦν ἀπὸ αὐτήν. Καὶ χαλκεύει ἐναντίον των κάθε ἡμέραν ξίφη καὶ ὅπλα καὶ ἀνασκάπτει βάραθρα, καὶ τοὺς ὁδηγεῖ εἰς κρημνοὺς καὶ εἰς σκοπέλους καὶ πλέκει ἄπειρα δίκτυα τιμωρίας ἐναντίον των καὶ φαίνεται ὡσὰν νὰ κάμῃ αὐτοὺς ἀξιοζηλεύτους, τόσον εἰς αὐτοὺς τοὺς ἰδίους ποὺ ἔχουν κυριευθῆ, ὅσον καὶ εἰς ἐκείνους ποὺ ἐπιθυμοῦν νὰ κυριευθοῦν. Καὶ ὅπως ὁ χοῖρος ποὺ κυλίεται εἰς τὸν αὔλακα καὶ εἰς τὰν βόρβορον εὐχαριστεῖται καὶ ἀπολαμβάνει, καὶ ὅπως οἱ κάνθαροι ποὺ

τες· οὕτω δὴ καὶ οἱ τῇ φιλαργυρίᾳ ἁλόντες τῶν ζώων τούτων εἰσὶν ἀθλιώτεροι. Καὶ γὰρ μείζων ἡ ἐνταῦθα βδελυγμία, καὶ ὁ βόρβορος δυσωδέστερος· ἐνδιατρίβοντες γὰρ τῷ πάθει, πολλὴν νομίζουσιν ἡδονὴν ἐντεῦθεν καρποῦσθαι· ὅπερ οὐ τῆς φύσεως τοῦ πράγματός ἐστιν, ἀλλὰ τῆς τὴν τοιαύτην ἀλογίαν νοσούσης διανοίας. Τοῦτο δὲ τῆς ἀλογίας ἐκείνων χεῖρον. Ὥσπερ οὖν ἐπὶ τοῦ βορβόρου καὶ τῆς κόπρου, οὐ τοῦ βορβόρου καὶ τῆς κόπρου τὸ αἴτιον, ἀλλὰ τῆς ἀλογίας τῶν ἐμπεπτωκότων ζώων· οὕτω καὶ ἐπὶ τῶν ἀνθρώπων λογίζου.

7. Καὶ πῶς ἂν ἰασαίμεθα τοὺς οὕτω διακειμένους; Εἰ βουληθείησαν ἡμῖν ἀνοῖξαι τὰς ἀκοάς, καὶ ἁπλῶσαι τὴν διάνοιαν, καὶ δέξασθαι τὰ λεγόμενα. Τὰ μὲν γὰρ ἄλογα μεταθεῖναι τῆς ἀκαθάρτου διατριβῆς καὶ ἀπαγαγεῖν οὐκ ἔνι· λογισμοῦ γάρ ἐστιν ἔρημα· τὸ δὲ ἡμερώτατον τοῦτο γένος, καὶ λογισμῷ καὶ λόγῳ τετιμημένον, τὴν ἀνθρωπείαν λέγω φύσιν, εἰ βουληθείη, ῥᾴδιόν τε καὶ σφόδρα εὔκολον καὶ τοῦ βορβόρου καὶ τῆς δυσωδίας, καὶ τῆς κόπρου καὶ τῆς βδελυγμίας ἀπαλλάξαι ἐκείνης. Διὰ τί γὰρ ὁ πλοῦτος, ἄνθρωπε, περισπούδαστος εἶναί σοι δοκεῖ; Διὰ τὴν ἡδονὴν πάντως τὴν ἀπὸ τῶν τραπεζῶν; διὰ τὴν τιμήν, καὶ τὴν δορυφορίαν τὴν ἀπὸ τῶν διὰ τοῦτον θεραπευόντων; διὰ τὸ δύνασθαι τοὺς λυποῦντας ἀμύνασθαι, καὶ πᾶσιν εἶναι φοβερόν; Οὐδὲ γὰρ ἂν ἑτέρας αἰτίας ἔχοις εἰπεῖν, ἀλλ' ἢ ἡδονήν, καὶ κολακείαν, καὶ φόβον, καὶ τιμωρίαν· οὔτε γὰρ σοφώτερον, οὔτε σωφρονέστερον, οὔτε ἐπιεικέστερον, οὔτε συνετώτερον πάντως ὁ πλοῦτος ποιεῖν εἴωθεν, οὐ χρηστόν, οὐ φιλάνθρωπον, οὐκ ὀργῆς κρείττονα, οὐ γαστρὸς ἀμείνω, οὐχ ἡδονῶν ἀνώτερον· οὐ μετριάζειν παιδεύει, οὐ συνεστάλθαι διδάσκει, οὐκ ἄλλο τι μέρος τῆς ἀρετῆς εἰς τὴν ψυχὴν εἰσάγει καὶ καταφυτεύει.

ἀνακατεύουν συνεχῶς τὴν κοπριάν, ἔτσι λοιπὸν καὶ ὅσοι ἐκυριεύθησαν ἀπὸ τὴν φιλαργυρίαν εἶναι περισσότερον δυστυχισμένοι καὶ ἀπὸ αὐτὰ τὰ ζῶα. Διότι αὐτὴ ἡ ἀηδία εἶναι μεγαλυτέρα καὶ βρωμερώτερος ὁ βοῦρκος· διότι ἐνῷ διέρχωνται τὴν ζωήν των μέσα εἰς τὸ πάθος αὐτό, νομίζουν ὅτι ἀποκομίζουν ἀπὸ αὐτὸ πολλὴν ἡδονήν· αὐτὸ δὲ ὀφείλεται ὄχι εἰς τὴν φύσιν τοῦ πράγματος, ἀλλὰ εἰς τὴν μεγάλην μωρίαν τῆς ἀρρώστου ψυχῆς. Αὐτὸ δὲ εἶναι χειρότερον ἀπὸ τὴν ἀλογίαν τῶν ζώων ἐκείνων. Ὅπως λοιπὸν εἰς τὸν βοῦρκον καὶ τὴν κοπριάν, αἰτία δὲν εἶναι ἡ κοπριὰ καὶ ὁ βοῦρκος, ἀλλὰ ἡ ἀλογία τῶν ζώων ποὺ ἔχουν πέσει μέσα, ἔτσι νὰ σκεφθῇς σχετικὰ καὶ μὲ τοὺς ἀνθρώπους.

7. Καὶ πῶς ἠμποροῦμεν νὰ θεραπεύσωμεν αὐτοὺς ποὺ εὑρίσκονται εἰς αὐτὴν τὴν κατάστασιν; Ἂν ἤθελαν νὰ ἀνοίξουν τὰ αὐτιά τους, νὰ καθαρίσουν τὸν νοῦν τους καὶ νὰ δεχθοῦν τὰ λεγόμενα. Διότι τὰ μὲν ἄλογα ζῶα νὰ τὰ μετατωπίσῃ κανεὶς καὶ νὰ τὰ ἀπομακρύνῃ ἀπὸ τὴν ἀκάθαρτον διαμονήν των δὲν εἶναι δυνατόν· διότι στεροῦνται λογισμοῦ· τὸ δὲ ἡμερώτερον τοῦτο γένος, τὸ ὁποῖον ἔχει προικισθῇ μὲ σκέψιν καὶ λόγον, ἐννοῶ τὸν ἄνθρωπον, ἂν θέλῃ, εἶναι εὔκολον καὶ μάλιστα πολὺ εὔκολον νὰ τὸν ἀπαλλάξῃς ἀπὸ τὸν βόρβορον ἐκεῖνον καὶ τὴν δυσωδίαν καὶ ἀπὸ τὴν κοπριὰν καὶ ἀπὸ τὴν ἀηδίαν. Διὰ ποῖον λόγον, ἄνθρωπε, σοῦ φαίνεται ὅτι ὁ πλοῦτος εἶναι πολυπόθητος; Διὰ τὴν ἀπόλαυσιν ποὺ ἀπορρέει ἀπὸ τὰ τραπέζια; Διὰ τὴν τιμὴν καὶ τὴν περιποίησιν ποὺ παρέχει μὲ τοὺς ὑπηρέτας; Διὰ τὸ ὅτι ἠμπορεῖ καὶ τοὺς ἀδικοῦντας νὰ ἀντιμετωπίζῃ καὶ νὰ εἶναι εἰς ὅλους φοβερός; Διότι δὲν θὰ ἠμποροῦσες νὰ ἀναφέρῃς ἄλλας αἰτίας, παρὰ τὴν ἡδονήν, καὶ τὴν κολακείαν, τὸν φόβον καὶ τὴν τιμωρίαν· διότι ὁ πλοῦτος οὔτε σοφώτερον, οὔτε φρονιμώτερον, οὔτε καλύτερον, οὔτε συνετώτερον συνηθίζει νὰ κάνῃ τὸν ἄνθρωπον, οὔτε χρηστόν, οὔτε φιλάνθρωπον, οὔτε δυνατώτερον ἀπὸ τὴν ὀργήν, οὔτε καλύτερον ἀπὸ τὴν κοιλίαν, οὔτε ἀνώτερον ἀπὸ τὰς ἡδονάς· δὲν μαθαίνει τὸν ἄνθρωπον νὰ εἶναι μετριοπαθής, οὔτε τὸν διδάσκει νὰ εἶναι συνεσταλμένος, οὔτε κάποιο ἄλλο

Οὐδ' ἂν ἔχοις εἰπεῖν διὰ τί τούτων περισπούδαστός ἐστί σοι καὶ ποθεινὸς οὗτος. Οὐ γὰρ δὴ μόνον οὐδὲν οἶδε φυτεύειν ἢ γεωργεῖν τῶν ἀγαθῶν, ἀλλὰ κἂν ἀποκείμενα εὕρῃ, λυμαίνεται καὶ κωλύει καὶ καταμαραίνει· ἔνια δὲ καὶ ἀνασπᾷ, καὶ τὰ ἐναντία τούτων ἐπεισάγει, ἀκολασίαν ἄμετρον, θυμὸν ἄκαιρον, ὀργὴν ἄδικον, ἀπόνοιαν, ὑπερηφανίαν, ἄνοιαν. Ἀλλὰ μὴ εἴπω περὶ τούτων· οἱ γὰρ τῷ νόσῳ ταύτῃ ἑαλωκότες οὐκ ἂν ἀνάσχοιντο περὶ ἀρετῆς καὶ κακίας ἀκούοντες, τῆς ἡδονῆς ὄντες ὅλοι, καὶ διὰ τοῦτο αὐτῆς γινόμενοι δοῦλοι, κατηγορουμένων αὐτῶν ὁμοῦ καὶ ἐλεγχομένων ἰδεῖν.

Φέρε οὖν τέως τὸν περὶ τούτων λόγον ἀφέντες, τὰ λοιπὰ εἰς μέσον ἀγάγωμεν, καὶ ἴδωμεν, εἴ τινα ἡδονὴν ὁ πλοῦτος ἔχει, εἴ τινα τιμήν· τοὐναντίον γὰρ ἅπαν ὁρῶ. Καὶ εἰ βούλεσθε, πρῶτον τὰς τραπέζης τῶν πλουτούντων καὶ πενομένων ἐξετάζωμεν, καὶ ἐρώμεθα τοὺς ἑστιωμένους, τίνες μάλιστά εἰσιν οἱ καθαρὰν καὶ γνησίαν καρπούμενοι ἡδονήν; οἱ πρὸς διαμεμετρημένην τὴν ἡμέραν ἐπὶ τῶν στιβάδων κατακείμενοι, καὶ τὰ δεῖπνα τοῖς ἀρίστοις συνάπτοντες, καὶ τὴν γαστέρα διαρρηγνύντες, καὶ τὰς αἰσθήσεις πηροῦντες, καὶ τῷ ὑπερόγκῳ τῶν ἐδεσμάτων φορτίῳ τὸ πλοῖον καταποντίζοντες, καὶ ὑπέραντλον ποιοῦντες τὴν ναῦν, καὶ καθάπερ ἐν ναυαγίῳ τῷ τοῦ σώματος κατακλύζοντες αὐτήν, καὶ πέδας, καὶ χειροπέδας, καὶ γλωσσοπέδας ἐπινοοῦντες, καὶ ἅπαν αὐτῶν καταδεσμοῦντες τὸ σῶμα ἀλύσεως σιδηρᾶς χαλεπωτέρῳ δεσμῷ τῷ τῆς μέθης καὶ τῆς τρυφῆς, καὶ μήτε ὕπνον αἱρούμενοι γνήσιον εἰλικρινῆ, μήτε ὀνειράτων ἀπηλλαγμένοι φοβερῶν, τῶν τε μαινομένων ὄντες ἀθλιώτεροι, καὶ αὐθαίρετόν τινα δαίμονα ἐπεισάγοντες τῇ ψυχῇ, καὶ γέλως προκείμενοι τῷ θεάτρῳ τῶν οἰκετῶν, μᾶλλον δὲ καὶ τραγῳδία καὶ δακρύων ὑπόθεσις τοῖς ἐπιεικεστέροις αὐτῶν, καὶ

μέρος τῆς ἀρετῆς εἰσάγει καὶ φυτεύει εἰς τὴν ψυχήν. Οὔτε ἠμπορεῖς νὰ εἰπῇς διατί εἶναι εἰς ἐσένα αὐτὸς περισσότερον περιζήτητος καὶ περισσότερον ποθητὸς ἀπὸ τοὺς ἄλλους. Διότι ὄχι μόνον δὲν γνωρίζει νὰ φυτεύῃ ἢ νὰ καλλιεργήσῃ κανένα ἀπὸ τὰ ἀγαθά, ἀλλὰ καὶ ἂν ἀκόμη τὰ εὕρῃ συγκεντρωμένα, τὰ βλάπτει, τὰ ἐμποδίζει, τὰ καταξηραίνει· μερικὰ δὲ καὶ τὰ ξεριζώνει καὶ φυτεύει τὰ ἀντίθετα αὐτῶν, ἀκολασίαν ἄμετρον, θυμὸν ἄκαιρον, ὀργὴν ἄδικον, ἀλαζονείαν, ὑπερηφάνειαν, μωρίαν. Ἀλλ' ἂς μὴ ὁμιλήσω περὶ αὐτῶν· διότι αὐτοὶ ποὺ ἔχουν κυριευθῆ ἀπὸ τὴν ἀσθένειαν αὐτὴν δὲν ἀνέχονται νὰ ἀκούσουν περὶ ἀρετῆς καὶ κακίας, ἐπειδὴ εἶναι ὅλοι παραδεδομένοι εἰς τὴν ἡδονὴν καὶ δουλεύουν εἰς αὐτήν, δὲν ἀνέχονται νὰ βλέπουν ὅτι κατηγοροῦνται καὶ συγχρόνως ἐλέγχονται.

Ἐμπρὸς λοιπὸν ἂς ἀφήσωμεν ὡς ἐδῶ τὸν λόγον διὰ τὸ θέμα αὐτό, καὶ ἂς φέρωμεν τὰ ὑπόλοιπα εἰς τὸ μέσον, καὶ ἂς ἴδωμεν ἂν ἔχῃ κάποιαν ἡδονὴν ὁ πλοῦτος, κάποιαν τιμήν· διότι ἐγὼ βλέπω τελείως τὸ ἀντίθετον. Καὶ ἂν θέλετε ἂς ἐξετάσωμεν πρῶτον τὰς τραπέζας τῶν πλουσίων καὶ τῶν πτωχῶν, καὶ ἂς ἐρωτήσωμεν αὐτοὺς ποὺ γευματίζουν, ποῖοι εἶναι ἐκεῖνοι ποὺ ἀπολαμβάνουν τὴν καθαρὰν καὶ γνησίαν ἡδονήν; Αὐτοὶ οἱ ὁποῖοι περνοῦν τὴν ἡμέραν των ἐξαπλωμένοι ἐπάνω εἰς κλίνην καὶ συνδέουν τὰ βραδυνὰ δεῖπνα μὲ τὰ μεσημβρινά, καὶ τρώγουν μέχρι σκασμοῦ, καὶ ἀνάβουν τὰς αἰσθήσεις, καὶ μὲ τὸ ὑπέρογκον φορτίον τῶν τροφῶν κάνουν τὸ πλοῖον νὰ βυθίζεται καὶ νὰ πλημμυρίζῃ, καὶ καταπνίγουν τὴν ψυχὴν εἰς τὸ ναυάγιον τοῦ σώματος καὶ ἐπινοοῦν δεσμὰ διὰ τὰ πόδια, τὰ χέρια καὶ τὴν γλῶσσαν, καὶ περισφίγγουν ὅλον τὸ σῶμα των μὲ τὰ δεσμὰ τῆς μέθης καὶ τῆς ἀκολασίας τὰ ὁποῖα εἶναι χειρότερα ἀπὸ τὰ δεσμὰ σιδηρᾶς ἁλυσίδας, καὶ δὲν ἔχουν ὕπνον ἥσυχον καὶ καθαρόν, καὶ οὔτε εἶναι ἀπαλλαγμένοι ἀπὸ ὄνειρα φοβερὰ καὶ εἶναι πιὸ δυστυχισμένοι ἀπὸ τοὺς τρελλούς, καὶ εἰσάγουν μέσα εἰς τὴν ψυχήν των δαίμονα ἀδιάντροπον, καὶ γίνονται περίγελως εἰς τοὺς ὑπηρέτας των, μᾶλλον δὲ καὶ τραγωδία καὶ δακρύων ἀφορμὴ εἰς τοὺς καλυτέρους ἐξ αὐ-

μηδένα εἰδότες τῶν παρόντων, μήτε εἰπεῖν τι καὶ ἀκοῦσαι δυνάμενοι, ἀλλὰ φοράδην ἀπὸ τῶν στιβάδων ἐπὶ τὴν κλίνην ἀγόμενοι; ἢ οἱ νήφοντες καὶ οἱ ἐγρηγορότες, καὶ τῇ χρείᾳ τὸ μέτρον ὁρίζοντες, καὶ ἐξ οὐρίας πλέοντες, καὶ μέγιστον ἥδυσμα τὸ πεινῆν καὶ διψῆν ἔχοντες ἐπί τε τῶν σιτίων, ἐπί τε τῶν ποτῶν; Οὐδὲν γὰρ οὕτω καὶ ἡδονὴν καὶ ὑγίειαν ἐργάζεται, ὡς τὸ πεινῶντα καὶ διψῶντα οὕτω τῶν προκειμένων ἅπτεσθαι, καὶ κόρον εἰδέναι τὴν χρείαν μόνην, καὶ μὴ ὑπερβαίνειν ταύτης τὰ σκάμματα μηδὲ μεῖζον τῆς δυνάμεως ἐπιτιθέναι τὸ ἄχθος τῷ σώματι.

8. Εἰ δὲ ἀπιστεῖς μου τῷ λόγῳ, κατάμαθε τὰ ἑκατέρων σώματα, καὶ τὴν ἑκάστου ψυχήν. Οὐχὶ τὰ μὲν τῶν οὕτω διαιτωμένων συμμέτρως (μὴ γάρ μοι τὸ σπανιάκις συμβαῖνον εἴπῃς, καὶ εἴ τινες ἀσθενεῖς εἶεν ἐκ περιστάσεως ἑτέρας τινός, ἀλλ' ἀπὸ τῶν ἀεὶ καὶ συνεχῶς συμβαινόντων τὰς ψήφους λάμβανε), οὐχὶ τῶν μὲν συμμέτρως ἑστιωμένων εὔρωστα τὰ σώματα, καὶ τετρανωμέναι αἱ αἰσθήσεις, τὴν οἰκείαν χρείαν πληροῦσαι μετὰ πολλῆς τῆς εὐκολίας; ἐκείνων δὲ πλαδαρὰ καὶ παντὸς κηροῦ μαλακώτερα, καὶ ἑσμῷ νοσημάτων πολιορκούμενα; Καὶ γὰρ καὶ ποδάγραι ταχέως αὐτοῖς ἐφίπτανται, καὶ τρόμος ἄκαιρος, καὶ γῆρας ἄωρον, καὶ κεφαλαλγίαι, καὶ διατάσεις, καὶ στομάχων πηρώσεις, καὶ ὀρέξεως ἀναίρεσις, καὶ διηνεκῶν δέονται ἰατρῶν, καὶ συνεχῶν τῶν φαρμάκων, καὶ καθημερινῆς τῆς θεραπείας. Ταῦτα οὖν ἡδονῆς; εἰπέ μοι. Καὶ τίς ἂν εἴποι τῶν εἰδότων ὅ,τι ποτέ ἐστιν ἡδονή; Ἡδονὴ γὰρ γίνεται τότε, ὅταν ἐπιθυμίας ἡγουμένης ἀπόλαυσις ἕπηται· ἂν δὲ ἀπόλαυσις μὲν ᾖ, ἐπιθυμία δὲ μηδαμοῦ φαίνηται, τὰ τῆς ἡδονῆς οἴχεται καὶ ἠφάνισται. Διά τοι τοῦτο καὶ οἱ νοσοῦντες, καίτοι σιτίων περισπουδάστων αὐτοῖς προκειμένων, ναυτιῶντες, καὶ ἐνοχλεῖσθαι δοκοῦντες, οὕτως αὐτῶν ἀπογεύονται· ἐπειδὴ ἐπιθυμία οὐκ ἔστιν, ἡ τὴν ἀπόλαυσιν ἡδίστην ποιοῦσα. Οὔτε γὰρ ἡ

τῶν, καὶ δὲν γνωρίζουν κανένα ἀπὸ τοὺς παρόντας, οὔτε ἠμποροῦν νὰ ἀκούσουν καὶ νὰ εἴπουν κάτι, ἀλλὰ ὁρμητικὰ ὁδηγοῦνται ἀπὸ τὰ ἀνάκλιντρα εἰς τὴν κλίνην; ἢ ἐκεῖνοι ποὺ προσέχουν καὶ ἐπαγρυπνοῦν καὶ ἀναλόγως τῆς ἀνάγκης κανονίζουν τὸ μέτρον καὶ πλέουν γαλήνια εἰς τὴν ζωήν των καὶ ὡσὰν τὸ καλύτερον καρύκευμα εἰς τὰς τροφὰς καὶ εἰς τὰ ποτὰ ἔχουν τὴν πεῖναν καὶ τὴν δίψαν; Διότι τίποτε δὲν φέρει τόσην ἡδονὴν καὶ ὑγείαν, ὅσην τὸ νὰ ἐγγίζῃ κανεὶς τὴν τράπεζαν ὅταν πεινᾷ καὶ διψᾷ καὶ νὰ γνωρίζῃ ὡσὰν χόρτασμα μόνον τὴν ἀνάγκην καὶ νὰ μὴ ὑπερβαίνῃ τὰ ὅριά της, οὔτε νὰ εἰσάγῃ εἰς τὸ σῶμα του βάρος μεγαλύτερον ἀπὸ ὅ,τι ἠμπορεῖ νὰ σηκώσῃ.

8. Καὶ ἂν ἀπιστῇς εἰς τὸν λόγον μου παρατήρησε καλὰ τὰ σώματα καὶ τῶν δύο, καὶ τὴν ψυχὴν ἑκάστου. Δὲν εἶναι τὰ σώματα ἐκείνων ποὺ διαιτῶνται μὲ ἐγκράτειαν (διότι μὴ μοῦ ἀναφέρῃς αὐτὸ ποὺ σπανίως συμβαίνει, καὶ ἂν ὑπάρχουν ἀσθενεῖς ἀπὸ κάποιαν ἄλλην περίστασιν, ἀλλὰ συμπέρανε ἀπὸ ὅσα πάντοτε καὶ συνεχῶς συμβαίνουν), δὲν εἶναι τὰ σώματα τῶν διαιτωμένων μὲ ἐγκράτειαν εὔρωστα καὶ αἱ αἰσθήσεις των δυναμωμέναι, ἐπιτελοῦσαι τὸ ἔργον των μὲ πολλὴν εὐκολίαν; τῶν δὲ ἄλλων πλαδαρὰ καὶ περισσότερον μαλακὰ ἀπὸ τὸν κηρὸν καὶ πολιορκούμενα ἀπὸ πλῆθος νοσημάτων; Διότι καὶ ποδάγραι τοὺς καταλαμβάνουν, καὶ τρεμούλα ἀδικαιολόγητος, καὶ γῆρας πρόωρον, καὶ πονοκέφαλοι, καὶ πρηξίματα, καὶ στομαχικαὶ διαταραχαί, καὶ ἔλλειψις ὀρέξεως, καὶ διαρκῶς ἔχουν ἀνάγκην ἰατρῶν καὶ συνεχῶν φαρμάκων καὶ καθημερινῆς θεραπείας. Λοιπὸν εἰπέ μου, εἶναι αὐτὰ ἴδιον τῆς ἡδονῆς; Καὶ ποῖος ἀπὸ τοὺς γνωρίζοντας τὰ πράγματα θὰ εἰπῇ τί εἶναι ἡδονή; Διότι ἡ ἡδονὴ γίνεται τότε ὅταν προηγηθῇ ἡ ἐπιθυμία καὶ μετὰ ἀκολουθήσῃ ἡ ἀπόλαυσις· ἂν ὅμως ὑπάρχῃ ἀπόλαυσις, ἐπιθυμία δὲ πουθενὰ δὲν φαίνεται, ἡ ἡδονὴ φεύγει καὶ ἐξαφανίζεται. Διὰ τοῦτο ἀκριβῶς καὶ οἱ ἀσθενεῖς, ἂν καὶ ἔχουν ἐνώπιόν των ἐξαίρετα φαγητά, αἰσθάνονται ναυτίαν, καὶ φαίνονται νὰ ἐνοχλοῦνται καθὼς τὰ τρώγουν ἐπειδὴ λείπει ἀπ' αὐτοὺς ἡ ὄρεξις ἡ ὁποία κάνει τὴν ἀπόλαυσιν

τῶν σιτίων φύσις, οὔτε ἡ τῶν ποτῶν, ἀλλ' ἡ τῶν ἑστιωμένων ὄρεξις τὴν ἐπιθυμίαν τίκτειν εἴωθε, καὶ τὴν ἡδονὴν ἐργάζεσθαι πέφυκε.

Διὰ τοῦτο καί τις σοφὸς ἀνήρ, τὰ περὶ τῆς ἡδονῆς ἀκριβῶς εἰδώς, καὶ φιλοσοφεῖν περὶ τούτων ἐπιστάμενος, ἔλεγε· «Ψυχὴ ἐμπεπλησμένη κηρίοις ἐμπαίζει»· δεικνὺς ὅτι οὐκ ἐν τῇ φύσει τῆς τραπέζης, ἀλλ' ἐν τῇ διαθέσει τῶν ἑστιωμένων τὰ τῆς ἡδονῆς ἕστηκε. Διὰ τοῦτο καὶ ὁ προφήτης τὰ ἐν Αἰγύπτῳ θαύματα καὶ τὰ ἐν τῇ ἐρήμῳ καταλέγων, μετὰ τῶν ἄλλων καὶ τοῦτο εἴρηκεν, ὅτι· «Ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς». Καίτοι γε οὐδαμοῦ μέλι φαίνεται πέτρα αὐτοῖς ἀναβλύσασα· τί οὖν ἐστι τὸ εἰρημένον; Ἐπειδὴ πολλῷ κατειργασμένοι τῷ καμάτῳ καὶ τῇ ὁδοιπορίᾳ, καὶ σφοδρῷ κατεχόμενοι τῷ δίψει ψυχροῖς τοῖς νάμασι προσέπιπτον, ἀντὶ ἡδύσματος μεγάλου τὸ διψῆν ἔχοντες, τὴν ἡδονὴν τῶν ναμάτων ἐκείνων παραστῆσαι βουλόμενος, μέλι τὸ ὕδωρ ἐκάλεσεν, οὐχ ὡς τῆς φύσεως εἰς μέλι μεταβληθείσης, ἀλλ' ὡς τῆς ἡδονῆς τοῦ ὕδατος ἁμιλλωμένης ἐκείνῃ τῇ γλυκύτητι, διὰ τὸ διψῶντας τότε προσπεσεῖν τοὺς ἀπολελαυκότας αὐτοῦ. Ὅταν τοίνυν ταῦτα τοῦτον ἔχῃ τὸν τρόπον, καὶ μηδεὶς ἀντιλέγειν δύνηται, κἂν σφοδρὰ ἀναίσθητος ᾖ· οὐκ εὔδηλον ὅτι παρὰ ταῖς τῶν πενήτων τραπέζαις ἡ καθαρὰ καὶ εἰλικρινὴς καὶ σφοδρὰ ἡδονή; ἐν δὲ ταῖς τῶν πλουσίων ἀηδία, καὶ βδελυγμία, καὶ μολυσμός; καὶ καθὼς εἶπεν ὁ σοφὸς ἐκεῖνος ἀνήρ, «Καὶ τὰ ἡδέα παρενοχλεῖν δοκεῖ».

9. Ἀλλὰ τιμᾶσθαι παρασκευάζει τοὺς ἔχοντας ὁ πλοῦτος, φησί, καὶ ἐχθροὺς ἀμύνασθαι μετ' εὐκολίας. Διὰ τοῦτο οὖν, εἰπέ μοι, ποθεινὸς ὑμῖν καὶ περιμάχητος εἶναι δοκεῖ, ὅτι τὰ χαλεπώτατα ἐν ἡμῖν τρέφει πάθη, ὀργήν τε εἰς ἔργον ἐξάγων, καὶ τῆς δοξομανίας τοὺς πομφόλυγας εἰς μείζονα ὄγκον ἐπαίρων, καὶ πρὸς ἀπόνοιαν ἀλείφων τε καὶ διεγείρων; Διὰ ταῦτα μὲν οὖν μάλιστα ἀμεταστρεπτὶ φεύγειν αὐ-

10. Παροιμ. 27, 7.
11. Ψαλ. 80, 17.
12. Παροιμ. 27, 7.

γλυκυτάτην. Διότι οὔτε τὰ τρόφιμα αὐτὰ καθ' ἑαυτά, οὔτε τὰ ποτά, ἀλλὰ ἡ ὄρεξις τῶν ἐσθιόντων ἔχει τὴν δύναμιν καὶ γεννᾷ τὴν ἐπιθυμίαν, καὶ προξενεῖ τὴν εὐχαρίστησιν.

Διὰ τοῦτο καὶ κάποιος σοφὸς ἄνδρας, ὁ ὁποῖος ἐγνώριζε τὰ περὶ τῆς ἡδονῆς ἀκριβῶς καὶ ἤξευρε νὰ φιλοσοφῇ περὶ τούτων, ἔλεγεν· «ὁ ὑπερχορτασμένος μὲ τροφὴν ἀπαξιοῖ τὴν κηρήθραν»[10]· δεικνύων ὅτι ἡ ἡδονὴ ἔγκειται ὄχι εἰς τὴν φύσιν τῆς τραπέζης, ἀλλὰ εἰς τὴν διάθεσιν τῶν ἀνθρώπων ποὺ τρώγουν. Διὰ τοῦτο καὶ ὁ προφήτης ἀπαριθμῶν τὰ θαύματα ποὺ ἔγιναν εἰς τὴν ἔρημον καὶ εἰς τὴν Αἴγυπτον μεταξὺ τῶν ἄλλων εἶπε καὶ τοῦτο ὅτι «ἐχόρτασεν αὐτοὺς μὲ μέλι ἐκ πέτρας»[11]. Ἂν καὶ πουθενὰ δὲν φαίνεται ὅτι ἡ πέτρα ἀνέβλυσε μέλι δι' αὐτούς· τί λοιπὸν σημαίνει τὸ λεχθέν; Ἐπειδὴ ἦσαν κουρασμένοι ἀπὸ τὸν πολὺν κόπον καὶ τὴν ὁδοιπορίαν καὶ ἦσαν κυριευμένοι ἀπὸ μεγάλην δίψαν, ἔπιπτον εἰς τὰ ψυχρὰ ὕδατα, ἔχοντες ἀντὶ μεγάλου ὀρεκτικοῦ τὴν δίψαν, διὰ νὰ παραστήσῃ τὴν ἡδονὴν ἐκείνων τῶν πηγῶν εἶπε τὸ νερὸ μέλι, ὄχι ἐπειδὴ πράγματι ἔγινε μέλι, ἀλλὰ ἐπειδὴ ἡ ἡδονὴ τοῦ νεροῦ συνηγωνίζετο τὴν γλυκύτητα τοῦ μέλιτος, ἐπειδὴ προσέπεσαν εἰς αὐτὸ διψῶντες αὐτοὶ οἱ ὁποῖοι ἀπήλαυσαν αὐτό. Ἀφοῦ λοιπὸν αὐτὰ ἔτσι ἔχουν, καὶ κανεὶς δὲν δύναται νὰ ἀντιλέγῃ ἀκόμη καὶ ἂν εἶναι ὑπερβολικὰ ἀναίσθητος, δὲν εἶναι ὁλοφάνερον ὅτι ἡ καθαρὰ καὶ εἰλικρινὴς καὶ δυνατὴ ἡδονὴ εὑρίσκεται εἰς τὰς τραπέζας τῶν φτωχῶν; καὶ ὅτι εἰς τὰ τραπέζια τῶν πλουσίων ἡ ἀηδία, ἡ βδελυγμία καὶ ὁ μολυσμός; Καθὼς εἶπεν ὁ σοφὸς ἐκεῖνος ἄνδρας «καὶ αὐτὰ ποὺ ἔχουν γλυκύτητα φαίνεται ὅτι παρενοχλοῦν»[12].

9. Ἀλλὰ θὰ εἰπῇ κάποιος ὅτι ὁ πλοῦτος παρέχει τιμὴν εἰς ὅσους τὸν ἔχουν, καὶ τοὺς κάνει ἱκανοὺς νὰ ἀντιμετωπίζουν τοὺς ἐχθροὺς μὲ εὐκολίαν. Διὰ τοῦτο λοιπόν, εἰπέ μου, σᾶς φαίνεται ποθητὸς καὶ περιζήτητος, διὰ τὸ ὅτι τρέφει ἐντός μας τὰ χειρότερα πάθη, ὁδηγεῖ εἰς ἔξαψιν τὴν ὀργὴν καὶ μεγαλοποιεῖ τὰς πομφόλυγας τῆς δοξομανίας, καὶ προτρέπει καὶ παρακινεῖ πρὸς τὴν ὑπερηφάνειαν; Ὅμως δι' αὐτὸ κυρίως πρέπει νὰ τὸν ἀποφεύγωμεν ὑποχρεωτι-

τὸν χρή, ὅτι θηρία τινὰ ἄγρια καὶ χαλεπὰ εἰς τὴν διάνοιαν εἰσοικίζει τὴν ἡμετέραν, τῆς μὲν ὄντως τιμῆς τῆς παρὰ πάντων ἀποστερῶν, τὴν δὲ ἐναντίαν ἐκείνης, τοῖς ἐκείνης χρώμασιν ἀναχρωννύς, καὶ οὕτω προσάγων τοῖς ἠπατημένοις, καὶ πείθων ταύτην ἐκείνην εἶναι νομίζειν, οὐκ οὖσαν τῇ φύσει, ἀλλὰ τῇ ὄψει δοκοῦσαν εἶναι. Καθάπερ γὰρ τὰ κάλλη τῶν ἑταιριζομένων γυναικῶν ἐπιτρίμμασι καὶ ὑπογραφαῖς συγκείμενα, κάλλους μὲν ἀπεστέρηται, τὴν δὲ αἰσχρὰν ὄψιν καὶ δυσειδῆ καλήν τε καὶ εὐειδῆ εἶναι ποιεῖ παρὰ τοῖς ὑπ' αὐτῆς ἠπατημένοις, οὐκ οὖσαν καλήν· οὕτω δὴ καὶ ὁ πλοῦτος τὴν κολακείαν βιαζόμενος τιμὴν δεικνύναι ποιεῖ.

Μὴ γάρ μοι τὰς ἐν τῷ φανερῷ διὰ φόβον καὶ θωπείαν γινομένας εὐφημίας ἴδῃς· αὗται γάρ εἰσι τὰ χρώματα καὶ αἱ ὑπογραφαί· ἀλλὰ τὸ ἑκάστου συνειδὸς τῶν τὰ τοιαῦτά σε κολακευόντων ἀνάπτυξον, καὶ ὄψει μυρίους ἔνδον καταβοῶντάς σου κατηγόρους, καὶ τῶν μάλιστα ἐχθρῶν καὶ πολεμίων μᾶλλον ἀποστρεφομένους καὶ μισοῦντας. Καὶ εἴ ποτε τὸ ἐκ τοῦ φόβου τούτου συγκείμενον προσωπεῖον μεταβολὴ πραγμάτων ἐπελθοῦσα ἀφανίσειέ τε καὶ διελέγξειε, καθάπερ τὰς ὄψεις ἐκείνας ἥλιος θερμοτέραν ἀκτῖνα ἀφείς, τότε ὄψει καλῶς ὅτι παρὰ πάντα τὸν ἔμπροσθεν χρόνον ἐν ἐσχάτῃ μὲν ἦς ἀτιμίᾳ παρὰ τοῖς θεραπεύουσι, τιμῆς δὲ ἐνόμιζες ἀπολαύειν ὑπὸ τῶν μάλιστα μισούντων σε, καὶ μυρίαις σε κατὰ διάνοιαν πλυνόντων λοιδορίαις, καὶ ἐν ἐσχάταις σε συμφοραῖς ἐπιθυμούντων ἰδεῖν. Τιμὴν γὰρ οὐδὲν οὕτως εἴωθε ποιεῖν, ὡς ἀρετή, τιμὴν οὐ κατηναγκασμένην, τιμὴν οὐ πεπλασμένην, οὐδὲ προσωπείῳ τινὶ φενακισμοῦ κεκρυμμένην, ἀλλὰ ἀληθῆ καὶ γνησίαν, καὶ οὐδεμιᾷ καιρῶν δυσκολίᾳ ἐλεγχομένην.

10. Ἀλλ' ἀμύνασθαι βούλει τοὺς λελυπηκότας; Καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα, καθάπερ ἔφθην εἰπών, φευκτὸς ὁ πλοῦτος. Καὶ τὰ γὰρ σαυτοῦ τὸ ξίφος ὠθεῖν σε παρασκευάζει,

κῶς, διότι εἰσάγει ἐντός μας μερικὰ θηρία ἄγρια καὶ φοβερά, καὶ μᾶς στερεῖ τῆς πραγματικὰ μεγαλυτέρας ἀπὸ ὅλας τιμῆς, καὶ μᾶς χαρίζει τὴν ἀντίθετον φήμην, δίδων εἰς αὐτὴν χρῶμα ἐκείνης καὶ ἔτσι τὴν παρουσιάζει εἰς τοὺς ἀπατημένους, καὶ τοὺς πείθει νὰ νομίζουν ὅτι αὐτὴ εἶναι ἐκείνη, ἐνῷ εἰς τὴν πραγματικότητα δὲν εἶναι, ἀλλὰ μόνον κατὰ τὴν ὄψιν φαίνεται ὅτι εἶναι. Ὅπως δηλαδὴ τὰ κάλλη τῶν πορνῶν γυναικῶν, τὰ ὁποῖα γίνονται μὲ φκιασίδια καὶ μὲ βαφὰς καὶ στεροῦνται τῆς ὡραιότητος, τὴν δὲ αἰσχρὰν καὶ ἄσχημον ὄψιν κάμνουν νὰ φαίνεται καλὴ καὶ ὡραία εἰς αὐτοὺς ποὺ ἀπατοῦν, ἐνῷ δὲν εἶναι· ἔτσι ἀκριβῶς καὶ ὁ πλοῦτος διὰ τῆς βίας παρουσιάζει τὴν κολακείαν ὡς τιμήν.

Μὴ βλέπῃς ὅσους ἐπαίνους γίνονται φανερὰ διὰ φόβον καὶ καλόπιασμα, διότι αὐτὰ εἶναι τὰ χρώματα καὶ αἱ σκιαί· ἀλλὰ ἐξέτασε τὴν συνείδησιν τοῦ καθενὸς ἀπὸ αὐτοῦ τοῦ εἴδους τοὺς κόλακας, καὶ θὰ ἰδῇς μέσα νὰ σὲ καταδικάζουν ἀναρίθμητοι κατήγοροι, νὰ σὲ ἀποστρέφωνται καὶ νὰ σὲ μισοῦν χειρότερα καὶ ἀπὸ τοὺς μεγαλυτέρους ἐχθροὺς καὶ ἀντιπάλους σου. Καὶ ἂν κάποτε τὸ προσωπεῖον ποὺ ἐδημιούργησεν αὐτὸς ὁ φόβος ἠμποροῦσε νὰ τὸ ἀφανίσῃ καὶ νὰ τὸ φανερώσῃ κάποια μεταβολὴ τῶν πραγμάτων, τότε θὰ ἰδῇς καλά, ὅπως ἀκριβῶς ἐὰν ἄφηνεν ὁ ἥλιος εἰς τὰ πρόσωπα ἐκεῖνα θερμοτέραν ἀκτῖνα, ὅτι καθ' ὅλον τὸν προηγούμενον καιρὸν εὑρίσκεσο εἰς τὴν μεγαλυτέραν περιφρόνησιν ἐκείνων οἱ ὁποῖοι σὲ ἐπεριποιοῦντο, καὶ ἐνόμιζες ὅτι σὲ ἐξετίμων ἐκεῖνοι οἱ ὁποῖοι τόσον πολὺ σὲ ἐμίσουν καὶ σὲ περιέλουον κατὰ διάνοιαν μὲ ἀναριθμήτους ὕβρεις καὶ ἐπεθύμουν νὰ σὲ ἴδουν εἰς τὰς μεγαλυτέρας συμφοράς. Διότι τίποτε ἄλλο δὲν ἠμπορεῖ τόσον νὰ γεννήσῃ τὴν ἐκτίμησιν, ὅσον ἡ ἀρετή, ἐκτίμησιν ὅμως ὄχι καταναγκασμένην, ὄχι πλαστήν, οὔτε κρυμμένην μὲ προσωπεῖον ἀπάτης, ἀλλὰ ἀληθινὴν καὶ γνησίαν ποὺ ἀπὸ καμμίαν δύσκολον περίστασιν δὲν ἀνατρέπεται.

10. Ἀλλὰ θέλεις νὰ ἐκδικηθῇς αὐτοὺς ποὺ σὲ ἀδικοῦν; Καὶ δι' αὐτὸν λοιπὸν κυρίως τὸν λόγον, ὅπως πρὸ ὀλίγου ἀνέφερα, πρέπει νὰ ἀποφεύγεται ὁ πλοῦτος. Διότι σὲ ὠθεῖ

καὶ βαρυτέρας τὰς ἐν τῷ μέλλοντί σοι καθίστησιν εὐθύνας, καὶ ἀφορήτους ποιεῖ τὰς τιμωρίας. Τοσοῦτον γὰρ κακὸν τὸ ἀμύνασθαι, ὅτι καὶ Θεοῦ φιλανθρωπίαν ἀνεκαλέσατο, καὶ δοθεῖσαν ἤδη ἁμαρτημάτων ἀπείρων συγχώρησιν ἠκύρωσεν. Ὁ γὰρ μυρίων λαβὼν ταλάντων τὴν ἄφεσιν, καὶ ἀπὸ ψιλῆς παρακλήσεως τοσαύτης ἀπολαύσας δωρεᾶς, ἐπειδὴ ἑκατὸν δηναρίων ἀπαίτησιν ἐποιεῖτο παρὰ τοῦ συνδούλου, τοῦτ' ἔστιν, ἐπειδὴ τῶν εἰς αὐτὸν πλημμελημάτων ἀπῄτει δίκας, ἐν τῇ περὶ τὸν ὁμόδουλον σφοδρότητι καθ' ἑαυτοῦ τὴν καταδίκην ἐξήνεγκε· καὶ δι' ἕτερον μὲν οὐδέν, διὰ τοῦτο δὲ μόνον καὶ τοῖς βασανισταῖς παρεδίδοτο, καὶ ἐστρεβλοῦτο, καὶ τὰ μύρια τάλαντα ἀπαιτεῖσθαι ἐκελεύετο· καὶ συγγνώμης οὐδεμιᾶς, οὐδὲ ἀπολογίας ἀπήλαυεν, ἀλλὰ τὰ ἀνήκεστα ἔπασχε, κελευσθεὶς ἅπαν καταθεῖναι τὸ χρέος, ὃ προλαβοῦσα ἡ τοῦ Θεοῦ φιλανθρωπία συνεχώρησε. Διὰ τοῦτο οὖν, εἰπέ μοι, ὁ πλοῦτός σοι περισπούδαστος, ὅτι σε εἰς τοιαύτην ἁμαρτίαν μετ' εὐκολίας ἐξάγει; Καὶ μὴν διὰ τοῦτο αὐτὸν ὡς ἐχθρὸν καὶ πολέμιον καὶ μυρίων γέμοντα φόνων ἀποστρέφεσθαι δεῖ.

Ἀλλ' ἡ πενία, φησί, παρασκευάζει δυσχεραίνειν, καὶ πολλάκις καὶ βλάσφημα ῥήματα ἐκβάλλειν, καὶ ἀνελεύθερα πράγματα ὑπομένειν. Οὐχ ἡ πενία, ἀλλ' ἡ μικροψυχία· ἐπεὶ καὶ ὁ Λάζαρος πένης ἦν, καὶ σφόδρα γε πένης· καὶ τῇ πενίᾳ προσῆν καὶ ἀρρωστία πενίας ἁπάσης πικροτέρα, ἣ καὶ τὴν πενίαν ταύτην χαλεπωτέραν ποιοῦσα· καὶ τῇ ἀρρωστίᾳ ἐρημία τῶν προστησομένων, καὶ ἀπορία τῶν θεραπευόντων, ἥτις καὶ τὴν πενίαν καὶ τὴν ἀρρωστίαν πικροτέραν εἰργάζετο. Τούτων γὰρ ἕκαστον καὶ καθ' ἑαυτὸ μὲν ὀδυνηρόν, ὅταν δὲ μηδὲ οἱ θεραπεύοντες ὦσι, μεῖζον γίνεται τὸ δεινόν, χαλεπωτέρα ἡ φλόξ, πικροτέρα ἡ ὀδύνη, ἀγριώτερος ὁ χει-

νὰ βυθίζῃς τὸ ξίφος εἰς τὸν ἑαυτόν σου καὶ καθιστᾷ βαρυτάτας τὰς εὐθύνας σου εἰς τὴν ἄλλην ζωὴν καὶ τὰς τιμωρίας ἀνυποφόρους. Διότι τόσον μεγάλο κακὸν εἶναι τὸ νὰ ἀνταποδίδῃς τὸ κακόν, ὥστε καὶ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ διώχνει, καὶ τὴν συγχώρησιν ποὺ ἔχει δοθῆ διὰ τὰ ἀμέτρητα ἁμαρτήματα τὴν καθιστᾷ ἄκυρον. Διότι αὐτὸς ποὺ ἔλαβε τὴν ἄφεσιν διὰ τὸ χρέος τῶν μυρίων ταλάντων, καὶ ποὺ ἐδέχθη τόσην δωρεὰν μόνον μὲ τὴν παράκλησίν του, ἐπειδὴ ἐζήτει ἑκατὸν δηνάρια ὀφειλόμενα εἰς αὐτὸν ἀπὸ τὸν σύνδουλόν του, ἤτοι, ἐπειδὴ ἐζητοῦσε νὰ τιμωρηθῇ αὐτὸς ποὺ τὸν ἠδίκησε, προεκάλεσε τὴν καταδίκην ἐναντίον τοῦ ἑαυτοῦ του ἐξ αἰτίας τοῦ πάθους ποὺ ἐπέδειξεν εἰς τὸν συνάνθρωπόν του· καὶ διὰ τίποτε ἄλλο, παρὰ μόνο δι' αὐτὸ παρεδόθη εἰς τοὺς βασανιστὰς καὶ ἐκακοποιήθη καὶ διετάσσετο νὰ ἐπιστρέψῃ τὰ μύρια τάλαντα. Δὲν ἔτυχε καμιᾶς συγγνώμης, οὔτε ἀπολογίας, ἀλλὰ ὑπέφερε φοβερὰ καὶ διετάχθη νὰ ἐπιστρέψῃ ὁλόκληρον τὸ χρέος, τὸ ὁποῖον προηγουμένως ἡ φιλανθρωπία τοῦ Θεοῦ τοῦ εἶχε χαρίσει. Διὰ τοῦτο λοιπόν, εἰπέ μου, εἶναι περιζήτητος ὁ πλοῦτος εἰς σέ, ἐπειδὴ σὲ ὁδηγεῖ εὔκολα εἰς τοιαύτην ἁμαρτίαν; Ἀκριβῶς λοιπὸν δι' αὐτὸν τὸν λόγον πρέπει νὰ τὸν ἀποστρέφεσαι ὡς ἐχθρὸν καὶ ἀντίπαλον καὶ γεμᾶτον ἀπὸ πολλοὺς φόνους.

Ἀλλὰ ἡ πτωχεία, λέγει, κάποιος, μᾶς κάνει νὰ δυσφοροῦμεν, καὶ πολλὰς φορὰς νὰ ἐκστομίζωμεν βλασφημίας καὶ νὰ ὑποφέρωμεν πράγματα δουλοπρεπῆ. Ὄχι ἡ πτωχεία, ἀλλ' ἡ μικροψυχία· καθόσον καὶ ὁ Λάζαρος ἦτο πτωχός, καὶ μάλιστα πολὺ πτωχός· καὶ μαζὶ μὲ τὴν πτωχείαν εἶχε καὶ ἀσθένειαν πικροτέραν ἀπὸ κάθε πτωχείαν, ἡ ὁποία ἔκανε καὶ αὐτὴν τὴν πτωχείαν βαρυτέραν καὶ μαζὶ μὲ τὴν ἀσθένειαν ἦτο ἔρημος προστασίας καὶ ἐστερεῖτο θεραπείας καὶ περιποιήσεως πράγματα ποὺ ἔκαναν τὴν πτωχείαν καὶ τὴν ἀσθένειαν πικροτέραν. Διότι τὸ κάθε ἕνα ἀπ' αὐτὰ καὶ μόνον του εἶναι ὀδυνηρόν, ὅταν δὲ δὲν ὑπάρχουν καὶ αὐτοὶ ποὺ θὰ τὸν περιποιηθοῦν, τὸ κακὸν γίνεται μεγαλύτερον, ἡ φλόγα φοβερωτέρα, ἡ ὀδύνη πικροτέρα, ὁ χειμὼν ἀγριώ-

μῶν, σφοδρότερον τὸ κλυδώνιον, φλογωδεστέρα ἡ κάμινος. Εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ ἕτερον τούτοις τέταρτον προσῆν, ἡ τοῦ πλουτοῦντος ἐκ γειτόνων οἰκοῦντος ἄδεια καὶ τρυφή. Εἰ δὲ βούλει τι καὶ πέμπτον ἄλλο εὑρεῖν, ὑπέκκαυμα τῆς φλογός, καὶ τοῦτο ὄψει σαφῶς αὐτῷ περικείμενον. Οὐ γὰρ δὴ μόνον ἐτρύφα ὁ πλούσιος ἐκεῖνος, ἀλλὰ καὶ δεύτερον καὶ τρίτον, μᾶλλον δὲ καὶ πλεονάκις τῆς ἡμέρας αὐτὸν ὁρῶν· παρὰ γὰρ τὴν εἴσοδον ἔρριπτο, θέατρον χαλεπὸν ἐλεεινῆς τραγῳδίας ὤν, καὶ τῇ ὄψει μόνον καὶ λιθίνην ἱκανὸς καταμαλάξαι ψυχήν· καὶ ὅμως οὐδὲ τοῦτο ἐπεσπάσατο τὸν ἀπάνθρωπον ἐκεῖνον εἰς τὴν τῆς πενίας ἐκείνης ἀντίληψιν· ἀλλ' ὁ μὲν συβαριτικὴν παρετίθετο τράπεζαν, καὶ κρατῆρας εἶχεν ἐστεμμένους, καὶ ἄκρατον ἁπλῶς ἐκχεόμενον, καὶ στρατόπεδα μαγείρων λαμπρά, καὶ παρασίτους καὶ κόλακας ἅμα πρωΐ, καὶ χοροὺς ᾀδόντων, οἰνοχοούντων, γελωτοποιούντων· καὶ πᾶν εἶδος ἐπινοῶν ἀσωτίας, καὶ μεθύων καὶ κραιπαλῶν, καὶ στολῇ καὶ τραπέζῃ, καὶ ἑτέροις πλείοσι τρυφῶν ἅπαντα διετέλει τὸν χρόνον. Τοῦτον δὲ λιμῷ χαλεπῷ καὶ ἀρρωστίᾳ πικροτάτῃ, καὶ πολιορκίᾳ τοσούτων ἑλκῶν, καὶ ἐρημίᾳ, καὶ τοῖς ἐκ τούτων κακοῖς ὁρῶν καθ' ἑκάστην κατατεινόμενον τὴν ἡμέραν, οὐδὲ εἰς νοῦν ποτε ἐβάλλετο· ἀλλ' οἱ μὲν παράσιτοι, καὶ οἱ κόλακες καὶ ὑπὲρ τὴν χρείαν διερρήγνυντο· ὁ δὲ πένης, καὶ οὕτω πένης, καὶ ἐν τοσούτοις κείμενος τοῖς κακοῖς, οὐδὲ ψιχίων ἐκ τῆς τραπέζης ἀπήλαυεν ἐκείνης, καὶ ταῦτα σφόδρα ἐπιθυμῶν. Καὶ ὅμως οὐδὲν αὐτὸν τούτων παρέβλαψεν, οὐ ῥῆμα πικρὸν ἐξέβαλεν, οὐ βλάσφημον ἐφθέγξατο λόγον· ἀλλ' ὥσπερ χρυσίον τῇ σφοδροτέρᾳ πυρώσει μειζόνως καθαιρόμενον λαμπρύνεται, οὕτω δὴ καὶ ἐκεῖνος ὑπὸ τῶν παθημάτων τούτων ἐνοχλούμενος, πάντων ὑψηλότερος ἦν καὶ τῶν παθῶν, καὶ αὐτῶν τῶν ἐντεῦθεν πολλοῖς τικτομένων θορύβων. Εἰ γὰρ ἀ-

13. Ἡ Σύβαρις ἦτο ἀρχαία ἑλληνικὴ ἀποικία εἰς τὴν Κάτω Ἰταλίαν. Ἦτο πλουσιωτάτη λόγῳ τοῦ διαμετακομιστικοῦ της ἐμπορίου. Οἱ κάτοικοι τῆς πόλεως αὐτῆς κατέστησαν περιβόητοι διὰ τὰ συμπόσια, τὰς ἡδονὰς καὶ τὰς ἀπολαύσεις.

τερος, ἡ τρικυμία σφοδροτέρα, ἡ κάμινος φλογωδεστέρα. Καὶ ἂν ἤθελε κάποιος νὰ ἐξετάσῃ μὲ προσοχήν, μαζὶ μὲ αὐτὰ ὑπῆρχε καὶ ἕνα ἄλλο τέταρτον κακόν, ἡ ἀφθονία καὶ ἡ καλοζωία τοῦ πλουσίου γείτονός του. Καὶ ἂν θέλῃς νὰ εὕρωμεν καὶ κάποιο ἄλλο πέμπτον κακόν, τὸ ὁποῖον τοῦ ὑπέκαιε τὴν φλόγα, καὶ τοῦτο θὰ τὸ ἰδῇς καλῶς εἰς αὐτόν. Διότι ὄχι μόνον ἔζη τρυφηλῶς ὁ πλούσιος ἐκεῖνος, ἀλλὰ καὶ διὰ δευτέραν καὶ τρίτην φορὰν καὶ ἀκόμη πολλὰς φορὰς τὴν ἡμέραν τὸν ἔβλεπε νὰ ζῇ μὲ πολυτέλειαν· διότι ἔκειτο εἰς τὴν εἴσοδόν του, φοβερόν θέαμα ἐλεεινῆς τραγωδίας, ποὺ ἠμποροῦσε νὰ κατασυγκινήσῃ καὶ πέτρινον ψυχὴν μόνον ποὺ θὰ τὸν ἔβλεπε· καὶ ὅμως οὔτε αὐτὸ ἔκαμε τὸν ἀπάνθρωπον ἐκεῖνον εἰς τὸ νὰ βοηθήσῃ τὴν πτωχείαν ἐκείνην· ἀλλὰ ἐκεῖνος μὲν παρέθετε συβαριτικὴν τράπεζαν[13], καὶ εἶχε πλήρη τὰ ποτήρια, καὶ οἶνον ποὺ ἐχύνετο ἄφθονος, καὶ λαμπρὰ στρατόπεδα μαγείρων καὶ συντρόφους καὶ κόλακας τὸ πρωί, καὶ παρέας ἀπὸ τραγουδιστάς, κεραστάς, γελωτοποιούς· καὶ ἐπερνοῦσε τὴν ζωήν του ἀναζητῶν κάθε εἶδος ἀσωτίας, καὶ εἰς τὴν μέθην καὶ τὴν κραιπάλην, καὶ εἰς τὴν ἐνδυμασίαν καὶ εἰς τὰ φαγοπότια καὶ εἰς ἄλλας πολλὰς ἀπολαύσεις. Αὐτὸν δέ, ἐνῷ τὸν ἔβλεπε καθημερινῶς νὰ ὑποφέρῃ ἀπὸ ἀγρίαν πεῖναν καὶ ἀσθένειαν πικροτάτην, νὰ βασανίζεται ἀπὸ τόσας πληγάς, νὰ εἶναι ἐντελῶς ἀπομονωμένος καὶ νὰ ἔχῃ ὅλα τὰ βάσανα τὰ ὁποῖα φέρνουν αὐτὰ ποὺ ἀνέφερα, οὐδέποτε τὸν ἐσκέπτετο· καὶ ἐνῷ οἱ περὶ αὐτὸν παράσιτοι καὶ οἱ κόλακες ἔτρωγαν πέραν τοῦ δέοντος, ὁ πτωχός, ὁ τόσον πτωχός, καὶ ὁ εὑρισκόμενος εἰς τόσα κακά, οὔτε ψύχουλα ἀπελάμβανεν ἀπὸ τὸ τραπέζι ἐκεῖνο, ἂν καὶ τὰ ἐπιθυμοῦσε τόσον πολύ. Καὶ ὅμως τίποτε ἀπ' ὅλα αὐτὰ δὲν τὸν ἔβλαψε, δὲν εἶπε λέξιν πικράν, δὲν ἐξεστόμισε λόγον βλάσφημον· ἀλλ' ὅπως ὁ χρυσὸς εἰς τὴν πλέον δυνατὴν φωτιὰν καθαρίζεται καὶ γίνεται περισσότερον λαμπρός, ἔτσι ἀκριβῶς καὶ ἐκεῖνος ἐνοχλούμενος ὑπὸ τῶν παθημάτων ἐκείνων ποὺ ἦτο ἀνώτερος ἀπὸ ὅλα, ἀκόμα καὶ ἀπὸ τὴν ταραχὴν ποὺ προξενεῖται εἰς τοὺς πολλοὺς ἐξ αἰτίας αὐτῆς τῆς καταστάσεώς του. Διότι ἂν

πλῶς πένητες πλουσίους ὁρῶντες τήκονται τῷ φθόνῳ, καὶ κατατείνονται τῇ βασκανίᾳ, καὶ τὸν βίον ἀβίωτον νομίζουσιν εἶναι, καὶ ταῦτα τῆς ἀναγκαίας εὐποροῦντες τροφῆς, καὶ θεραπεύοντας ἔχοντες· ὁ πένης οὗτος ὡς οὐδεὶς ἕτερος πένης ὤν, καὶ οὐχὶ πένης μόνον, ἀλλὰ καὶ ἀσθενής, καὶ μηδένα ἔχων τὸν προστησόμενον καὶ παρακαλέσοντα, ἀλλ' ἐν μέσῃ τῇ πόλει καθάπερ ἐν ἐσχάτῃ κείμενος ἐρημίᾳ, καὶ λιμῷ τηκόμενος πικροτάτῳ, καὶ πάντα ὁρῶν ἐκείνῳ καθάπερ ἐκ πηγῶν ἐπιρρέοντα, καὶ ἀνθρωπίνης μὲν οὐδεμιᾶς ἀπολαύων παραμυθίας, ταῖς δὲ τῶν κυνῶν γλώσσαις προκείμενος τράπεζα διηνεκὴς (οὕτω γὰρ ἦν τὸ σῶμα παρειμένος καὶ διαλελυμένος, ὡς μηδὲ ἐκείνους ἀποσοβεῖν δύνασθαι), τί οὐκ ἂν ἔπαθεν, εἰ μὴ σφόδρα γενναῖος καὶ φιλόσοφος ἦν; Ὁρᾷς ὅτι ὁ ἑαυτὸν μὴ ἀδικῶν, κἂν παρὰ πάντων ἀδικῆται, οὐδὲν πάσχει δεινόν; πάλιν γὰρ τὸν αὐτὸν ἀναλήψομαι λόγον.

11. Τί γὰρ ἡ ἀρρωστία; τί δὲ ἡ ἐρημία τῶν προστησομένων; τί δὲ ἡ ἔφοδος τῶν κυνῶν; τί δὲ τὸ γειτόνημα τοῦ πλουσίου τὸ πονηρόν; τί δὲ ἡ πολλὴ χλιδὴ καὶ ὑπερηφανία, καὶ ἡ ἀπόνοια ἐκείνου τὸν ἀθλητὴν τοῦτον παρέβλαψεν; ἢ μαλακώτερον πρὸς τὰ ὑπὲρ τῆς ἀρετῆς ἐποίησε σκάμματα; τί δὲ αὐτοῦ τὴν εὐτονίαν ἐλυμήνατο; Οὐδὲν οὐδαμοῦ, ἀλλὰ καὶ μᾶλλον αὐτὸν ἐπέρρωσε, καὶ μυρίων αὐτῷ στεφάνων ὑπόθεσις γέγονε, καὶ προσθήκη βραβείων, καὶ πλεονασμὸς ἀντιδόσεως, καὶ μειζόνων ἀμοιβῶν ὑπόθεσις, τῶν δεινῶν τὸ πλῆθος ἐκεῖνο, καὶ ἡ τοῦ πλουτοῦντος ὠμότης. Οὐ γὰρ δὴ διὰ τὴν πενίαν ἐστεφανοῦτο μόνον, οὐδὲ διὰ τὸν λιμόν, οὐδὲ διὰ τὰ ἕλκη, οὐδὲ διὰ τὰς γλώσσας τῶν κυνῶν· ἀλλ' ὅτι τοιοῦτον γείτονα ἔχων, καὶ καθ' ἑκάστην ὁρώμενος ὑπ' αὐτοῦ τὴν ἡμέραν, καὶ ὑπερορώμενος διηνεκῶς τοῦτον ἤνεγκε γενναίως τὸν πειρασμόν, καὶ μετὰ πολλῆς τῆς καρτερίας, καὶ τῇ πενίᾳ καὶ τῇ ἀρρωστίᾳ, καὶ τῇ ἐρημίᾳ, οὐ μικράν, ἀλλὰ σφόδρα εὐτονωτάτην συνεισφέροντα τὴν φλόγα.

ἁπλῶς οἱ πτωχοὶ ὅταν βλέπουν τοὺς πλουσίους, λυώνουν ἀπὸ τὸν φθόνον καὶ βασανίζωνται ἀπὸ τὴν ζήλειαν καὶ θεωροῦν τὸν βίον των ἀβίωτον, καὶ τοῦτο ἐνῷ διαθέτουν ἐπαρκῆ τὰ ἀναγκαῖα τρόφιμα καὶ ἔχουν θεράποντας, ὁ πτωχὸς αὐτός, ποὺ ἦτο πτωχότερος ὅλων, καὶ ὄχι μόνον πτωχὸς ἀλλὰ καὶ ἀσθενής, καὶ δὲν εἶχε κανένα προστάτην καὶ παρήγορον, ἀλλ᾽ ἔκειτο εἰς τὸ μέσον τῆς πόλεως ὡς εἰς ἐσχάτην ἐρημίαν καὶ ἔλυωνεν ἀπὸ ἄγρια πεῖνα, καὶ ἔβλεπεν ὅτι ὅλα τὰ ἀγαθὰ ἔτρεχαν εἰς ἐκεῖνον ἀφθονώτατα σὰν ἀπὸ πηγάς, καὶ δὲν ἀπελάμβανε καμμίαν ἀνθρωπίνην παρηγορίαν, εἰς δὲ τὰς γλώσσας τῶν σκύλων ἦτο ἀφημένος ὡσὰν καθημερινὴ τράπεζα (διότι τόσον ἀδύνατον καὶ παραλυμένον ἦτο τὸ σῶμα του, ὥστε νὰ μὴ ἠμπορῇ νὰ διώξῃ οὔτε ἐκείνους), τί δὲν θὰ ἔπασχεν ἂν δὲν ἦτο τόσον γενναῖος καὶ πιστός; Βλέπεις λοιπὸν ὅτι ὅποιος δὲν ἀδικεῖ τὸν ἑαυτόν του, καὶ ἂν ἀκόμη ἀδικῆται ἀπὸ ὅλους, δὲν πάσχει κανένα κακόν; διότι θὰ ἐπαναλάβω πάλιν τὸν ἴδιον λόγον.

11. Διότι τί ἐπροξένησε ἡ ἀσθένεια εἰς τὸν πτωχὸν Λάζαρον; Τί ἡ ἔλλειψις τῶν προστατῶν; Τί ἡ ἔφοδος τῶν σκύλων; Τί ἡ γειτονεία του πρὸς τὸν κακὸν πλούσιον; Καὶ εἰς τί ἐζημίωσε τὸν ἀθλητὴν τοῦτον ἡ μεγάλη πολυτέλεια καὶ ὑπερηφάνεια καὶ ἡ ἠθικὴ φαυλότης ἐκείνου; Μήπως τὸν κατέστησεν ἀσθενέστερον διὰ τοὺς ὑπὲρ τῆς ἀρετῆς ἀγῶνας; Καὶ τί ἔβλαψε τὴν ψυχικήν του δύναμιν; Πουθενὰ τίποτε· μάλιστα δὲ τὰ τόσα πολλὰ δεινὰ καὶ ἡ σκληρότης τοῦ πλουσίου ἐκείνου τὸν ἐδυνάμωσαν περισσότερον καὶ ἔγιναν ἀφορμὴ εἰς αὐτὸν δι᾽ ἀναριθμήτους στεφάνους, καὶ προσέθεσαν εἰς αὐτὸν βραβεῖα καὶ αὔξησιν μισθοῦ καὶ αἰτίαν διὰ μεγαλυτέρας ἀμοιβάς. Διότι δὲν ἐστεφανώνετο μόνον διὰ τὴν πτωχείαν του, οὔτε διὰ τὴν πεῖναν, οὔτε διὰ τὰς πληγάς, οὔτε διὰ τὰς γλώσσας τῶν σκύλων· ἀλλὰ διὰ τὸ ὅτι ἐνῷ εἶχε τοιοῦτον γείτονα, καὶ ἐνῷ κάθε ἡμέραν ἐβλέπετο ἀπὸ αὐτόν, καὶ περιεφρονεῖτο διαρκῶς, μὲ γενναιότητα καὶ μὲ πολλὴν καρτερίαν ὑπέμεινε τὸν πειρασμὸν τοῦτον, ὁ ὁποῖος ὄχι ὀλίγον, ἀλλὰ πάρα πολὺ ἔκαιε τὴν πενίαν του καὶ τὴν ἀσθένειάν του καὶ τὴν ἐγκατάλειψίν του.

Τί δὲ ὁ μακάριος Παῦλος, εἰπέ μοι; οὐδὲν γὰρ κωλύει πάλιν ἐπιμνησθῆναι τοῦ ἀνδρός. Οὐχὶ μυρίας ἐδέξατο πειρασμῶν νιφάδας; Τί οὖν ἐντεῦθεν ἐβλάβη; Οὐκ ἐντεῦθεν μὲν οὖν καὶ μειζόνως ἐστεφανοῦτο, ὅτι ἐλίμωττεν, ὅτι κρυμῷ καὶ γυμνότητι κατετήκετο, ὅτι μάστιξι πολλάκις κατεξαίνετο, ὅτι λίθοις ἐβάλλετο, ὅτι κατεποντίζετο; Ἀλλ' ἐκεῖνος Παῦλος ἦν, φησί, καὶ κλητὸς τοῦ Χριστοῦ. Καίτοι καὶ Ἰούδας εἷς τῶν δώδεκα ἦν, καὶ κλητὸς καὶ αὐτὸς τοῦ Χριστοῦ· ἀλλ' οὔτε τὸ εἶναι τῶν δώδεκα, οὔτε ἡ κλῆσις αὐτὸν ὤνησεν, ἐπειδὴ γνώμην οὐκ εἶχε πρὸς ἀρετὴν παρεσκευασμένην. Ἀλλ' ὁ μὲν Παῦλος καὶ λιμῷ παλαίων, καὶ τῆς ἀναγκαίας ἀπορῶν τροφῆς, καὶ τοσαῦτα καθ' ἑκάστην πάσχων τὴν ἡμέραν, μετὰ πολλῆς τῆς προθυμίας τὴν εἰς οὐρανὸν φέρουσαν ἔτρεχεν ὁδόν· ἐκεῖνος δὲ καὶ πρὸ τούτου κληθείς, καὶ τῶν αὐτῶν ἀπολαύσας ὧνπερ καὶ αὐτός, καὶ μυηθεὶς τὴν ἀνωτάτω φιλοσοφίαν, καὶ τραπέζης μετασχὼν ἱερᾶς καὶ τῶν φρικωδεστάτων ἐκείνων δείπνων, καὶ χάριν λαβὼν τοσαύτην ὡς καὶ νεκροὺς ἐγείρειν, καὶ λεπροὺς καθαίρειν, καὶ δαίμονας ἐλαύνειν, καὶ τοὺς περὶ ἀκτημοσύνης πολλάκις ἀκούσας λόγους, καὶ αὐτῷ τοσοῦτον χρόνον συγγενόμενος τῷ Χριστῷ, καὶ τῶν πενήτων τὰ χρήματα πιστευθείς, ὥστε τοῦ πάθους ἐκεῖθεν ἔχει παραμυθίαν (καὶ γὰρ κλέπτης ἦν), οὐδὲ οὕτως ἐγένετο βελτίων, καίτοι τοσαύτης συγκαταβάσεως ἀπολαύσας. Ἐπειδὴ γὰρ ᾔδει ὁ Χριστός, ὅτι φιλάργυρος ἦν, καὶ διὰ χρημάτων ἔρωτα ἔμελλεν ἀπόλλυσθαι, οὐ μόνον αὐτὸν οὐκ ἀπῄτησε τούτου δίκας τότε, ἀλλ' ὥστε αὐτοῦ καταλεᾶναι τὸ πάθος, καὶ τὰ χρήματα αὐτῷ τῶν πενήτων ἐπίστευσεν, ἵν' ἔχων ὅθεν κορέσῃ τὴν φιλοχρηματίαν, μὴ καταπέσῃ εἰς τὸ φρικῶδες βάραθρον ἐκεῖνο, ἐλάττονι κακῷ τὸ μεῖζον προαναστέλλων.

Καὶ τί ἔπαθεν ὁ μακάριος Παῦλος, εἰπέ μου; Τίποτε δὲν μὲ ἐμποδίζει νὰ ξαναaναφέρω τὸν ἄνδρα. Μήπως δὲν ἐδέχθη ἀδιάκοπον βροχὴν ἀπὸ δοκιμασίας; Εἰς τί λοιπὸν ἐβλάβη ἐκ τούτου; Μήπως δὲν ἐστεφανώνετο πολὺ περισσότερον ἐκ τούτων, ἐκ τοῦ ὅτι ἐλιμοκτόνει, ἐκ τοῦ ὅτι ὑπέφερεν ἀπὸ τὸ κρύο καὶ τὴν γυμνότητα, ἐκ τοῦ ὅτι πολλὰς φορὰς ἐπληγώνετο μὲ μαστίγια, ἐκ τοῦ ὅτι ἐλιθοβολεῖτο, ἐκ τοῦ ὅτι ἐναυάγει; Ἀλλ' ἐκεῖνος ἦτο Παῦλος, λέγει κάποιος, καὶ ἐκλεκτὸς τοῦ Χριστοῦ. Καὶ ὅμως καὶ ὁ Ἰούδας ἦτο εἷς τῶν δώδεκα, καὶ ἐκλεκτὸς καὶ αὐτὸς τοῦ Χριστοῦ· ἀλλ' οὔτε τὸ ὅτι ἦτο εἷς τῶν δώδεκα, οὔτε ἡ κλῆσις τὸν ὠφέλησεν, ἐπειδὴ δὲν εἶχε διάθεσιν ρέπουσαν πρὸς τὴν ἀρετήν. Ἀλλ' ὁ μὲν Παῦλος, ἂν καὶ ἐπάλαιε πρὸς τὴν πεῖναν, ἂν καὶ ἐστερεῖτο τῆς ἀναγκαίας τροφῆς, ἂν καὶ ἔπασχε τόσα κάθε ἡμέραν, μὲ πολλὴν προθυμίαν ἔτρεχε τὴν ὁδὸν ἡ ὁποία ὡδήγει εἰς τὸν οὐρανόν. Ἐκεῖνος δέ, ἂν καὶ πρὸ αὐτοῦ ἐκλήθη, ἂν καὶ ἀπήλαυσε τὰ αὐτὰ μὲ ἐκεῖνον, ἂν καὶ ἐμυήθη εἰς τὴν ἀνωτάτην φιλοσοφίαν, ἂν καὶ μετέσχεν εἰς τράπεζαν ἱερὰν καὶ εἰς τὰ φοβερώτατα ἐκεῖνα δεῖπνα καὶ ἔλαβε τόσην χάριν, ὥστε καὶ νεκροὺς νὰ ἐγείρῃ καὶ λεπροὺς νὰ καθαρίζῃ καὶ δαίμονας νὰ ἐκδιώκῃ καὶ ἤκουσε πολλὰς φορὰς τοὺς περὶ ἀκτημοσύνης λόγους, καὶ ἐπὶ τόσον χρόνον συνανεστράφη μὲ τὸν ἴδιον τὸν Χριστόν, καὶ ἔγινε ταμίας τῶν χρημάτων τῶν πτωχῶν, διὰ νὰ ἔχῃ μὲ αὐτὸ παρηγορίαν εἰς τὸ πάθος του (διότι ἦτο κλέπτης), οὔτε ὕστερα ἀπὸ ὅλα αὐτὰ ἐβελτιώθη, ἂν καὶ ἀπήλαυσε τόσην ἐπιείκειαν ἀπὸ τὸν Σωτῆρα. Ἐπειδὴ δηλαδὴ ἐγνώριζεν ὁ Χριστὸς ὅτι ἦταν φιλάργυρος καὶ θὰ κατεστρέφετο ἐξ αἰτίας τῆς ὑπερβολικῆς του ἀγάπης πρὸς τὰ χρήματα, ὄχι μόνον δὲν τὸν ἐτιμώρησε τότε διὰ τοῦτο, ἀλλὰ διὰ νὰ καταπραΰνῃ τὸ πάθος του, ἐνεπιστεύθη εἰς αὐτὸν καὶ τὰ χρήματα τῶν πτωχῶν διὰ νὰ ἠμπορέσῃ νὰ χορτάσῃ τὴν φιλοχρηματίαν του καὶ νὰ μὴ καταπέσῃ εἰς τὸ φρικτὸν ἐκεῖνο βάραθρον, προλαμβάνων ἔτσι διὰ τοῦ μικροτέρου κακοῦ τὸ μεγαλύτερον.

12. Οὕτω πανταχοῦ τὸν μὲν ἑαυτὸν μὴ βουλόμενον ἀδικεῖν οὐδεὶς ἕτερος ἀδικῆσαι δυνήσεται· τὸν δὲ οὐκ ἐθέλοντα νήφειν, καὶ τὰ παρ' ἑαυτοῦ συνεισφέρειν οἴκοθεν, οὐδεὶς οὐδέποτε ὠφελήσει. Διὰ τοῦτό σοι καὶ ἡ θαυμασία τῶν Γραφῶν ἱστορία, καθάπερ ἐν εἰκόνι τινὶ ὑψηλῇ καὶ μεγάλῃ καὶ πολὺ τὸ εὖρος ἐχούσῃ, τῶν παλαιῶν ἀνεγράψατο τοὺς βίους, ἀπὸ τοῦ Ἀδὰμ μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας ἐκτείνασα τὴν διήγησιν· καὶ δείκνυσί σοι καὶ τοὺς ὑποσκελιζομένους, καὶ τοὺς στεφανουμένους, ἵνα σε διὰ πάντων παιδεύσῃ, ὅτι τὸν παρ' ἑαυτοῦ μὴ ἀδικούμενον οὐδεὶς ἕτερος ἀδικῆσαι δυνήσεται, κἂν πᾶσα ἡ οἰκουμένη πρὸς αὐτὸν χαλεπὸν ἀναρριπίζῃ πόλεμον. Οὔτε γὰρ δυσκολία πραγμάτων, οὔτε καιρῶν μεταβολαί, οὔτε δυναστευόντων ἐπήρειαι, οὔτε ἐπιβουλῶν νιφάδες, οὔτε συμφορῶν ὄχλος, οὔτε πάντων τῶν ἐν ἀνθρώποις κακῶν συλλεγόμενος ὁ φορυτὸς παρασαλεῦσαί τι κἂν μικρὸν δυνήσεται τὸν γενναῖον, καὶ νήφοντα, καὶ ἐγρηγορότα· ὥσπερ αὖ τὸν ῥᾴθυμον, καὶ ἀναπεπτωκότα, καὶ οἴκοθεν προδεδομένον, κἂν μυρίαι προσάγωνται θεραπεῖαι, οὐδὲν ἀμείνω ποιοῦσι. Τοῦτο γοῦν καὶ ἡ παραβολὴ ἡ περὶ τῶν ἀνθρώπων ἐκείνων παρεδήλωσεν ἡμῖν, ὧν ὁ μὲν ἐπὶ τῆς πέτρας, ὁ δὲ ἐπὶ τῆς ψάμμου τὴν οἰκίαν ᾠκοδόμησε τὴν ἑαυτοῦ· οὐχ ἵνα ψάμμον καὶ πέτραν νοήσωμεν, οὐδ' ἵνα οἰκοδομὴν λίθων, καὶ ὄροφον, οὐδ' ἵνα ποταμούς, καὶ ὑετόν, καὶ πνεύματα ἄγρια προσπίπτοντα ταῖς οἰκοδομαῖς, ἀλλ' ἵνα ἀρετὴν καὶ κακίαν ἐκ τούτων ἐκλάβωμεν, καὶ ἴδωμεν κἀντεῦθεν ὅτι τὸν ἑαυτὸν μὴ ἀδικοῦντα οὐδεὶς ἀδικεῖ. Οὐκοῦν οὔτε ὁ ὑετὸς καίτοι ῥαγδαίως φερόμενος, οὔτε οἱ ποταμοὶ πολλῷ ῥοθίῳ προσπίπτοντες, οὔτε τὰ πνεύματα τὰ ἄγρια μετὰ σφοδρᾶς τῆς ῥύμης προσβάλλοντα παρεσάλευσάν τι τὴν οἰκίαν ἐκείνην· ἀλλ' ἔμεινε καὶ ἀχείρωτος, καὶ ἀκίνητος· ἵνα μάθῃς, ὅτι τὸν ἑαυτὸν οὐ προδιδόντα οὐδεὶς

12. Ἔτσι λοιπὸν εἰς ὅλας τὰς περιπτώσεις ἐκεῖνον ὁ ὁποῖος δὲν θέλει νὰ ἀδικῇ τὸν ἑαυτόν του, κανεὶς ἄλλος δὲν θὰ ἠμπορέσῃ νὰ τὸν ἀδικήσῃ· ἐκεῖνον δὲ ὁ ὁποῖος δὲν θέλει νὰ προσέχῃ καὶ νὰ προσφέρῃ μόνος του ὅ,τι ἠμπορεῖ, κανεὶς ποτὲ δὲν θὰ τὸν ὠφελήσῃ. Διὰ τοῦτο πρὸς χάριν σου καὶ ἡ θαυμασία ἱστορία τῶν Γραφῶν, ὡσὰν εἰς κάποιαν εἰκόνα ὑψηλὴν καὶ μεγάλην καὶ πολὺ πλατεῖαν, ἀνέγραψε τοὺς βίους τῶν παλαιῶν, καὶ ἐπεξέτεινε τὴν διήγησιν ἀπὸ τοῦ Ἀδὰμ μέχρι τῆς παρουσίας τοῦ Χριστοῦ· καὶ σοῦ δεικνύει τοὺς νικημένους καὶ τοὺς στεφανωμένους, διὰ νὰ σὲ διδάξῃ δι' ὅλων αὐτῶν, ὅτι ἐκεῖνον ὁ ὁποῖος δὲν ἀδικεῖται ἀπὸ τὸν ἑαυτόν του, κανεὶς ἄλλος δὲν θὰ ἠμπορέσῃ νὰ ἀδικήσῃ, καὶ ἂν ἀκόμη ὁλόκληρος ἡ οἰκουμένη ἐγείρῃ ἐναντίον του σκληρὸν πόλεμον. Διότι οὔτε δυσκολία πραγμάτων, οὔτε ἀλλαγαὶ περιστάσεων, οὔτε ἀρχόντων ἀπειλαί, οὔτε βροχαὶ ἀπὸ κατατρεγμούς, οὔτε πλῆθος ἀπὸ συμφοράς, οὔτε ὅλος ὁ συρφετὸς ὅλων τῶν ἀνθρωπίνων κακῶν ἂν συγκεντρωθῇ, ἠμπορεῖ νὰ μετακινήσῃ καθόλου τὸν γενναῖον, τὸν πρόθυμον, τὸν προσεκτικόν· ὅπως πάλιν τὸν ράθυμον καὶ ἀμελῆ καὶ προδομένον ἀπὸ τὸν ἴδιον τὸν ἑαυτόν του, καὶ ἂν ἀκόμα τὸν περιβάλλουν ἀναρίθμητοι φροντίδες του, δὲν τὸν κάνουν καθόλου καλύτερον. Αὐτὸ μᾶς ἐφανέρωσε καὶ ἡ παραβολὴ περὶ τῶν ἀνθρώπων ἐκείνων ἐκ τῶν ὁποίων ὁ μὲν ἔκτισε τὴν οἰκίαν του ἐπὶ τῆς πέτρας, ὁ δὲ ἐπὶ τῆς ἄμμου· καὶ τοῦτο ἐλέχθη ὄχι διὰ νὰ ἐννοήσωμεν ἄμμον καὶ πέτραν, οὔτε οἰκοδομὴν λίθων, καὶ ὀροφήν, οὔτε ποταμοὺς καὶ βροχὴν καὶ ἀνέμους σφοδροὺς ποὺ προσβάλλουν τὰς οἰκοδομάς, ἀλλὰ διὰ νὰ ἐκλάβωμεν αὐτὰ ὡς ἀναφερόμενα εἰς τὴν ἀρετὴν καὶ τὴν κακίαν, καὶ νὰ ἴδωμεν ἔτσι, ὅτι ἐκεῖνον ὁ ὁποῖος δὲν ἀδικεῖ τὸν ἑαυτόν του, δὲν τὸν ἀδικεῖ κανείς. Λοιπὸν οὔτε ἡ βροχή, ἂν καὶ ἔπεσε ραγδαίως, οὔτε οἱ ποταμοὶ ποὺ προσέπιπτον μὲ πολλὴν ὁρμήν, οὔτε οἱ ἄγριοι ποὺ ἐκτύπησαν μὲ μεγάλην δύναμιν ἐσάλευσαν τὴν οἰκίαν ἐκείνην· ἀλλ' ἔμεινε καὶ ἀκατάβλητος καὶ ἀκίνητος· διὰ νὰ μάθῃς, ὅτι ἐκεῖνον ὁ ὁποῖος δὲν προδίδει τὸν ἑαυτόν του, οὐδεμία δοκιμασία δύναται νὰ βλά-

πειρασμὸς παρασαλεῦσαι δύναται. Ἡ δὲ τοῦ ἑτέρου κατεφέρετο ῥαδίως, οὐ διὰ τὴν τῶν πειρασμῶν ἐπιβολὴν (ἢ γὰρ ἂν καὶ ἡ ἑτέρα τὸ αὐτὸ ἔπαθεν), ἀλλὰ διὰ τὴν οἰκείαν ἄνοιαν· Οὐ γὰρ ἐπειδὴ ἄνεμος προσέπνευσεν, διὰ τοῦτο ἔπεσεν, ἀλλ' ἐπειδὴ ἐπὶ τῆς ψάμμου ἦν οἰκοδομηθεῖσα, τοῦτ' ἔστιν ἐπὶ ῥαθυμίας καὶ πονηρίας, τοῦτο πέπονθε. Καὶ γὰρ καὶ πρὶν ἢ τὸν χειμῶνα προσβαλεῖν ἐκεῖνον, ἀσθενής τε ἦν καὶ πρὸς τὸ πεσεῖν ἑτοίμη. Αἱ γὰρ τοιαῦται οἰκοδομαί, καὶ μηδενὸς ἐνοχλοῦντος, αὐτόματοι καταφέρονται, ὑποσυρομένης αὐταῖς τῆς κρηπῖδος καὶ πάντῃ διαρρεούσης. Καὶ καθάπερ αἱ μὲν ἀράχναι αὐτόματοι διασπῶνται, μηδενὸς αὐταῖς ἐνοχλοῦντος, ὁ δὲ ἀδάμας καὶ παιόμενος ἀδιάλυτος μένει· οὕτω δὴ καὶ οἱ μὴ ἑαυτοὺς ἀδικοῦντες, κἂν ὑπὸ μυρίων παίωνται, ἰσχυρότεροι γίνονται· οἱ δὲ ἑαυτοὺς προδιδόντες, κἂν μηδεὶς ὁ ἐνοχλῶν ᾖ, αὐτόματοι φέρονται, καὶ διαρρέουσι, καὶ ἀπόλλυνται. Ὥσπερ καὶ ὁ Ἰούδας, οὐ μόνον οὐδενὸς ἐνοχλήσαντος πειρασμοῦ τοιούτου, ἀλλὰ καὶ πολλῆς ἀπολαύσας τῆς θεραπείας, ἀπώλετο.

13. Βούλει σοι τοῦτον καὶ ἐπὶ δήμων ὁλοκλήρων δείξω διαλάμποντα τὸν λόγον; Πόσης ὁ Ἰουδαίων δῆμος ἀπήλαυσε προνοίας; Οὐ πᾶσα ἡ ὁρωμένη κτίσις πρὸς ὑπηρεσίαν αὐτῶν παρεσκευάζετο; καὶ καινός τις αὐτοῖς καὶ ξένος εἰσήγετο διαγωγῆς βίου τρόπος; Οὐδὲ γὰρ εἰς ἀγορὰν ἐνέβαλλον, καὶ οὕτω τῶν ὠνίων ἀπήλαυον οὐκ ἀργύριον καταθέντες· οὐδὲ αὔλακας ἔτεμνον, οὐδὲ ἄροτρον εἷλκον, οὐδὲ γῆν ἐσπάραττον, οὐδὲ σπέρματα κατέβαλλον, οὐδὲ ὑετῶν ἐδέοντο καὶ ἀνέμων καὶ τῶν τοῦ ἔτους ὡρῶν, οὐχ ἡλιακῆς ἀκτῖνος, οὐ σεληνιαίου δρόμου, οὐ φύσεως ἀέρος οὐκ ἄλλου τῶν τοιούτων οὐδενός· οὐχ ἅλωνα παρεσκεύαζον, οὐ καρπὸν ἔτριβον, οὐ πνευμάτων ἔχρῃζον πρὸς τὸ διακρῖναι τοὺς πυροὺς τῶν ἀχύρων, οὐ μύλην ἔστρεφον, οὐ κλίβανον ᾠκοδό-

ψῃ. Ἡ δὲ οἰκία τοῦ ἄλλου κατέρρεεν εὐκόλως, ὄχι βέβαια ἐξ αἰτίας τῆς προσβολῆς τῶν ἐναντίον της στοιχείων (διότι ἂν συνέβαινεν αὐτὸ ἐξ αἰτίας τούτου καὶ ἡ ἄλλη τὸ ἴδιον θὰ ὑφίστατο) ἀλλὰ ἐξ αἰτίας τῆς ἰδικῆς του ἀνοησίας. Διότι δὲν ἔπεσεν ἡ οἰκία ἐπειδὴ ἐφύσησεν ἄνεμος, ἀλλὰ ἐπειδὴ ἦτο κτισμένη ἐπάνω εἰς τὴν ἄμμον, δηλαδὴ ἐπὶ τῆς ραθυμίας καὶ τῆς πονηρίας. Διότι καὶ πρὶν νὰ ἔλθῃ καὶ νὰ τὴν πλήξῃ ἡ θύελλα ἐκείνη, δὲν ἦτο στερεὰ καὶ ἦτο ἕτοιμη νὰ πέσῃ. Διότι αἱ οἰκοδομαὶ αὐταὶ καὶ τίποτε ἂν δὲν τὰς ἐνοχλῇ, καταπίπτουν αὐτομάτως, ἐπειδὴ ὑποχωροῦν τὰ θεμέλιά τους καὶ φθείρονται ἀπὸ παντοῦ. Καὶ ὅπως αἱ μὲν ἀράχναι αὐτομάτως διασπῶνται, χωρὶς κανεὶς νὰ τὰς βλάπτῃ, τὸ δὲ διαμάντι καὶ ὅταν ἀκόμη κτυπιέται μένει ἀδιάλυτον, ἔτσι ἀκριβῶς καὶ ὅσοι δὲν ἀδικοῦν τοὺς ἑαυτούς των, καὶ ἂν προσβάλλωνται ἀπὸ μυρίους, γίνονται ἰσχυρότεροι· ὅσοι δὲ προδίδουν τοὺς ἑαυτούς των, καὶ ἂν δὲν τοὺς ἐνοχλῇ κανείς, μόνοι τους πίπτουν καὶ διαλύονται καὶ χάνονται. Ὅπως ἀκριβῶς καὶ ὁ Ἰούδας ἐχάθη, ὄχι μόνον χωρὶς νὰ τὸν ἐνοχλήσῃ κανεὶς πειρασμός, ἀλλὰ καὶ ἐνῷ ἀπήλαυε πολλὴν καλωσύνην.

13. Θέλεις νὰ σοῦ ἀποδείξω ὅτι αὐτὸ ἰσχύει καὶ ἐπὶ ὁλοκλήρων λαῶν; Πόσης προνοίας ἔτυχεν ὁ Ἰουδαϊκὸς λαός; Δὲν ἐχρησιμοποιεῖτο ὅλη ἡ ὁρατὴ κτίσις πρὸς ὑπηρεσίαν αὐτῶν; καὶ δὲν ἐδίδετο εἰς αὐτοὺς ἕνας νέος καὶ παράξενος τρόπος ζωῆς; Διότι, χωρὶς νὰ πηγαίνουν εἰς ἀγορὰν ἐλάμβανον ὅ,τι εἶχαν ἀνάγκην, χωρὶς νὰ δώσουν χρήματα· οὔτε αὐλάκια ἄνοιγαν, οὔτε τὸ ἄροτρον ἔσυρον, οὔτε τὴν γῆν ἔσκαπτον, οὔτε σπόρους ἔρριπταν, οὔτε εἶχαν ἀνάγκην βροχῶν καὶ ἀνέμων καὶ τῶν ἐποχῶν τοῦ ἔτους, οὔτε τῆς ἀκτῖνος τοῦ ἡλίου, οὔτε τῆς πορείας τῆς σελήνης, οὔτε τοῦ ἀέρος τῆς φύσεως, οὔτε κανένα ἄλλο ἀπὸ αὐτά· δὲν ἔκαναν ἁλώνι, οὔτε ἔτριβαν καρπόν, οὔτε εἶχαν ἀνάγκην ἀνέμου πρὸς χωρισμὸν τοῦ σίτου ἀπὸ τὰ ἄχυρα, οὔτε ἐγύριζαν χερόμυλον, οὔτε ἔκτιζαν φοῦρνον, οὔτε ἔφεραν μέσα εἰς τὸ σπίτι ξύλα καὶ φωτιάν, οὔτε ἐχρειάζοντο ἀρτοποιητικὴν τέχνην, οὔτε μετεχειρίζοντο δικέλλαν, οὔτε ἀκόνι-

μουν, οὐ ξύλα καὶ πῦρ εἰς τὴν οἰκίαν εἰσῆγον, οὐκ ἀρτοποιητικῆς ἐδέοντο τέχνης, οὐ μάκελλαν μετεχείριζον, οὐ δρεπάνην ἠκόνουν, οὐκ ἄλλης τινὸς ἐδέοντο τέχνης, ὑφαντικῆς λέγω καὶ οἰκοδομικῆς, καὶ τῆς τὰ ὑποδήματα παρεχούσης· ἀλλὰ πάντα ἦν αὐτοῖς ὁ τοῦ Θεοῦ λόγος. Καὶ ἐσχεδιασμένην εἶχον τράπεζαν, καὶ ἱδρώτων καὶ πόνων ἀπηλλαγμένην. Τοιαύτη γὰρ ἡ τοῦ μάννα φύσις· νεαρά τε καὶ πρόσφατος, καὶ οὐδαμοῦ παρέχουσα αὐτοῖς πράγματα, οὐδὲ κατατείνουσα πόνῳ. Καὶ τὰ ἱμάτια δὲ αὐτοῖς, καὶ τὰ ὑποδήματα, καὶ αὐτὴ ἡ τοῦ σώματος φύσις τῆς οἰκείας ἐπελανθάνετο ἀσθενείας· ἐν γὰρ χρόνῳ οὕτω μακρῷ οὔτε ἐκεῖνα ἐτρίβετο οὔτε οἱ πόδες αὐτῶν καίτοι τοσαῦτα βαδιζόντων ἐτυλώθησαν. Ἰατρῶν αὐτοῖς καὶ φαρμάκων, καὶ τῆς ἄλλης τῆς περὶ τὴν τοιαύτην τέχνην σπουδῆς, οὐδὲ μνήμη τις ἦν ἐν αὐτοῖς· οὕτω πᾶσα ἐκποδὼν ἀρρωστία ἦν. «Ἐξήγαγε γὰρ αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ», φησί· «καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν. Ἀλλ' ὥσπερ τὸν κόσμον τοῦτον ἀφέντες, καὶ πρὸς ἑτέραν βελτίονα μετοικισθέντες οἰκουμένην οὕτως ἤσθιον, οὕτως ἔπινον, καὶ οὔτε ἡ ἀκτὶς θερμοτέρα γινομένη τὰς κεφαλὰς ἔπληττε τὰς ἐκείνων· διετείχιζε γὰρ τὴν φλόγα νεφέλη πάντοθεν αἰωρουμένη, καὶ περιφορητὴ γινομένη στέγη τοῖς δήμοις ἅπασιν ἐκείνοις. Ἀλλ' οὔτε ἐν νυκτὶ λαμπάδος ἐδέοντο τῆς διαιρούσης τὸ σκότος, ἀλλ' ἦν αὐτοῖς ὁ στῦλος τοῦ πυρὸς πηγὴ φωτὸς ἀφάτου, δύο χρείας παρέχων τήν τε ἀπὸ τοῦ φαίνειν, τήν τε ἀπὸ τοῦ κατευθύνειν αὐτοῖς τὴν ἀποδημίαν. Οὐ γὰρ φωτοειδὴς μόνον ἦν, ἀλλὰ καὶ ὁδηγοῦ παντὸς ἀκριβέστερον ἐχειραγώγει κατὰ τὴν ἔρημον ἐκείνην τὸν ἄπειρον δῆμον ἐκεῖνον. Ἐβάδιζον δέ, οὐκ ἐπὶ γῆς μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς θαλάσσης, ὡς ἐπὶ γῆς· καὶ τῶν ὅρων τῆς φύσεως κατετόλμων, τὸ χαλεπὸν ἐκεῖνο πεζεύοντες πέλαγος ὡς διὰ πέτρας στερρᾶς καὶ ἀντιτύπου τινὸς ὁδοιποροῦντες· καὶ ὅτε μὲν αὐτοῖς ὑπεστόρεστο, γῆν ἐμιμεῖτο στερρὰν τὸ στοιχεῖον, καὶ πεδία ὕπτια, καὶ ἀρούρας· ὅτε δὲ τοὺς ἐχθροὺς ἀπέλαβε, τὰ θαλάττης κατειργάζετο·

14. Ψαλμ. 104, 37.

ζαν δρεπάνι, οὔτε εἶχαν ἀνάγκην ἀπὸ κάποιαν ἄλλην τέχνην, τὴν ὑφαντικήν, ἐννοῶ, καὶ τὴν οἰκοδομικὴν καὶ τὴν ὑποδηματοποιΐαν· ἀλλὰ τὸ πᾶν εἰς αὐτοὺς ἦταν ὁ λόγος τοῦ Θεοῦ. Καὶ εἶχαν τράπεζαν στρωμένην, χωρὶς ἱδρῶτας καὶ κόπους. Τέτοιο ἦταν τὸ μάννα· φρέσκο καὶ νωπὸ καὶ δὲν παρεῖχεν εἰς αὐτοὺς καμμίαν δυσκολίαν καὶ οὔτε ἐβασάνιζεν αὐτοὺς μὲ κόπον. Καὶ τὰ ἐνδύματά των, καὶ τὰ ὑποδήματα, καὶ τὰ ἴδια τὰ σώματά των ἐλησμόνησαν τὴν ἀσθένειάν των, διότι εἰς χρόνον τόσον μεγάλον οὔτε ἐκεῖνα ἐτρίβοντο, οὔτε τὰ πόδια των ἐσκλήρυναν παρὰ τὰς τόσας πορείας. Οὐδεμίαν ἐνθύμησιν εἶχον διʼ ἰατροὺς καὶ φάρμακα καὶ τὴν ἄλλην θεραπευτικὴν φροντίδα· τόσον ἔλειπεν ἀπὸ αὐτοὺς κάθε ἀσθένεια. «Διότι ἐξήγαγεν αὐτοὺς μὲ ἄργυρον καὶ χρυσόν», λέγει, «καὶ εἰς τὰς φυλάς των δὲν ὑπῆρχε κανεὶς ἀσθενής»[14]. Ἀλλὰ ὡσὰν νὰ εἶχον ἀφήσει τὸν κόσμον αὐτόν, καὶ νὰ εἶχον μετοικήσει εἰς ἄλλην καλυτέραν οἰκουμένην ἔτσι ἔτρωγον, ἔτσι ἔπινον καὶ οὔτε ἡ ἀκτίνα τοῦ ἡλίου ὅταν ἐγίνετο θερμοτέρα ἔκαιε τὰ κεφάλια τους, διότι ἠμπόδιζε τὴν φλόγα μία νεφέλη, ἡ ὁποία αἰωρεῖται ἐπάνω ἀπὸ αὐτοὺς καὶ ἐγίνετο κινουμένη στέγη διʼ ὅλον ἐκεῖνο τὸ πλῆθος. Ἀλλὰ οὔτε κατὰ τὴν διάρκειαν τῆς νυκτὸς εἶχον ἀνάγκην ἀπὸ λαμπάδα, ἡ ὁποία νὰ διαχωρίζῃ τὸ σκότος, ἀλλὰ εἶχον ἄσβεστον πηγὴν φωτὸς τὴν στήλην τοῦ πυρός, ἡ ὁποία ἐκάλυπτε δύο ἀνάγκας, καὶ τοὺς ἐφώτιζε καὶ τοὺς κατηύθυνεν εἰς τὴν πορείαν των. Διότι δὲν ἦταν μόνον φωτεινή, ἀλλὰ καὶ ἀπὸ κάθε ὁδηγὸν ἀκριβέστερον κατηύθυνεν εἰς τὴν ἔρημον ἐκείνην τὸ ἀναρίθμητον ἐκεῖνο πλῆθος. Καὶ ἐβάδιζαν ὄχι μόνον εἰς τὴν ξηράν, ἀλλὰ καὶ εἰς τὴν θάλασσαν, ὡς νὰ ἦτο ξηρά· καὶ περιεφρόνουν τὰς συνθήκας τῆς φύσεως, διέβαινον τὸ ἄγριον ἐκεῖνο πέλαγος, ὡσὰν νὰ ἐπερπατοῦσαν ἀνάμεσα ἀπὸ στερεὰν πέτραν καὶ ἀσφαλὲς ἔδαφος· καὶ ὅταν μὲν ὑπεβάσταζεν αὐτοὺς τὸ στοιχεῖον ἐκεῖνο ἦτο ὡσὰν γῆ στερεά, καὶ πεδιάδες ὁμαλαί, καὶ ἀγροί· ὅταν ὅμως ἐδέχετο τοὺς ἐχθρούς των, ἐνήργει ὡς

καὶ αὐτοῖς μὲν ἐγένετο ὄχημα, τοῖς δὲ πολεμοῦσιν αὐτοὺς τάφος· τοὺς μὲν μετ' εὐκολίας παραπέμπουσα, τοὺς δὲ μετὰ πολλῆς τῆς σφοδρότητος καταποντίζουσα. Καὶ ἡ ἄτακτος τῶν ὑδάτων ῥύμη, ἀνδρῶν λογικῶν καὶ συνετωτάτων καὶ εὐταξίαν καὶ ὑπακοὴν ἐπεδείκνυτο νῦν μὲν φύλακος, νῦν δὲ δημίου τάξιν ἐπέχουσα, καὶ ἐν ἡμέρᾳ μιᾷ τὰ ἐναντία ἀθρόον ἐπιδεικνυμένη. Τί ἄν τις εἴποι τὰς πέτρας, αἳ ποταμοὺς ἠφίεσαν ὑδάτων; τί δὲ τὰ νέφη τῶν ὀρνίθων, οἳ τῷ πλήθει τῶν σωμάτων τὴν γῆν ἀπέκρυψαν ἅπασαν; τί τὰ ἐν Αἰγύπτῳ θαύματα; τί τὰ ἐν ἐρήμῳ παράδοξα; τί τὰ τρόπαια καὶ τὰς νίκας τὰς ἀναιμωτὶ γινομένας; Ὡς γὰρ χορεύοντες, οὐχ ὡς πολεμοῦντες τοὺς ἀντιπίπτοντας ἐχειροῦντο. Καὶ τῶν μὲν οἰκείων δεσποτῶν χωρὶς ὅπλων ἐκράτησαν· τῶν δὲ μετὰ τὴν Αἴγυπτον μαχομένων αὐτοῖς, σαλπίζοντες καὶ ψάλλοντες, οὕτω περιεγένοντο· καὶ ἦν χορεία μᾶλλον ἢ πόλεμος τὰ γινόμενα, μυσταγωγία μᾶλλον ἢ μάχη. Καὶ γὰρ πάντα τὰ τεράστια ταῦτα οὐ διὰ τοῦτο ἐγένετο μόνον, ἵνα τὴν χρείαν αὐτοῖς πληρώσῃ, ἀλλ' ἵνα καὶ τὴν διδασκαλίαν, ἣν ἐνέθηκεν αὐτοῖς ὁ Μωϋσῆς, τῆς θεογνωσίας ἀκριβέστερον διατηρήσωσι· καὶ φωναὶ πανταχόθεν ἐφέροντο τὸν Δεσπότην ἀνακηρύττουσαι. Καὶ γὰρ ἡ θάλαττα ταῦτα ἐβόα, νῦν μὲν πεζευομένη, νῦν δὲ θάλαττα γινομένη· καὶ τὰ Νειλῷα νάματα ταύτην ἠφίει τὴν φωνὴν πρὸς αἵματος μεταβαλλόμενα φύσιν· καὶ οἱ βάτραχοι, καὶ τὸ τῶν ἀκρίδων στρατόπεδον ἐκεῖνο, καὶ ἡ κάμπη καὶ ἡ ἐρυσίβη ταῦτα διελέγετο τῷ δήμῳ παντί· καὶ τὰ ἐπὶ τῆς ἐρήμου τεράστια, τὸ μάννα, ὁ στῦλος, ἡ νεφέλη, ἡ ὀρτυγομήτρα, τὰ ἄλλα πάντα ἀντὶ βιβλίου τότε αὐτοῖς ἐγένετο καὶ γραμμάτων οὐδέποτε ἐξαλειφομένων, ἔναυλον καθ' ἑκάστην ἡμέραν παρεχόμενα αὐτοῖς τὴν μνήμην, καὶ ἐνηχοῦντα αὐτῶν τὴν διάνοιαν.

Ἀλλ' ὅμως μετὰ τοσαύτην καὶ τηλικαύτην πρόνοιαν, μετὰ τὰς εὐεργεσίας τὰς ἀφάτους ἐκείνας, μετὰ τὸ μέγεθος τῶν

θάλασσα· καὶ εἰς αὐτοὺς μὲν ἔγινεν ὄχημα, εἰς τοὺς ἀντιπάλους των ὅμως τάφος· τοὺς μὲν μετέφερε μὲ εὐκολίαν, τοὺς δὲ κατέπνιγε μὲ μεγάλην ἀγριότητα. Καὶ ἡ ἄτακτος ροὴ τῶν ὑδάτων, ἐδείκνυε τάξιν καὶ ὑπακοὴν ἀνθρώπων λογικῶν καὶ πολὺ φρονίμων, καὶ ἔκανεν ἄλλοτε μὲν τὸν προστάτην, ἄλλοτε δὲ τὸν δήμιον, καὶ εἰς μίαν καὶ τὴν αὐτὴν ἡμέραν ἐφανέρωνεν ὅλα μαζὶ τὰ ἀντίθετα. Καὶ τί νὰ εἰπῇ κανεὶς διὰ τὰς πέτρας, αἱ ὁποῖαι ἀνέβλυσαν ποταμοὺς ὑδάτων; Καὶ τί διὰ τὰ νέφη τῶν πτηνῶν, τὰ ὁποῖα μὲ τὸ πλῆθος των ἐσκέπασαν ὁλόκληρον τὴν γῆν; Καὶ τί διὰ τὰ θαύματα ποὺ ἔγιναν εἰς τὴν Αἴγυπτον; Καὶ τί διὰ τὰ παράδοξα συμβάντα εἰς τὴν ἔρημον; Τί διὰ τὰ τρόπαια καὶ τὰς νίκας ποὺ ἐγίνοντο χωρὶς αἷμα; Διότι ἐνικοῦσαν τοὺς ἀντιπάλους των ὡσὰν νὰ ἐχόρευαν καὶ ὄχι ὡσὰν νὰ ἐπολεμοῦσαν. Καὶ τοὺς μὲν κυριάρχους τους ἐνίκησαν χωρὶς ὅπλα, τοὺς δὲ μετὰ τὴν ἀναχώρησίν τους ἀπὸ τὴν Αἴγυπτον μαχομένους ἐναντίον τους, ἐνικοῦσαν μὲ σαλπίσματα καὶ ὕμνους· καὶ ἦσαν χορὸς μᾶλλον παρὰ πόλεμος τὰ γινόμενα, μυσταγωγία μᾶλλον παρὰ μάχη. Διότι ὅλα αὐτὰ τὰ τόσον μεγάλα ἔγιναν ὄχι μόνον διὰ τοῦτο, διὰ νὰ τοὺς δώσῃ αὐτὰ ποὺ ἐχρειάζοντο, ἀλλὰ καὶ διὰ νὰ διατηρήσουν μὲ μεγαλυτέραν ἀκρίβειαν τὴν διδασκαλίαν τῆς θεογνωσίας, τὴν ὁποίαν ἔδωκεν εἰς αὐτοὺς ὁ Μωυσῆς· καὶ ἀπὸ παντοῦ ἠκούοντο φωναί, αἱ ὁποῖαι ἐμαρτύρουν τὸν Κύριον. Καθόσον καὶ ἡ θάλασσα ἐφώναζε τοῦτο, μεταβαλλομένη ἄλλοτε μὲν εἰς ξηράν, ἄλλοτε δὲ πάλιν εἰς θάλασσαν· καὶ τὰ νερὰ τοῦ Νείλου ἄφηναν τὴν ἰδίαν φωνὴν μὲ τὸ νὰ μεταβάλλωνται εἰς αἷμα· καὶ οἱ βάτραχοι, καὶ τὸ στρατόπεδον ἐκεῖνο τῶν ἀκρίδων, καὶ ἡ κάμπη, καὶ ἡ ἐρυσίβη αὐτὰ ἔλεγον εἰς ὅλον τὸν λαόν· καὶ τὰ ἐν τῇ ἐρήμῳ θαύματα, τὸ μάννα, ἡ στήλη τοῦ πυρός, ἡ νεφέλη, τὰ ὀρτύκια, ὅλα τὰ ἄλλα ἔγιναν ὡσὰν βιβλίον τότε εἰς αὐτοὺς καὶ ὡσὰν γράμματα ἀνεξίτηλα, τὰ ὁποῖα καθημερινὰ διετηροῦντο εἰς τὴν μνήμην των ἔναυλα, καὶ ἠχοῦσαν εἰς τὴν διάνοιάν των.

Ὅμως ὕστερα ἀπὸ τόσην καὶ τέτοιαν φροντίδα δι' αὐτούς, μετὰ τὰς ἀνεκφράστους ἐκείνας εὐεργεσίας πρὸς αὐ-

θαυμάτων, μετὰ τὴν κηδεμονίαν τὴν ἄρρητον, μετὰ τὴν διδασκαλίαν τὴν διηνεκῆ μετὰ τὴν κατήχησιν τὴν ἀπὸ τῶν ρημάτων, μετὰ τὴν παραίνεσιν τὴν ἀπὸ τῶν ἔργων, μετὰ τὰς νίκας τὰς λαμπράς, μετὰ τὰ τρόπαια τὰ παράδοξα, μετὰ τὴν τῶν τραπεζῶν ἀφθονίαν, μετὰ τὴν δαψίλειαν τῶν ναμάτων ἐκείνων, μετὰ τὴν ἄφατον δόξαν, ἣν περιεβάλλοντο παρὰ παντὶ τῷ τῶν ἀνθρώπων γένει, ἐπειδὴ ἀγνώμονες ἦσαν καὶ ἀναίσθητοι, μόσχον προσεκύνησαν, καὶ βοὸς κεφαλὴν ἐθεράπευον, καὶ θεοὺς ἐπεζήτουν αὐτοῖς γενέσθαι, νεαρὰ τὰ ὑπομνήματα τῶν ἐν Αἰγύπτῳ εὐεργεσιῶν ἔχοντες τοῦ Θεοῦ, καὶ πολλῶν καὶ ἄλλων ἀπολαύοντες ἔτι.

14. Ὁ δὲ τῶν Νινευιτῶν δῆμος, βάρβαρος ὢν καὶ ἀλλόφυλος, οὐδενὸς τούτων μετεσχηκώς, οὐ μικροῦ, οὐ μεγάλου, οὐ λόγων, οὐ θαυμάτων, οὐκ ἔργων, οὐ ρημάτων, ἐπειδὴ ἄνθρωπον εἶδον ἐκ ναυαγίου διασωθέντα, οὐδέποτε αὐτοῖς συγγενόμενον ἔμπροσθεν, ἀλλὰ τότε πρῶτον ὀφθέντα, εἰσελθόντα καὶ εἰπόντα, Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται· οὕτως ἀπὸ τῶν ψιλῶν τούτων ρημάτων μετεβάλοντο καὶ βελτίους ἐγένοντο, καὶ τὴν προτέραν ἀποθέμενοι κακίαν, πρὸς ἀρετὴν διὰ μετανοίας ὥδευσαν, ὡς ἀπόφασιν ἀνακαλέσασθαι Θεοῦ, καὶ σειομένην στῆσαι πόλιν, καὶ θεήλατον ὀργὴν ἀποκρούσασθαι, καὶ πάσης ἀπαλλαγῆναι κακίας. «Εἶδε γὰρ ὁ Θεός», φησίν, «ὅτι ἀπέστη ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ ἐπέστρεψεν ἐπὶ τὸν Κύριον».

Πῶς ἀπέστη, εἰπέ μοι; Καίτοι μεγάλη ἦν αὐτῶν ἡ κακία, ἄφατος ἡ πονηρία, δυσίατα τὰ ἕλκη· καὶ τοῦτο δηλῶν ὁ προφήτης ἔλεγεν· «Ἀνέβη ἡ κακία αὐτῶν ἕως τοῦ οὐρανοῦ»· τῷ διαστήματι τοῦ τόπου τὸ μέγεθος τῆς κακίας αὐτῶν ἐνδεικνύμενος. Ἀλλ' ὅμως τὴν τοσαύτην πονηρίαν, τὴν οὕτω κορυφωθεῖσαν καὶ ὑψωθεῖσαν, ὡς καὶ ἕως τοῦ οὐ-

---

15. Ἰωνᾶ 3, 4.
16. Ἰωνᾶ 6, 10.
17. Ἰωνᾶ 1, 2.

τούς, μετὰ τὸ μέγεθος τῶν θαυμάτων, μετὰ τὴν ἀνείπωτον προστασίαν, μετὰ τὴν διαρκῆ διδασκαλίαν, μετὰ τὴν κατήχησιν τὴν ἀπὸ τῶν λόγων, μετὰ τὴν παραίνεσιν τὴν ἀπὸ τῶν ἔργων, μετὰ τὰς λαμπρὰς νίκας, μετὰ τὰ τρόπαια τὰ παράδοξα, μετὰ τὴν ἀφθονίαν τῶν τραπεζῶν, μετὰ τὴν περίσσειαν τῶν ὑδάτων ἐκείνων, μετὰ τὴν μεγάλην δόξαν μὲ τὴν ὁποίαν περιεβλήθησαν εἰς ὁλόκληρον τὸν κόσμον, ἐπειδὴ ἦσαν ἀγνώμονες καὶ ἀναίσθητοι, προσεκύνησαν μόσχον, καὶ ἐλάτρευαν κεφαλὴν βοός, καὶ ἤθελαν νὰ τὰ ἀναγνωρίσουν θεούς, ἂν καὶ εἶχαν εἰς τὴν μνήμην τους προσφάτους τὰς εἰς τὴν Αἴγυπτον εὐεργεσίας τοῦ Θεοῦ, καὶ ἂν καὶ ἀπελάμβανον καὶ ἄλλα πολλὰ ἀκόμη.

14. Ὁ λαὸς δὲ τῶν Νινευϊτῶν, ποὺ ἦτο βάρβαρος καὶ ἀλλόφυλος, ἂν καὶ εἰς τίποτε ἀπὸ τὰ παραπάνω δὲν εἶχε μετάσχει, οὔτε μικρόν, οὔτε μεγάλον, οὔτε λόγους, οὔτε θαύματα, οὔτε ἔργα, οὔτε διδασκαλίας, ἐπειδὴ εἶδε κάποιον ἄνθρωπον νὰ σώζεται ἀπὸ ναυάγιον, ὁ ὁποῖος οὐδέποτε προηγουμένως συνανεστράφη μαζί τους, ἀλλὰ τότε διὰ πρώτην φορὰν ἐμφανίζεται εἰς αὐτούς, νὰ παρουσιάζεται καὶ νὰ λέγῃ, «ἀκόμη τρεῖς ἡμέρες καὶ θὰ καταστραφῇ ἡ Νινευή»[15], τόσον ἤλλαξαν καὶ ἔγιναν καλύτεροι ἐξ αἰτίας τῶν ὀλίγων αὐτῶν λέξεων καὶ ἀφοῦ ἀπέβαλον τὴν προηγουμένην κακίαν ἐβάδισαν πρὸς τὴν ἀρετὴν διὰ τῆς μετανοίας, ὥστε νὰ ἀνακαλέσουν τὴν ἀπόφασιν τοῦ Θεοῦ καὶ νὰ στερεώσουν τὴν πόλιν ποὺ ἐσείετο, καὶ νὰ ἀπομακρύνουν τὴν θεόπεμπτον ὀργήν, καὶ νὰ ἀπαλλαγοῦν ἀπὸ κάθε κακόν. Διότι «εἶδεν ὁ Θεός», λέγει, «ὅτι ἀπεμακρύνθη κάθε ἕνας ἀπὸ τὸν πονηρόν του δρόμον ποὺ ἀκολουθοῦσε καὶ ἐπέστρεψεν εἰς τὸν Κύριον»[16].

Πῶς ἀπεμακρύνθη, εἰπέ μου; Καὶ ὅμως ἦταν μεγάλη ἡ κακία των, ἀπερίγραπτος ἡ πονηρία των, δυσκολοθεράπευτοι αἱ πληγαί των· καὶ αὐτὸ ἀκριβῶς ἐννοῦσεν ὁ προφήτης ὅταν ἔλεγεν· «ἀνέβη ἡ κακία των μέχρι τὸν οὐρανόν»[17], φανερώνουν μὲ τὴν ἀπόστασιν αὐτὴν τὸ μέγεθος τῆς κακίας των. Ὅμως τὴν τόσον μεγάλην κακίαν, ποὺ τόσον ἐκορυφώθη καὶ ὑψώθη, ὥστε νὰ φθάσῃ μέχρι καὶ τοῦ οὐρα-

ρανοῦ φθάσαι, ταύτην ἐν τρισὶν ἡμέραις, ἐν βραχείᾳ καιροῦ ῥοπῇ, διὰ ῥημάτων ὀλίγων, ἃ παρ' ἑνὸς ἤκουσαν ἀνθρώπου, ἀγνώστου, ξένου, ναυαγοῦ γεγενημένου, οὕτω κατέλυσαν, οὕτως ἠφάνισαν, οὕτως ἐκποδὼν ἐποίησαν, ὡς τοιαύτης ἀπολαῦσαι φωνῆς, ὅτι «Εἶδεν ὁ Θεός, ὅτι ἀπέστη ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς, καὶ μετενόησεν ἀπὸ τῆς κακίας ἧς εἶπεν ὁ Θεὸς ποιῆσαι αὐτοῖς». Ὁρᾷς ὅτι ὁ μὲν νήφων καὶ ἐγρηγορὼς οὐ μόνον παρὰ ἀνθρώπων οὐδὲν ἀδικεῖται, ἀλλὰ καὶ θεήλατον ὀργὴν ἀνατρέπει; ὁ δὲ οἴκοθεν ἑαυτὸν προδιδοὺς καὶ καταβλάπτων, κἂν μυρίας εὐεργεσίας ἀπολάβῃ, οὐδὲν μέγα κερδαίνει; Οὕτω γοῦν οὐδὲ ἐκείνους ὠφέλησε τὰ τοσαῦτα σημεῖα, οὐδ' αὐτοὺς τούτους τὸ μὴ μετασχεῖν τούτων παρέβλαψεν· ἀλλ' ἐπειδὴ οἴκοθεν ἦσαν εὐγνώμονες, μικρᾶς ἐπιλαβόμενοι ῥοπῆς, βελτίους ἐγένοντο, καίτοι βάρβαροι ὄντες, καὶ ἀλλόφυλοι, καὶ πάντων ἀνήκοοι τῶν θείων χρησμῶν, καὶ πόρρω που τῆς Παλαιστίνης ἀπῳκισμένοι.

15. Τί δὲ τῶν παίδων τῶν τριῶν, εἰπέ μοι, τὴν ἀρετὴν τὰ ἐπελθόντα κακὰ ἐλυμήνατο. Οὐχὶ ἔτι νέοι ὄντες καὶ νέοι κομιδῇ, ἐν ἡλικίᾳ ἀώρῳ τὴν χαλεπὴν ἐκείνην ὑπέμειναν τιμωρίαν καὶ αἰχμαλωσίαν, καὶ τὴν μακρὰν ἀπεδήμησαν ἀποδημίαν, καὶ πατρίδος καὶ οἰκίας, καὶ ναοῦ καὶ βωμοῦ καὶ θυσιῶν, καὶ προσφορῶν καὶ σπονδῶν, καὶ αὐτοῦ δὲ τοῦ ψάλλειν, εἰς τὴν ἀλλοτρίαν ἐλθόντες γῆν, ἐχωρίσθησαν; Οὐ γὰρ ἡ οἰκία αὐτοῖς μόνον ἄβατος ἦν, ἀλλὰ καὶ πολλὰ τῆς λατρείας ἐντεῦθεν εἴδη. Οὐχὶ βαρβαρικαῖς ἐξεδόθησαν χερσί, καὶ λύκοις μᾶλλον ἢ ἀνθρώποις, καί, τὸ δὴ χαλεπώτατον, εἰς μακρὰν οὕτω κειμένην καὶ βάρβαρον ἀποικισθέντες γῆν, καὶ αἰχμαλωσίαν χαλεπωτάτην, οὐ διδάσκαλον εἶχον, οὐ προφήτην, οὐκ ἄρχοντα; «Οὐ γάρ ἐστι», φησίν, «ἄρχων, οὐδὲ

18. Ἰωνᾶ 3, 10.

νοῦ, αὐτὴν εἰς τρεῖς ἡμέρας, εἰς χρόνον συντομώτατον, μὲ ὀλίγας λέξεις, τὰς ὁποίας ἤκουσαν ἀπὸ ἕναν ἄνθρωπον ἄγνωστον, ξένον, ναυαγόν, τόσον τὴν ἐξάλειψαν τόσον τὴν ἐξαφάνισαν, τόσον τὴν ἐκλώτσησαν, ὥστε νὰ ἀξιωθοῦν νὰ ἀκούσουν τέτοιους λόγους, ὅτι «εἶδεν ὁ Θεὸς ὅτι ἀπεμακρύνθη κάθε ἕνας ἀπὸ τὴν πονηρὰν ὁδὸν ποὺ ἐβάδιζε καὶ τοὺς ἀπήλλαξεν ἀπὸ τὴν κακίαν τὴν ὁποίαν εἶπεν ὅτι θὰ κάνῃ εἰς αὐτοὺς ὁ Θεός»[18]. Βλέπεις ὅτι ὁ φρόνιμος καὶ προσεκτικὸς ὄχι μόνον καθόλου δὲν ζημιώνεται ἀπὸ τοὺς ἀνθρώπους, ἀλλὰ καὶ ἀνατρέπει καὶ τὴν θεόσταλτον ὀργήν; Ἐκεῖνος ὅμως ποὺ προδίδει μόνος του τὸν ἑαυτόν του καὶ τὸν καταζημιώνει, καὶ ἂν ἀκόμα ἀπολαύῃ ἀναριθμήτους εὐεργεσίας, δὲν κερδίζει τίποτε μεγάλο; Ἔτσι λοιπόν, οὔτε τὰ τόσα θαύματα ὠφέλησαν τοὺς Ἰσραηλίτας καθόλου, οὔτε ἐζημίωσε τοὺς Νινευΐτας ἡ μὴ συμμετοχὴ εἰς αὐτά· ἐπειδὴ ὅμως αὐτοὶ ἦσαν εὐγνώμονες, ἅρπαξαν τὴν μικρὰν εὐκαιρίαν, ἔγιναν καλύτεροι, ἂν καὶ ἦσαν βάρβαροι καὶ ἀλλόφυλοι καὶ δὲν εἶχαν ἀκούσει κανένα θεῖον χρησμὸν καὶ κατοικοῦσαν πολὺ μακρυὰ ἀπὸ τὴν Παλαιστίνην.

15. Εἰπέ μου, ἔβλαψαν τὴν ἀρετὴν τῶν τριῶν νέων τὰ ἐπελθόντα εἰς αὐτοὺς δεινά; Ἐνῷ ἀκόμη ἦσαν νέοι, νεώτατοι, εἰς ἡλικίαν ἀνώριμον, δὲν ὑπέμειναν τὴν φοβερὰν ἐκείνην τιμωρίαν καὶ αἰχμαλωσίαν, καὶ δὲν ἐξωρίσθησαν εἰς τὴν μακρυνὴν ἐκείνην ἐξορίαν, καὶ ἐχωρίσθησαν ἀπὸ τὴν πατρίδα καὶ τὴν οἰκίαν των, καὶ ἀπὸ τὸν ναὸν καὶ τὸν βωμόν, καὶ ἀπὸ τὰς θυσίας καὶ τὰς προσφορὰς καὶ τὰς σπονδάς, καὶ ἀπὸ αὐτὰς τὰς ψαλμωδίας ἐλθόντες εἰς ξένην γῆν; Διότι δὲν ἦταν ἀπηγορευμένη εἰς αὐτοὺς μόνον ἡ οἰκία των, ἀλλὰ καὶ πολλοὶ τρόποι τῆς λατρείας των. Δὲν παρεδόθησαν σὲ βαρβαρικὰ χέρια, καὶ εἰς λύκους μᾶλλον παρὰ εἰς ἀνθρώπους, καὶ τὸ χειρότερον, μεταφερθέντες εἰς τόσον μακρὰν καὶ βάρβαρον χώραν, καὶ εἰς αἰχμαλωσίαν φοβερωτάτην, οὔτε διδάσκαλον εἶχον, οὔτε προφήτην, οὔτε ἄρχοντα; Διότι «δὲν ὑπάρχει», λέγει, «ἄρχων οὔτε προφήτης

προφήτης, καὶ ἡγούμενος, οὐδὲ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου, καὶ εὑρεῖν ἔλεος». Ἀλλὰ καὶ εἰς βασιλικὴν οἰκίαν, ὡς εἰς σκόπελόν τινα καὶ κρημνόν, καὶ πέλαγος ὑφάλων γέμον καὶ σπιλάδων, οὕτως εἰσήχθησαν, χωρὶς κυβερνήτου, καὶ πρωρέως, καὶ ναυτῶν, καὶ ἱστίων, ἀναγκαζόμενοι τὴν χαλεπὴν ἐκείνην θάλατταν πλεῖν· καὶ καθάπερ ἐν δεσμωτηρίῳ ταῖς βασιλικαῖς αὐλαῖς ἐναπειλημμένοι. Ἐπειδὴ γὰρ φιλοσοφεῖν ᾔδεσαν, καὶ τῶν βιωτικῶν ἦσαν ἀνώτεροι πραγμάτων, καὶ τὸν τῦφον ἅπαντα κατεπάτησαν τὸν ἀνθρώπινον, καὶ κοῦφον αὐτοῖς τὸ πτερὸν εἰργάσαντο, προσθήκην κακῶν καὶ τὴν αὐτόθι διατριβὴν ἐνόμιζον εἶναι. Ἔξω μὲν γὰρ ὄντες, καὶ ἐν ἰδιωτικῇ οἰκίᾳ, πλείονος ἔμελλον ἀπολαύσεσθαι τῆς ἐξουσίας· εἰς δὲ τὸ δεσμωτήριον εἰσαχθέντες ἐκεῖνο (δεσμωτηρίου γὰρ τὴν φαντασίαν ἅπασαν ἐκείνην, καὶ κρημνῶν καὶ σκοπέλων οὐδὲν ἄμεινον εἶναι ἐνόμιζον), εὐθέως δυσκολίαν ὑπέμειναν χαλεπήν. Ὁ μὲν γὰρ βασιλεὺς ἐκέλευσε κοινωνοὺς αὐτοὺς τῆς τραπέζης εἶναι τῆς ἑαυτοῦ, τῆς συβαριτικῆς ἐκείνης, καὶ ἀκαθάρτου καὶ βεβήλου, αὐτοῖς δὲ ἀπηγορεύετο τοῦτο, καὶ θανάτου χαλεπώτερον εἶναι ἐδόκει· καὶ μόνοι καθάπερ ἀρνία λύκων μεταξὺ τοσούτων ἦσαν ἀπειλημμένοι. Καὶ ἀνάγκη ἦν, ἢ λιμῷ τήκεσθαι, μᾶλλον δὲ καὶ τὴν ἐπὶ θάνατον ἄγεσθαι, ἢ τῶν κεκωλυμένων ἀπογεύεσθαι ἐδεσμάτων. Τί οὖν ποιοῦσιν οἱ νέοι, οἱ ἐν ὀρφανίᾳ, οἱ αἰχμάλωτοι, οἱ ξένοι, οἱ δοῦλοι τῶν ταῦτα κελευόντων; Οὐκ ἐνόμισαν ἀρκεῖν αὐτοῖς εἰς ἀπολογίαν τὴν ἀνάγκην, οὐδὲ τὴν τυραννίδα τοῦ τὴν πόλιν ἔχοντος· ἀλλὰ πάντα μηχανῶνται, καὶ πραγματεύονται, ὥστε τὴν ἁμαρτίαν φυγεῖν, καίτοι πανταχόθεν προδεδομένοι. Οὔτε γὰρ χρήμασι πείθειν ἠδύναντο· πῶς γὰρ οἱ αἰχμάλωτοι; οὐ φιλίᾳ καὶ συνουσίᾳ· πῶς γὰρ οἱ ξένοι; οὐ δυναστείᾳ περιγενέσθαι· πῶς γὰρ οἱ δοῦ-

---

19. Δανιὴλ 3, 38.

καὶ ἡγούμενος, οὔτε τόπος διὰ νὰ καρποφορήσωμεν ἐνώπιόν σου καὶ νὰ εὕρωμεν ἔλεος»[19]. Ἀλλὰ καὶ εἰς βασιλικὴν οἰκίαν εἰσήχθησαν, ὡσὰν εἰς κάποιον σκόπελον καὶ κρημνόν, καὶ ὡσὰν εἰς πέλαγος γεμᾶτον ἀπὸ ὑφάλους καὶ βράχους, χωρὶς κυβερνήτην καὶ καπετάνιον, καὶ ναύτας, καὶ πανιά, ἀναγκαζόμενοι νὰ διαπλέουν τὴν φοβερὰν ἐκείνην θάλασσαν· καὶ ἦσαν ἐγκεκλεισμένοι εἰς τὰ βασιλικὰ ἀνάκτορα ὡς εἰς δεσμωτήριον. Διότι ἐπειδὴ ἐγνώριζον νὰ φιλοσοφοῦν καὶ ἦσαν ἀνώτεροι τῶν βιοτικῶν πραγμάτων, καὶ περιεφρόνησαν ὅλην τὴν ἀνθρωπίνην ματαιοδοξίαν καὶ ἔκαναν ἔτσι ἐλαφρὰ τὰ φτερά τους καὶ ἐθεώρουν τὴν παραμονήν των εἰς τὴν βασιλικὴν οἰκίαν ὡς ἕνα ἀκόμη κακὸν ἐπὶ πλέον. Διότι ἐὰν μὲν ἦσαν ἔξω καὶ εἰς ἰδιωτικὴν οἰκίαν θὰ ἀπελάμβανον περισσοτέραν ἐλευθερίαν· εἰσαχθέντες δὲ εἰς τὸ δεσμωτήριον ἐκεῖνο (διότι ἐνόμιζαν ὅτι ὅλη ἐκείνη ἡ πολυτέλεια δὲν ἦταν καθόλου καλυτέρα ἀπὸ δεσμωτήριον, καὶ κρημνοὺς καὶ σκοπέλους) ὑπέμειναν ἀμέσως μεγάλην δυσκολίαν. Διότι ὁ μὲν βασιλεὺς τοὺς διέταξε νὰ συμμετέχουν εἰς τὴν τράπεζάν του, τὴν συβαριτικὴν ἐκείνην, καὶ ἀκάθαρτον καὶ βέβηλον, εἰς αὐτοὺς ὅμως ἐπειδὴ τοῦτο ἦτο ἀπηγορευμένον ἀπὸ τὸν νόμον τοὺς ἐφαίνετο χειρότερον ἀπὸ τὸν θάνατον· καὶ μόνοι ὡσὰν ἀρνία ἐν μέσῳ τόσων λύκων εἶχον ἀποκλεισθῆ. Καὶ ἔπρεπεν ἢ νὰ λειώνουν ἀπὸ τὴν πεῖναν, μᾶλλον δὲ καὶ νὰ ἀποθάνουν, ἢ νὰ τρώγουν ἀπὸ φαγητὰ ἀπηγορευμένα. Τί κάνουν λοιπὸν οἱ νέοι, οἱ ὀρφανοί, οἱ αἰχμάλωτοι, οἱ ξένοι, οἱ δοῦλοι τῶν διατασσόντων αὐτά; Δὲν ἐθεώρησαν ἀρκετὴν ἀπολογίαν των τὴν ἀνάγκην, οὔτε τὴν τυραννικὴν ἐξουσίαν τοῦ ἄρχοντος τῆς πόλεως· ἀλλὰ σκέπτονται τὰ πάντα καὶ κάνουν τὰ πάντα, ὥστε νὰ ἀποφύγουν τὴν ἁμαρτίαν, ἂν καὶ ἀπὸ παντοῦ ἦσαν ἀναγκασμένοι νὰ τὴν διαπράξουν. Διότι οὔτε μὲ χρήματα ἠμποροῦσαν νὰ πείθουν· πῶς θὰ τὸ ἔκαναν αὐτὸ ἀφοῦ ἦσαν αἰχμάλωτοι; οὔτε μὲ φιλίαν καὶ συναναστροφήν· πῶς θὰ τὸ ἔκαναν αὐτὸ οἱ ξένοι; οὔτε μὲ τὴν δύναμιν νὰ νικήσουν· διότι πῶς θὰ τὸ κατώρθωναν αὐτὸ οἱ δοῦλοι; οὔτε νὰ ὑπερισχύσουν μὲ τὸ πλῆθος· πῶς θὰ τὸ ἔκαναν αὐτὸ οἱ τρεῖς μόνοι;

λοι; οὐ πλήθει κρατῆσαι· πῶς γὰρ οἱ τρεῖς μόνοι; Προσελθόντες τοίνυν πείθουσι τὸν εὐνοῦχον ἐκεῖνον λόγοις, τὸν ταύτην ἔχοντα τὴν ἐξουσίαν. Ἐπειδὴ γὰρ εὗρον αὐτὸν περιδεῆ καὶ τρέμοντα, καὶ περὶ τῆς οἰκείας σωτηρίας ἀγωνιῶντα, καὶ φόβος ἀφόρητος ἦν ὁ περὶ τοῦ θανάτου κατασείων αὐτοῦ τὴν ψυχήν· «Φοβοῦμαι γὰρ ἐγώ», φησί, «τὸν κύριόν μου τὸν βασιλέα, μή ποτε ἴδῃ τὰ πρόσωπα ἡμῶν σκυθρωπὰ ὑπὲρ τὰ παιδάρια τὰ συνήλικα ὑμῶν, καὶ καταδικάσητε τὴν κεφαλήν μου τῷ βασιλεῖ»· ἀπαλλάξαντες αὐτὸν τούτου τοῦ δέους πείθουσι δοῦναι τὴν χάριν. Καὶ ἐπειδὴ πάντα παρ' ἑαυτῶν εἰσήνεγκαν, καὶ ὁ Θεὸς τὰ παρ' ἑαυτοῦ λοιπὸν εἰσέφερεν. Οὐδὲ γὰρ τοῦ Θεοῦ μόνου τὸ κατόρθωμα ἐπὶ τούτοις ἦν, οἷς ἔμελλον ἐκεῖνοι μισθὸν λαμβάνειν, ἀλλὰ τῆς ἐκείνων γνώμης ἡ ἀρχὴ καὶ τὰ προοίμια, ἣν παρασχόμενοι γενναίαν καὶ ἀνδρείαν, ἐπεσπάσαντο τοῦ Θεοῦ τὴν ῥοπήν, καὶ εἰς τέλος ἤγαγον ὅπερ ἐσπούδαζον.

16. Ὁρᾷς ὅτι τὸν μὴ ἑαυτὸν ἀδικοῦντα οὐδεὶς ἕτερος παραβλάψαι δυνήσεται; Ἰδοὺ γοῦν καὶ νεότης, καὶ αἰχμαλωσία, καὶ ὀρφανία, καὶ εἰς ἀλλοτρίαν ἀπαγωγή, καὶ μόνωσις, καὶ ἐρημία τῶν προστησόντων, καὶ ἐπίταγμα χαλεπόν, καὶ φόβος θανάτου πολὺς ἐπιτειχίζων τοῦ εὐνούχου τὴν διάνοιαν, καὶ πενία, καὶ ὀλιγότης καὶ τὸ ἐν μέσῳ βαρβάρων εἶναι, καὶ τὸ τοὺς ἐχθροὺς ἔχειν δεσπότας, καὶ τὸ εἰς τὰς αὐτὰς ἐκδεδόσθαι τὰς χεῖρας τὰς βασιλικάς, καὶ τῶν οἰκείων ἁπάντων ὁ χωρισμός, καὶ ἱερέων καὶ προφητῶν, καὶ τῶν ἄλλων τῶν ἐπιμελουμένων αὐτῶν ἀλλοτρίωσις, καὶ σπονδῶν καὶ θυσιῶν ἀργία, καὶ ναοῦ καὶ ψαλμῶν ἀφαίρεσις, καὶ οὐδὲν τούτων αὐτοὺς παρέβλαψεν· ἀλλὰ τότε μειζόνως εὐδοκίμησαν, ἢ ὅτε τούτων ἀπήλαυον ἐπὶ τῆς πατρίδος τῆς ἑαυτῶν.

Καὶ πρῶτον ἆθλον ἀνύσαντες τοῦτον, καὶ λαμπρὸν ἀναδησάμενοι τὸν στέφανον, καὶ τὸν νόμον καὶ ἐν ἀλλοτρίᾳ τηρήσαντες, καὶ ἐπίταγμα καταπατήσαντες τυραννικόν, καὶ φόβον νικήσαντες τοῦ ἀλάστορος, καὶ μηδὲν μηδαμόθεν παρα-

---

20. Δανιήλ 1, 10.

Ἔρχονται λοιπὸν καὶ πείθουν μὲ λόγους τὸν ἀξιωματοῦχον ἐκεῖνον, ὁ ὁποῖος εἶχε αὐτὴν τὴν ἐξουσίαν. Ἐπειδὴ λοιπὸν τὸν εὑρῆκαν περίφοβον καὶ τρέμοντα καὶ ἀνησυχοῦντα σφοδρῶς περὶ τῆς σωτηρίας του, καὶ φόβος ἀφόρητος συνεκλόνιζε τὴν ψυχήν του· διότι «φοβοῦμαι ἐγώ», λέγει, «τὸν κύριόν μου τὸν βασιλέα μήπως ἴδῃ κάποτε τὰ πρόσωπά σας σκυθρωπὰ περισσότερον ἀπὸ τὰ παιδιὰ τῆς ἡλικίας σας καὶ μὲ φονεύσῃ ὁ βασιλεύς»[20]· ἀφοῦ τὸν ἀπήλλαξαν ἀπὸ τὸν φόβον αὐτόν, τὸν πείθουν νὰ δώσῃ εἰς αὐτοὺς τὴν χάριν. Καὶ ἐπειδὴ ὅλα ὅσα ἠμποροῦσαν νὰ κάνουν τὰ ἔκαναν, καὶ ὁ Θεὸς εἰσέφερε τὸ ἰδικόν του. Διότι δὲν ἦτο κατόρθωμα μόνον τοῦ Θεοῦ αὐτὰ ποὺ ἐπρόκειτο νὰ λάβουν ἐκεῖνοι ὡς ἀνταμοιβήν, ἀλλὰ ἡ ἀρχὴ καὶ ὁ πρόλογος προῆλθεν ἀπὸ τὴν γνώμην ἐκείνων καὶ μὲ τὴν γενναιότητα καὶ τὴν ἀνδρείαν ἀπέσπασαν τὴν βοήθειαν τοῦ Θεοῦ καὶ ἐπέτυχαν ἐκεῖνο τὸ ὁποῖον ἐπιμόνως ἤθελαν.

16. Βλέπεις λοιπὸν ὅτι ἐκεῖνον ὁ ὁποῖος δὲν ἀδικεῖ τὸν ἑαυτόν του, δὲν θὰ ἠμπορέσῃ νὰ τὸν ζημιώσῃ κανεὶς ἄλλος; Νὰ λοιπὸν καὶ νεότης, καὶ αἰχμαλωσία, καὶ ὀρφάνια καὶ ἐξορία καὶ ἀπομόνωσις καὶ ἔλλειψις προστασίας, καὶ φοβερὸν διάταγμα καὶ μεγάλος φόβος θανάτου πολιορκῶν τὴν σκέψιν τοῦ εὐνούχου, καὶ πενία καὶ ὀλιγότης, καὶ παραμονὴ ἐν μέσῳ βαρβάρων, καὶ τὸ ὅτι εἶχον κυρίους τοὺς ἐχθρούς των, καὶ τὸ ὅτι ἦσαν παραδεδομένοι εἰς αὐτὰς τὰς βασιλικὰς χεῖρας, καὶ ὁ χωρισμὸς ἀπὸ ὅλους τοὺς οἰκείους τους, καὶ ἀπὸ ἱερεῖς καὶ προφήτας καὶ ἡ ἀποξένωσις ἀπὸ ὅλους τοὺς ἄλλους, οἱ ὁποῖοι τοὺς ἐκυβερνοῦσαν, καὶ ἡ στέρησις ἀπὸ σπονδὰς καὶ θυσίας, καὶ ἡ ἔλλειψις ναοῦ καὶ ὕμνων, καὶ τίποτε ἀπ' αὐτὰ δὲν τοὺς ἔβλαψεν· ἀλλὰ τότε ηὐτύχησαν περισσότερον, παρὰ ὅταν ἐχαίροντο αὐτὰ εἰς τὴν πατρίδα των.

Καὶ ἀφοῦ ἐπέτυχαν πρῶτα αὐτὸ τὸ κατόρθωμα, καὶ ἐφόρεσαν λαμπρὸν στέφανον, καὶ ἐτήρησαν τὸν νόμον εἰς τὴν ξένην χώραν, καὶ κατεπάτησαν τυραννικὸν διάταγμα, καὶ ἐνίκησαν τὸν φόβον τοῦ τρισαθλίου, καὶ δὲν ἐζημιώθησαν

βλαβέντες, ὥσπερ οἴκοι καθήμενοι, καὶ πάντων ἐκείνων ἀπολαύοντες, οὕτω τὸ ἔργον μετὰ ἀδείας ἀνύσαντες, ἐφ' ἕτερα πάλιν ἐκαλοῦντο σκάμματα. Καὶ πάλιν ἦσαν οἱ αὐτοὶ καὶ ἀγὼν τοῦ προτέρου χαλεπώτερος αὐτοῖς ἐπετίθετο, καὶ κάμινος ἀνήπτετο, καὶ βαρβαρικὸν πρὸς αὐτοὺς στρατόπεδον μετὰ τοῦ βασιλέως παρετάττετο· καὶ ἡ Περσικὴ πᾶσα δύναμις ἐκινεῖτο, καὶ πάντα πρὸς ἀπάτην αὐτῶν ἐπετηδεύετο καὶ βίαν· καὶ μουσικῆς εἴδη διάφορα, καὶ κολάσεων ποικίλοι τρόποι, καὶ ἀπειλαί, καὶ ὄψις πάντοθεν ἦν φοβερά, καὶ ῥήματα ὄψεως φοβερώτερα· ἀλλ' ὅμως ἐπειδὴ ἑαυτοὺς οὐ προέδωκαν, ἀλλὰ τὰ παρ' ἑαυτῶν πάντα εἰσήνεγκαν, οὐδὲν οὐδέποτε παρεβλάβησαν· ἀλλὰ καὶ λαμπροτέρους τῶν προτέρων ἀνεδήσαντο τοὺς στεφάνους. Ἔδησε μὲν γὰρ αὐτοὺς ὁ Ναβουχοδονόσορ, καὶ ἐνέβαλεν εἰς τὴν κάμινον, οὐ μὴν παρέβλαψεν, ἀλλὰ καὶ μειζόνως ὠφέλησε, καὶ ἐνδοξοτέρους εἰργάσατο. Καὶ οὔτε ναὸν (πάλιν γὰρ τὰ αὐτὰ ἐρῶ), οὔτε θυσιαστήριον, οὐ πατρίδα, οὐχ ἱερέας, οὐ προφήτας ἔχοντες, ἐν ἀλλοτρίᾳ καὶ βαρβάρῳ χώρᾳ, ἐν αὐτῇ μὲν οὖν μέσῃ τῇ καμίνῳ, μεταξὺ τοῦ στρατοπέδου παντὸς ἐκείνου, αὐτοῦ τοῦ βασιλέως τοῦ ταῦτα ἐργαζομένου θεωροῦντες, λαμπρὸν ἀνεστήσαντο τρόπαιον, καὶ περιφανῆ νίκην ἤραντο, τὴν θαυμαστὴν ἐκείνην καὶ παράδοξον ᾄσαντες ᾠδήν, τὴν καὶ μέχρι τοῦ νῦν ἐξ ἐκείνου πανταχοῦ τῆς οἰκουμένης ᾀδομένην, καὶ ᾀσθησομένην δὲ καὶ εἰς τὰς μετὰ ταῦτα γενεάς. Οὕτως οὖν ὅταν μηδεὶς ἑαυτὸν ἀδικῇ, οὐδὲν παρ' ἑτέρου βλαβῆναι δυνήσεται· οὐ γὰρ παύσομαι συνεχῶς τοῦτο ἐπᾴδων τὸ ῥῆμα. Εἰ γὰρ αἰχμαλωσία, καὶ δουλεία, καὶ μόνωσις, καὶ πατρίδος ἀποβολὴ καὶ τῶν οἰκείων ἁπάντων, καὶ θάνατος, καὶ ἐμπρησμός, καὶ στρατόπεδον τοσοῦτον, καὶ τύραννος οὕτως ὠμός, οὐκ ἴσχυσαν παῖδας τρεῖς νέους, αἰχμαλώτους, δούλους, ξένους, ἐπ' ἀλλοτρίας ὄντας λυμήνασθαί τι εἰς τὴν οἰκείαν αὐτῶν ἀρετήν, ἀλλὰ καὶ μείζονος αὐτοῖς παρρησί-

εἰς τίποτε ἀπὸ πουθενά, ὡσὰν νὰ εὑρίσκοντο εἰς τὴν πατρίδα των καὶ νὰ ἀπήλαυον ὅλα ἐκεῖνα, ἔτσι ἐπέτυχον εὔκολα αὐτὸ τὸ ἔργον, καὶ ἐκαλοῦντο πάλιν εἰς ἄλλους ἀγῶνας. Καὶ πάλιν ἦσαν οἱ ἴδιοι καὶ ἤρχιζαν ἀγῶνα φοβερώτερον τοῦ προηγουμένου, καὶ ἄναβε δι' αὐτοὺς κάμινος, καὶ παρετάσσετο ἐναντίον των βαρβαρικὸν στρατόπεδον μαζὶ μὲ τὸν Βασιλέα· καὶ ἐκινεῖτο ὅλη ἡ περσικὴ δύναμις καὶ τὰ πάντα ἐμηχανῶντο πρὸς ἐξαπάτησιν καὶ ἐκβιασμὸν αὐτῶν· καὶ διάφορα εἴδη μουσικῆς, καὶ τιμωρίαι ποικίλαι, καὶ ἀπειλαί, καὶ ἡ θέα ἀπὸ παντοῦ ἦτο φοβερά, καὶ τὰ λόγια φοβερώτερα ἀπὸ τὴν θέαν· ἀλλ' ὅμως ἐπειδὴ δὲν ἐπρόδωσαν τοὺς ἑαυτούς των, ἀλλὰ ἔκαναν κάθε τι ποὺ ἐξηρτᾶτο ἀπὸ αὐτοὺς ποτὲ εἰς τίποτε δὲν ἐζημιώθησαν· ἀλλὰ καὶ ἐφόρεσαν στεφάνους λαμπροτέρους ἀπὸ ὅ,τι προηγουμένως. Τοὺς ἔδεσε λοιπὸν ὁ Ναβουχοδονόσορ καὶ τοὺς ἔβαλε μέσα εἰς τὴν κάμινον, ὅμως δὲν τοὺς ἔβλαψεν, ἀλλὰ καὶ περισσότερον τοὺς ὠφέλησε καὶ τοὺς ἔκαμεν ἐνδοξοτέρους. Καὶ ἐνῷ δὲν εἶχαν οὔτε ναὸν (θὰ εἰπῶ πάλι τὰ ἴδια), οὔτε θυσιαστήριον, οὔτε πατρίδα, οὔτε ἱερεῖς, οὔτε προφήτας, εὑρισκόμενοι εἰς ξένην καὶ βάρβαρον χώραν, εἰς τὸ μέσον τῆς καμίνου, μεταξὺ ὁλοκλήρου ἐκείνου τοῦ στρατεύματος, καὶ ἐνῷ ἔβλεπεν ὅλα αὐτὰ ὁ βασιλεύς, ὁ ὁποῖος καὶ τὰ ὑποκινοῦσεν, ἔστησαν λαμπρὸν τρόπαιον καὶ ἐσημείωσαν περιφανῆ νίκην, ψάλλοντες τὴν θαυμασίαν ἐκείνην καὶ παράξενον ψαλμῳδίαν, ἡ ὁποία ψάλλεται ἔκτοτε μέχρι καὶ σήμερα εἰς ὅλα τὰ μέρη τῆς οἰκουμένης, καὶ θὰ ψάλλεται καὶ εἰς τὰς μετὰ ταῦτα γενεάς. Ἔτσι λοιπὸν ὅταν κανεὶς δὲν ἀδικῇ τὸν ἑαυτόν του, εἰς τίποτε δὲν θὰ ἠμπορέσουν οἱ ἄλλοι νὰ τὸν βλάψουν· διότι δὲν θὰ παύσω νὰ ἐπαναλαμβάνω τοῦτο συνεχῶς. Καθόσον ἐὰν αἰχμαλωσία, καὶ δουλεία, καὶ ἀπομόνωσις, καὶ ἐξορία, καὶ στέρησις ὅλων τῶν οἰκείων, καὶ θάνατος, καὶ ἐμπρησμός, καὶ τόσος στρατός, καὶ τόσον ὠμὸς τύραννος, δὲν ἠμπόρεσαν τρεῖς παῖδας νέους αἰχμαλώτους, δούλους, ξένους, εὑρισκομένους εἰς ξένην γῆν, οὐδόλως νὰ βλάψουν εἰς τὴν ἀρετήν των, ἀλλὰ μεγαλυτέραν ἀντιθέτως ἔδωκεν εἰς αὐτοὺς παρρησίαν ἡ ἐ-

ας γέγονε πρόφασις ἡ ἐπιβουλή· τί τὸν νήφοντα παραβλάψαι δυνήσεται; Οὐκ ἔστιν οὐδέν, κἂν πᾶσαν τὴν οἰκουμένην ἔχῃ πολεμοῦσαν αὐτῷ. «Ἀλλ' ὁ Θεὸς τότε», φησί, «παρέστη αὐτοῖς, καὶ ἐξήρπασεν αὐτοὺς τῆς φλογός». Μάλιστα μὲν οὖν· καὶ σὺ τὰ παρ' ἑαυτοῦ πάντα ἐὰν παράσχῃς, τὰ παρὰ τοῦ Θεοῦ ἕψεται πάντως.

17. Πλὴν ἀλλ' ἐγὼ τοὺς παῖδας ἐκείνους οὐ διὰ τοῦτο θαυμάζω καὶ μακαρίζω, καὶ ζηλωτοὺς εἶναί φημι, ὅτι τὴν φλόγα κατεπάτησαν, καὶ τῆς τοῦ πυρὸς ἐνεργείας κρείττους ἐγένοντο· ἀλλ' ὅτι ὑπὲρ τῶν ἀληθῶν ἐδέθησαν δογμάτων, καὶ εἰς κάμινον ἐνεβλήθησαν, καὶ τῷ πυρὶ παρεδόθησαν. Ἐνταῦθα γὰρ αὐτοῖς ἅπαν τὸ τρόπαιον ἀπήρτισται, καὶ ὁμοῦ κατενεχθεῖσιν εἰς τὴν κάμινον στέφανος ἐπετίθετο, καὶ ἀπὸ τῶν ῥημάτων δὲ ἐκείνων ἤρξατο πλέκεσθαι, καὶ πρὸ τῆς τῶν πραγμάτων ἐκβάσεως, ἃ μετὰ πολλῆς τῆς παρρησίας καὶ τῆς ἐλευθεροστομίας πρὸς τὸν βασιλέα ἀχθέντες εἰς μέσον ἔλεγον· «Οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι. Ἔστι γὰρ ὁ Θεὸς ἡμῶν ἐν οὐρανοῖς, ᾧ ἡμεῖς λατρεύομεν, ἱκανὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης· καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ῥύσεται ἡμᾶς. Καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν». Ἀπὸ τούτων αὐτοὺς τῶν ῥημάτων ἀνακηρύττω· ἀπὸ τούτων τὸ βραβεῖον τῆς νίκης ἁρπάσαντες, ἐπὶ τὸν λαμπρὸν ἔδραμον τοῦ μαρτυρίου στέφανον, τῇ τῶν ῥημάτων ὁμολογίᾳ τὴν διὰ τῶν πραγμάτων προστιθέντες. Εἰ δὲ ἐμβληθέντων ἠδέσθη τὸ πῦρ αὐτῶν τὰ σώματα, καὶ τὰ δεσμὰ ἔλυσε, καὶ παρέσχε κάτω μετὰ ἀδείας βαδίζειν, καὶ τῆς οἰκείας ἐνεργείας ἐπελάθετο, καὶ πηγὴ ψυχρῶν ὑδάτων γέγονε τοῦ πυρὸς ἡ κάμινος· τοῦτο λοιπὸν τῆς τοῦ Θεοῦ χάριτος τὸ θαῦμα ἦν, καὶ τῆς ἄνωθεν παραδοξοποιΐας.

Ὡς οἵ γε ἀθληταὶ καὶ πρὶν ἢ ταῦτα γενέσθαι, ὁμοῦ τῆς φλογὸς ἐπιβάντες, καὶ τὸ τρόπαιον ἔστησαν, καὶ τὴν νίκην

---

21. Δανιήλ, 3, 16-18.

ναντίον τους ἐπιβουλή· τί θὰ ἠμπορέσῃ τότε νὰ βλάψῃ τὸν προσεκτικὸν ἄνθρωπον; Τίποτε, ἔστω καὶ ἂν ἔχῃ ἐχθράν του ὁλόκληρον τὴν οἰκουμένην. «Ἀλλ' ὁ Θεὸς τότε», λέγει, «ἐβοήθησεν αὐτοὺς καὶ τοὺς ἥρπαξε μέσα ἀπὸ τὴν φλόγα». Βεβαίως· καὶ σὺ ἂν κάνῃς κάθε τι ποὺ ἐξαρτᾶται ἀπὸ ἐσένα, ὁπωσδήποτε θὰ ἐπακολουθήσῃ ἡ βοήθεια ἀπὸ τὸν Θεόν.

17. Πλὴν ὅμως ἐγὼ θαυμάζω καὶ μακαρίζω τοὺς παῖδας ἐκείνους, καὶ λέγω ὅτι εἶναι ἄξιοι μιμήσεως, ὄχι διὰ τὸ ὅτι κατεπάτησαν τὴν φλόγα, καὶ ἐνίκησαν τὴν ἐνέργειαν τοῦ πυρός· ἀλλὰ διὰ τὸ ὅτι ἐδέθησαν ὑπὲρ τῶν ἀληθινῶν δογμάτων, καὶ ἐρρίφθησαν εἰς κάμινον, καὶ παρεδόθησαν εἰς τὸ πῦρ. Ἐδῶ ἀκριβῶς ὡλοκληρώθη ἡ νίκη τους, καὶ ὅταν ἐρρίφθησαν εἰς τὴν κάμινον ἐστεφανώθησαν μὲ στεφάνους, ποὺ καὶ πρὶν νὰ τὸ φανερώσουν τὰ πράγματα ἤρχισαν νὰ πλέκωνται ἀπὸ τὰ λόγια ἐκεῖνα ποὺ μὲ πολὺ θάρρος καὶ ἐλευθεροστομίαν ἔλεγαν, ὅταν ὡδηγήθησαν ἐνώπιον τοῦ βασιλέως· «Δὲν ἔχομεν ἀνάγκην διὰ νὰ ἀποκριθῶμεν εἰς αὐτά. Διότι ὑπάρχει ὁ Θεός μας εἰς τοὺς οὐρανούς, τὸν ὁποῖον λατρεύομεν, καὶ εἶναι ἱκανὸς νὰ μᾶς βγάλῃ μέσα ἀπὸ τὴν φωτιὰν τῆς καιομένης καμίνου καὶ νὰ μᾶς γλυτώσῃ, βασιλεῦ, ἀπὸ τὰ χέρια σου. Καὶ ἐὰν δὲν γίνῃ αὐτὸ νὰ γνωρίζῃς, βασιλεῦ, ὅτι τοὺς θεούς σου δὲν τοὺς λατρεύομεν, καὶ τὴν εἰκόνα ποὺ ἔστησες τὴν χρυσῆ, δὲν τὴν προσκυνοῦμεν»[21]. Ἀπὸ αὐτὰ τὰ λόγια τοὺς ἀνακηρύττω νικητάς· ἀπὸ αὐτὰ τὰ λόγια ἥρπασαν τὸ βραβεῖον τῆς νίκης, ἔτρεξαν διὰ τὸν λαμπρὸν στέφανον τοῦ μαρτυρίου, δεικνύοντες ἐμπράκτως τὴν πίστιν των ὅπως τὴν ἐφανέρωσαν μὲ τὰ λόγια. Ἂν δὲ ὅταν τοὺς ἔρριψαν εἰς τὴν κάμινον, ἡ φωτιὰ ἐσεβάσθη τὰ σώματά των καὶ ἔλυσε τὰ δεσμά των καὶ τοὺς ἄφησεν ἐκεῖ κάτω νὰ βαδίζουν ἐλεύθερα, ἐλησμόνησε τὴν δύναμίν της καὶ ἔγινεν ἡ ἀναμμένη κάμινος πηγὴ δροσερῶν ὑδάτων, τοῦτο τὸ θαῦμα προήρχετο ἀπὸ τὴν χάριν τοῦ Θεοῦ καὶ ἀπὸ τὴν ἄνωθεν θαυματουργίαν.

Ὥστε αὐτοὶ ἦσαν ἀθληταὶ καὶ πρὶν νὰ γίνουν αὐτά, διότι μόλις ἐρρίφθησαν εἰς τὴν φλόγαν, καὶ τὸ τρόπαιον ἔστησαν, καὶ τὴν νίκην ἐκέρδισαν, καὶ τὸν στέφανον ἐφόρε-

ἤραντο, καὶ τὸν στέφανον ἀνεδήσαντο, καὶ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ἀνεκηρύχθησαν, καὶ τὸ λεῖπον αὐτοῖς εἰς εὐδοκίμησιν οὐδὲν ἦν. Τί οὖν ἂν ἔχοις πρὸς ταῦτα εἰπεῖν; Εἰς ὑπερορίαν ἀπηνέχθης, καὶ τῆς πατρίδος ἐξεβλήθης; Ἰδοὺ καὶ οὗτοι. Αἰχμαλωσίαν ὑπέμεινας, καὶ ὑπὸ βαρβάροις ἐγένου δεσπόταις; Ἀλλὰ καὶ τοῦτο εὑρήσεις τούτοις συμβάν. Ἀλλ' οὐδένα ἔχεις ἐκεῖ παρόντα καὶ διορθούμενον τὰ σά, οὐδὲ νουθετοῦντα καὶ διδάσκοντα; Καὶ ταύτης οὗτοι τῆς ἐπιμελείας ἦσαν ἐστερημένοι. Ἀλλ' ἐδέθης; ἀλλ' ἐνεπρήσθης; ἀλλ' ἀπέθανες; οὐδὲν γάρ μοι τούτων χαλεπώτερον ἔχεις εἰπεῖν. Ἀλλ' ἰδοὺ καὶ οὗτοι διὰ πάντων ἐλθόντες, λαμπρότεροι δι' ἑκάστου τούτων ἐγένοντο, καὶ λίαν περιφανέστεροι, καὶ μείζονα τὴν ἐμπορίαν τὴν ἐν οὐρανοῖς συνήγαγον.

Καὶ οἱ μὲν Ἰουδαῖοι καὶ ναὸν ἔχοντες, καὶ θυσιαστήριον, καὶ κιβωτόν, καὶ τὰ Χερουβίμ, καὶ τὸ ἱλαστήριον, καὶ τὸ καταπέτασμα, καὶ τὸ ἄπειρον τῶν ἱερέων πλῆθος, καὶ τὰς καθημερινὰς λατρείας, καὶ τὰς θυσίας τὰς ἑωθινάς, τὰς ἑσπερινάς, καὶ συνεχῶς τῶν προφητῶν ἀκούοντες τῶν ζώντων, τῶν τεθνηκότων, ἐνηχούντων αὐτῶν ταῖς ἀκοαῖς, καὶ τῶν θαυμάτων τὴν μνήμην περιφέροντες τῶν ἐν Αἰγύπτῳ, τῶν ἐν ἐρήμῳ, τῶν ἄλλων ἁπάντων, καὶ ἐπὶ τῶν χειρῶν ταῦτα σαλεύοντες, ἐπὶ τῶν φλιῶν ἔχοντες ἐγγεγραμμένα, καὶ πολλῆς τῆς τότε θαυματουργίας ἀπολαύοντες, καὶ ἑτέρας ἐπιμελείας, οὐ μόνον οὐδὲν ὠφελήθησαν, ἀλλὰ καὶ παρεβλάβησαν, ἐν αὐτῷ τῷ ναῷ εἴδωλα στήσαντες, καὶ τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας σφάξαντες ὑπὸ δένδρα, καὶ πανταχοῦ σχεδὸν τῆς χώρας τῆς ἐν Παλαιστίνῃ τὰς παρανόμους ἐκείνας καὶ ἐναγεῖς ἐργασάμενοι θυσίας, καὶ ἕτερα ἀτοπώτερα μυρία τολμήσαντες. Οὗτοι δὲ ἐν βαρβάρῳ μέσῃ, ἐν πολεμίᾳ καὶ ἐχθρᾷ γῇ, ἐν οἰκίᾳ τυραννικῇ στρεφόμενοι, πάσης ἐκείνης τῆς ἐπιμελείας ἐστερημένοι, ἀπαγόμενοι, καιόμενοι, οὐ μόνον ἐντεῦθεν οὐδὲν παρεβλάβησαν, οὐ μικρόν, οὐ μέγα· ἀλλὰ καὶ μειζόνως διέλαμψαν.

σαν, καὶ εἰς τοὺς οὐρανοὺς καὶ ἐπὶ γῆς ἀνεκηρύχθησαν, καὶ τίποτε δὲν ἔλειπε εἰς αὐτοὺς πρὸς ἐπιτυχίαν. Τί λοιπὸν θὰ εἶχες νὰ εἴπῃς εἰς αὐτά; Ἐξωρίσθης καὶ ἐκ τῆς πατρίδος σου ἐξεδιώχθης; Νὰ οἱ νέοι αὐτοί. Ὑπέστης αἰχμαλωσίαν καὶ περιῆλθες κάτω ἀπὸ βαρβάρους ἄρχοντας; Ἀλλὰ καὶ τοῦτο θὰ ἴδῃς ὅτι συνέβη εἰς αὐτούς. Δὲν ἔχεις κανένα ἐκεῖ κοντά σου νὰ σὲ βοηθῇ καὶ νὰ σὲ συμβουλεύῃ καὶ νὰ σὲ διδάσκῃ; Καὶ ἀπὸ αὐτὴν τὴν φροντίδα ἐστερήθησαν αὐτοί. Σὲ ἔδεσαν; Σὲ ἔκαυσαν; Ἀπέθανες; Διότι τίποτε χειρότερον ἀπὸ αὐτὰ δὲν ἠμπορεῖς νὰ μοῦ ἀναφέρῃς. Ἀλλὰ νὰ ὅτι καὶ αὐτοί, ἂν καὶ ἐπέρασαν ὅλα αὐτά, ἔγιναν λαμπρότεροι μὲ τὸ καθένα ἀπὸ αὐτά, περισσότερον περιφανεῖς, καὶ ἀπέκτησαν μεγαλύτερα κέρδη εἰς τοὺς οὐρανούς.

Καὶ οἱ μὲν Ἰουδαῖοι ἂν καὶ εἶχον ναὸν καὶ θυσιαστήριον καὶ κιβωτὸν καὶ τὰ χερουβίμ, καὶ τὸ ἱλαστήριον, καὶ τὸ καταπέτασμα καὶ τὸ ἄπειρον πλῆθος τῶν ἱερέων, καὶ τὰς καθημερινὰς λατρείας, καὶ τὰς θυσίας τὰς ἑωθινάς, τὰς ἑσπερινάς, καὶ ἤκουαν ἀδιακόπως τοὺς προφήτας τοὺς ζῶντας, τοὺς τεθνεῶτας, τῶν ὁποίων τὰ λόγια ἠχοῦσαν μέσα εἰς τὰ αὐτιά των, καὶ ἔφεραν μαζί των τὴν ἀνάμνησιν ἀπὸ τὰ θαύματα ποὺ ἔγιναν εἰς τὴν Αἴγυπτον, εἰς τὴν ἔρημον, ὅλα τὰ ἄλλα, καὶ τὰ ἔφεραν εἰς τὰς χεῖρας των καὶ τὰ εἶχαν γραμμένα εἰς τοὺς παραστάτας τῶν θυρῶν, καὶ ἐχαίροντο τόσον διὰ τὰ θαύματα ποὺ ἔγιναν τότε, καὶ ὅλην τὴν ἄλλην φροντίδα, ὄχι μόνον καθόλου δὲν ὠφελήθησαν, ἀλλὰ καὶ ἐζημιώθησαν, διότι ἔστησαν εἴδωλα μέσα εἰς αὐτὸν τὸν ναόν, καὶ ἔσφαξαν τοὺς υἱοὺς καὶ τὰς θυγατέρας των κάτω ἀπὸ τὰ δένδρα, καὶ εἰς ὁλόκληρον σχεδὸν τὴν Παλαιστίνην ἔκαναν τὰς παρανόμους καὶ καταραμένας ἐκείνας θυσίας, καὶ ἐτόλμησαν ἄλλα ἀναρίθμητα περισσότερον ἄτοπα. Αὐτοὶ ὅμως ἂν καὶ διέμειναν εἰς τὸ μέσον βαρβάρου, ξένης καὶ ἐχθρικῆς χώρας, εἰς κατοικίαν τυραννικήν, στερημένοι ἀπὸ κάθε φροντίδα, ἀπαγόμενοι, καιόμενοι, ὄχι μόνον καθόλου δὲν ἐζημιώθησαν ἀπὸ αὐτά, οὔτε ὀλίγον, οὔτε πολύ, ἀλλὰ καὶ περισσότερον ἔλαμψαν.

Ταῦτ' οὖν εἰδότες, καὶ τὰ τούτοις ἐοικότα συλλέγοντες ἀπὸ τῶν θεοπνεύστων καὶ θείων Γραφῶν (πολλὰ γάρ ἐστιν εὑρεῖν τοιαῦτα ὑποδείγματα καὶ ἐφ' ἑτέρων διαφόρων προσώπων), μήτε δυσκολίαν καιρῶν ἢ πραγμάτων, μήτε ἀνάγκην καὶ βίαν, καὶ τυραννίδα τῶν δυναστευόντων νομίζωμεν ἀρκεῖν ἡμῖν εἰς ἀπολογίαν, ἡνίκα ἂν πλημμελῶμεν. Ὅπερ καὶ ἀρχόμενος εἶπον, εἰς τοῦτο καὶ νῦν καταλύσω τὸν λόγον, ὅτι εἴ τις βλάπτοιτο καὶ ἀδικοῖτο, παρ' ἑαυτοῦ πάντως τοῦτο πάσχει, οὐ παρ' ἑτέρων, κἂν μυρίοι οἱ ἀδικοῦντες καὶ ἐπηρεάζοντες ὦσιν. Ὡς εἴ γε μὴ παρ' ἑαυτοῦ τοῦτο πάθοι, οἱ γῆν ἅπασαν καὶ θάλατταν οἰκοῦντες κοινῇ ἅπαντες, εἰ ἐπέλθοιεν, οὐδὲ μικρὸν τοῦτον παραβλάψαι δυνήσονται τὸν ἐν Κυρίῳ γρηγοροῦντα καὶ νήφοντα.

Νήφωμεν τοίνυν, παρακαλῶ, καὶ γρηγορῶμεν διὰ παντός, καὶ φέρωμεν πάντα γενναίως τὰ λυπηρά, ἵνα τῶν αἰωνίων ἐκείνων καὶ ἀκηράτων ἐπιτύχωμεν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Γνωρίζοντες λοιπὸν αὐτὰ καὶ συγκεντρώνοντες ἀπὸ τὴν θεόπνευστον καὶ θείαν Γραφὴν τὰ ὅμοια πρὸς αὐτὰ (διότι πολλὰ εἶναι δυνατὸν νὰ εὕρῃ κανεὶς τέτοια παραδείγματα καὶ εἰς διάφορα ἄλλα πρόσωπα), ἂς μὴ νομίζωμεν ὅτι, ὅταν ἁμαρτάνωμεν, μᾶς ἀρκοῦν πρὸς ἀπολογίαν δυσκολία καιρῶν ἢ περιστάσεων, ἢ ἀνάγκη καὶ βία καὶ τυραννικὴ ἐξουσία τῶν ἀρχόντων. Ὅ,τι εἶπα εἰς τὴν ἀρχήν, εἰς αὐτὸ τώρα θὰ τελειώσω τὸν λόγον, ὅτι ἂν κανεὶς ζημιώνεται καὶ ἀδικῆται, ὑφίσταται τοῦτο ὁπωσδήποτε ἀπὸ τὸν ἑαυτόν του, ὄχι ἀπὸ τοὺς ἄλλους, ἔστω καὶ ἂν εἶναι ἀναρίθμητοι αὐτοὶ ποὺ τὸν ἀδικοῦν καὶ τὸν βλάπτουν. Διότι, ἂν δὲν πάθῃ τοῦτο ἀπὸ τὸν ἑαυτόν του, ὅλοι μαζὶ ὅσοι κατοικοῦν εἰς ὁλόκληρον τὴν γῆν καὶ τὴν θάλασσαν καὶ ἂν τὸν κτυπήσουν, οὔτε κατ' ἐλάχιστον δὲν θὰ ἠμπορέσουν νὰ βλάψουν αὐτὸν ποὺ γρηγορεῖ καὶ νήφει ἐν Κυρίῳ.

Ἂς προσέχωμεν λοιπόν, σᾶς παρακαλῶ, καὶ ἂς ἀγρυπνοῦμεν πάντοτε, καὶ ἂς ὑποφέρωμεν μὲ γενναιότητα ὅλα ὅσα προκαλοῦν λύπην, διὰ νὰ ἐπιτύχωμεν τὰ αἰώνια ἐκεῖνα καὶ ἄφθαρτα ἀγαθὰ διὰ τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

20

ΕΙΣ ΤΟΥΣ ΑΝΔΡΙΑΝΤΑΣ

ΟΜΙΛΙΑ Α'

Ὁμιλία λεχθεῖσα ἐν Ἀντιοχείᾳ, πρεσβυτέρου αὐτοῦ ὑπάρχοντος, ἐν τῇ παλαιᾷ ἐκκλησίᾳ, εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου, Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας.

1. Ἠκούσατε τῆς ἀποστολικῆς φωνῆς, τῆς σάλπιγγος τῆς ἐκ τῶν οὐρανῶν, τῆς λύρας τῆς πνευματικῆς; Καὶ γὰρ ὡς σάλπιγξ φοβερὸν ἠχοῦσα καὶ πολεικόν, καταπλήττει τοὺς ἐχθρούς, καὶ διανίστησι τῶν οἰκείων τὰ πεπτωκότα φρονήματα, καὶ πολλοῦ θάρσους ἐμπλήσασα ἀκαταγωνίστους ποιεῖ τῷ διαβόλῳ τοὺς προσέχοντας· καὶ ὡς λύρα πάλιν μετὰ πολλῆς τῆς ψυχαγωγίας τέρπουσα, κοιμίζει τῶν ἀτόπων λογισμῶν τὰ πάθη, καὶ πολλὴν ἡμῖν μεθ' ἡδονῆς ἐνίησι τὴν ὠφέλειαν.

Ἠκούσατε τοίνυν σήμερον περὶ πολλῶν καὶ ἀναγκαίων πραγμάτων διαλεγομένου τῷ Τιμοθέῳ; Καὶ γὰρ περὶ χειροτονιῶν πρὸς αὐτὸν ἐπέστελλεν εἰπών· «Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις»· καὶ τὸν ἀφόρητον τῆς τοιαύτης παρανομίας παρέστησε κίνδυνον, δείξας ὅτι τῶν ἑτέροις πεπλημμελημένων ἕτεροι τὴν τιμωρίαν ὑποστήσονται μετ' αὐτῶν ἐκείνων, ὅτι τὴν ἐξουσίαν διὰ τῆς χειροτονίας τῇ πονηρίᾳ παρέχονται. Εἶτα πάλιν φησίν· «Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας». Καὶ περὶ τῆς τῶν οἰκετῶν ὑποταγῆς, καὶ περὶ τῆς τῶν φιλαργύρων μανίας, καὶ περὶ τῆς τῶν πλουτούντων ἀπονοίας, καὶ περὶ πολλῶν ἡμῖν ἑτέρων διελέχθη τήμερον.

---

1. Α' Τιμ. 5, 23.
2. Α' Τιμ. 5, 22.
3. Α' Τιμ. 5, 23.

20

ΕΙΣ ΤΟΥΣ ΑΝΔΡΙΑΝΤΑΣ

ΟΜΙΛΙΑ ΠΡΩΤΗ

Λεχθεῖσα εἰς τὴν 'Αντιόχειαν, ὅταν ἦταν πρεσβύτερος, εἰς τὴν παλαιὰν ἐκκλησίαν εἰς τὸ ρητὸν τοῦ 'Αποστόλου «Νὰ χρησιμοποιῇς ὀλίγον οἶνον διὰ τὸ στομάχι σου καὶ τὰς συχνὰς ἀσθενείας σου»[1]

1. Ἠκούσατε τὴν ἀποστολικὴν φωνήν, τὴν σάλπιγγα ποὺ προέρχεται ἀπὸ τοὺς οὐρανούς, τὴν λύραν τὴν πνευματικήν; Καθόσον σὰν σάλπιγγα ποὺ ἠχεῖ δυνατὰ καὶ πολεμικὰ καὶ προξενεῖ τρόμον εἰς τοὺς ἐχθροὺς καὶ ἀνυψώνει τὰ φρονήματα ποὺ ἔχουν πέσει τῶν ἰδικῶν μας καὶ ἀφοῦ δώσῃ πολὺ θάρρος εἰς ἐκείνους ποὺ προσέχουν τοὺς κάνει ἀκαταμαχήτους εἰς τὸν διάβολον· καὶ σὰν λύρα πάλιν, ἡ ὁποία μὲ πολλὴν ψυχαγωγίαν εὐχαριστεῖ, ἀποκοιμίζει τὰ πάθη τῶν ἀτόπων λογισμῶν καὶ μᾶς προξενεῖ πολὺν ὠφέλειαν μὲ εὐχαρίστησιν.

Ἠκούσατε λοιπὸν νὰ ὁμιλῇ ὁ Παῦλος περὶ πολλῶν καὶ ἀναγκαίων πραγμάτων πρὸς τὸν Τιμόθεον; Διότι καὶ περὶ τῶν χειροτονιῶν τοῦ ἔγραψε καὶ τοῦ εἶπεν· «Εἰς κανένα μὴ ἐπιθέτῃς γρήγορα τὰ χέρια καὶ νὰ μὴ γίνεσαι συμμέτοχος εἰς ξένας ἁμαρτίας»[2]· καὶ παρουσίασε τὸν ἀνυπόφορον κίνδυνον τῆς τοιαύτης παρανομίας μὲ τὸ νὰ ἀποδείξῃ ὅτι διὰ τὰ ἁμαρτήματα τῶν ἄλλων ἄλλοι θὰ τιμωρηθοῦν μαζὶ μὲ ἐκείνους διότι παρέχουν εἰς πονηροὺς καὶ ἀναξίους τὴν ἱερατικὴν ἐξουσίαν διὰ τῆς χειροτονίας. Ἔπειτα πάλιν λέγει· «Νὰ χρησιμοποιῇς ὀλίγον οἶνον διὰ τὸ στομάχι σου καὶ τὰς συχνὰς ἀσθενείας σου»[3]. Καὶ περὶ τῆς ὑποταγῆς τῶν ὑπηρετῶν, καὶ περὶ τῆς μανίας τῶν φιλαργύρων, καὶ περὶ τῆς ἀνοησίας τῶν πλουσίων, καὶ περὶ πολλῶν ἄλλων ζητημάτων μᾶς ὡμίλησε σήμερον.

Ἐπεὶ οὖν ἅπαντα ἐπελθεῖν ἀδύνατον, τί βούλεσθε τῶν εἰρημένων προχειρισάμενοι πρὸς τὴν ὑμετέραν ἀγάπην εἴπωμεν; Καθάπερ γὰρ ἐν λειμῶνι πολλὰ καὶ ποικίλα ὁρῶ τῆς ἀναγνώσεως τὰ ἄνθη, καὶ πολλὴν μὲν τὴν ροδωνιάν, πολλὰ δὲ τὰ ἴα, καὶ οὐκ ἐλάττω τὰ κρίνα, ἀλλὰ ποικίλον πανταχοῦ καὶ δαψιλῆ τοῦ πνεύματος διεσπαρμένον τὸν καρπόν, καὶ πολλὴν τὴν εὐωδίαν. Μᾶλλον δὲ οὐχὶ λειμὼν μόνον, ἀλλὰ καὶ παράδεισός ἐστι τῶν θείων Γραφῶν ἡ ἀνάγνωσις· οὐ γὰρ εὐωδίαν ψιλὴν ἔχει ταῦτα τὰ ἄνθη μόνον, ἀλλὰ καὶ καρπὸν ψυχὴν τρέφειν δυνάμενον. Τί τοίνυν βούλεσθε τῶν εἰρημένων εἰς μέσον ἀγάγωμεν τήμερον; Βούλεσθε ὃ δοκεῖ πάντων εὐτελέστερον εἶναι, καὶ τοῖς τυχοῦσιν εὐσύνοπτον, τοῦτο μεταχειρισώμεθα νῦν; Ἐμοί γε δοκεῖ, καὶ ὑμῖν εὖ οἶδ' ὅτι συνδόξει.

Τί ποτ' οὖν ἐστι τῶν ἄλλων εὐκολώτερον; Τί δὲ ἕτερον, ἀλλ' ἢ ὃ καὶ τῷ τυχόντι δοκεῖ ῥάδιον εἶναι, καὶ εὐσύνοπτον εἰπεῖν; Ποῖον δὴ τοῦτο; «Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας». Φέρε οὖν πᾶσαν τὴν διάλεξιν εἰς ταύτην τὴν ῥῆσιν καταναλώσωμεν.

Ποιοῦμεν δὲ τοῦτο οὐ φιλοτιμίας ἕνεκεν, οὐδὲ τῆς ἐν τῷ λέγειν δυνάμεως παρασχεῖν ἀπόδειξιν σπουδάζοντες (οὐ γὰρ ἡμέτερα τὰ λεγόμενα, ἀλλ' ἅπερ ἂν ἡ τοῦ Πνεύματος ἐμπνεύσῃ χάρις), καὶ ἵνα τοὺς ῥᾳθυμοτέρους τῶν ἀκροατῶν διεγείρωμεν, καὶ πείσωμεν πόσος τῶν Γραφῶν ὁ θησαυρός, καὶ ὡς οὐκ ἀσφαλὲς τὸ παρατρέχειν, οὐδὲ ἀκίνδυνον. Εἰ γὰρ ἡ ψιλὴ ῥῆσις αὕτη καὶ εὐσύνοπτος, καὶ μηδὲν ἔχειν ἀναγκαῖον δοκοῦσα τοῖς πολλοῖς, φανείη πολλοῦ πλούτου παρέχουσα προφάσεις ἡμῖν καὶ ἀφορμὰς φιλοσοφίας τῆς ἀνωτάτω, πολλῷ μᾶλλον ἐκεῖνα, τὰ καὶ αὐτόθεν τὴν οἰκείαν εὐπο-

---

4. Α' Τιμ. 5, 23.

Ἐπειδὴ λοιπὸν ὅλα αὐτὰ εἶναι ἀδύνατον νὰ τὰ ἐξετάσωμεν, τί θέλετε ἐξ αὐτῶν νὰ ἐκλέξωμεν καὶ νὰ ἀναπτύξωμεν πρὸς τὴν ἀγάπην σας; Διότι βλέπω πολλὰ καὶ διάφορα τὰ ἄνθη τῆς ἀναγνωσθείσης περικοπῆς ὡσὰν εἰς λιβάδι, καὶ πολλὰ μὲν τὰ τριαντάφυλλα, πολλὰ δὲ τὰ ἴα, ὄχι δὲ ὀλιγώτερα τὰ κρίνα, ἀλλὰ παντοῦ μὲ ποικιλίαν καὶ ἀφθονίαν βλέπω διασκορπισμένον τὸν καρπὸν τοῦ πνεύματος καὶ πολλὴν τὴν εὐωδίαν. Μᾶλλον δὲ ὄχι μὲ λιβάδι μόνον, ἀλλὰ καὶ μὲ παράδεισον ὁμοιάζει ἡ ἀνάγνωσις τῆς θείας Γραφῆς· διότι τὰ ἄνθη αὐτῆς δὲν δίδουν μόνον ἁπλῆν εὐωδίαν, ἀλλὰ καὶ καρπὸν ὁ ὁποῖος ἠμπορεῖ νὰ τρέφῃ τὴν ψυχήν. Τί λοιπὸν θέλετε ἀπὸ ὅσα ἔχομεν εἴπει νὰ φέρωμεν εἰς τὸ μέσον σήμερον πρὸς ἐξέτασιν; Θέλετε αὐτὸ ποὺ φαίνεται ἐξ ὅλων ἁπλούστατον καὶ κατανοητὸν εἰς τοὺς τυχόντας, αὐτὸ νὰ ἐξετάσωμεν τώρα; Ἐγὼ αὐτὸ σκέπτομαι καὶ γνωρίζω καλὰ ὅτι καὶ σεῖς τὸ ἴδιο σκέπτεσθε.

Ποῖο λοιπὸν εἶναι εὐκολώτερον ἀπὸ ὅλα; Ποῖο ἄλλο παρὰ ἐκεῖνο ποὺ φαίνεται εἰς τὸν τυχόντα ὅτι εἶναι εὔκολον νὰ τὸ κατανοήσῃ; Ποῖο εἶναι αὐτό; «Νὰ χρησιμοποιῇς ὀλίγον οἶνον διὰ τὸ στομάχι σου καὶ τὰς συχνάς σου ἀσθενείας»[4]. Ἐμπρὸς λοιπὸν ἂς ἀφιερώσωμεν τὴν ὁμιλίαν ὅλην εἰς αὐτὸ τὸ ρητόν.

Καὶ τὸ κάμνομεν αὐτὸ ὄχι διὰ νὰ ἀποκτήσωμεν τιμήν, οὔτε διὰ νὰ κάμωμεν ἐπίδειξιν εἰς τὸν λόγον (διότι τὰ λεγόμενα δὲν εἶναι ἰδικά μας ἐπινοήματα, ἀλλὰ προέρχονται ἐξ ἐμπνεύσεως τοῦ ἁγίου Πνεύματος), ἀλλὰ τὸ κάμνομεν διὰ νὰ διεγείρωμεν τοὺς πλέον ραθυμοτέρους ἐκ τῶν ἀκροατῶν καὶ νὰ τοὺς πείσωμεν πόσον πολύτιμος εἶναι ὁ θησαυρὸς τῶν ἁγίων Γραφῶν, καὶ ὅτι δὲν εἶναι ἀσφαλὲς οὔτε ἀκίνδυνον νὰ τὰς παρατρέχῃ κανείς. Διότι ἂν ἡ ἁπλῆ καὶ εὐκολοκατανόητος αὐτὴ περικοπή, ποὺ φαίνεται εἰς τοὺς πολλοὺς ὅτι δὲν ἔχει ἀνάγκην ἐξηγήσεως, θὰ φανῇ ὅτι μᾶς παρέχει τὰ μέσα διὰ νὰ ἀποκτήσωμεν πνευματικὸν πλοῦτον, καὶ ἀφορμὰς νὰ ἀνέλθωμεν εἰς ἀνωτέρας φιλοσοφικὰς σφαίρας, πολὺ περισσότερον ἐκεῖναι, ποὺ ὁλοφάνερα δείχνουν τὸν πλοῦτον των, θὰ συντελέσουν, ὥστε νὰ

ρίαν ἐπιδεικνύμενα, μυρίων ἐμπλήσει θησαυρῶν τοὺς προσέχοντας. Μὴ τοίνυν μηδὲ τὰ νομιζόμενα εἶναι ψιλὰ τῶν Γραφῶν νοήματα παρατρέχωμεν· τῆς γὰρ ἀπὸ τοῦ Πνεύματος χάριτός ἐστι καὶ ταῦτα· Πνεύματος δὲ χάρις οὐδέ ποτέ ἐστι μικρὰ καὶ εὐτελής, ἀλλὰ μεγάλη καὶ θαυμασία καὶ τῆς τοῦ δεδωκότος ἀξία μεγαλοδωρίας. Μὴ τοίνυν παρέργως ἀκούσωμεν, ἐπεὶ καὶ οἱ τὴν μεταλλικὴν ἑψῶντες γῆν, ἐπειδὰν εἰς τὸ χωνευτήριον αὐτὴν ἐμβάλωσιν, οὐχὶ τὰς μάζας τοῦ χρυσοῦ μόνον ἀναιροῦνται, ἀλλὰ καὶ τὰ μικρὰ ψήγματα μετὰ πολλῆς συλλέγουσι τῆς ἀκριβείας. Ἐπεὶ οὖν καὶ ἡμεῖς χρυσίον ἕψομεν ἀπὸ τῶν μετάλλων ἀνελόμενοι τῶν ἀποστολικῶν, οὐκ εἰς χωνευτήριον ἐμβάλλοντες, ἀλλ' εἰς τὴν διάνοιαν τῆς ὑμετέρας ψυχῆς καθιέντες, οὐχὶ φλόγα ἀνακαίοντες, ἀλλὰ τὸ πῦρ τοῦ πνεύματος ἀνάπτοντες, μετὰ ἀκριβείας καὶ τὰ μικρὰ ψήγματα ἀναλεγώμεθα. Εἰ γὰρ καὶ βραχεῖα ἡ ῥῆσις, ἀλλὰ πολλὴ ἡ δύναμις· ἐπεὶ καὶ οἱ μαργαρῖται οὐκ ἐν τῷ τοῦ σώματος ὄγκῳ, ἀλλ' ἐν τῷ κάλλει τὴν οἰκείαν εὐπορίαν ἔχουσιν, οὕτω καὶ τῶν θείων Γραφῶν ἡ ἀνάγνωσις. Ἡ μὲν γὰρ ἔξωθεν παίδευσις πολὺν ἀνελίττουσα λῆρον, καὶ πολλὴν καταχέουσα τῶν ἀκροατῶν φλυαρίαν, κεναῖς τοὺς ἀκροατὰς ἀποπέμπει χερσί, καὶ οὐδὲν οὔτε μέγα οὔτε μικρὸν καρπωσαμένους καλόν· ἡ δὲ τοῦ Πνεύματος χάρις οὐχ οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν διὰ μικρῶν ῥημάτων πᾶσι τοῖς προσέχουσι φιλοσοφίαν ἐντίθησι· καὶ ἀρκεῖ ῥῆμα πολλάκις ἓν λαβόντας ἐντεῦθεν, πάσης τῆς ζωῆς ἔχειν ἐφόδιον.

2. Ἐπεὶ οὖν τοσοῦτος ὁ πλοῦτος, διεγείρωμεν ἑαυτούς, καὶ νηφούσῃ τῇ διανοίᾳ τὰ λεγόμενα ὑποδεξώμεθα· καὶ γὰρ πρὸς πολὺ βάθος τὸν λόγον καθεῖναι παρασκευάζομαι. Πολλοῖς γὰρ καὶ παρέλκειν ἔδοξεν ἡ παραίνεσις αὕτη, καὶ περιττή τις εἶναι· καὶ τοιαῦτα λέγουσι ῥήματα· Οὐκ ἠδύνατο

---

5. Θύραθεν ἢ ἐξωτερικὴ ἐκαλεῖτο ἡ ἐθνικὴ (εἰδωλολατρικὴ) παιδεία.

ἀποκτήσουν ἀναριθμήτους θησαυροὺς ὅσοι προσέχουν εἰς αὐτάς. Ἂς μὴ παρατρέχωμεν λοιπὸν οὔτε ὅσα χωρία τῶν Γραφῶν φαίνονται ὅτι εἶναι ἁπλᾶ εἰς τὸ νόημα· διότι καὶ αὐτὰ ἀπὸ τὴν χάριν τοῦ ἁγίου Πνεύματος προέρχονται· ἡ χάρις δὲ τοῦ ἁγίου Πνεύματος ποτὲ δὲν εἶναι μικρὰ καὶ ἄνευ ἀξίας, ἀλλὰ μεγάλη καὶ θαυμασία καὶ ἀνταξία τῆς μεγαλοδωρίας ἐκείνου ποὺ τὴν ἔδωκεν. Ἂς μὴ ἀκούσωμεν λοιπὸν τὴν ὁμιλίαν αὐτὴν χωρὶς μεγάλην προσοχήν, διότι καὶ ἐκεῖνοι ποὺ ψήνουν χώματα ποὺ ἔχουν μέταλλα, ὅταν τὰ βάλουν εἰς τὸ χωνευτήρι, δὲν παίρνουν μόνον τὰς μεγάλας ποσότητας τοῦ χρυσοῦ, ἀλλὰ μὲ πολλὴν προσοχὴν μαζεύουν καὶ τὰ μικρὰ κομματάκια. Ἐπειδὴ λοιπὸν καὶ ἐμεῖς θὰ ψήσωμεν χρυσὸν ἀπὸ τὰ μέταλλα τῶν ἀποστολικῶν περικοπῶν, θέτοντες ὄχι εἰς τὸ χωνευτήρι, ἀλλὰ εἰς τὴν κρίσιν τῆς ψυχῆς σας, καὶ ἀνάπτοντες ὄχι ὑλικὴν φωτιάν, ἀλλὰ τὴν φωτιὰν τὴν πνευματικήν, μὲ μεγάλην προσοχὴν ἂς μαζεύσωμεν καὶ τὰ μικρὰ κομματάκια. Διότι ἂν καὶ μικρὸν τὸ ρητόν, ὅμως ἔχει μεγάλην δύναμιν· καθόσον καὶ τὰ μαργαριτάρια δὲν ὀφείλουν τὴν ἀξίαν των εἰς τὸν ὄγκον των ἀλλὰ εἰς τὴν φυσικήν των καλλονήν, τὸ ἴδιο συμβαίνει καὶ εἰς τὴν ἀνάγνωσιν τῶν θείων Γραφῶν. Διότι ἡ μὲν ἐξωτερικὴ παιδεία[5] ἐπειδὴ ἀσχολεῖται μὲ πολλὰς μωρολογίας καὶ προσφέρει εἰς τοὺς ἀκροατὰς αὐτῆς μεγάλην φλυαρίαν, στέλλει αὐτοὺς ὀπίσω μὲ ἄδεια χέρια, χωρὶς νὰ ἀπολαύσουν τίποτε οὔτε μικρὰν οὔτε μεγάλην ὠφέλειαν· ἡ χάρις ὅμως τοῦ Πνεύματος δὲν κάνει τὸ ἴδιο, ἀλλὰ ἐντελῶς τὸ ἀντίθετον, μὲ σύντομα λόγια εἰς ὅλους ὅσους προσέχουν ἐμβάλλει τὸν χριστιανικὸν τρόπον ζωῆς· καὶ ἀρκεῖ πολλὲς φορὲς ἕνα ρητὸν ποὺ ἔλαβον ἀπὸ ἐδῶ νὰ τὸ ἔχουν ἐφόδιον εἰς ὅλην των τὴν ζωήν.

2. Ἐπειδὴ λοιπὸν εἶναι τόσον μεγάλος ὁ πλοῦτος τῆς Γραφῆς, ἂς προσέξωμεν καὶ ἂς ὑποδεχθῶμεν ὅσα θὰ εἴπωμεν μὲ καθαρὰν ψυχήν, διότι ἑτοιμάζομαι νὰ ρίψω τὸν λόγον εἰς πολὺ βάθος. Καὶ εἶναι ἀνάγκη νὰ γίνῃ αὐτό, διότι εἰς πολλοὺς ἡ προτροπὴ αὐτὴ τοῦ ἀποστόλου ἐφάνη ἄσκοπος καὶ περιττή· καὶ λέγουν τὰ ἑξῆς: Δὲν ἠμποροῦσε μόνος

ἀφ' ἑαυτοῦ συνιδεῖν ὁ Τιμόθεος ᾧτινι κεχρῆσθαι ἔδει, ἀλλ' ἀνέμεινε παρὰ τοῦ διδασκάλου μαθεῖν; Εἶτα ὁ διδάσκαλος οὐ μόνον ἐπέταξεν, ἀλλὰ καὶ γράμμασιν ἐναπέθετο, καθάπερ ἐν στήλῃ χαλκῇ, τῇ πρὸς αὐτὸν ἐγκολάψας ἐπιστολῇ· καὶ οὐκ ἠρυθρίασεν ὑπὲρ τοιούτων ἐπιστεῖλαι δημοσίᾳ γράφων τῷ μαθητῇ; Ἵνα οὖν μάθῃς, ὅτι οὐ μόνον οὐ παρέλκει ἡ παραίνεσις, ἀλλ' ἀναγκαία καὶ χρησιμωτάτη γέγονε, καὶ οὐχὶ Παύλου ἐστὶ τοῦτο, ἀλλὰ τῆς τοῦ Πνεύματος χάριτος, οὐ τὸ λεχθῆναι μόνον λέγω, ἀλλὰ καὶ τὸ γράμμασιν ἐντεθῆναι, καὶ πᾶσι τοῖς γίνεσθαι μέλλουσι διὰ τῆς ἐπιστολῆς παραδοθῆναι ταύτης, ἐπ' αὐτὴν βαδιοῦμαι λοιπὸν τὴν ἀπόδειξιν. Μετὰ γὰρ τῶν εἰρημένων κα ἕτερον τοῦτο οὐκ ἔλαττον διαποροῦσί τινες, ζητοῦντες πρὸς ἑαυτοὺς τίνος ἕνεκεν συνεχώρησεν ὁ Θεὸς ἄνδρα τοσαύτην ἔχοντα παρρησίαν, οὗ τὰ ὀστᾶ καὶ τὰ λείψανα δαίμονας ἀπήλαυνεν, ἀρρωστίᾳ τοσαύτῃ περιπεσεῖν· οὐ γὰρ ἁπλῶς ἐνόσει, ἀλλ' ἀεί, καὶ διηνεκῶς, καὶ ἐπαλλήλοις καὶ συνεχέσιν ἀρρωστίαις, οὐδὲ μικρὸν αὐτῷ παρεχούσαις ἀναπνεῖν. Πόθεν τοῦτο δῆλον; Ἐξ αὐτῶν τῶν τοῦ Παύλου ῥημάτων· οὐ γὰρ εἶπε, διὰ τὴν ἀσθένειαν, ἀλλὰ «Διὰ τὰς ἀσθενείας», καὶ οὐδὲ ἁπλῶς ἀσθενείας ἀλλὰ τὸ συνεχὲς αὐτῶν δηλῶν ἔλεγε, «Τὰς πυκνάς σου ἀσθενείας». Ἀκουέτωσαν ὅσοι μακρᾷ παραδοθέντες νόσῳ δυσανασχετοῦσι καὶ ἀπαγορεύουσιν.

Οὐ τοῦτο δέ ἐστι τὸ ζητούμενον μόνον, ὅτι ἅγιος ὢν ἐνόσει, καὶ οὕτως ἐνόσει συνεχῶς, ἀλλ' ὅτι καὶ τὰ κοινὰ τῆς οἰκουμένης ἦν ἐμπεπιστευμένος πράγματα. Εἰ μὲν γὰρ εἷς ἐκείνων ἦν τῶν εἰς τὰς κορυφὰς τῶν ὀρέων ἀνακεχωρηκότων, καὶ τῶν ἐπὶ τῆς ἐρημίας καλύβην πηξαμένων, καὶ τῶν ἀπράγμονα τοῦτον ἀνῃρημένων βίον, οὐκ ἦν οὕτως ἄπορον τὸ ζητούμενον· τὸ δὲ εἰς μέσον προβεβλημένον, καὶ τοσούτων ἐκκλησιῶν ἐγκεχειρισμένον φροντίδας, καὶ πόλεις ὁλοκλήρους καὶ ἔθνη καὶ τὴν οἰκουμένην ἅπασαν μετὰ τοσαύτης διέποντα προθυμίας τε καὶ σπουδῆς, τῇ τῆς ἀρρωστίας ἀνάγκῃ

του ὁ Τιμόθεος νὰ καταλάβῃ τί ἔπρεπε νὰ χρησιμοποιῇ, ἀλλὰ ἐπερίμενε νὰ τὸ μάθῃ ἀπὸ τὸν διδάσκαλόν του; Ἔπειτα ὁ διδάσκαλος ὄχι μόνον συνέστησεν αὐτά, ἀλλὰ καὶ τὰ ἔγραψεν εἰς τὴν ἐπιστολὴν πρὸς αὐτόν, ὡς εἰς χαλκίνην στήλην· καὶ δὲν ἐντράπηκε νὰ γράψῃ εἰς τὸν μαθητὴν διὰ τοιαῦτα ζητήματα ποὺ θὰ ἐδιαβάζοντο δημοσίᾳ; Διὰ νὰ μάθῃς λοιπὸν ὅτι ὄχι μόνον δὲν ἦτο περιττὴ ἡ σύστασις αὐτή, ἀλλὰ ἀντιθέτως ἦτο ἀναγκαία καὶ χρησιμωτάτη, καὶ ὅτι τοῦτο δὲν εἶναι ἔργον τοῦ Παύλου, ἀλλὰ τῆς χάριτος τοῦ ἁγίου Πνεύματος, τὸ ὅτι δηλαδὴ δὲν ἐλέχθη μόνον ἀλλὰ καὶ ἐγράφη εἰς τὴν ἐπιστολήν, ὥστε νὰ γίνῃ γνωστὸν διὰ τῆς ἐπιστολῆς εἰς τοὺς μεταγενεστέρους, μὲ αὐτὴν τὴν ἀπόδειξιν τώρα θὰ ἀσχοληθῶ. Διότι ἐκτὸς τῶν ἀνωτέρω πολλοὶ ἔχουν καὶ ἄλλην ὄχι μικρὰν ἀπορίαν, ζητοῦντες νὰ μάθουν, διατί ἐπέτρεψεν ὁ Θεὸς ἄνθρωπον μὲ τόσην παρρησίαν, τοῦ ὁποίου τὰ ὀστᾶ καὶ τὰ λείψανα ἐξεδίωκαν δαίμονας, νὰ πέσῃ εἰς τόσην ἀσθένειαν· διότι δὲν εἶχε κάποιαν ἁπλῆν καὶ προσωρινὴν ἀσθένειαν, ἀλλὰ ἦτο συνεχῶς ἀσθενὴς καὶ διαρκῶς, καὶ εἶχε συνεχεῖς καὶ ἀλλεπαλλήλους ἀσθενείας, ποὺ δὲν τὸν ἄφηναν οὔτε ὀλίγον νὰ ἀναπνεύσῃ. Ἀπὸ ποῦ φαίνεται τοῦτο; Ἀπὸ αὐτὰ τὰ λόγια τοῦ Παύλου· διότι δὲν εἶπε διὰ τὴν ἀσθένειάν σου, ἀλλὰ «διὰ τὰς ἀσθενείας σου» καὶ ὄχι ἁπλῶς ἀσθενείας, ἀλλὰ διὰ νὰ φανερώσῃ ὅτι ἦσαν συνεχεῖς εἶπε «τὰς συχνὰς ἀσθενείας σου». Ἂς ἀκούσουν τοῦτο ὅσοι, ἐπειδὴ ἠσθένησαν ἐπὶ μακρὸν χρόνον, δυσανασχετοῦν καὶ ἀπελπίζονται.

Ἀλλὰ δὲν εἶναι μόνον αὐτὸ τὸ ζήτημα, ὅτι δηλαδὴ ἐνῷ ἦτο ἅγιος ἀσθενοῦσε, καὶ μάλιστα τόσο συχνά, ἀλλὰ ὅτι καὶ εἰς αὐτὸν εἶχον ἐμπιστευθῆ τὰ κοινὰ πράγματα τῆς οἰκουμένης. Διότι ἂν ἦτο ἕνας ἐξ ἐκείνων ποὺ ἀνεχώρησαν διὰ τὰς κορυφὰς τῶν βουνῶν καὶ ἔστησαν εἰς τὴν ἔρημον τὴν καλύβαν των, καὶ ἐδιάλεξαν τὸν ἥσυχον αὐτὸν βίον, δὲν θὰ εἶχε καμμίαν ἀπορίαν τὸ πρᾶγμα· τὸ νὰ μένῃ ὅμως εἰς τὸ μέσον τοῦ κόσμου, καὶ νὰ ἔχῃ τὰς φροντίδας τόσον ἐκκλησιῶν, καὶ νὰ κυβερνᾷ πόλεις ὁλοκλήρους καὶ ἔθνη καὶ ὅλην τὴν οἰκουμένην μὲ προθυμίαν, νὰ παραδοθῇ εἰς

παραδοθῆναι, τοῦτό ἐστι τὸ μάλιστα πάντων ἱκανὸν θορυβῆσαι τὸν μὴ προσέχοντα. Εἰ γὰρ καὶ μὴ δι' ἑαυτόν, διά γ' οὖν τοὺς ἄλλους ὑγιαίνειν αὐτὸν ἐχρῆν. Στρατηγὸς ἦν ἄριστος· πόλεμος αὐτῷ συγκεκρότητο, φησίν, οὐχὶ πρὸς τοὺς ἀπίστους μόνον, ἀλλὰ καὶ πρὸς τοὺς δαίμονας, καὶ πρὸς αὐτὸν τὸν διάβολον· μετὰ πολλῆς τῆς σφοδρότητος οἱ πολέμιοι πάντες ἐπέκειντο, διασπῶντες τὸ στρατόπεδον, καὶ αἰχμαλωτίζοντες· οὗτος δ' ἠδύνατο μυρίους ἐπὶ τὴν ἀλήθειαν ἐπαναγαγεῖν, καὶ ἠσθένει. Εἰ γὰρ καὶ μηδεμία, φησίν, ἑτέρα βλάβη τοῖς πράγμασιν ἀπὸ τῆς ἀρρωστίας ἐγίνετο, τοῦτο μόνον ἱκανὸν ἦν τοὺς πιστοὺς ὀκνηροτέρους καὶ ῥαθυμοτέρους ποιῆσαι. Εἰ γὰρ στρατιῶται τὸν στρατηγὸν τὸν ἑαυτῶν ὁρῶντες τῇ κλίνῃ προσδεδεμένον, ὀκνηρότεροι γίνονται καὶ πρὸς τὴν μάχην ῥαθυμότεροι· πολλῷ μᾶλλον εἰκὸς ἦν, καὶ τοὺς πιστοὺς τότε τὸν διδάσκαλον ὁρῶντας τὸν τοσαῦτα σημεῖα ἐργασάμενον συνεχῶς ἀρρωστοῦντα, καὶ τὸ σῶμα κάμνοντα, ἀνθρώπινόν τι παθεῖν. Οὐ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ ἕτερόν τι οἱ διαποροῦντες ζητοῦσι· τίνος γὰρ ἕνεκεν πάλιν οὔτε αὐτὸς ἑαυτόν, οὔτε ὁ διδάσκαλος αὐτοῦ οὕτω διακείμενον ἐθεράπευσεν; ἀλλὰ νεκροὺς μὲν ἤγειρον, καὶ δαίμονας ἀπήλαυνον, καὶ θανάτου μετὰ περιουσίας ἐκράτουν, σῶμα δὲ ἓν ἠσθενηκὸς οὐ διώρθωσαν, ἀλλ' ἐν ἀλλοτρίοις σώμασι καὶ ζῶντες καὶ τετελευτηκότες τοσαύτην ἐπιδεδειγμένοι δύναμιν, στόμαχον καταπεσόντα οὐκ ἀνέστησαν· καὶ τὸ δὴ μεῖζον, ὅτι οὐκ αἰσχύνεται Παῦλος οὐδὲ ἐρυθριᾷ μετὰ τοσαῦτα καὶ τηλικαῦτα σημεῖα, ἃ καὶ διὰ ψιλοῦ ῥήματος ἐπεδείκνυτο, Τιμοθέῳ γράφων ἐπὶ τὴν ἀπὸ τῆς οἰνοποσίας καταφυγεῖν θεραπείαν. Οὐχ ὅτι τὸ πίνειν οἶνον αἰσχρόν, μὴ γένοιτο· αἱρετικῶν γὰρ ταῦτα παραγγέλματα· ἀλλ' ὅτι οὐκ ἐνόμιζεν αἰσχύνην εἶναι τὸ μὴ δύνασθαι χωρὶς τῆς ἐκείνου βοηθείας διορθώσασθαι νενοσηκὸς ἓν μέλος. Ἀλλ' ὅ-

τὸν περιορισμὸν τῆς ἀσθενείας, αὐτὸ εἶναι ἐκεῖνο ποὺ περισσότερον ἀπὸ κάθε ἄλλο προξενεῖ σύγχυσιν εἰς ἐκεῖνον ποὺ δὲν βλέπει βαθύτερα. Διότι ἂν ὄχι διὰ τὸν ἑαυτόν του, τουλάχιστον διὰ τοὺς ἄλλους ἔπρεπε νὰ ὑγιαίνῃ. Ἦτο ἄριστος στρατηγός· εἶχε κηρύξει πόλεμον ὄχι μόνον ἐναντίον τῶν ἀπίστων, ἀλλὰ καὶ ἐναντίον τῶν δαιμόνων καὶ αὐτοῦ τοῦ διαβόλου· τοῦ ἐπετίθεντο οἱ ἐχθροὶ μὲ μεγάλην μανίαν, διασκορπίζοντες καὶ αἰχμαλωτίζοντες τὸ στρατόπεδον· αὐτὸς ἠμποροῦσε νὰ ἐπαναφέρῃ πάρα πολλοὺς εἰς τὴν ἀλήθειαν, καὶ ὅμως ἦτο ἀσθενής. Διότι καὶ ἂν ἀκόμη καμμία ἄλλη, λέγει, ζημία δὲν ἐγίνετο ἀπὸ τὴν ἀσθένειάν του εἰς τὰ ἐκκλησιαστικὰ πράγματα, αὐτὴ μόνη ἦτο ἱκανὴ νὰ κάμῃ τοὺς πιστοὺς πιὸ ὀκνηροὺς καὶ πιὸ ραθύμους. Ἐπειδή, ἂν οἱ στρατιῶται, ὅταν βλέπουν τὸν στρατηγόν τους δεμένον εἰς τὸ κρεββάτι λόγῳ ἀσθενείας, γίνονται πιὸ ὀκνηροὶ καὶ πιὸ ράθυμοι διὰ τὴν μάχην, πολὺ περισσότερον ἦτο φυσικὸν καὶ οἱ πιστοὶ τότε, βλέποντες τὸν διδάσκαλον ποὺ εἶχε κάνει τόσα θαύματα, συνεχῶς νὰ ἀσθενῇ καὶ νὰ ὑποφέρῃ, νὰ πάθουν κάτι τὸ ἀνθρώπινον. Ὄχι μόνον αὐτά, ἀλλὰ καὶ κάτι ἄλλο ζητοῦν νὰ μάθουν αὐτοὶ ποὺ προβάλλουν τὰς ἀπορίας αὐτάς· διὰ ποῖον λόγον πάλιν οὔτε ὁ ἴδιος δὲν ἐθεράπευε τὸν ἑαυτόν του, οὔτε ὁ διδάσκαλός του, ἀφοῦ εὑρίσκετο εἰς αὐτὴν τὴν κατάστασιν; καὶ ἐνῷ ἀνέσταινον νεκροὺς καὶ ἐξεδίωκον δαίμονας καὶ ἦσαν κύριοι τοῦ θανάτου μὲ μεγάλην δύναμιν, ἕνα ἀσθενὲς σῶμα δὲν ἐθεράπευσαν, ἀλλὰ εἰς ξένα σώματα καὶ ζῶντες καὶ μετὰ τὸν θάνατόν τους ἔδειξαν ὅτι ἔχουν μεγάλην δύναμιν, ἕνα στομάχι ἀσθενὲς δὲν ἐθεράπευσαν· καὶ τὸ σπουδαιότερον, ὅτι δὲν ἐντρέπεται καὶ δὲν κοκκινίζει ὁ Παῦλος ὕστερα ἀπὸ τόσα καὶ μεγάλα θαύματα, ποὺ ἔκαμε μὲ ἕνα ἁπλοῦν λόγον, γράφων πρὸς τὸν Τιμόθεον καταφεύγει εἰς τὴν διὰ τῆς οἰνοποσίας θεραπείαν τοῦ στομάχου. Ὄχι διότι τὸ νὰ πίνῃ κανεὶς κρασὶ εἶναι κακὸν πρᾶγμα, κάθε ἄλλο· αὐτὰ εἶναι λόγια τῶν αἱρετικῶν· ἀλλὰ ἐπειδὴ δὲν ἐθεώρει ἐντροπὴν τὸ νὰ μὴ ἠμπορῇ χωρὶς βοήθειαν τοῦ κρασιοῦ νὰ θεραπεύσῃ ἕνα ἄρρωστον μέλος τοῦ σώματος. Τόσον μακρυὰ ἦτο ἀπὸ τέτοιας

μως τοσοῦτον ἀπέσχεν αἰσχυνθῆναι ἐπὶ τούτῳ, ὃ καὶ τοῖς μετὰ ταῦτα πᾶσι δῆλον αὐτὸ ἐποίησεν. Ἴδετε πρὸς πόσον βάθος κατηγάγομεν τὸν λόγον; πῶς τὸ δοκοῦν μικρὸν εἶναι, μυρίων γέμει ζητημάτων; Φέρε οὖν καὶ τὴν λύσιν ἐπαγάγωμεν. Διὰ γὰρ τοῦτο πρὸς πολὺ βάθος κατέβημεν, ἵνα διεγείραντες ὑμῶν τὴν διάνοιαν, ἐν ἀσφαλεῖ τὰ νοήματα ἀποθώμεθα.

3. Συγχωρήσατε δέ μοι, πρὶν ἢ τὴν λύσιν τοῖς ζητήμασι τούτοις ἐπαγαγεῖν, εἰπεῖν τι περὶ τῆς ἀρετῆς τοῦ Τιμοθέου, καὶ τῆς τοῦ Παύλου κηδεμονίας. Τί γὰρ ἐκείνου φιλοστοργότερον γέγονεν, ὃς ἐκ τοσούτου διαστήματος ὢν καὶ τοσούτοις κυκλούμενος πράγμασιν, ὑπὲρ τῆς ὑγείας τοῦ στομάχου τοῦ μαθητοῦ τοσαύτην ἐποιεῖτο πρόνοιαν, καὶ μετὰ ἀκριβείας ἐπέστελλεν ὑπὲρ τῆς τοῦ νοσήματος διορθώσεως;

Τί δὲ τῆς ἀρετῆς ἴσον τῆς Τιμοθέου; Οὕτως ὑπερεώρα τρυφῆς, καὶ κατεγέλα πολυτελοῦς τραπέζης, ὡς καὶ εἰς ἀσθένειαν ἐμπεσεῖν ἐκ τῆς ἄγαν σκληραγωγίας καὶ ἐπιτεταμένης νηστείας. Ὅτι γὰρ οὐ φύσει τοιοῦτος ἦν, ἀλλ' ὑπὸ νηστείας καὶ ὑδροποσίας τοῦ στομάχου κατέβαλε τὴν ἰσχύν, αὐτοῦ τοῦ Παύλου μετ' ἀκριβείας τοῦτο δηλοῦντος ἀκούσατε. Οὐ γὰρ ἁπλῶς εἶπεν, «Οἴνῳ ὀλίγῳ χρῶ» ἀλλὰ πρότερον εἰπών, «Μηκέτι ὑδροπότει», τότε τὴν τῆς οἰνοποσίας προσέθηκε συμβουλήν. Τὸ δέ, μηκέτι, δηλοῦντος ἦν, ὅτι μέχρι τότε ὑδροπότει, καὶ διὰ τοῦτο γέγονεν ἀσθενής. Τίς οὖν οὐκ ἂν ἐκπλαγείη τὴν φιλοσοφίαν αὐτοῦ καὶ τὴν ἀκρίβειαν; Αὐτῶν ἐπελάβετο τῶν οὐρανῶν, πρὸς τὸ τῆς ἀρετῆς ἄκρον ἤλασε· καὶ ταῦτα ὁ διδάσκαλος αὐτῷ μαρτυρεῖ οὕτω λέγων· «Ἔπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστι τέκνον μου ἀγαπητὸν καὶ πιστὸν ἐν Κυρίῳ». Ὅταν δὲ Παῦλος αὐτὸν καλεῖ τέκνον καὶ τέκνον πιστὸν καὶ ἀγαπητόν, ἀρκεῖ τὰ ῥήματα ταῦτα ἅπασαν αὐτοῦ

---

6. Α' Κορ. 4, 17.

σκέψεις ἐντροπῆς, ὥστε καὶ εἰς ὅλους τοὺς μεταγενεστέρους ἐφανέρωσε τοῦτο διὰ τῆς ἐπιστολῆς. Εἴδατε εἰς πόσον βάθος ἐρρίψαμεν τὸν λόγον; Πῶς ἐκεῖνο ποὺ φαίνεται ὅτι εἶναι μικρόν, εἶναι γεμᾶτον ἀπὸ ἀναρίθμητα ζητήματα; Ἐμπρὸς λοιπὸν ἂς δώσωμεν καὶ τὴν λύσιν των. Διότι δι' αὐτὸν τὸν λόγον κατέβημεν εἰς πολὺ μεγάλον βάθος, ὥστε, ἀφοῦ ἀνυψώσωμεν τὴν διάνοιάν σας, νὰ ἐξακριβώσωμεν μὲ ἀσφάλειαν τὰ νοήματα.

3. Ἐπιτρέψατέ μου, προτοῦ ἔλθω εἰς τὴν ἐξήγησιν τῶν ζητημάτων αὐτῶν, νὰ εἰπῶ κάτι διὰ τὴν ἀρετὴν τοῦ Τιμοθέου, καὶ τὴν φροντίδα τοῦ Παύλου περὶ αὐτοῦ. Διότι ποῖος ὑπῆρξε φιλοστοργώτερος ἀπὸ ἐκεῖνον, ὁ ὁποῖος ἂν καὶ ἦτο τόσον μακρυά του καὶ εὑρίσκετο μέσα εἰς τόσας φροντίδας, ἐφρόντιζε τόσον πολὺ διὰ τὴν ὑγείαν τοῦ στομάχου τοῦ μαθητοῦ καὶ ἔγραφε μὲ μεγάλην λεπτομέρειαν διὰ τὴν ἐξάλειψιν τοῦ νοσήματος;

Τί δὲ εἶναι δυνατὸν νὰ φθάσῃ τὴν ἀρετὴν τοῦ Τιμοθέου; Τόσον πολὺ ἐπεριφρονοῦσε τὴν καλοπέρασιν καὶ δὲν ἔδιδε σημασίαν εἰς τὰ πολυτελῆ φαγητά, ὥστε ἐκ τῆς πολὺ μεγάλης σκληραγωγίας καὶ τῆς αὐστηρᾶς νηστείας νὰ ἀσθενήσῃ. Ὅτι δὲ δὲν ἦτο ἐκ φύσεως τέτοιος, ἀλλὰ ἐκ τῆς νηστείας καὶ τῆς ὑδροποσίας ἔβλαψε τὸ στομάχι του, ἀκούσατε τὸν Παῦλον πῶς μὲ ἀκρίβειαν τὸ φανερώνει. Διότι δὲν εἶπεν ἁπλῶς «νὰ χρησιμοποιῇς ὀλίγον οἶνον» ἀλλ' ἀφοῦ προηγουμένως εἶπε «νὰ μὴ πίνῃς πλέον νερὸ» τότε προσέθεσε τὴν συμβουλὴν τῆς οἰνοποσίας. Ἡ δὲ λέξις πλέον ἐφανέρωνεν ὅτι μέχρι τότε ἔπινε νερὸ καὶ διὰ τοῦτο ἠσθένησεν. Ποῖος δὲν θὰ ἐκπλαγῇ μὲ τὸν χριστιανικόν του βίον καὶ τὴν ἐγκράτειάν του; Εἰς αὐτοὺς τοὺς οὐρανοὺς ἔφθασε καὶ εἰς τὸ ὕψιστον σημεῖον τῆς ἀρετῆς· καὶ αὐτὰ μαρτυρεῖ περὶ αὐτοῦ ὁ διδάσκαλός του λέγων· «Ἔστειλα εἰς σᾶς τὸν Τιμόθεον ποὺ εἶναι τέκνον μου ἀγαπητὸν καὶ πιστὸν ἐν Κυρίῳ»[6]. Ὅταν δὲ ὁ Παῦλος ὀνομάζῃ αὐτὸν τέκνον καὶ μάλιστα τέκνον πιστὸν καὶ ἀγαπητόν, ἀρκοῦν αἱ λέξεις αὐταὶ νὰ φανερώσουν ὅλην τὴν ἀρετήν του. Διότι αἱ κρίσεις τῶν ἁγίων δὲν γίνονται διὰ νὰ εὐχαριστήσουν ἢ νὰ δυσα-

δεῖξαι τὴν ἀρετήν. Αἱ γὰρ τῶν ἁγίων κρίσεις οὐ πρὸς χάριν, οὐδὲ πρὸς ἀπέχθειαν γίνονται, ἀλλὰ πάσης εἰσὶν ἀπηλλαγμέναι προλήψεως. Οὐκ ἦν οὕτω ζηλωτὸς ὁ Τιμόθεος, εἰ Παύλου τέκνον ἦν φύσει, ὥς ἐστι θαυμαστὸς νῦν, ὅτι κατὰ σάρκα μηδὲν αὐτῷ προσήκων, διὰ τῆς κατὰ τὴν εὐλάβειαν συγγενείας εἰς τὴν υἱοθεσίαν εἰσήγαγεν ἑαυτὸν τὴν ἐκείνου, μετὰ ἀκριβείας τοὺς χαρακτῆρας τῆς ἐκείνου φιλοσοφίας διασώζων ἐν ἅπασι. Καθάπερ γὰρ μόσχος ταύρῳ συμβεβλημένος, οὕτω τὸν ζυγὸν εἷλκε μετ' αὐτοῦ πανταχοῦ τῆς οἰκουμένης, καὶ οὐδὲν ἠλαττοῦτο διὰ τὴν ἡλικίαν, ἀλλ' ἡ προθυμία ἁμιλλᾶσθαι τοῖς τοῦ διδασκάλου πόνοις αὐτὸν παρεσκεύαζε. Καὶ τούτων πάλιν μάρτυς αὐτὸς ὁ Παῦλος, οὕτω λέγων· «Μηδεὶς οὖν αὐτὸν ἐξουθενήσῃ· τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται, ὡς κἀγώ». Εἶδες πῶς ἀπαράλλακτον αὐτῷ μαρτυρεῖ σπουδήν; Εἶτα ἵνα μὴ νομισθῇ χάριτι ταῦτα λέγειν, αὐτοὺς τοὺς ἀκροατὰς ποιεῖται μάρτυρας τῆς τοῦ παιδὸς ἀρετῆς, οὕτω λέγων· «Τὴν δὲ δοκιμὴν αὐτοῦ γινώσκετε, ὅτι ὡς πατέρα τέκνον, οὕτω σὺν ἐμοὶ ἐδούλευσεν ἐν τῷ εὐαγγελίῳ, πεῖραν ὑμεῖς εἰλήφατε τῆς ἀρετῆς αὐτοῦ, καὶ τῆς δοκίμου ψυχῆς». Ἀλλ' ὅμως πρὸς τοσοῦτον ὕψος κατορθωμάτων ἀνελθὼν οὐδὲ οὕτως ἐθάρρει, ἀλλ' ἐναγώνιος ἦν καὶ περιδεής· διὸ καὶ μετ' ἀκριβείας ἐνήστευε, καὶ οὐκ ἔπαθε τοῦτο τὸ τῶν πολλῶν, οἳ δέκα μόνον, ἢ καὶ εἴκοσι μῆνας νηστείᾳ παρεσχηκότες ἑαυτούς, εὐθέως ἅπαντα καταλύουσιν. Ἀλλ' ἐκεῖνος οὐδὲν τοιοῦτον ἔπαθεν, οὐδὲ εἶπέ τι τοιοῦτον πρὸς ἑαυτόν· Τί μοι νηστείας χρεία λοιπόν; Περιεγενόμην, ἐκράτησα τῶν ἐπιθυμιῶν, ἐνέκρωσά μου τὸ σῶμα, δαίμονας ἐφόβησα, τὸν διάβολον ἀπήλασα, νεκροὺς ἀνέστησα, λεπροὺς ἐκάθηρα, ταῖς ἀντικειμέναις δυνάμεσίν εἰμι φοβερός· τί μοι νηστείας δεῖ λοιπόν, καὶ τῆς ἐντεῦθεν ἀσφαλείας;

Οὐδὲν τοιοῦτον οὐκ εἶπεν, οὐκ ἐνενόησεν, ἀλλ' ὅσῳ μυρίων ἔγεμε κατορθωμάτων, τοσούτῳ μᾶλλον ἐδεδίει καὶ ἔτρεμε· καὶ ταύτην παρὰ τοῦ διδασκάλου τὴν φιλοσοφίαν ἐ-

7. Α' Κορ. 16, 10.
8. Φιλιπ. 2, 22.

ρεστήσουν, ἀλλὰ εἶναι ἀπηλλαγμέναι κάθε μεροληψίας. Δὲν θὰ ἦταν τόσον ἀξιοζήλευτος ὁ Τιμόθεος, ἐὰν ἦτο φυσικὸν τέκνον τοῦ Παύλου, ὅσον εἶναι τώρα ἀξιοθαύμαστος, διότι ἂν καὶ καμμίαν σαρκικὴν συγγένειαν δὲν εἶχε μετ' αὐτοῦ, διὰ τῆς συγγενείας, τὴν ὁποίαν φέρει ἡ ἀρετή, ἔθεσεν τὸν ἑαυτόν του εἰς τὴν υἱοθεσίαν ἐκείνου, φυλάττων εἰς ὅλα μὲ ἀκρίβειαν τοὺς χαρακτῆρας τῶν τρόπων τῆς ζωῆς ἐκείνου. Διότι σὰν μοσχάρι ζευγαρωμένο μὲ ταῦρον ἔτσι ἔσυρε τὸν ζυγὸν μαζὶ μὲ τὸν Παῦλον εἰς ὅλα τὰ μέρη τῆς οἰκουμένης καὶ καθόλου δὲν ἐκάμπτετο λόγῳ τῆς ἡλικίας, ἀλλὰ ἡ προθυμία του τὸν ἔκανε νὰ ἁμιλλᾶται μὲ τοὺς κόπους τοῦ διδασκάλου. Καὶ αὐτὰ πάλιν ὁ Παῦλος τὰ φανερώνει λέγων τὰ ἑξῆς· «Κανεὶς λοιπὸν νὰ μὴ τὸν περιφρονήσῃ· διότι ἐργάζεται τὸ ἔργον τοῦ Κυρίου ὅπως καὶ ἐγώ»[7]. Εἶδες πῶς μαρτυρεῖ ὅτι εἶχε τὴν ἰδίαν μὲ αὐτὸν προθυμίαν; Ἔπειτα διὰ νὰ μὴ νομισθῇ ὅτι αὐτὰ εἶναι μόνον λόγια, ἐπικαλεῖται ὡς μάρτυρας τῆς ἀρετῆς τοῦ τέκνου του τοὺς ἀκροατὰς λέγων τὰ ἑξῆς· «Ξεύρετε τὴν δοκιμασμένην ἀξίαν του, διότι σὰν παιδὶ μὲ τὸν πατέρα του ὑπηρέτησε μαζί μου εἰς τὸ εὐαγγέλιον, ἐλάβατε σεῖς πεῖραν τῆς ἀρετῆς του καὶ τῆς δοκιμασμένης ψυχῆς του»[8]. Ὅμως ἂν καὶ ἔφθασεν εἰς τόσον ὕψος κατορθωμάτων, δὲν εἶχε θάρρος εἰς τὸν ἑαυτόν του, ἀλλὰ κατείχετο ἀπὸ ἀγωνίαν καὶ φόβον· δι' αὐτὸ καὶ μὲ μεγάλην ἀκρίβειαν ἐνήστευε καὶ δὲν ἔπαθεν ὅ,τι οἱ πολλοί, οἱ ὁποῖοι μόνον δέκα ἢ εἴκοσι μῆνας, ἀφοῦ παραδοθοῦν εἰς τὴν νηστείαν, ἀμέσως καταλύουν ὅλα. Ἐκεῖνος ὅμως δὲν ἔπαθε τίποτε ἀπ' αὐτά, οὔτε εἶπε κάτι τέτοιον εἰς τὸν ἑαυτόν του· τί ἀνάγκην ἔχω λοιπὸν τῆς νηστείας; Ἔγινα ἀνώτερος, ἐνίκησα τὰς ἐπιθυμίας, ἐνέκρωσα τὸ σῶμα μου, ἐφόβησα δαίμονας, ἔδιωξα τὸν διάβολον, ἀνέστησα νεκρούς, λεπροὺς ἐκαθάρισα, εἰς τὰς ἀντιπάλους δυνάμεις εἶμαι φοβερός· τί μοῦ χρειάζεται λοιπὸν ἡ νηστεία καὶ ἡ ὠφέλειά της;

Τίποτε ἀπὸ αὐτὰ δὲν εἶπεν, οὔτε διενοήθη, ἀλλ' ὅσον πολλὰ κατορθώματα ἀρετῆς εἶχε, τόσον περισσότερον ἐφοβεῖτο καὶ ἔτρεμε· καὶ αὐτὸ τὸ ἐμάθαινε ἀπὸ τὸ παράδειγμα

μάνθανε. Καὶ γὰρ ἐκεῖνος εἰς τρίτον ἁρπαγεὶς οὐρανόν, καὶ εἰς παράδεισον ἀπενεχθείς, καὶ ἀκούσας ῥήματα ἄρρητα, καὶ μυστηρίων κοινωνήσας τοιούτων, καὶ τὴν οἰκουμένην ἅπασαν ἐπιδραμὼν καθάπερ τις ὑπόπτερος, Κορινθίοις ἐπιστέλλων ἔλεγε· «Φοβοῦμαι μήπως ἄλλοις κηρύξας αὐτὸς δόκιμος γένωμαι». Εἰ δὲ Παῦλος φοβεῖται μετὰ τοιαῦτα καὶ τοσαῦτα κατορθώματα, ὁ δυνηθεὶς εἰπεῖν, ὅτι «Ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ», πολλῷ μᾶλλον ἡμᾶς δεδοικέναι χρή, καὶ τοσούτῳ μᾶλλον, ὅσῳπερ ἂν ὦμεν πολλὰ συνειληχότες κατορθώματα. Καὶ γὰρ ὁ διάβολος ἀγριώτερος τότε γίνεται, τότε ἐκθηριοῦται πλέον, ὅταν ἴδῃ μετ' ἐπιμελείας ἡμᾶς τὸν ἑαυτῶν οἰκονομοῦντας βίον· ὅταν ἴδῃ τὰ φορτία τῆς ἀρετῆς συγκείμενα, καὶ πολὺν ὄντα τὸν ὄγκον, τότε σπουδάζει χαλεπώτερον ἐργάσασθαι τὸ ναυάγιον.

Ὁ μὲν γὰρ εὐτελὴς καὶ ἀπερριμμένος, κἂν ὑποσκελισθῇ, καὶ καταπέσῃ, οὐ τοσαύτην τῷ κοινῷ φέρει τὴν βλάβην· ὁ δὲ ὥσπερ ἐν ὕψει τινὶ τῇ τῆς ἀρετῆς κορυφῇ μετὰ πολλῆς τῆς περιφανείας ἑστώς, καὶ πᾶσι δῆλος καὶ γνώριμος ὤν, καὶ παρὰ πάντων θαυμαζόμενος, ὅταν ἐπηρεασθεὶς καταπέσῃ, μεγάλην τὴν πτῶσιν καὶ τὴν ζημίαν ἐργάζεται· οὐχ ὅτι μόνον ἐξ ὕψους κατέπεσεν, ἀλλ' ὅτι καὶ πολλοὺς ῥαθυμοτέρους ἐποίησε τῶν πρὸς αὐτὸν βλεπόντων. Καὶ καθάπερ ἐν σώματι, μέλους μὲν ἑτέρου διαφθαρέντος, οὐ πολλὴ ἡ βλάβη, τῶν δὲ ὀφθαλμῶν πηρωθέντων, ἢ τῆς κεφαλῆς παραβλαβείσης, ὅλον τὸ σῶμα ἄχρηστον γίνεται· οὕτω δὴ καὶ ἐπὶ τῶν ἁγίων, καὶ μεγάλα κατορθωκότων ἐστὶν εἰπεῖν. Ὅταν ἐκεῖνοι σβεσθῶσιν, ὅταν κηλῖδά τινα προστρίψωνται, ὁλόκληρον καὶ ἀφόρητον τῷ λοιπῷ σώματι τὴν βλάβην φέρουσι.

4. Ταῦτα οὖν ἅπαντα ὁ Τιμόθεος εἰδώς, πανταχόθεν ἑαυτὸν ἠσφαλίζετο· ᾔδει γὰρ ὅτι χαλεπὸν ἡ νεότης, ὅτι εὐρίπιστον, εὐεξαπάτητον, εὐόλισθον, καὶ σφοδροτέρου δεῖται τοῦ

---

9. Α' Κορ. 9, 27
10. Γαλ. 6, 14.

τοῦ διδασκάλου του. Διότι καὶ ἐκεῖνος ἂν καὶ ἡρπάγη μέχρι τὸν τρίτον οὐρανὸν καὶ μετεφέρθη εἰς τὸν παράδεισον καὶ ἤκουσε λόγια ἀκατανόητα καὶ ἔλαβε μέρος εἰς τοιαῦτα μυστήρια καὶ περιώδευσεν ὅλον τὸν κόσμον ὡς νὰ εἶχε φτερά, γράφων πρὸς τοὺς Κορινθίους ἔλεγε· «Φοβοῦμαι μήπως, ἐνῷ ἐκήρυξα εἰς τοὺς ἄλλους καὶ ἐσώθησαν, ἀποδοκιμασθῶ ἀπὸ τὸν Θεόν»[9]. Ἂν δὲ ὁ Παῦλος μετὰ ἀπὸ τέτοια καὶ τόσον μεγάλα κατορθώματα φοβᾶται, αὐτὸς ποὺ ἠμπόρεσε νὰ εἰπῇ ὅτι «ὁ κόσμος δι' ἐμὲ εἶναι σταυρωμένος καὶ ἐγὼ διὰ τὸν κόσμον»[10], πολὺ περισσότερον ἐμεῖς πρέπει νὰ φοβούμεθα καὶ μάλιστα τόσον πολὺ ὅσον περισσότερα ἔργα ἀρετῆς ἔτυχε νὰ κάμωμεν. Διότι ὁ διάβολος τότε γίνεται πιὸ ἄγριος καὶ ἀποθηριώνεται περισσότερον, ὅταν μᾶς ἰδῇ νὰ προσέχωμεν πολὺ τὸν ἑαυτόν μας. Ὅταν ἰδῇ τὰ ἔργα τῆς ἀρετῆς νὰ εἶναι πολλὰ καὶ μεγάλα, τότε καταβάλλει μεγάλην προσπάθειαν, ὥστε νὰ κάμῃ τὸ ναυάγιον φοβερόν.

Διότι ἐκεῖνος ποὺ εἶναι εὐτελὴς καὶ ὀλίγον γνωστὸς εἰς τὴν κοινωνίαν καὶ ἂν ὑποσκελισθῇ ἀπὸ τὸν διάβολον καὶ καταπέσῃ ἠθικῶς, δὲν φέρει τόσον μεγάλην βλάβην εἰς αὐτήν· ἐκεῖνος ὅμως ποὺ εἶναι εἰς τὴν κορυφὴν τῆς ἀρετῆς καὶ εἶναι πασίγνωστος καὶ περίβλεπτος καὶ θαυμάζεται ἀπὸ ὅλους, ὅταν πέσῃ, ἀφοῦ ἐπηρεασθῇ ἀπὸ τὸν διάβολον, ἡ πτῶσις του καὶ ἡ ζημία εἰς τὴν κοινωνίαν εἶναι μεγάλη· ὄχι μόνον ἐπειδὴ ἔπεσεν ἀπὸ μεγάλο ὕψος, ἀλλὰ καὶ διότι ἔκαμε πολλοὺς ποὺ ἀπέβλεπαν εἰς αὐτὸν ραθυμοτέρους. Καὶ ὅπως εἰς τὸ σῶμα, ὅταν ὑποστῇ βλάβην κάποιο μέλος του, δὲν εἶναι μεγάλη ἡ ζημία, ὅταν ὅμως ὑποστοῦν βλάβην τὰ μάτια, ἢ τὸ κεφάλι γίνεται ἄχρηστον ὁλόκληρον τὸ σῶμα· τὸ ἴδιο ἠμποροῦμεν νὰ εἰποῦμεν ὅτι συμβαίνει καὶ μὲ τοὺς ἁγίους ποὺ ἔκαμαν μεγάλα κατορθώματα ἀρετῆς. Ὅταν σβήσῃ τὸ φῶς τῆς ἀρετῆς τους, ὅταν λερώσουν τὴν ψυχήν τους, βλάπτουν εἰς μεγάλον βαθμὸν ὁλόκληρον τὸ σῶμα τῆς Ἐκκλησίας.

4. Ἐπειδὴ λοιπὸν ὅλα αὐτὰ τὰ ἐγνώριζεν ὁ Τιμόθεος, ἀπὸ παντοῦ ἐφρόντιζε νὰ ἐξασφαλίζῃ τὸν ἑαυτόν του διότι ἐγνώριζεν ὅτι εἶναι δύσκολον νὰ συγκρατηθῇ ἡ νεότης, ὅτι εἶναι ἄστατος, ὅτι εὔκολα ἐξαπατᾶται, εὔκολα παρασύρεται,

μάνθανε. Καὶ γὰρ ἐκεῖνος εἰς τρίτον ἁρπαγεὶς οὐρανόν, καὶ εἰς παράδεισον ἀπενεχθείς, καὶ ἀκούσας ῥήματα ἄρρητα, καὶ μυστηρίων κοινωνήσας τοιούτων, καὶ τὴν οἰκουμένην ἅπασαν ἐπιδραμὼν καθάπερ τις ὑπόπτερος, Κορινθίοις ἐπιστέλλων ἔλεγε· «Φοβοῦμαι μήπως ἄλλοις κηρύξας αὐτὸς δόκιμος γένωμαι». Εἰ δὲ Παῦλος φοβεῖται μετὰ τοιαῦτα καὶ τοσαῦτα κατορθώματα, ὁ δυνηθεὶς εἰπεῖν, ὅτι «Ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ», πολλῷ μᾶλλον ἡμᾶς δεδοικέναι χρή, καὶ τοσούτῳ μᾶλλον, ὅσῳπερ ἂν ὦμεν πολλὰ συνειληχότες κατορθώματα. Καὶ γὰρ ὁ διάβολος ἀγριώτερος τότε γίνεται, τότε ἐκθηριοῦται πλέον, ὅταν ἴδῃ μετ᾽ ἐπιμελείας ἡμᾶς τὸν ἑαυτῶν οἰκονομοῦντας βίον· ὅταν ἴδῃ τὰ φορτία τῆς ἀρετῆς συγκείμενα, καὶ πολὺν ὄντα τὸν ὄγκον, τότε σπουδάζει χαλεπώτερον ἐργάσασθαι τὸ ναυάγιον.

Ὁ μὲν γὰρ εὐτελὴς καὶ ἀπερριμμένος, κἂν ὑποσκελισθῇ, καὶ καταπέσῃ, οὐ τοσαύτην τῷ κοινῷ φέρει τὴν βλάβην· ὁ δὲ ὥσπερ ἐν ὕψει τινὶ τῇ τῆς ἀρετῆς κορυφῇ μετὰ πολλῆς τῆς περιφανείας ἑστώς, καὶ πᾶσι δῆλος καὶ γνώριμος ὤν, καὶ παρὰ πάντων θαυμαζόμενος, ὅταν ἐπηρεασθεὶς καταπέσῃ, μεγάλην τὴν πτῶσιν καὶ τὴν ζημίαν ἐργάζεται· οὐχ ὅτι μόνον ἐξ ὕψους κατέπεσεν, ἀλλ᾽ ὅτι καὶ πολλοὺς ῥαθυμοτέρους ἐποίησε τῶν πρὸς αὐτὸν βλεπόντων. Καὶ καθάπερ ἐν σώματι, μέλους μὲν ἑτέρου διαφθαρέντος, οὐ πολλὴ ἡ βλάβη, τῶν δὲ ὀφθαλμῶν πηρωθέντων, ἢ τῆς κεφαλῆς παραβλαβείσης, ὅλον τὸ σῶμα ἄχρηστον γίνεται· οὕτω δὴ καὶ ἐπὶ τῶν ἁγίων, καὶ μεγάλα κατορθωκότων ἐστὶν εἰπεῖν. Ὅταν ἐκεῖνοι σβεσθῶσιν, ὅταν κηλῖδά τινα προστρίψωνται, ὁλόκληρον καὶ ἀφόρητον τῷ λοιπῷ σώματι τὴν βλάβην φέρουσι.

4. Ταῦτα οὖν ἅπαντα ὁ Τιμόθεος εἰδώς, πανταχόθεν ἑαυτὸν ἠσφαλίζετο· ᾔδει γὰρ ὅτι χαλεπὸν ἡ νεότης, ὅτι εὐρίπιστον, εὐεξαπάτητον, εὐόλισθον, καὶ σφοδροτέρου δεῖται τοῦ

9. Α΄ Κορ. 9, 27.
10. Γαλ. 6, 14.

τοῦ διδασκάλου του. Διότι καὶ ἐκεῖνος ἂν καὶ ἡρπάγη μέχρι τὸν τρίτον οὐρανὸν καὶ μετεφέρθη εἰς τὸν παράδεισον καὶ ἤκουσε λόγια ἀκατανόητα καὶ ἔλαβε μέρος εἰς τοιαῦτα μυστήρια καὶ περιώδευσεν ὅλον τὸν κόσμον ὡς νὰ εἶχε φτερά, γράφων πρὸς τοὺς Κορινθίους ἔλεγε· «Φοβοῦμαι μήπως, ἐνῷ ἐκήρυξα εἰς τοὺς ἄλλους καὶ ἐσώθησαν, ἀποδοκιμασθῶ ἀπὸ τὸν Θεόν»[9]. Ἂν δὲ ὁ Παῦλος μετὰ ἀπὸ τέτοια καὶ τόσον μεγάλα κατορθώματα φοβᾶται, αὐτὸς ποὺ ἠμπόρεσε νὰ εἰπῇ ὅτι «ὁ κόσμος δι' ἐμὲ εἶναι σταυρωμένος καὶ ἐγὼ διὰ τὸν κόσμον»[10], πολὺ περισσότερον ἐμεῖς πρέπει νὰ φοβούμεθα καὶ μάλιστα τόσον πολὺ ὅσον περισσότερα ἔργα ἀρετῆς ἔτυχε νὰ κάμωμεν. Διότι ὁ διάβολος τότε γίνεται πιὸ ἄγριος καὶ ἀποθηριώνεται περισσότερον, ὅταν μᾶς ἰδῇ νὰ προσέχωμεν πολὺ τὸν ἑαυτόν μας. Ὅταν ἰδῇ τὰ ἔργα τῆς ἀρετῆς νὰ εἶναι πολλὰ καὶ μεγάλα, τότε καταβάλλει μεγάλην προσπάθειαν, ὥστε νὰ κάμῃ τὸ ναυάγιον φοβερόν.

Διότι ἐκεῖνος ποὺ εἶναι εὐτελὴς καὶ ὀλίγον γνωστὸς εἰς τὴν κοινωνίαν καὶ ἂν ὑποσκελισθῇ ἀπὸ τὸν διάβολον καὶ καταπέσῃ ἠθικῶς, δὲν φέρει τόσον μεγάλην βλάβην εἰς αὐτήν· ἐκεῖνος ὅμως ποὺ εἶναι εἰς τὴν κορυφὴν τῆς ἀρετῆς καὶ εἶναι πασίγνωστος καὶ περίβλεπτος καὶ θαυμάζεται ἀπὸ ὅλους, ὅταν πέσῃ, ἀφοῦ ἐπηρεασθῇ ἀπὸ τὸν διάβολον, ἡ πτῶσις του καὶ ἡ ζημία εἰς τὴν κοινωνίαν εἶναι μεγάλη· ὄχι μόνον ἐπειδὴ ἔπεσεν ἀπὸ μεγάλο ὕψος, ἀλλὰ καὶ διότι ἔκαμε πολλοὺς ποὺ ἀπέβλεπαν εἰς αὐτὸν ραθυμοτέρους. Καὶ ὅπως εἰς τὸ σῶμα, ὅταν ὑποστῇ βλάβην κάποιο μέλος του, δὲν εἶναι μεγάλη ἡ ζημία, ὅταν ὅμως ὑποστοῦν βλάβην τὰ μάτια, ἢ τὸ κεφάλι γίνεται ἄχρηστον ὁλόκληρον τὸ σῶμα· τὸ ἴδιο ἠμποροῦμεν νὰ εἰποῦμεν ὅτι συμβαίνει καὶ μὲ τοὺς ἁγίους ποὺ ἔκαμαν μεγάλα κατορθώματα ἀρετῆς. Ὅταν σβήσῃ τὸ φῶς τῆς ἀρετῆς τους, ὅταν λερώσουν τὴν ψυχήν τους, βλάπτουν εἰς μεγάλον βαθμὸν ὁλόκληρον τὸ σῶμα τῆς Ἐκκλησίας.

4. Ἐπειδὴ λοιπὸν ὅλα αὐτὰ τὰ ἐγνώριζεν ὁ Τιμόθεος, ἀπὸ παντοῦ ἐφρόντιζε νὰ ἐξασφαλίζῃ τὸν ἑαυτόν του διότι ἐγνώριζεν ὅτι εἶναι δύσκολον νὰ συγκρατηθῇ ἡ νεότης, ὅτι εἶναι ἄστατος, ὅτι εὔκολα ἐξαπατᾶται, εὔκολα παρασύρεται,

χαλινοῦ· πυρὰ γάρ τίς ἐστι τῶν ἔξωθεν ἐπιλαμβανομένη ἁπάντων, ῥᾳδίως ἐκκαιομένη· καὶ ταχέως διὰ τοῦτο πανταχόθεν αὐτὴν ἔφραττεν ὥστε συνεστάλθαι, καὶ τὴν φλόγα ταύτην παντὶ τρόπῳ μαραίνειν ἐσπούδαζε, καὶ τὸν ἵππον δυσχάλινον ὄντα καὶ δυσήνιον μετὰ πολλῆς ἦγχε τῆς σφοδρότητος, ἕως ὅτε αὐτοῦ τὰ σκιρτήματα περιέκοψεν, ἕως εὐήνιον ἐποίησε, καὶ μετὰ πολλῆς τῆς ἐξουσίας ταῖς χερσὶ τοῦ ἡνιοχοῦντος αὐτὸν παρέδωκε λογισμοῦ. Ἀσθενείτω, φησί, τὸ σῶμα, καὶ μὴ ἀσθενείτω ἡ ψυχή, χαλινούσθω ἡ σάρξ, καὶ μὴ ἐμποδιζέσθω ὁ πρὸς τὸν οὐρανὸν τῆς ψυχῆς δρόμος.

Μετὰ δὲ τούτων, κἀκεῖνο μάλιστα ἄν τις αὐτὸν ἀγάσαιτο, ὅτι ἐξησθενηκὼς οὕτως, καὶ τοσαύτῃ παλαίων ἀρρωστίᾳ, τῶν κατὰ Θεὸν οὐκ ἠμέλει πραγμάτων, ἀλλὰ τῶν ὑγιαινόντων καὶ σφριγώντων τὰ σώματα μᾶλλον πανταχοῦ περιίπτατο, νῦν μὲν εἰς Ἔφεσον, νῦν δὲ εἰς Κόρινθον, ἐν Μακεδονίᾳ πολλάκις, ἐν Ἰταλίᾳ, πανταχοῦ τῆς γῆς, πανταχοῦ τῆς θαλάττης μετὰ τοῦ διδασκάλου φαινόμενος, καὶ κοινωνῶν ἐν πᾶσι τῶν ἀγώνων αὐτῷ, καὶ τῶν ἐπαλλήλων κινδύνων καὶ τὴν φιλοσοφίαν τῆς ψυχῆς οὐκ ἤλεγξεν ἡ τοῦ σώματος ἀρρωστία· τοσοῦτός ἐστιν ὁ κατὰ Θεὸν ζῆλος, οὕτω κοῦφον ἐργάζεται τὸ πτερόν. Ὥσπερ γὰρ τοῖς τὰ σώματα ἔχουσιν εὐεκτοῦντα καὶ ὑγιῆ, κέρδος οὐδὲν ἔσται τῆς εὐεξίας, ἐὰν ἡ ψυχὴ καταβεβλημένη ᾖ καὶ ῥάθυμος καὶ νωθής, οὕτω τοῖς ἐξησθενημένοις οὐδὲν ἔσται βλάβος ἀπὸ τῆς ἀρρωστίας, ἐὰν ἡ ψυχὴ γενναία ᾖ καὶ διεγηγερμένη.

Δοκεῖ μὲν οὖν τισιν ἡ παραίνεσις αὕτη καὶ συμβουλὴ ἐξουσίαν διδόναι πρὸς ἀδεεστέραν οἰνοποσίαν· τὸ δὲ οὐ τοιοῦτόν ἐστιν· ἀλλ' εἴ τις μετ' ἀκριβείας ἐξετάσειε τὴν ῥῆσιν αὐτήν, νηστείας μᾶλλόν ἐστι τὸ πρᾶγμα παραίνεσις. Ἐννόησον γὰρ πῶς οὐκ ἐξ ἀρχῆς, οὐδὲ ἐκ προοιμίων τοῦτο συνε-

καὶ ὅτι χρειάζεται πολὺ γερὰ χαλινάρια· διότι εἶναι φωτιὰ ποὺ ἀνάβει εὔκολα καὶ γρήγορα ἐξαπλώνεται πρὸς ὅλα τὰ ἔξω πράγματα· καὶ διὰ τοῦτο γρήγορα ἀπὸ παντοῦ ἔβαζε φραγμοὺς εἰς αὐτὴν διὰ νὰ τὴν περιορίσῃ, καὶ ἐφρόντιζε μὲ κάθε τρόπον τὴν φλόγα αὐτὴν νὰ τὴν ἐλαττώνῃ, καὶ τὸ ἀτίθασσον αὐτὸ ἄλογον ποὺ δύσκολα χαλινώνεται καὶ κυβερνᾶται, ἔσφιγγε μὲ πολλὴν δύναμιν, ἕως ὅτου ἔκοψε τὰ σκιρτήματά του, ἕως ὅτου τὸ ἡμέρεψε, καὶ τὸ παρέδωσεν εἰς τὰ χέρια τοῦ κυβερνῶντος αὐτὸ λογισμοῦ τῆς ψυχῆς μὲ πολλὴν ἐλευθερίαν. Ἂς ἀσθενῇ, λέγει, τὸ σῶμα καὶ ἂς μὴ ἀσθενῇ ἡ ψυχή, ἂς χαλιναγωγῆται ἡ σὰρξ καὶ ἂς μὴ ἐμποδίζεται ὁ δρόμος τῆς ψυχῆς πρὸς τὸν οὐρανόν.

Ἐκτὸς δὲ ἀπὸ αὐτά, καὶ διὰ κάτι ἄλλο κυρίως ἠμπορεῖ κανεὶς νὰ τὸν θαυμάσῃ· διὰ τὸ ὅτι ἂν καὶ ἦτο τόσον ἐξαντλημένος σωματικὰ καὶ ἐπάλαιε πρὸς τόσον μεγάλην ἀσθένειαν, δὲν παραμελοῦσε τὰ πρὸς τὸν Θεὸν καθήκοντά του, ἀλλὰ καὶ ἀπὸ ἐκείνους ποὺ εἶχαν ὑγιῆ καὶ ἀκμαῖα τὰ σώματα σὲ ὅλα ὑπερίσχυε καὶ ἔτρεχε παντοῦ, τώρα μὲν εἰς τὴν Ἔφεσον, ἄλλοτε εἰς τὴν Κόρινθον, πολλὲς φορὲς εἰς τὴν Μακεδονίαν, εἰς τὴν Ἰταλίαν, εἰς ὅλα τὰ μέρη τῆς γῆς καὶ τῆς θαλάσσης παρουσιαζόμενος μαζὶ μὲ τὸν διδάσκαλον, καὶ λαμβάνων μέρος εἰς ὅλους τοὺς ἀγῶνας αὐτοῦ καὶ τοὺς ἀλλεπαλλήλους κινδύνους, χωρὶς τὸν χριστιανικὸν τρόπον ζωῆς νὰ καταβάλῃ ἡ ἀρρώστεια τοῦ σώματός του· τόσην δύναμιν ἔχει ὁ ζῆλος πρὸς τὸν Θεόν, τόσον ἐλαφρὰ κάμει τὰ φτερὰ τῆς ψυχῆς. Διότι ὅπως ἐκεῖνοι ποὺ ἔχουν σώματα εὔρωστα καὶ ὑγιῆ, δὲν κερδίζουν τίποτε ἀπὸ τὴν εὐρωστίαν καὶ τὴν ὑγείαν, ἂν ἡ ψυχή τους ἔχῃ καταβληθῆ καὶ εἶναι ἀδρανὴς καὶ ράθυμος, ἔτσι καὶ εἰς ἐκείνους ποὺ εἶναι ἐξαντλημένοι σωματικὰ καμμία βλάβη δὲν θὰ προέλθῃ ἐξ αἰτίας τῆς ἀσθενείας, ὅταν ἡ ψυχὴ εἶναι γενναία καὶ ἄγρυπνος.

Φαίνεται λοιπὸν εἰς μερικοὺς ὅτι ἡ συμβουλὴ αὐτὴ τοῦ Παύλου τοὺς δίδει τὸ δικαίωμα νὰ πίνουν ἐλεύθερα οἶνον· ὅμως τὸ πρᾶγμα δὲν εἶναι ἔτσι· ἀλλ' ἂν κανεὶς ἤθελε νὰ ἐξετάσῃ μὲ ἀκρίβειαν τὸ ρητὸν τοῦτο, θὰ εὕρῃ ὅτι τοῦτο εἶναι μᾶλλον προτροπὴ πρὸς νηστείαν. Διότι σκέψου ὅτι δὲν

βούλευσεν ὁ Παῦλος, ἀλλ' ὅτε εἶδε καταβεβλημένην τὴν ἰσχὺν ἅπασαν, τότε συνεβούλευσε· καὶ οὐδὲ τότε ἁπλῶς, ἀλλὰ καὶ μετὰ προδιορισμοῦ τινος. Οὐ γὰρ εἶπεν ἁπλῶς, οἴνῳ χρῶ, ἀλλ' «Οἴνῳ ὀλίγῳ»· οὐκ ἐπειδὴ Τιμόθεος ταύτης ἐδεῖτο τῆς παραινέσεως καὶ τῆς συμβουλῆς, ἀλλ' ἐπειδὴ ἡμεῖς δεόμεθα. Διὰ τοῦτο ἐπιστέλλων ἐκείνῳ, μέτρα καὶ ὅρους ἡμῖν τίθησι τῆς οἰνοποσίας, τοσοῦτον κελεύων πίνειν, ὅσον διορθοῦν ἀσθένειαν, ὅσον ὑγείαν παρέχειν τῷ σώματι, ἀλλὰ μὴ νόσον ἑτέραν. Τῆς γὰρ ὑδροποσίας τῆς ἀφάτου οὐκ ἐλάττονα, ἀλλὰ καὶ πολλῷ πλείονα καὶ χαλεπώτερα ἡ ἄμετρος οἰνοποσία τίκτει νοσήματα καὶ τῷ σώματι καὶ τῇ ψυχῇ, τὸν πόλεμον τῶν παθῶν, καὶ τὸν χειμῶνα τῶν ἀτόπων λογισμῶν ἐπεισάγουσα τῇ διανοίᾳ καὶ τοῦ σώματος τὴν ἰσχὺν χαυνοτέραν καὶ πλαδαρωτέραν ἐργαζομένη. Οὐ γὰρ οὕτως ἡ τῆς γῆς φύσις ἐνοχληθεῖσα τῇ τῶν ὑδάτων πλεονεξίᾳ συνεχῶς διαλύεται, ὡς ἡ τοῦ σώματος δύναμις χαυνοῦται καὶ διαρρεῖ, καὶ ἐξίτηλος γίνεται συνεχῶς οἰνοποσίαις ἐπαντλουμένη. Φεύγωμεν τοίνυν τὰς ἀμετρίας ἑκατέρωθεν, καὶ τῆς ὑγείας ἐπιμελώμεθα τοῦ σώματος, καὶ τὰ σκιρτήματα αὐτοῦ περικόπτωμεν. Οἶνος γὰρ ἐδόθη παρὰ Θεοῦ, οὐχ ἵνα μεθύωμεν, ἀλλ' ἵνα νήφωμεν, ἵνα εὐφραινώμεθα, οὐχ ἵνα ἀλγῶμεν. «Οἶνος» γὰρ «εὐφραίνει», φησί, «καρδίαν ἀνθρώπου»· σὺ δὲ αὐτὸν ἀθυμίας ὑπόθεσιν ποιεῖς· καὶ γὰρ βαρύθυμοι οἱ μεθύοντες μεθ' ὑπερβολῆς, σκότου πολλοῦ κατασκεδαννυμένου τῶν λογισμῶν.

Φάρμακόν ἐστιν ἄριστον, ὅταν τὴν συμμετρίαν ἔχῃ ἀρίστην. Τοῦτο καὶ πρὸς τοὺς αἱρετικοὺς ἡμῖν χρήσιμον τὸ χωρίον, τοὺς διαβάλλοντας τοῦ Θεοῦ τὴν κτίσιν· εἰ γὰρ ἦν τῶν κεκωλυμένων, οὐκ ἂν ἐπέτρεψεν ὁ Παῦλος, οὐκ ἂν εἶπεν οἴνῳ κεχρῆσθαι. Οὐ πρὸς αἱρετικοὺς δὲ μόνον, ἀλλὰ καὶ

---

11. Ψαλ. 103, 15.
12. Ἐννοοῦνται οἱ Ἐγκρατῖται, οἱ ὁποῖοι ἀπεῖχον παντελῶς τοῦ οἴνου, διότι τὸν ἐθεωροῦσαν κακὸν εἰς τέτοιον σημεῖον ὥστε ἀπέφευγαν τὴν χρῆσιν του καὶ εἰς τὴν θείαν Εὐχαριστίαν.

ἔδωσε τὴν συμβουλὴν αὐτὴν ὁ Παῦλος εἰς τὴν ἀρχήν, ἀλλὰ ὅταν τὸν εἶδε νὰ εἶναι τελείως ἐξαντλημένος· καὶ τότε ὄχι τελείως ἐλεύθερα, ἀλλὰ μὲ κάποιον περιορισμόν. Διότι δὲν εἶπεν ἁπλῶς νὰ πίνῃς οἶνον, ἀλλὰ «ὀλίγον οἶνον»· καὶ τοῦτο ὄχι ἐπειδὴ ὁ Τιμόθεος εἶχεν ἀνάγκην αὐτῆς τῆς συμβουλῆς, ἀλλὰ διότι ἐμεῖς ἔχομεν ἀνάγκην αὐτῆς. Διὰ τοῦτο γράφων πρὸς ἐκεῖνον, θέτει μέτρα καὶ ὅρους πρὸς ἐμᾶς διὰ τὴν οἰνοποσίαν, ἐπιτρέπων νὰ πίνωμεν τόσον μόνον, ὅσον χρειάζεται διὰ νὰ μᾶς θεραπεύσῃ τὴν ἀσθένειαν καὶ νὰ χαρίσῃ εἰς τὸ σῶμα ὑγείαν καὶ ὄχι ἄλλην ἀσθένειαν. Διότι ἀπὸ τὴν μεγάλην ὑδροποσίαν ὄχι ὀλιγώτερα, ἀλλὰ πολὺ περισσότερα καὶ χειρότερα κακὰ εἰς τὸ σῶμα καὶ εἰς τὴν ψυχὴν γεννᾷ ἡ ἄμετρος οἰνοποσία, ἐπειδὴ βάζει εἰς τὴν διάνοιαν τὸν πόλεμον τῶν παθῶν καὶ τὴν τρικυμίαν τῶν ἀτόπων λογισμῶν καὶ κάνει τὸ σῶμα ἄτονον καὶ νωθρόν. Διότι δὲν διαλύεται τόσον εὔκολα ἡ γῆ ἀπὸ τὴν ἐπίδρασιν πολλοῦ νεροῦ, ὅσον εὔκολα ἡ δύναμις τοῦ σώματος χαλαρώνεται καὶ ἐξαντλεῖται, ὅταν εὑρίσκεται συνεχῶς ὑπὸ τὴν ἐπίδρασιν οἰνοποσίας. Ἂς ἀποφεύγωμεν λοιπὸν τὰς ἀκρότητας καὶ ἀπὸ τὰ δύο μέρη, ἂς φροντίζωμεν διὰ τὴν ὑγείαν τοῦ σώματος, καὶ ἂς περικόπτωμεν τὰ σκιρτήματα αὐτοῦ. Διότι ὁ οἶνος ἐδόθη ἀπὸ τὸν Θεόν, ὄχι διὰ νὰ μεθοῦμεν, ἀλλὰ διὰ νὰ εἴμεθα νηφάλιοι, διὰ νὰ εὐχαριστούμεθα καὶ ὄχι διὰ νὰ λυπούμεθα καὶ πονοῦμεν. Διότι λέγει ὅτι «ὁ οἶνος εὐφραίνει τὴν καρδίαν τοῦ ἀνθρώπου»[11]· σὺ ὅμως κάνεις αὐτὸν μέσον λύπης· διότι ὅσοι μεθοῦν εἶναι ὑπερβολικὰ βαρύθυμοι, ἐπειδὴ πολὺς σκοτισμὸς διαχύνεται εἰς τοὺς λογισμούς των.

Εἶναι ἄριστον φάρμακον ὁ οἶνος, ὅταν αὐτὸς ποὺ πίνει ἔχῃ ἄριστον μέτρον. Τὸ χωρίον αὐτὸ τῆς Γραφῆς μᾶς εἶναι χρήσιμον καὶ ἐναντίον τῶν αἱρετικῶν ποὺ συκοφαντοῦν τὴν κτίσιν τοῦ Θεοῦ[12]· ἀλλὰ ἂν ἦτο ἀπὸ τὰ ἀπηγορευμένα πράγματα, δὲν θὰ τὸ ἐπέτρεπεν ὁ Παῦλος, δὲν θὰ ἔλεγε νὰ μεταχειρίζεται ὁ Τιμόθεος οἶνον. Ὄχι μόνον δὲ ἐναντίον

πρὸς τοὺς ἀφελεστέρους τῶν ἡμετέρων ἀδελφῶν, οἳ ἐπὰν ἴδωσί τινας ὑπὸ μέθης ἀσχημονοῦντας, ἀφέντες κακίζειν ἐκείνους, τὸν παρὰ τοῦ Θεοῦ δοθέντα καρπὸν διαβάλλουσι λέγοντες. Μὴ ἔστω οἶνος. Λέγωμεν τοίνυν πρὸς αὐτούς, Μὴ ἔστω μέθη· οἶνος γὰρ ἔργον Θεοῦ, μέθη δὲ ἔργον διαβόλου· οὐχ ὁ οἶνος ποιεῖ τὴν μέθην, ἀλλ' ἡ ἀσωτία ποιεῖ τὴν μέθην· μὴ διέβαλλε τοῦ Θεοῦ τὸ δημιούργημα, ἀλλὰ κατηγόρει τῆς τοῦ συνδούλου μανίας. Σὺ δὲ ἀφεὶς τὸν ἁμαρτάνοντα κολάζειν καὶ διορθοῦσθαι, τὸν εὐεργετοῦντα ὑβρίζεις.

5. Ὅταν τοίνυν ἀκούσωμέν τινων ταῦτα λεγόντων, ἐπιστομίζωμεν· οὐ γὰρ ἡ χρῆσις, ἀλλ' ἡ ἀμετρία τὴν μέθην ποιεῖ, μέθην, τὴν κακῶν ῥίζαν ἁπάντων. Οἶνος ἐδόθη, ἵνα σώματος ἀσθένειαν διορθώσηται, οὐχ ἵνα ψυχῆς ἰσχὺν καταβάλλῃ, ἵνα σαρκὸς ἀρρωστίαν ἀνέλῃ, οὐχ ἵνα ψυχῆς ὑγείαν λυμαίνηται. Μὴ τοίνυν ἀμέτρως κεχρημένος τῇ τοῦ Θεοῦ δωρεᾷ πάρεχε λαβὰς τοῖς ἀνοήτοις καὶ ἀναιδεστέροις τῶν ἀνθρώπων.

Τί γὰρ ἐλεεινότερον μέθης; Νεκρός ἐστιν ἔμψυχος ὁ μεθύων· δαίμων ἐστὶν αὐθαίρετος, νόσημα συγγνώμην οὐκ ἔχον, πτῶμα ἀπολογίας ἐστερημένον, κοινὴ τοῦ γένους ἡμῶν ἀσχημοσύνη. Οὐ γὰρ ἐν συνουσίαις μόνον ἄχρηστος ὁ μεθύων, οὐδ' ἐν ἰδιωτικοῖς καὶ δημοσίοις πράγμασιν, ἀλλὰ καὶ ἐν ψιλῇ θεωρίᾳ πάντων ἐστὶν ἀηδέστερος, δυσωδίας πνέων. Ἐρυγαὶ καὶ χασμήσεις, καὶ αἱ φωναὶ τῶν μεθυόντων ἀτερπεῖς καὶ ἀηδεῖς, βδελυγμίας ἐσχάτης πληροῦσαι τοὺς ὁρῶντας καὶ συγγινομένους· καὶ τὸ κεφάλαιον τῶν κακῶν, ὅτι τὸν οὐρανὸν ἄβατον ποιεῖ τοῖς μεθύουσι τοῦτο τὸ νόσημα, καὶ τῶν αἰωνίων ἀγαθῶν οὐκ ἀφίησιν ἐπιτυχεῖν, ἀλλὰ μετὰ τῆς ἐνταῦθα ἀσχημοσύνης, καὶ ἐκεῖ κόλασις ἀφόρητος τοὺς τὰ τοιαῦτα νοσοῦντας ἀναμένει.

τῶν αἱρετικῶν, ἀλλὰ καὶ ἀπέναντι τῶν ἁπλοϊκωτέρων ἀπὸ τοὺς ἀδελφούς μας εἶναι χρήσιμον, οἱ ὁποῖοι ὅταν ἰδοῦν μερικοὺς νὰ ἀσχημονοῦν ἐξ αἰτίας τῆς μέθης, δὲν κακίζουν ἐκείνους, ἀλλὰ τὸν καρπὸν ποὺ ἔδωκεν ὁ Θεὸς λέγοντες, νὰ μὴ ὑπάρχῃ ὁ οἶνος. Ἀπαντοῦμεν λοιπὸν πρὸς αὐτούς, νὰ μὴ ὑπάρχῃ ἡ μέθη· διότι ὁ οἶνος εἶναι ἔργον τοῦ Θεοῦ, ἡ δὲ μέθη ἔργον τοῦ διαβόλου· δὲν κάνει ὁ οἶνος τὴν μέθην, ἀλλὰ ἡ ἀσωτία· νὰ μὴ συκοφαντῇς τὸ δημιούργημα τοῦ Θεοῦ, ἀλλὰ νὰ κατηγορῇς τὸ πάθος τοῦ συνανθρώπου σου. Σὺ ὅμως παρημέλησες νὰ τιμωρῇς καὶ νὰ διορθώνῃς τὸν ἁμαρτάνοντα καὶ ὑβρίζεις τὸν εὐεργέτην;

5. Ὅταν λοιπὸν ἀκούσωμεν μερικοὺς νὰ λέγουν αὐτά, νὰ τοὺς ἀποστομώσωμεν· διότι ὄχι ἡ χρῆσις, ἀλλὰ ἡ κατάχρησις τοῦ οἴνου, δημιουργεῖ τὴν μέθην, ποὺ εἶναι ἡ ρίζα ὅλων τῶν κακῶν. Ὁ οἶνος ἐδόθη διὰ νὰ διορθώσῃ τὴν ἀσθένειαν τοῦ σώματος, ὄχι διὰ νὰ καταβάλλῃ τὴν δύναμιν τῆς ψυχῆς, ἐδόθη διὰ νὰ θεραπεύσῃ τὴν ἀσθένειαν καὶ ὄχι διὰ νὰ βλάπτῃ τὴν ὑγείαν τῆς ψυχῆς. Μὴ λοιπὸν μὲ τὸ νὰ μεταχειρίζεσαι χωρὶς μέτρον τὴν δωρεὰν τοῦ Θεοῦ, δίνῃς ἀφορμὰς εἰς τοὺς ἀνοήτους καὶ ἀδιαντρόπους ἀπὸ τοὺς ἀνθρώπους.

Διότι τί εἶναι ἐλεεινότερον ἀπὸ τὴν μέθην; Αὐτὸς ποὺ μεθᾷ εἶναι νεκρός, καίτοι ζῇ· εἶναι δαίμων μὲ τὴν θέλησίν του, ψυχικὸν νόσημα ἀσυγχώρητον, πτῶσις διὰ τὴν ὁποίαν δὲν ὑπάρχει ἀπολογία, κοινὴ ἀσχημοσύνη τοῦ γένους μας. Διότι δὲν εἶναι μόνον ἄχρηστος διὰ τὰς συναναστροφὰς αὐτὸς ποὺ μεθᾷ, καὶ οὔτε εἰς τὰ ἰδιωτικὰ καὶ δημόσια πράγματα, ἀλλὰ καὶ ἁπλῶς μόνον βλεπόμενος, προκαλεῖ ἀηδίαν εἰς ὅλους, διότι ἀποπνέει δυσωδίαν. Ἐπὶ πλέον τὰ ρεψίματα καὶ τὰ χασμουρητὰ καὶ οἱ φωνὲς τῶν μεθύσων εἶναι ἐνοχλητικαὶ καὶ ἀηδεῖς, ποὺ κάνουν ὅσους τοὺς βλέπουν καὶ τοὺς συναναστρέφονται νὰ γεμίσουν ἀπὸ ἀηδίαν· καὶ τὸ μεγαλύτερον κακὸν εἶναι ὅτι τὸ νόσημα αὐτὸ κάνει ἀπλησίαστον εἰς τοὺς μεθύσους τὸν οὐρανὸν καὶ δὲν τοὺς ἀφήνει νὰ ἐπιτύχουν τὰ αἰώνια ἀγαθά, ἀλλὰ ἐκτὸς τῆς ἐδῶ ἀσχημοσύνης καὶ εἰς τὸν ἄλλον κόσμον κόλασις ἀνυπόφορος περιμένει αὐτοὺς ποὺ ἔχουν τέτοια νοσήματα.

Περικόψωμεν τοίνυν τὴν πονηρὰν ταύτην συνήθειαν, καὶ ἀκούσωμεν Παύλου λέγοντος, «Οἴνῳ ὀλίγῳ χρῶ»· καὶ γὰρ αὐτὸν τὸν ὀλίγον διὰ τὴν ἀσθένειαν ἐπέτρεψεν· ὡς εἰ μὴ ἦν ἀσθένεια διενοχλοῦσα, οὐκ ἂν ἠνάγκασε τὸν μαθητὴν οὐδὲ τὸν ὀλίγον προΐεσθαι. Καὶ γὰρ καὶ τὰ ἀναγκαίως ἡμῖν παραδοθέντα σῖτα καὶ ποτὰ τοῖς καιροῖς καὶ ταῖς χρείαις ἀεὶ μετρεῖν δεῖ, καὶ μηδαμοῦ τὴν χρείαν ὑπερβαίνειν, μηδὲ ἁπλῶς καὶ εἰκῇ τι ποιεῖν.

Ἀλλ' ἐπειδὴ τὴν τοῦ Παύλου κηδεμονίαν, καὶ τὴν ἀρετὴν ἐμάθομεν τὴν Τιμοθέου, φέρε λοιπὸν ἐπ' αὐτὴν τὴν λύσιν τῶν ζητημάτων τὸν λόγον ἀγάγωμεν. Τίνα οὖν εἰσι τὰ ζητούμενα; ἀναγκαῖον γὰρ πάλιν εἰπεῖν, ἵνα σαφεστέρα ἡ λύσις γένηται· τίνος οὖν ἕνεκεν ἅγιον τοιοῦτον καὶ τοσαῦτα οἰκονομοῦντα πράγματα, εἰς ἀρρωστίαν συνεχώρησεν ὁ Θεὸς ἐμπεσεῖν, καὶ οὔτε αὐτός, οὔτε ὁ διδάσκαλος ἴσχυσε τὸ νόσημα διορθώσασθαι, ἀλλὰ τῆς κατὰ τὴν οἰνοποσίαν ἐδεήθησαν βοηθείας; Καὶ τὰ μὲν ζητούμενα ταῦτα ἦν. Δεῖ δὲ αὐτὴν ἐπαγαγεῖν τὴν λύσιν, ὡς μὴ μόνον εἴ τινες νόσῳ καὶ ἀρρωστίᾳ τοιαύτῃ περιπέσοιεν, ἀλλὰ καὶ εἴ τινες πενίᾳ, καὶ λιμῷ, καὶ δεσμοῖς, καὶ βασάνοις, καὶ ἐπηρείαις, καὶ συκοφαντίαις, καὶ πᾶσι τοῖς κατὰ τὸν παρόντα βίον δεινοῖς ἅγιοι καὶ μεγάλοι καὶ θαυμαστοὶ καὶ ἐπ' ἐκείνων ἀπὸ τῶν σήμερον ῥηθησομένων ἀκριβῆ καὶ σαφεστάτην δυνηθῆναι εὑρέσθαι τὴν ἀπολογίαν πρὸς τοὺς ἐγκαλεῖν βουλομένους. Καὶ γὰρ ἠκούσατε πολλῶν τοιαῦτα ζητούντων· Τί δήποτε ὁ δεῖνα μέτριος ὢν καὶ ἐπιεικὴς ἄνθρωπος ὑφ' ἑτέρου παρανόμου τινὸς καὶ πονηροῦ καθ' ἑκάστην ἡμέραν εἰς δικαστήριον ἕλκεται, καὶ μυρία πάσχει δεινά, καὶ ὁ Θεὸς συγχωρεῖ; Τίνος οὖν ἕνεκεν ἕτερος συκοφαντηθεὶς ἀπέθανεν ἀδίκως; Ὁ δεῖνα κατεποντίσθη, φησίν, ἄλλος κατεκρημνίσθη· καὶ πολ-

Ἂς περικόψωμεν λοιπὸν τὴν κακὴν αὐτὴν συνήθειαν καὶ ἂς ἀκούσωμεν τὸν Παῦλον ποὺ λέγει «νὰ κάνῃς χρῆσιν ὀλίγου οἴνου»· διότι καὶ αὐτὸν τὸν ὀλίγον οἶνον τὸν ἐπέτρεψε χάριν τῆς ἀσθενείας· καθόσον ἐὰν δὲν τὸν ἐνοχλοῦσεν ἡ ἀσθένεια δὲν θὰ ἠνάγκαζε τὸν μαθητήν του νὰ πλησιάζῃ οὔτε αὐτὸν τὸν ὀλίγον. Διότι καὶ τῶν ποτῶν καὶ τῶν τροφῶν, τὰ ὁποῖα κατ' ἀνάγκην μεταχειριζόμεθα πρὸς συντήρησίν μας, πρέπει πάντοτε νὰ κάμωμεν χρῆσιν μὲ μέτρον ἀνάλογον μὲ τὰς ἀνάγκας καὶ τοὺς καιρούς, καὶ ποτὲ νὰ μὴ μεταχειριζώμεθα περισσότερα ἀπ' ὅσα εἶναι ἀνάγκη, οὔτε καὶ νὰ κάμωμεν κάτι ἄσκοπα.

Ἀλλὰ ἀφοῦ ἐμάθομεν τὴν φροντίδα τοῦ Παύλου καὶ τὴν ἀρετὴν τοῦ Τιμοθέου, ἐμπρὸς λοιπὸν ἂς φέρωμεν τὸν λόγον εἰς αὐτὴν τὴν λύσιν τῶν ζητημάτων. Ποῖα εἶναι λοιπὸν τὰ ζητήματα; Εἶναι ἀνάγκη νὰ τὸ ἐπαναλάβωμεν πάλιν, διὰ νὰ γίνῃ ἡ λύσις σαφεστέρα· διὰ ποῖον λόγον ἐπέτρεψεν ὁ Θεὸς νὰ πέσῃ εἰς τὴν ἀσθένειαν ἕνας τέτοιος ἅγιος ἄνθρωπος ποὺ ἐτακτοποιοῦσε τόσας ὑποθέσεις, καὶ οὔτε ὁ ἴδιος, οὔτε ὁ διδάσκαλός του ἠμπόρεσε νὰ θεραπεύσῃ τὴν ἀσθένειάν του, ἀλλὰ ἐχρειάσθη νὰ καταφύγουν εἰς τὴν διὰ τῆς οἰνοποσίας θεραπείαν; Αὐτὰ εἶναι τὰ ζητούμενα. Πρέπει τώρα νὰ ἐπιφέρωμεν τὴν λύσιν, ἡ ὁποία νὰ μὴ ἀναφέρεται μόνον εἰς τὴν περίπτωσιν τῶν ἁγίων καὶ μεγάλων καὶ θαυμαστῶν ἀνδρῶν, ποὺ περιέπεσαν εἰς ἀσθενείας καὶ νόσον ὁμοίαν μὲ τὸν Τιμόθεον, ἀλλὰ καὶ εἰς περίπτωσιν πτωχείας καὶ πείνας καὶ δεσμῶν καὶ βασάνων καὶ πειραγμάτων καὶ συκοφαντιῶν καὶ εἰς ὅλα γενικὰ τὰ δεινὰ τοῦ παρόντος βίου, ὥστε ἀπὸ αὐτὰ ποὺ θὰ λεχθοῦν σήμερον νὰ ἠμπορέσωμεν νὰ εὕρωμεν ἀκριβῆ καὶ ἀσφαλεστάτην ἀπολογίαν πρὸς ἐκείνους ποὺ κατακρίνουν τὴν θείαν πρόνοιαν δι' αὐτά. Διότι ἠκούσατε πολλοὺς νὰ λέγουν τὰ ἑξῆς· διατί ἆρά γε ὁ δεῖνα ποὺ εἶναι ἐνάρετος καὶ τίμιος ἄνθρωπος, νὰ σύρεται καθημερινὰ εἰς τὰ δικαστήρια ἀπὸ ἄλλον παραβάτην τῶν νόμων καὶ διεφθαρμένον καὶ νὰ ὑποφέρῃ πολύ, καὶ νὰ τὸ ἐπιτρέπῃ αὐτὸ ὁ Θεός; Διατί ἄλλος ἐσυκοφαντήθη καὶ ἀπέθανεν ἄδικα; Ὁ δεῖνα λέγουν, κατεποντίσθη, ὁ ἄλλος κατεκρημνίσθη· καὶ θὰ

λοὺς ἂν ἔχοιμεν ἁγίους εἰπεῖν, καὶ ἐφ' ἡμῶν καὶ ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων πολλὰς ἀπομείναντας θλίψεις διαφόρους καὶ ποικίλας. Ἵνα οὖν ἁπάντων τούτων τὸν λόγον ἴδωμεν, καὶ μήτε αὐτοὶ θορυβώμεθα, μήτε ἑτέρους σκανδαλιζομένους περιορῶμεν, μετ' ἀκριβείας τοῖς λεχθήσεσθαι μέλλουσι νῦν προσέχωμεν.

6. Τῆς γὰρ τῶν ἁγίων κακώσεως τῆς ποικίλης καὶ παντοδαπῆς, ὀκτὼ τὸν ἀριθμὸν αἰτίας ἔχω πρὸς τὴν ὑμετέραν ἀγάπην εἰπεῖν. Διὸ συντείνατέ μοι ἑαυτοὺς μετὰ ἀκριβείας ἅπαντες, εἰδότες ὡς οὐδεμία λοιπὸν ἔσται ἡμῖν συγγνώμη καὶ ἀπολογία σκανδαλιζομένοις ἐπὶ τοῖς συμβαίνουσιν, εἴγε τοσούτων προφάσεων οὐσῶν, ὡς μηδεμιᾶς οὔσης οὕτω μέλλοιμεν θορυβεῖσθαι καὶ ταράττεσθαι.

Πρώτη μὲν οὖν, διὰ τὸ μὴ ταχέως αἴρεσθαι εἰς ἀπόνοιαν τῷ μεγέθει τῶν κατορθωμάτων καὶ τῶν θαυμάτων, ἀφίησιν αὐτοὺς ὁ Θεὸς κακοῦσθαι. Δευτέρα, ἵνα μὴ μείζονα τῆς ἀνθρωπίνης φύσεως περὶ αὐτῶν ὑπόνοιαν ἔχωσιν ἕτεροι, καὶ θεούς, ἀλλ' οὐκ ἀνθρώπους, νομίσωσιν αὐτοὺς εἶναι. Τρίτη, ἵνα ἡ τοῦ Θεοῦ φαίνηται δύναμις διὰ τῶν ἐξασθενούντων καὶ διὰ τῶν δεσμουμένων κρατοῦσα καὶ περιγινομένη, καὶ τὸ κήρυγμα αὔξουσα. Τετάρτη, ἵνα αὐτῶν ἐκείνων ἡ ὑπομονὴ φανερωτέρα γένηται οὐκ ἐπὶ μισθῷ τῷ Θεῷ δουλευόντων, ἀλλὰ καὶ τοσαύτην ἐπιδεικνυμένων εὐγνωμοσύνην, ὡς καὶ μετὰ τοσαῦτα κατὰ τὴν ἀκεραίαν περὶ αὐτὸν ἐπιδείκνυσθαι εὔνοιαν. Πέμπτη, ἵνα περὶ ἀναστάσεως φιλοσοφῶμεν. Ὅταν γὰρ ἴδῃς ἄνδρα δίκαιον, καὶ πολλῆς γέμοντα ἀρετῆς μυρία παθόντα δεινά, καὶ οὕτως ἀπελθόντα ἐντεῦθεν, καὶ ἄκων ἀναγκασθήσῃ πάντως ἐννοῆσαί τι περὶ τῆς ἐκεῖ κρίσεως. Εἰ γὰρ ἄνθρωποι τοὺς ὑπὲρ αὐτῶν κάμνοντας οὐκ ἀφιεῖσι χωρὶς μισθῶν καὶ ἀμοιβῆς ἀπελθεῖν, πολλῷ μᾶλλον ὁ Θεὸς τοὺς τοσαῦτα πεπονηκότας οὐκ ἂν ἕλοιτό ποτε ἀστεφανώτους ἀφεῖναι· εἰ δὲ οὐκ ἂν ἕλοιτο τῆς τῶν πόνων

ἠμποροῦσα νὰ ἀναφέρω πολλοὺς ἁγίους καὶ ἐπὶ τῶν ἡμερῶν μας καὶ ἐπὶ τῶν προγόνων μας ποὺ ὑπέμειναν πολλὰς καὶ διαφόρους θλίψεις. Διὰ νὰ εὕρωμεν λοιπὸν τὴν αἰτίαν ὅλων τούτων, ὥστε οὔτε ἐμεῖς νὰ μὴ θορυβούμεθα, οὔτε ἄλλους νὰ ἀφήνωμεν νὰ σκανδαλίζωνται, ἂς δείνωμεν μεγάλην προσοχὴν εἰς ὅσα τώρα θὰ λεχθοῦν.

6. Διὰ τὰς πολλὰς καὶ ποικίλας καὶ παντὸς εἴδους κακοπαθείας τῶν ἁγίων ὀκτὼ αἰτίας ἔχω νὰ εἰπῶ πρὸς τὴν ἀγάπην σας. Διὰ τοῦτο προσέξατε μὲ μεγάλην προσοχὴν εἰς ὅσα θὰ εἰπῶ, ἔχοντες ὑπ᾽ ὄψιν, ὅτι τοῦ λοιποῦ θὰ εἶσθε τελείως ἀδικαιολόγητοι ἂν σκανδαλίζεσθε διὰ τὰ συμβαίνοντα, ἀφοῦ, ἐνῷ θὰ ὑπάρχουν τόσαι αἰτίαι, θὰ ταράττεσθε καὶ θὰ θορυβῆσθε, ὡσὰν νὰ μὴ ὑπῆρχε καμμία.

Πρώτη μὲν λοιπὸν αἰτία ποὺ ἀφήνει ὁ Θεὸς νὰ κακοπαθοῦν οἱ ἐνάρετοι εἶναι διὰ νὰ μὴ ὑπερηφανεύωνται διὰ τὸ μέγεθος τῶν κατορθωμάτων καὶ τῶν θαυμάτων τους. Δευτέρα, διὰ νὰ μὴ νομίσουν οἱ ἄλλοι ἄνθρωποι ὅτι εἶναι ἀνώτεροι τῆς ἀνθρωπίνης φύσεως καὶ νομίσουν ὅτι δὲν εἶναι αὐτοὶ ἄνθρωποι, ἀλλὰ θεοί. Τρίτον, διὰ νὰ φαίνεται ὅτι ἡ δύναμις τοῦ Θεοῦ ὑπερισχύει καὶ γίνεται ἰσχυρὰ διὰ τῶν ἀσθενούντων καὶ εὑρισκομένων εἰς τὰ δεσμὰ καὶ ὅτι αὐτὴ συντελεῖ εἰς τὴν διάδοσιν τοῦ κηρύγματος. Τετάρτη, διὰ νὰ γίνεται φανερωτέρα ἡ ὑπομονὴ αὐτῶν, καὶ ὅτι δὲν δουλεύουν τὸν Θεὸν διὰ ἀνθρώπινον μισθόν, καὶ ὅτι εἶναι τόσον πολὺ εὐγνώμονες, ὥστε ὕστερα ἀπὸ τόσας θλίψεις νὰ ἔχουν πρὸς αὐτὸν ἀκεραίαν τὴν ἀφοσίωσίν των καὶ τὴν ἀγάπην των. Πέμπτη, διὰ νὰ φιλοσοφῶμεν περὶ ἀναστάσεως. Διότι ὅταν ἰδῇς ἄνθρωπον δίκαιον καὶ γεμᾶτον ἀπὸ ἀρετὴν νὰ ὑποφέρῃ πάρα πολλὰ κακὰ καὶ εἰς αὐτὴν τὴν κατάστασιν νὰ φεύγῃ ἀπὸ αὐτὸν τὸν κόσμον, καὶ χωρὶς νὰ θέλῃς ἐξάπαντος θὰ ἀναγκασθῇς κάτι νὰ σκεφθῇς περὶ τῆς μελλούσης κρίσεως. Διότι ἐὰν οἱ ἄνθρωποι ἐκείνους ποὺ κοπιάζουν δι᾽ αὐτούς, δὲν τοὺς ἀφήνουν νὰ ἀναχωρήσουν χωρὶς νὰ τοὺς δώσουν μισθὸν καὶ ἀμοιβήν, πολὺ περισσότερον ὁ Θεὸς αὐτοὺς ποὺ ἐκοπίασαν τόσον πολὺ δι᾽ αὐτόν, δὲν θὰ θελήσῃ νὰ ἀφήσῃ χωρὶς ἀμοιβήν· ἀφοῦ δὲ δὲν θὰ θελήσῃ νὰ στερήσῃ αὐτοὺς

αὐτῶν ἀμοιβῆς αὐτοὺς ἀποστερῆσαί ποτε, ἀνάγκη καιρὸν εἶναί τινα μετὰ τὴν ἐντεῦθεν τελευτήν, καθ' ὃν ἀπολήψονται τὰς ἀμοιβὰς τῶν ἐντεῦθεν πόνων. Ἕκτη, ἵνα πάντες οἱ περιπίπτοντες τοῖς δεινοῖς ἱκανὴν ἔχωσι παράκλησιν καὶ παραμυθίαν, εἰς ἐκείνους ἀφορῶντες, καὶ τῶν συμβεβηκότων αὐτοῖς μεμνημένοι κακῶν. Ἑβδόμη, ἵνα ὅταν παρακαλῶμεν ὑμᾶς πρὸς τὴν ἐκείνων ἀρετήν, καὶ πρὸς ἕκαστον ὑμῶν λέγωμεν, ὅτι μίμησαι Παῦλον, καὶ ζήλωσον Πέτρον, μὴ νομίζοντες διὰ τὴν τῶν κατορθωμάτων ὑπερβολὴν ἑτέρας αὐτοὺς μετεσχηκέναι φύσεως, ἀποκνήσητε πρὸς τὴν μίμησιν. Ὀγδόη, ἵνα ὅταν δέῃ μακαρίζειν καὶ ταλανίζειν, μάθωμεν τίνας μὲν χρὴ μακαρίους ἡγεῖσθαι, τίνας δὲ ἀθλίους καὶ ταλαιπώρους.

Καὶ αἱ μὲν αἰτίαι αὗται· δεῖ δὲ αὐτὰς ἀπὸ τῶν Γραφῶν πιστώσασθαι πάσας, καὶ δεῖξαι μετὰ ἀκριβείας, ὡς οὐκ ἀνθρωπίνων λογισμῶν ἐπίνοια, ἀλλὰ τῶν Γραφῶν ἐστιν ἀπόφασις τὰ εἰρημένα ἅπαντα. Οὕτω γὰρ καὶ ὁ λόγος ἡμῖν ἀξιοπιστότερος ἔσται, καὶ μᾶλλον ἐγκαθεδεῖται ταῖς ὑμετέραις ψυχαῖς.

Ὅτι μὲν οὖν εἰς τὸ μετριάζειν καὶ ταπεινοφρονεῖν, καὶ τὸ μὴ φυσᾶσθαι ἐκ τῶν σημείων καὶ τῶν κατορθωμάτων, συμβάλλεται τοῖς ἁγίοις ἡ κάκωσις, καὶ διὰ τοῦτο συνεχώρησεν αὐτὴν ὁ Θεὸς γενέσθαι, καὶ τοῦ προφήτου Δαυΐδ, καὶ τοῦ Παύλου τὰ αὐτὰ λεγόντων ἀκούσωμεν. Ἐκεῖνος μὲν γάρ φησιν· «Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου»· οὗτος δὲ εἰπών, ὅτι «Ἡρπάγην εἰς τρίτον οὐρανόν, καὶ εἰς τὸν παράδεισον ἀπηνέχθη», ἐπήγαγε λέγων, «Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος σατᾶν, ἵνα με κολαφίζῃ». Τί τούτου σαφέστερον; Ἵνα μὴ ὑπεραίρωμαι, φησί, διὰ τοῦτο συνεχώρησεν ὁ Θεὸς τοὺς ἀγγέλους τοῦ σατανᾶ κολαφίζειν με· ἀγγέλους δὲ τοῦ σατανᾶ, οὐχὶ δαίμονας λέγει τινάς, ἀλλὰ ἀνθρώπους τοὺς ὑπηρετουμένους

---

13. Ψαλμ. 118, 71.
14. Β' Κορ. 12, 2, 4, 7.

τῆς ἀμοιβῆς τῶν κόπων των, εἶναι ἀνάγκη νὰ ὑπάρχῃ κάποιος χρόνος μετὰ τὸν θάνατόν των, κατὰ τὸν ὁποῖον θὰ ἀπολαύσουν τὰς ἀμοιβὰς τῶν εἰς τὸν κόσμον τοῦτον κόπων των. Ἕκτη, διὰ νὰ ἔχουν ἀρκετὴν παρηγορίαν καὶ ἀνακούφισιν ὅλοι ὅσοι ὑφίστανται θλίψεις, ἀποβλέποντες εἰς ἐκείνους καὶ ἐνθυμούμενοι τὰ κακὰ ποὺ συνέβησαν εἰς ἐκείνους. Ἑβδόμη, διὰ νὰ γίνετε ἐνάρετοι ὅπως ἐκεῖνοι, ὅταν σᾶς προτρέπωμεν καὶ λέγωμεν εἰς τὸν καθένα ἀπὸ σᾶς, νὰ μιμηθῇς τὸν Παῦλον καὶ νὰ ζηλέψῃς τὸν Πέτρον, μὴ διστάσετε νὰ τοὺς μιμηθῆτε, νομίζοντες ὅτι αὐτοὶ λόγῳ τῶν πολλῶν κατορθωμάτων των εἶχον ἄλλην φύσιν καὶ δὲν ἦσαν ἄνθρωποι. Ὀγδόη, διὰ νὰ μάθωμεν ὅταν πρόκειται νὰ καλοτυχίζωμεν καὶ νὰ ἐλεεινολογοῦμεν, ποίους πρέπει νὰ θεωροῦμεν εὐτυχεῖς, ποίους δὲ δυστυχεῖς καὶ ταλαιπώρους.

Καὶ αἱ μὲν αἰτίαι εἶναι αὐταί· πρέπει ὅμως τώρα νὰ τὰς βεβαιώσωμεν ἀπὸ τὴν Γραφὴν ὅλας, καὶ νὰ ἀποδείξωμεν μὲ ἀκρίβειαν ὅτι ὅλα ὅσα ἐλέχθησαν δὲν εἶναι ἐπινοήσεις ἀνθρωπίνων σκέψεων ἀλλὰ διδασκαλία τῆς Γραφῆς. Ἔτσι καὶ ὁ λόγος θὰ σᾶς φανῇ πιὸ ἀξιόπιστος καὶ περισσότερον θὰ ἐντυπωθῇ εἰς τὰς ψυχάς σας.

Ὅτι μὲν λοιπὸν συντελεῖ ἡ κακοπάθεια τῶν ἁγίων εἰς τὸ νὰ ἔχουν ἐκεῖνοι ταπεινοφροσύνην καὶ νὰ μὴ ὑπερηφανεύωνται διὰ τὰ θαύματα καὶ τὰ κατορθώματά των καὶ ὅτι διὰ τοῦτο ἐπέτρεψεν ὁ Θεὸς αὐτήν, ἂς ἀκούσωμεν τοῦτο καὶ ἀπὸ τὸν προφήτην Δαυὶδ καὶ ἀπὸ τὸν Παῦλον ποὺ λέγουν αὐτά. Ὁ μὲν Δαυὶδ λέγει· «εὐεργεσία ὑπῆρξεν εἰς ἐμὲ ἡ ταπείνωσίς μου, διότι ἔτσι ἔμαθα τὰ δικαιώματά σου»[13], ὁ δὲ Παῦλος ἀφοῦ εἶπεν ὅτι «ἡρπάγην μέχρι τοῦ τρίτου οὐρανοῦ καὶ μετεφέρθην εἰς τὸν παράδεισον» συμπλήρωσεν· «ἕνεκα τῆς ὑπερβολῆς τῶν ἀποκαλύψεων, ἐπέτρεψεν ὁ Θεὸς καὶ μοῦ ἐδόθη ξύλον ἀκανθωτὸν εἰς τὸ σῶμα, ἄγγελος τοῦ σατανᾶ, διὰ νὰ μὲ κτυπᾷ κατὰ πρόσωπον διὰ νὰ μὴ ὑπερηφανεύωμαι»[14]. Τί εἶναι σαφέστερον ἀπὸ αὐτό; Διὰ νὰ μὴ ὑπερηφανεύωμαι, λέγει, ἐπέτρεψεν ὁ Θεὸς εἰς τοὺς ἀγγέλους τοῦ Σατανᾶ νὰ μὲ κτυποῦν εἰς τὸ πρόσωπον, καὶ δὲν ἐννοεῖ κάποιους δαίμονας, ἀλλὰ τοὺς ἀνθρώπους ποὺ ὑπηρετοῦν τὸν

τῷ διαβόλῳ, τοὺς ἀπίστους, τοὺς τυράννους, τοὺς Ἕλληνας, οἳ συνεχῶς αὐτὸν ἔθλιβον, καὶ συνεχῶς ἤλαυνον· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. Ἠδύνατο, φησίν, ὁ Θεὸς καταστεῖλαι τοὺς διωγμούς, καὶ τὰς θλίψεις τὰς ἐπαλλήλους· ἀλλ' ἐπειδὴ ἡρπάγην εἰς τρίτον οὐρανὸν καὶ ἀπηνέχθην εἰς τὸν παράδεισον, ἵνα μὴ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων τούτων ἐπαρθῶ καὶ μέγα φρονήσω, συνεχώρησε τοὺς διωγμοὺς τούτους, καὶ τοὺς ἀγγέλους τοῦ σατανᾶ ἀφῆκε κολαφίζειν με διὰ τῶν διωγμῶν καὶ τῶν θλίψεων, ἵνα μὴ ὑπεραίρωμαι. Εἰ γὰρ καὶ ἅγιοι καὶ θαυμαστοὶ οἱ περὶ Παῦλον καὶ Πέτρον, καὶ πάντες ὅσοι τοιοῦτοι, ὥσπερ οὖν καί εἰσιν, ἀλλ' ἄνθρωποί εἰσι, καὶ δέονται πολλῆς γε τῆς ἀσφαλείας, εἰς τὸ μὴ ῥᾳδίως ἐπαίρεσθαι· καὶ μάλιστα πάντων οἱ ἅγιοι. Οὐδὲν γὰρ οὕτως εἰς ἀπόνοιαν αἴρειν εἴωθεν, ὡς συνειδὸς γέμον κατορθωμάτων, καὶ ψυχὴ μετὰ παρρησίας ζῶσα. Ἵνα οὖν μηδὲν τοιοῦτον πάσχωσιν ἐκεῖνοι, τοὺς πειρασμοὺς καὶ τὰς θλίψεις συνεχώρησεν εἶναι, δυναμένας αὐτοὺς καταστέλλειν καὶ πείθειν μετριάζειν ἐν ἅπασιν.

7. Ὅτι δὲ καὶ εἰς τὸ δειχθῆναι τοῦ Θεοῦ τὴν ἰσχὺν τὰ μεγάλα τοῦτο αὐτὸ συντελεῖ, καὶ τοῦτο ἄκουσον παρὰ τοῦ αὐτοῦ ἀποστόλου, τοῦτο πρότερον εἰρηκότος. Ἵνα γὰρ μὴ λέγῃς, ὅ,τι οἱ ἄπιστοι νομίζουσι, τὸν Θεὸν τὸν ταῦτα συγχωροῦντα ἀσθενῆ τινα εἶναι, καὶ μὴ δυνάμενον ἐξαρπάσαι τῶν κινδύνων τοὺς ἑαυτοῦ, συγχωρεῖν αὐτοὺς κακοῦσθαι συνεχῶς. Καὶ τοῦτο σκόπει, πῶς διὰ τούτων ἀπέδειξεν ὁ Παῦλος, δεικνύς, ὅτι οὐ μόνον ἀσθένειαν αὐτοῦ οὐ κατηγορεῖ τὰ γινόμενα, ἀλλὰ καὶ μειζόνως αὐτοῦ τὴν δύναμιν ἐπιδείκνυται πᾶσιν· εἰπὼν γάρ, ὅτι «Ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος σατανᾶ, ἵνα με κολαφίζῃ», καὶ τοὺς ἐπαλλήλους πειρασμοὺς διὰ τούτου δηλώσας, ἐπήγαγεν· «Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ· καὶ εἶπέ μοι· Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τε-

διάβολον, δηλ. τοὺς ἀπίστους, τοὺς τυράννους, τοὺς εἰδωλολάτρας, οἱ ὁποῖοι συνεχῶς τὸν ἐστανοχώρουν καὶ τὸν κατεδίωκαν· καὶ μ' αὐτὰ θέλει νὰ εἰπῇ τὰ ἑξῆς: Ἠμποροῦσεν ὁ Θεὸς νὰ καταπαύσῃ τοὺς διωγμοὺς καὶ τὰς συνεχεῖς θλίψεις κατ' ἐμοῦ· ἀλλ' ἐπειδὴ ἡρπάγην εἰς τὸν τρίτον οὐρανὸν καὶ μετεφέρθην εἰς τὸν παράδεισον, διὰ νὰ μὴ ὑπερηφανευθῶ καὶ ὑψηλοφρονήσω ἀπὸ τὰς ὑπερόχους αὐτὰς ἀποκαλύψεις, ἐπέτρεψε τοὺς διωγμοὺς αὐτοὺς καὶ ἄφησε τοὺς ἀγγέλους τοῦ Σατανᾶ νὰ μὲ κτυποῦν διὰ νὰ μὴ καυχῶμαι ἐξ αἰτίας τῶν διωγμῶν καὶ τῶν θλίψεων. Ἂν καὶ εἶναι ἅγιοι καὶ ἀξιοθαύμαστοι ὁ Παῦλος καὶ ὁ Πέτρος καὶ ὅλοι ὅσοι εἶναι τέτοιοι, ὅπως καὶ εἶναι, ὅμως δὲν παύουν νὰ εἶναι καὶ ἄνθρωποι, καὶ ἔχουν ἀνάγκην πολλῶν προφυλακτικῶν μέτρων διὰ νὰ μὴ ὑπερηφανεύωνται εὔκολα, καθ' ὅσον εἶναι περισσότερον ἀπὸ ὅλους ἅγιοι. Διότι τίποτε συνήθως δὲν ὁδηγεῖ τόσον εἰς ὑπερηφάνειαν, ὅσον ἡ γεμάτη ἀπὸ κατορθώματα ψυχὴ ποὺ ἔχει αὐτοπεποίθησιν. Διὰ νὰ μὴ συμβῇ λοιπὸν εἰς αὐτοὺς κάτι τέτοιο ἐπέτρεψεν ὁ Θεὸς νὰ τοὺς εὕρουν θλίψεις καὶ πειρασμοί, οἱ ὁποῖοι ἠμποροῦν νὰ τοὺς κάμουν νὰ εἶναι περιμαζεμένοι καὶ νὰ τοὺς πείθουν νὰ ταπεινοφρονοῦν εἰς ὅλα.

7. Ὅτι δὲ καὶ εἰς τὸ νὰ φανερωθῇ ἡ δύναμις τοῦ Θεοῦ πάρα πολὺ συντελεῖ τοῦτο, ἄκουσε τοῦτο ἀπὸ τὸν ἴδιον τὸν ἀπόστολον ποὺ τὸ εἶπε πρωτύτερα. Διὰ νὰ μὴ λέγῃς δηλαδή, ὅτι οἱ ἄπιστοι θεωροῦν, ὅτι ὁ Θεὸς ποὺ ἐπιτρέπει αὐτὰ τὸ κάνει ἀπὸ ἀδυναμίαν, ἐπειδὴ δὲν ἠμπορεῖ νὰ ἀπαλλάξῃ ἀπὸ τοὺς κινδύνους τοὺς ἰδικούς του, ἐπιτρέπει νὰ ὑποφέρουν συνεχῶς. Καὶ πρόσεξε, πῶς μὲ αὐτὰ ἀπέδειξε τοῦτο ὁ Παῦλος ὅτι ὄχι μόνον δὲν φανερώνουν ἀδυναμίαν τοῦ Θεοῦ ὅσα γίνονται, ἀλλὰ ἀντιθέτως δεικνύουν τὴν μεγάλην δύναμίν του εἰς ὅλα· διότι ἀφοῦ εἶπεν ὅτι «μοῦ ἐδόθη ξύλον ἀκανθωτὸν εἰς τὸ σῶμα, ἄγγελος τοῦ Σατανᾶ, διὰ νὰ μὲ ραπίζῃ» καὶ ἐφανέρωσε μὲ τὰ λόγια αὐτὰ τοὺς ἀλλεπαλλήλους πειρασμούς, προσέθεσε· «Διὰ τὸν πειρασμὸν αὐτὸν πολλὰς φορὰς παρεκάλεσα τὸν Κύριον διὰ νὰ φύγῃ ἀπὸ ἐμέ· καὶ μοῦ εἶπε· σοῦ εἶναι ἀρκετὴ ἡ χάρις μου· διότι ἡ δύναμίς μου

λειοῦται». Τότε μου δείκνυται ἡ δύναμις, φησίν, ὅταν ὑμεῖς ἐν ἀσθενείᾳ ἦτε· καὶ δι' ὑμῶν τῶν δοκούντων ἀσθενεῖν ὁ τοῦ κηρύγματος αὔξεται λόγος, καὶ πανταχοῦ κατασπείρεται. Ὅτε γοῦν εἰς τὸ δεσμωτήριον μυρίας λαβὼν πληγὰς εἰσηνέχθη, τὸν δεσμοφύλακα ἔδησεν. Ἐν τῷ ξύλῳ ἦσαν οἱ πόδες, ἐν τῇ ἁλύσει αἱ χεῖρες, καὶ τὸ δεσμωτήριον ἐσείετο κατὰ μέσην τὴν νύκτα, ὑμνούντων αὐτῶν.

Ὁρᾷς πῶς ἡ δύναμις αὐτοῦ ἐν ἀσθενείᾳ ἐτελειοῦτο; Εἰ ἦν λελυμένος ὁ Παῦλος, καὶ ἔσεισεν ἐκεῖνο τὸ οἴκημα οὐκ ἦν οὕτω θαυμαστὸν τὸ γινόμενον. Διὰ τοῦτο, φησί, μένε δεδεμένος, καὶ σαλευέσθωσαν οἱ τοῖχοι πάντοθεν, καὶ λυέσθωσαν οἱ δεσμῶται, ἵνα μειζόνως ἡ δύναμίς μου φαίνηται διὰ σοῦ τοῦ κατεχομένου καὶ συμπεποδισμένου, τῶν δεδεμένων λυομένων ἁπάντων. Τοῦτο οὖν αὐτὸ καὶ τὸν δεσμοφύλακα ἐξέπληξε τότε, ὅτι μετὰ τοσαύτης κατεχόμενος ἀνάγκης, δι' εὐχῆς μόνης ἴσχυσε μὲν τινάξαι τὰ θεμέλια, ἀναπετάσαι δὲ τὰς θύρας τοῦ δεσμωτηρίου, καὶ λῦσαι τοὺς δεδεμένους ἅπαντας. Οὐκ ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ Πέτρου, καὶ ἐπ' αὐτοῦ τοῦ Παύλου, καὶ ἐπὶ τῶν ἄλλων δὲ ἀποστόλων ἴδοι τις ἂν συμβαῖνον τοῦτο συνεχῶς, καὶ τοῖς διωγμοῖς τὴν χάριν τοῦ Θεοῦ ἀεὶ ἐπανθοῦσαν, καὶ ταῖς θλίψεσι παραφυομένην, καὶ οὕτω τὴν δύναμιν αὐτοῦ κηρύττουσαν. Διόπερ ἔλεγεν, «Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται».

Ὅτι δὲ καὶ μείζονα τῆς ἀνθρωπίνης φύσεως πολλοὶ πολλάκις ἔμελλον ὑποπτεύειν περὶ αὐτῶν, εἰ μὴ τοσαῦτα πάσχοντας ἑώρων, ἄκουσον πῶς αὐτὸ δέδοικεν ὁ Παῦλος. «Ἐὰν γὰρ καὶ θελήσω», φησί, «καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων· φείδομαι δέ, μήτις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούει τι ἐξ ἐμοῦ». Τί δέ ἐστιν ὃ λέγει; Ἠδυνάμην, φησί, πολλῷ μείζονα θαύματα εἰπεῖν, ἀλλ' οὐ βούλομαι, μή-

15. Β' Κορ. 12, 8, 9.
16. Πράξ. 16, 24-34.
17. Β' Κορ. 12, 9.
18. Β' Κορ. 12, 6.

ἀναδεικνύεται τελεία ἐκεῖ ποὺ ὑπάρχει ἀδυναμία»[15]. Τότε φαίνεται ἡ δύναμίς μου, λέγει, ὅταν σεῖς εὑρίσκεσθε εἰς ἀδυναμίαν· καὶ μὲ ἐσᾶς ποὺ φαίνεσθε ἀσθενεῖς ὁ λόγος τοῦ κηρύγματος αὐξάνει καὶ διαδίδεται παντοῦ. Ὅταν λοιπὸν τὸν ἔκλεισαν εἰς τὴν φυλακήν, ἀφοῦ τὸν ἔδειραν πάρα πολύ, προσείλκυσεν εἰς τὸν Χριστὸν τὸν δεσμοφύλακα[16]. Ἐνῷ εἰς τὸ ξύλον ἦσαν τὰ πόδια, εἰς τὰς ἁλυσίδας τὰ χέρια καὶ ἡ φυλακὴ ἐσείετο τὰ μεσάνυκτα, αὐτοὶ ἐδοξολογοῦσαν τὸν Θεόν.

Βλέπεις πῶς ἡ δύναμις τοῦ Θεοῦ ἀνεδεικνύετο εἰς τὴν ἀδυναμίαν; Ἐὰν ἦτο ἐλεύθερος ὁ Παῦλος καὶ ἐσείετο ἐκεῖνο τὸ οἴκημα, δὲν θὰ ἦτο τόσον ἀξιοθαύμαστον τὸ γεγονός. Διὰ τοῦτο, λέγει, νὰ μένῃς δεμένος, καὶ ἂς σαλεύωνται οἱ τοῖχοι ἀπὸ ὅλα τὰ μέρη καὶ ἂς λύωνται οἱ δεσμῶται; διὰ νὰ φαίνεται καθαρὰ ἡ δύναμίς μου διὰ σοῦ τοῦ φυλακισμένου καὶ δεμένου. Αὐτὸ ἀκριβῶς ἔκαμε τὸν δεσμοφύλακα νὰ ἐκπλαγῇ, τὸ ὅτι δηλ. ὁ Παῦλος ἐνῷ εὑρίσκετο εἰς τόσον αὐστηρὸν περιορισμὸν εἰς τὴν φυλακήν, μόνον μὲ τὴν προσευχὴν κατώρθωσε νὰ σείσῃ τὰ θεμέλια, νὰ ἀνοίξῃ τὰς θύρας τοῦ δεσμωτηρίου καὶ νὰ λύσῃ ὅλους τοὺς δεμένους. Καὶ ὄχι μόνον ἐδῶ, ἀλλὰ καὶ εἰς ἄλλας περιστάσεις τῆς ζωῆς τοῦ Πέτρου καὶ τοῦ Παύλου, καὶ εἰς τοὺς ἄλλους ἀποστόλους ἠμπορεῖ νὰ ἰδῇ κανεὶς ὅτι αὐτὸ συνέβαινε συχνά, καὶ εἰς τοὺς διωγμοὺς νὰ φαίνεται πλουσία ἡ χάρις τοῦ Θεοῦ, καὶ τὰς θλίψεις νὰ παρακολουθῇ, καὶ ἔτσι νὰ κηρύττῃ τὴν δύναμιν τοῦ Θεοῦ. Διὰ τοῦτο ἔλεγε «σοῦ εἶναι ἀρκετὴ ἡ χάρις μου· διότι ἡ δύναμίς μου ἀναδεικνύεται τελεία ἐκεῖ ποὺ ὑπάρχει ἀδυναμία»[17].

Ὅτι δὲ ἦτο δυνατὸν οἱ ἄνθρωποι νὰ τοὺς θεωρήσουν ὅτι εἶναι ἀνώτεροι τῆς ἀνθρωπίνης φύσεως, ἂν δὲν τοὺς ἔβλεπαν νὰ ὑποφέρουν τόσα, ἄκουσε πῶς ἐκφράζει αὐτὸν τὸν φόβον ὁ Παῦλος. «Ἀλλὰ καὶ ἂν θελήσω», λέγει, «νὰ καυχηθῶ δὲν θὰ εἶμαι ἀνόητος· ἀποφεύγω ὅμως νὰ τὸ κάμω μήπως μὲ θεωρήσῃ κανεὶς ἀνώτερον ἀπὸ ὅ,τι βλέπει εἰς ἐμὲ ἢ ἀκούει ἀπὸ ἐμέ»[18]. Τί δὲ σημαίνουν αὐτὰ ποὺ λέγει; Ἠμποροῦσα, λέγει, νὰ σᾶς εἰπῶ πολὺ περισσότερα θαύματα, ἀλλὰ

ποτε τὸ μέγεθος τῶν σημείων μείζονα περὶ ἐμοῦ τοῖς ἀνθρώποις ὑπόνοιαν παραστήσῃ. Διὰ τοῦτο καὶ οἱ περὶ τὸν Πέτρον, ἐπειδὴ τὸν χωλὸν ὤρθωσαν, καὶ πάντες ἦσαν κεχηνότες πρὸς αὐτούς, καταστέλλοντες αὐτούς, καὶ πείθοντες ὡς οὐδὲν παρ' ἑαυτῶν, οὐδὲ οἴκοθεν ἐπεδείξαντο, λέγουσι· «Τί ἡμῖν ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;».

Καὶ πάλιν ἐν Λύστροις οὐ μόνον ἦσαν ἐκπεπληγμένοι, ἀλλὰ καὶ ταύρους στεφανώσαντες ἤνεγκαν, καὶ θῦσαι ἐπεχείρουν τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ. Ὅρα διαβόλου κακουργίαν. Δι' ὧν ὁ Κύριος ἐσπούδαζε τὴν ἀσέβειαν ἐκκαθᾶραι τῆς οἰκουμένης, διὰ τούτων αὐτὴν ἐκεῖνος εἰσαγαγεῖν ἐσπούδαζε, πάλιν πείθων ἀνθρώπους θεοὺς νομίζειν, ὃ καὶ ἐν τοῖς ἔμπροσθεν χρόνοις ἐποίησε. Καὶ τοῦτο μάλιστά ἐστιν, ὃ τῆς εἰδωλολατρείας τὴν ἀρχὴν καὶ τὴν ῥίζαν εἰσήγαγε. Πολλοὶ γὰρ καὶ πολέμους κατορθώσαντες, καὶ τρόπαια στήσαντες, καὶ πόλεις οἰκοδομήσαντες, καὶ ἕτερά τινα τοιαῦτα τοῖς τότε εὐεργετήσαντες, θεοὶ τοῖς πολλοῖς ἐνομίσθησαν, καὶ ναοῖς ἐτιμήθησαν καὶ βωμοῖς, καὶ πᾶς ὁ τῶν ἑλληνικῶν θεῶν κατάλογος ἀπὸ τούτων σύγκειται τῶν ἀνθρώπων. Ἵνα οὖν μὴ καὶ ἐπὶ τῶν ἁγίων τοῦτο γένηται, συνεχώρησεν αὐτοὺς ἐλαύνεσθαι συνεχῶς, μαστίζεσθαι, ἀρρωστίαις περιπίπτειν, ἵνα ἡ τῆς σωματικῆς ἀρρωστίας ὑπερβολή, καὶ τῶν πειρασμῶν τὸ πλῆθος πείσῃ τοὺς παρόντας τότε, ὅτι καὶ ἄνθρωποι ἦσαν οἱ τὰ τοιαῦτα θαυματουργοῦντες, καὶ οὐδὲν παρ' ἑαυτῶν εἰσέφερον, ἀλλὰ γυμνὴ ἡ χάρις δι' ἐκείνων πάντα εἰργάζετο. Εἰ γὰρ τοὺς μικρὰ καὶ εὐτελῆ πεποιηκότας θεοὺς ἐνόμισαν, πολλῷ μᾶλλον, εἰ μηδὲν ἔπασχον ἀνθρώπινον, τούτους ὑπώπτευσαν ἄν, τοιαῦτα ἐργασαμένους, οἷα οὐδεὶς οὐδέποτε οὐκ εἶδεν, οὐδὲ ἤκουσεν. Ὅπου γὰρ μαστιζομένων αὐτῶν, κρημνιζομένων, δεσμουμέ-

19. Πράξ. 3, 12.

δὲν θέλω νὰ τὸ πράξω, φοβούμενος μήπως τὸ πλῆθος τῶν θαυμάτων συντελέσῃ, ὥστε οἱ ἄνθρωποι νὰ σχηματίσουν δι' ἐμὲ ἰδέαν ἀνωτέραν τῆς πραγματικῆς. Διὰ τοῦτο καὶ οἱ περὶ τὸν Πέτρον, ὅταν ἀνώρθωσαν τὸν κουτσὸν καὶ ὅλοι ἔβλεπαν πρὸς αὐτοὺς μὲ μεγάλον θαυμασμὸν καθησυχάζοντες αὐτοὺς καὶ πείθοντες ὅτι τίποτε δὲν ἔκαμαν μὲ τὴν δύναμίν των λέγουν· «Διατί ἐκπλήττεσθε δι' αὐτό; διατί ἔχετε προσηλωμένον τὸ βλέμμα σας εἰς ἐμᾶς, ὡσὰν νὰ τὸν ἔχωμεν κάμει νὰ περπατῇ μὲ τὴν ἰδικήν μας δύναμιν ἢ εὐσέβειαν;»[19].

Καὶ εἰς τὰ Λύστρα πάλιν ὄχι μόνον εἶχαν ἐκπλαγῆ οἱ ἄνθρωποι, ἀλλὰ ἀφοῦ ἐστεφάνωσαν καὶ ταύρους τοὺς ἔφεραν, καὶ ἐπιχειροῦσαν νὰ τοὺς θυσιάσουν εἰς τὸν Παῦλον καὶ τὸν Βαρνάβαν. Βλέπε τὴν πανουργίαν τοῦ διαβόλου. Δι' ἐκείνων ποὺ ὁ Κύριος ἐφρόντιζε νὰ ἐκδιώξῃ τὴν ἀσέβειαν ἀπὸ τὸν κόσμον, διὰ τούτων ὁ διάβολος ἐφρόντιζε νὰ τὴν ἐπαναφέρῃ, προσπαθῶν νὰ πείσῃ τοὺς ἀνθρώπους νὰ θεωροῦν ἀνθρώπους ὡς θεούς, πρᾶγμα ποὺ ἔκαμε καὶ εἰς προηγουμένους καιρούς. Καὶ αὐτὸ εἶναι κυρίως ἐκεῖνο ποὺ ἔφερεν εἰς τὸν κόσμον τὴν ἀρχὴν καὶ τὴν ρίζαν τῆς εἰδωλολατρείας. Διότι πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους ποὺ διέπρεψαν εἰς τοὺς πολέμους, καὶ ἔστησαν τρόπαια, καὶ ἔκτισαν πόλεις καὶ μὲ ἄλλα παρόμοια ἔργα τοὺς τότε ἀνθρώπους εὐηργέτησαν, ἐθεωρήθησαν ἀπὸ τοὺς πολλοὺς ὡς θεοὶ καὶ ἐτιμήθησαν μὲ ναοὺς καὶ βωμοὺς καὶ ὅλος ὁ κατάλογος τῶν ἑλληνικῶν θεῶν ἀποτελεῖται ἀπὸ τέτοιους ἀνθρώπους. Διὰ νὰ μὴ συμβῇ λοιπὸν τοῦτο καὶ εἰς τοὺς ἁγίους, ἐπέτρεψεν ὁ Θεὸς συχνὰ νὰ καταδιώκωνται, νὰ κτυποῦνται, νὰ ἀσθενοῦν, διὰ νὰ πείσῃ τοὺς τότε παρόντας ἡ ὑπερβολικὴ ἀσθένεια, καὶ τὸ πλῆθος τῶν πειρασμῶν ὅτι καὶ ἄνθρωποι ἦσαν αὐτοὶ ποὺ ἔκαμαν τόσον μεγάλα θαύματα, καὶ τίποτε δὲν ἔκαμαν μὲ τὴν δύναμίν των, ἀλλὰ μόνη ἡ θεία χάρις διὰ μέσου αὐτῶν ὅλα τὰ κατώρθωνε. Διότι ἐὰν αὐτοὺς ποὺ ἔκαμαν μικρὰ καὶ εὐτελῆ ἔργα τοὺς ἐθεώρησαν θεούς, πολὺ περισσότερον, ἂν δὲν ἐπάθαιναν τίποτε τὸ ἀνθρώπινον θὰ τοὺς ἐθεωροῦσαν, ἀφοῦ ἔκαμαν τέτοια ἔργα ποὺ κανεὶς δὲν εἶδεν ἢ δὲν ἤκουσε ποτέ. Ἀφοῦ δέ, ἐνῷ αὐτοὶ ἐμαστιγώνοντο, ἐκρημνίζοντο, ἐφυλακί-

νων, ἐλαυνομένων, καθ' ἑκάστην κινδυνευόντων ἡμέραν, ὅμως κατέπεσόν τινες εἰς τὴν ἀσεβῆ ταύτην ὑπόνοιαν, πολλῷ μᾶλλον, εἰ μηδὲν ἔπασχον ἀνθρώπινον, τοῦτο ἂν ὑπωπτεύθησαν.

8. Τρίτη μὲν οὖν ἐστιν αὕτη ἡ τῆς κακώσεως αἰτία· τετάρτη δέ, τὸ μὴ νομίζεσθαι τοὺς ἁγίους ἐπ' ἐλπίδι τῆς παρούσης εὐπραγίας τὸν Θεὸν θεραπεύειν. Καὶ γὰρ πολλοὶ τῶν ἐν ἀσελγείᾳ ζώντων παρὰ πολλῶν ἐγκαλούμενοι πολλάκις, καὶ πρὸς τοὺς τῆς ἀρετῆς καλούμενοι πόνους, καὶ τῶν ἁγίων ἐγκωμιαζομένων ἀκούοντες ἐπὶ τῇ τῶν δεινῶν εὐψυχίᾳ, ἀπὸ τούτων διαβάλλειν αὐτοὺς ἐπιχειροῦσι· καὶ οὐκ ἄνθρωποι μόνον, ἀλλὰ καὶ αὐτὸς ὁ διάβολος αὐτὸ τοῦτο ὑπώπτευσεν. Ἐπειδὴ γὰρ ὁ Ἰὼβ πολὺν περιεβέβλητο πλοῦτον, καὶ πολλῆς ἀπήλαυεν εὐπορίας, ὀνειδιζόμενος ὑπὸ τοῦ Θεοῦ, δι' αὐτὸν ὁ πονηρὸς δαίμων ἐκεῖνος οὐδὲν ἔχων εἰπεῖν, οὐδὲ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογήσασθαι ἐγκλημάτων, οὐδὲ ταῖς ἀρεταῖς ἐπισκῆψαι τοῦ δικαίου, πρὸς ταύτην εὐθέως καταφεύγει τὴν ἀπολογίαν, οὕτω λέγων· «Μὴ δωρεὰν Ἰὼβ σέβεταί σε; Περιέφραξας τὰ ἔσω αὐτοῦ καὶ τὰ ἔξω»· ἐπὶ μισθῷ, φησίν, ἐστὶν ἐκεῖνος ἐνάρετος, τοσαύτης εὐπορίας ἀπολαύων. Τί οὖν ὁ Θεός; Βουλόμενος δεῖξαι, ὅτι οὐκ ἐπὶ μισθῷ θεραπεύουσιν αὐτῷ οἱ ἅγιοι, περιεῖλεν αὐτοῦ τὴν εὐπορίαν ἅπασαν, καὶ πενίᾳ παρέδωκε, καὶ νοσήματι χαλεπῷ περιπεσεῖν συνεχώρησεν. Εἶτα ἐλέγχων αὐτὸν ὡς εἰκῇ ταῦτα ὑποπτεύσαντα, φησίν, ὅτι «Ἔτι ἔχεται ἀκακίας· σὺ δὲ εἶπας διακενῆς τὰ ὑπάρχοντα αὐτοῦ ἀπολέσαι». Τοῖς γὰρ ἁγίοις ἀρκεῖ τοῦτο εἰς ἀμοιβὴν καὶ ἀντίδοσιν, τὸ θεραπεύειν τὸν Θεόν· ἐπεὶ καὶ τῷ φιλοῦντι τοῦτο ἀρκεῖ εἰς ἀμοιβὴν τὸ φιλεῖν τὸν ἐρώμενον τὸν ἑαυτοῦ, καὶ πλέον οὐδὲν ἐπιζητεῖ, οὐδὲ ἡγεῖταί τι μεῖζον εἶναι τούτου. Εἰ δὲ ἐπ' ἀνθρώπου

20. Ἰὼβ 1, 9-10.
21. Ἰὼβ 2, 3.

ζοντο, ἐξεδιώκοντο, καθημερινῶς ἐκινδύνευον, μερικοὶ ἀπὸ τοὺς ἀνθρώπους ἔπεσαν εἰς αὐτὴν τὴν ἀσεβῆ ὑποψίαν, πολὺ περισσότερον θὰ ὑποπτεύοντο τοῦτο, ἂν δὲν ὑφίστατο τίποτε τὸ ἀνθρώπινον.

8. Ἡ τρίτη λοιπὸν αἰτία τῆς κακοπαθείας τῶν ἁγίων εἶναι αὐτή· τετάρτη δὲ τὸ νὰ μὴ νομίζουν οἱ ἄνθρωποι ὅτι οἱ ἅγιοι ὑπηρετοῦν τὸν Θεὸν μὲ τὴν ἐλπίδα νὰ ἀπολαύσουν εἰς τὸν κόσμον αὐτὸν εὐτυχίαν καὶ ὑλικὸν πλοῦτον. Διότι πολλοὶ ποὺ ζοῦν εἰς τὴν ἁμαρτίαν καὶ τὴν ἀκολασίαν, ὅταν ἐπικρίνωνται πολλάκις ἀπὸ πολλοὺς καὶ προτρέπωνται νὰ εἰσέλθουν εἰς τοὺς κόπους τῆς ἀρετῆς καὶ ἀκούουν νὰ ἐγκωμιάζωνται οἱ ἅγιοι διὰ τὸ θάρρος των πρὸ τῶν κινδύνων, ἀπὸ αὐτὴν τὴν αἰτίαν ἐπιχειροῦν νὰ τοὺς συκοφαντοῦν· καὶ ὄχι μόνον οἱ ἄνθρωποι, ἀλλὰ καὶ αὐτὸς ὁ διάβολος αὐτὴν τὴν ὑποψίαν συνέλαβεν. Ἐπειδὴ δηλαδὴ ὁ Ἰὼβ εἶχεν ἀποκτήσει πολλὰ πλούτη, καὶ ἀπελάμβανε πολλῆς εὐπορίας, ὅταν ὁ Θεός, φέρων ὡς παράδειγμα τὸν Ἰώβ, ἔδειξε περιφρόνησιν πρὸς τὸν πονηρὸν δαίμονα, αὐτὸς ἐπειδὴ δὲν εἶχε νὰ εἰπῇ κάτι, οὔτε νὰ δικαιολογηθῇ διὰ τὰ ἐγκλήματά του, οὔτε νὰ ἀρνηθῇ τὰς ἀρετὰς τοῦ δικαίου, καταφεύγει πρὸς αὐτὴν τὴν δικαιολογίαν λέγων τὰ ἑξῆς· «Μήπως σὲ σέβεται δωρεὰν ὁ Ἰώβ; περιφρούρησες τὴν ἐντὸς καὶ ἐκτὸς τοῦ οἴκου περιουσίαν του»[20]· μὲ ἀμοιβήν, λέγει, εἶναι ἐνάρετος ἐκεῖνος, διότι ἀπολαμβάνει τόσης εὐπορίας. Τί ἀπήντησεν ὁ Θεός; Θέλων νὰ τοῦ δείξῃ ὅτι οἱ ἅγιοι δὲν τὸν ὑπηρετοῦν ἀναμένοντες ὑλικὰς ἀμοιβάς, ἀφήρεσεν ἀπὸ αὐτὸν ὅλην τὴν εὐπορίαν, τὸν παρέδωκεν εἰς πτωχείαν καὶ ἐπέτρεψε νὰ πέσῃ εἰς φοβερὸν νόσημα. Ἔπειτα ἐλέγχων τὸν δαίμονα ὅτι ἀδίκως εἶχεν αὐτὴν τὴν ὑπόνοιαν λέγει ὅτι «ἀκόμη διατηρεῖ τὴν ἀρετήν του· ἂν καὶ μὲ παρεκίνησες χωρὶς λόγον νὰ καταστρέψω τὴν περιουσίαν του»[21]. Διότι εἰς τοὺς ἁγίους ἀρκεῖ τοῦτο εἰς ἀμοιβὴν καὶ ἀνταπόκρισιν, τὸ νὰ ὑπηρετοῦν τὸν Θεόν· ὅπως καὶ εἰς ἐκεῖνον ποὺ ἀγαπᾷ τοῦτο ἀρκεῖ ὡς ἀμοιβή, τὸ νὰ ἀγαπᾷ τὸν ἀγαπητόν του καὶ δὲν ζητεῖ τίποτε περισσότερον, οὔτε θεωρεῖ τίποτε ἀνώτερον τούτου. Ἂν δὲ τοῦτο παρατηρῆται εἰς τὸν ἄνθρωπον, πολὺ περισσότερον εἰς τὸν Θεόν· τοῦτο

τοῦτο, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ· ὅπερ οὖν καὶ ὁ Θεὸς δεῖξαι βουλόμενος, πλέον ὧν ᾔτησεν ὁ διάβολος ἔδωκεν. Ἐκεῖνος μὲν γάρ φησιν, «Ἐξαπόστειλον τὴν χεῖρά σου, καὶ ἅψαι αὐτοῦ»· ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλά, «Σοὶ αὐτὸν παραδίδωμι», φησίν. Καθάπερ γὰρ ἐπὶ τῶν ἔξωθεν ἀγώνων οἱ σφριγῶντες τὰ σώματα καὶ εὐεκτοῦντες τῶν ἀθλητῶν, οὐχ οὕτως φαίνονται, ἐπειδὰν τὸ διάβροχον ἐλαίῳ πάντοθεν ἱμάτιον ὦσι περιβεβλημένοι, ἀλλ' ὅταν αὐτὸ ῥίψαντες γυμνοὶ πρὸς τὰ σκάμματα ἕλκωνται, τότε μάλιστα τοὺς θεατὰς τῇ τῶν μελῶν ἀναλογίᾳ πάντοθεν ἐκπλήττουσιν οὐδενὸς αὐτὴν ἐπισκιάσαι δυναμένου λοιπόν· οὕτω καὶ ὁ Ἰώβ, ἡνίκα μὲν ἦν τὸν πλοῦτον ἅπαντα περιβεβλημένος ἐκεῖνον, οὐκ ἦν κατάδηλος τοῖς πολλοῖς ὅστις ἦν· ἐπειδὴ δὲ αὐτόν, καθάπερ ἱμάτιον ἀποδυσάμενος ὁ ἀθλητής, ἔρριψε, καὶ πρὸς τοὺς τῆς εὐσεβείας ἀγῶνας γυμνὸς εἰσῆλθεν, οὕτω γυμνωθεὶς τοὺς θεατὰς ἐξέπληξεν ἅπαντας, ὡς καὶ αὐτὸ τὸ τῶν ἀγγέλων θέατρον ἐπὶ τῇ τῆς ψυχῆς αὐτοῦ καρτερίᾳ μέγα ἀνακεκραγέναι, καὶ κροτῆσαι τὸν στεφανίτην ἐκεῖνον. Ὥσπερ γὰρ ἔφθην εἰπών, οὐχ οὕτως ἐφαίνετο τοῖς ἀνθρώποις πάντα τὸν πλοῦτον περιβεβλημένος ἐκεῖνον, ὡς ὅτε καθάπερ ἱμάτιον ῥίψας αὐτόν, γυμνὸς ἐδείχθη, ὥσπερ ἐν θεάτρῳ, μέσῃ τῇ οἰκουμένῃ, καὶ πάντες αὐτοῦ τὴν εὐεξίαν τῆς ψυχῆς ἐξεπλάγησαν· οὐκ ἀπὸ τῆς γυμνώσεως δὲ μόνον ἐδείκνυτο, ἀλλὰ καὶ ἀπὸ τῆς πάλης καὶ τῆς κατὰ τὴν ἀρρωστίαν ὑπομονῆς. Ὥσπερ γὰρ ἔφθην εἰπών, οὐκ αὐτὸς αὐτὸν ἐπάταξεν ὁ Θεός, ἵνα μὴ πάλιν ὁ διάβολος λέγῃ, ὅτι ἐφείσω, καὶ οὐκ ὅσον ἔδει, τοσοῦτον ἐπήγαγες πειρασμόν· ἀλλ' αὐτῷ παρέδωκε τῷ διαβόλῳ καὶ τὴν τῶν θρεμμάτων ἀπώλειαν, καὶ τὴν τῆς σαρκὸς ἐξουσίαν. Θαρρῶ τῷ ἀθλητῇ, φησί· διὰ τοῦτο οὐ κωλύω προσαγαγεῖν αὐτῷ ὅσα ἂν θέλῃς παλαίσματα. Ἀλλὰ καθάπερ οἱ δόκιμοι τῶν παλαιστῶν καὶ τῇ τέχνῃ καὶ τῇ ῥώμῃ τοῦ σώματος θαρρεῖν ἔχοντες, οὐκ ὀρθοὶ συμπλέ-

22. Ἰὼβ 2, 5.

θέλων νὰ δείξῃ ὁ Θεὸς ἐπέτρεψε νὰ γίνουν περισσότερα ἀπὸ ὅσα ἐζήτησεν ὁ διάβολος. Διότι ἐκεῖνος μὲν λέγει· «ἅπλωσε τὸ χέρι σου καὶ ἔγγισέ τον»[22]· ὁ δὲ Θεὸς δὲν κάνει αὐτό, ἀλλὰ «εἰς ἐσὲ τὸν παραδίδω», τοῦ λέγει. Ὅπως δηλαδὴ εἰς τοὺς κοσμικοὺς ἀγῶνας ὅσοι ἀπὸ τοὺς ἀθλητὰς ἔχουν σφριγηλὰ καὶ γερὰ σώματα, δὲν φαίνονται ἔτσι, καθ' ὃν χρόνον φοροῦν τὸ φάρεμα ποὺ εἶναι βρεγμένον μὲ λάδι, ἀλλὰ ὅταν τὸ βγάλουν καὶ πηγαίνουν γυμνοὶ πρὸς τὴν παλαίστραν, τότε κυρίως κάμνουν τοὺς θεατὰς νὰ θαυμάζουν τὴν ἀναλογίαν τῶν μελῶν τοῦ σώματός των, διότι τίποτε πλέον δὲν ἠμπορεῖ νὰ κρύψῃ αὐτήν· αὐτὸ συνέβη καὶ μὲ τὸν Ἰώβ· ὅταν μὲν ὡς ἄλλο φόρεμα ἔφερε τὸν πολὺν ἐκεῖνον πλοῦτον δὲν ἐφαίνετο εἰς τοὺς πολλοὺς ποῖος ἦτο εἰς τὴν ψυχήν· ὅταν δὲ αὐτόν, ὅπως ὁ ἀθλητὴς ποὺ βγάζει τὸ ἱμάτιον, τὸν κατέβαλε καὶ εἰσῆλθε γυμνὸς εἰς τοὺς ἀγῶνας τῆς ἀρετῆς, τόσον ἐξέπληξε μὲ τὴν γυμνότητα τοὺς θεατὰς ὅλους, ὥστε καὶ αὐτοὶ ἀκόμη οἱ ἄγγελοι βλέποντες τὴν ὑπομονὴν τῆς ψυχῆς του, ἐφώναξαν ἀπὸ θαυμασμὸν καὶ ἐχειροκρότησαν τὸν νικητὴν ἐκεῖνον ποὺ ἔφερε τὸν στέφανον τῆς νίκης. Διότι ὅπως προηγουμένως εἶπα, δὲν ἐφαίνετο εἰς τοὺς ἀνθρώπους ποῖος ἦτο εἰς τὴν ἀρετήν, ὅταν ἦτο μέσα εἰς ὅλον ἐκεῖνον τὸν πλοῦτον, ὅσον, ὅταν, ἀφοῦ ἔρριψεν ὡς φόρεμα τὸν πλοῦτον μακράν, ἐφάνη γυμνὸς εἰς τὸ μέσον τοῦ κόσμου, ὡς νὰ ἦτο εἰς θέατρον, καὶ ὅλοι ἔμειναν ἔκπληκτοι διὰ τὴν ἀντοχὴν τῆς ψυχῆς του· διότι δὲν ἀνεδεικνύετο μόνον ἀπὸ τὴν γύγνωσίν του, ἀλλὰ καὶ ἀπὸ τὴν πάλην καὶ ἀπὸ τὴν ὑπομονὴν εἰς τὴν διάρκειαν τῆς ἀσθενείας του. Ὅπως εἶπα προηγουμένως, δὲν ἐκτύπησεν ὁ ἴδιος ὁ Θεὸς τὸν Ἰώβ, διὰ νὰ μὴ λέγῃ πάλιν ὁ διάβολος ὅτι τὸν ἐλυπήθης καὶ δὲν τὸν ἔβαλες εἰς ὅσους πειρασμοὺς ἔπρεπεν, ἀλλὰ εἰς αὐτὸν τὸν διάβολον ἀνέθεσε καὶ νὰ καταστρέψῃ τὰ ποίμνιά του, καὶ νὰ τὸν ὑποβάλῃ εἰς ἀσθένειαν, ὡσὰν νὰ λέγῃ, ἔχω ἐμπιστοσύνην εἰς τὸν ἀθλητήν· καὶ διὰ τοῦτο δὲν σὲ ἐμποδίζω νὰ τὸν ὑποβάλῃς εἰς ὅσα ἀγωνίσματα θέλεις. Ἀλλὰ καθὼς οἱ δόκιμοι παλασταὶ καὶ εἰς τὴν δεξιοτεχνίαν καὶ εἰς τὴν δύναμιν τοῦ σώματός των ἔχοντες πεποίθησιν, δὲν συμπλέκονται

κονται τοῖς ἀνταγωνισταῖς πολλάκις, οὐδὲ ἐξίσης, ἀλλὰ μέσους ἑαυτοὺς παρέχουσι κατασχεῖν ἐκείνοις, ὥστε λαμπροτέραν ποιῆσαι τὴν νίκην· οὕτω καὶ ὁ Θεὸς μέσον ἔδωκε τῷ διαβόλῳ κατασχεῖν τὸν ἅγιον, ἵνα ὅταν αὐτοῦ τὴν τοσαύτην τῆς συμβολῆς πλεονεξίαν κρατήσῃ, καὶ ἐπὶ τῆς γῆς ἐκτείνῃ, λαμπρότερος ὁ στέφανος γένηται. Χρυσίον ἐστὶ δόκιμον· ὡς βούλει δοκίμασον, ὡς βούλει βασάνισον, οὐχ εὑρήσεις ἐν αὐτῷ κηλῖδα. Οὐ τὴν ἑτέρων δὲ ἡμῖν ἀνδρείαν δείκνυσι μόνον, ἀλλὰ καὶ ἑτέραν παραμυθίαν κομίζει πολλήν. Τί γάρ φησιν ὁ Χριστός; «Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς ἄνθρωποι, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι. Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· οὕτω γὰρ ἐποίουν καὶ τοῖς προφήταις οἱ πατέρες αὐτῶν». Καὶ πάλιν ὁ Παῦλος βουλόμενος παραμυθήσασθαι τοὺς Μακεδόνας, «Ὑμεῖς γάρ», φησί, μιμηταὶ ἐγεννήθητε ἀδελφοὶ τῶν ἐκκλησιῶν τοῦ Θεοῦ, τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ, ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθάπερ κἀκεῖνοι ὑπὸ τῶν Ἰουδαίων». Καὶ Ἑβραίους πάλιν οὕτω παρακαλεῖ, καταλέγων τοὺς δικαίους ἅπαντας τοὺς ἐν καμίνοις, τοὺς ἐν λάκκοις, τοὺς ἐν ἐρήμοις, τοὺς ἐν ὄρεσι, τοὺς ἐν σπηλαίοις, τοὺς ἐν λιμῷ, τοὺς ἐν στενοχωρίᾳ διάγοντας· ἡ γὰρ κοινωνία τῶν παθῶν φέρει τινὰ παραμυθίαν τοῖς ἐκπεπτωκόσιν.

Ὅτι δὲ καὶ τοὺς περὶ ἀναστάσεως πάλιν τοῦτο εἰσάγει λόγους, ἄκουσον αὐτοῦ τοῦ Παύλου λέγοντος, «Εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος, εἰ νεκροὶ οὐκ ἐγείρονται;». Καὶ πάλιν, «Εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν». Μυρία πάσχομεν δεινὰ κατὰ τὸν παρόντα βίον, φη-

---

23. Ματθ. 5, 11-12.
24. Α' Θεσσ. 2, 14-15.
25. Ἑβρ. 11, 35-38.
26. Α' Κορ. 15, 32.
27. Α' Κορ. 15, 19.

πολλάκις μὲ τοὺς ἀντιπάλους των ὄρθιοι καὶ ὡς ἴσος πρὸς ἴσον, ἀλλὰ ἐπιτρέπουν εἰς αὐτοὺς νὰ τοὺς πιάνουν ἀπὸ τὴν μέσην, ὥστε νὰ φανῇ περιφανεστέρα ἡ νίκη των· ἔτσι καὶ ὁ Θεὸς ἐπέτρεψεν εἰς τὸν διάβολον νὰ πιάσῃ τὸν Ἰὼβ ἀπὸ τὴν μέσην, ὥστε, ὅταν νικήσῃ τὸν διάβολον, ἐνῷ εὑρίσκετο εἰς τόσον μειονεκτικὴν θέσιν, καὶ τὸν ἐξαπλώσῃ ἐπὶ τῆς γῆς, νὰ γίνῃ λαμπρότερος ὁ στέφανός του. Εἶναι γνήσιος χρυσός· ὅπως θέλεις δοκίμασέ τον, ὅπως θέλεις βασάνισέ τον, δὲν θὰ εὕρῃς εἰς αὐτὸν κηλῖδα. Δὲν φανερώνει δὲ μόνον εἰς ἐμᾶς τὴν ἀνδρείαν τῶν ἄλλων, ἀλλὰ φέρει καὶ ἄλλην πολλὴν παρηγορίαν. Διότι τί λέγει ὁ Χριστός; «Μακάριοι θὰ εἶσθε, ὅταν θὰ σᾶς ὑβρίσουν καὶ θὰ σᾶς καταδιώξουν καὶ θὰ ποῦν ἐναντίον σας κάθε εἶδους κακολογίας καὶ κατηγορίας ψευδόμενοι ἐξ αἰτίας μου. Νὰ χαίρετε τότε καὶ νὰ ἀγαλλιᾶσθε, διότι ἡ ἀνταμοιβή σας θὰ εἶναι μεγάλη εἰς τοὺς οὐρανούς· διότι τὰ ἴδια ἔκαμαν καὶ εἰς τοὺς προφήτας οἱ πατέρες αὐτῶν»[23]. Καὶ πάλιν ὁ Παῦλος θέλων νὰ παρηγορήσῃ τοὺς Μακεδόνας λέγει· «Διότι καὶ σεῖς ἀδελφοὶ ἐγίνατε μιμηταὶ τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ ποὺ εὑρίσκονται εἰς τὴν Ἰουδαίαν, διότι ἐπάθατε τὰ ἴδια ἀπὸ τοὺς ὁμοεθνεῖς σας, καθὼς καὶ ἐκεῖνοι ἀπὸ τοὺς Ἰουδαίους»[24]. Καὶ τοὺς Ἑβραίους πάλιν κατὰ τὸν ἴδιον τρόπον παρηγορεῖ, ἀναφέρων λεπτομερῶς ὅλους τοὺς δικαίους ποὺ ἔζοῦσαν εἰς καμίνους, εἰς λάκκους, εἰς ἐρήμους, εἰς ὄρη, εἰς σπήλαια, εἰς πεῖναν καὶ στενοχωρίαν[25]· διότι τὸ νὰ ἔχουν ὅλοι τὰ ἴδια παθήματα φέρει κάποιαν παρηγορίαν εἰς τοὺς θλιβομένους.

Ὅτι δὲ τὰ παθήματα μᾶς φέρουν εἰς τοὺς περὶ ἀναστάσεως λόγους, ἄκουσε τὸν Παῦλον ποὺ λέγει· «ἂν ἀπὸ συμφεροντολόγους ἀνθρωπίνους ὑπολογισμοὺς ἐκινδύνευσα νὰ κατασπαραχθῶ μαχόμενος πρὸς θηρία εἰς τὴν Ἔφεσον, τί ἐκέρδισα ἀπ᾽ αὐτὸ ἐὰν οἱ νεκροὶ δὲν ἀνασταίνωνται;»[26]. Καὶ πάλιν· «ἐὰν εἰς τὴν ζωὴν αὐτὴν ἔχωμεν στηρίξει τὰς ἐλπίδας μας μόνον εἰς τὸν Χριστὸν εἴμεθα οἱ περισσότεροι ἄθλιοι καὶ ἀξιολύπητοι ἀπὸ ὅλους τοὺς ἀνθρώπους»[27]. Ἀναρίθμητα βάσανα ὑποφέρομεν κατὰ τὴν διάρκειαν τοῦ παρόντος βίου,

σίν· εἰ τοίνυν οὐκ ἔστιν ἐλπίσαι ἑτέραν ζωήν, τί γένοιτ' ἂν ἡμῶν ἀθλιώτερον;

9. Ὅθεν δῆλον, ὅτι οὐ μέχρι τοῦ παρόντος ἕστηκε τὰ ἡμέτερα· καὶ τοῦτο δῆλον ἀπὸ τῶν πειρασμῶν γίνεται. Οὐ γὰρ ἄν ποτε ἀνάσχοιτο ὁ Θεὸς τοὺς τοσαῦτα καὶ τηλικαῦτα πεπονθότας κακά, καὶ τὸν παρόντα βίον ἅπαντα ἐν πειρασμοῖς καὶ μυρίοις διάγοντας κινδύνοις μὴ πολλῷ μείζοσιν ἀμείψασθαι δωρεαῖς· εἰ δὲ οὐκ ἀνάσχοιτο, εὔδηλον ὅτι βελτίω τινὰ καὶ λαμπροτέραν ἡτοίμασεν ἑτέραν ζωήν, καθ' ἣν μέλλει τοὺς τῆς εὐσεβείας ἀθλητὰς στεφανοῦν καὶ ἀνακηρύττειν, τῆς οἰκουμένης ὁρώσης ἁπάσης. Ὥστε ὅταν ἴδῃς δίκαιον στενοχωρούμενον, κακούμενον, ἐν ἀρρωστίᾳ, καὶ πενίᾳ, καὶ μυρίοις ἑτέροις δεινοῖς τὸν παρόντα βίον καταλύσαντα, εἰπὲ πρὸς ἑαυτόν, ὅτι εἰ μὴ ἀνάστασις ἦν καὶ κρίσις, οὐκ ἂν ὁ Θεὸς τὸν τοσαῦτα δι' αὐτὸν πεπονθότα κακὰ ἀφῆκε μηδενὸς ἀπολαύσαντα ἀγαθοῦ ἀπελθεῖν ἐντεῦθεν· ὅθεν δῆλον, ὅτι ἑτέραν αὐτοῖς ἡτοίμασε ζωὴν ἡδίω τῆς παρούσης καὶ ἀνεκτοτέραν πολλῷ. Οὐ γὰρ ἄν, εἰ μὴ τοῦτο ἦν, τῶν μὲν πονηρῶν εἴασε πολλοὺς τρυφᾶν κατὰ τὸν παρόντα βίον, τῶν δὲ δικαίων πολλοὺς ἐν μυρίοις ἠφίει κακοῖς· ἀλλ' ἐπειδὴ παρεσκεύασται αἰὼν ἕτερος, ἐν ᾧ κατ' ἀξίαν ἑκάστῳ, τῷ μὲν τῆς πονηρίας, τῷ δὲ τῆς ἀρετῆς ἀποδιδόναι μέλλει, διὰ τοῦτο ἀνέχεται τὸν μὲν κακούμενον, τὸν δὲ τρυφῶντα ὁρῶν.

Καὶ τὴν ἑτέραν δὲ αἰτίαν ἀπὸ τῶν Γραφῶν παραστῆσαι πειράσομαι. Ποία δὲ ἦν αὕτη; Τὸ μὴ λέγειν ἡμᾶς εἰς τὴν αὐτὴν ἀρετὴν παρακαλουμένους, ὅτι ἐκεῖνοι φύσεως ἑτέρας μετεῖχον, ἢ οὐκ ἦσαν ἄνθρωποι. Διὰ τοῦτό τις περὶ τοῦ μεγάλου διαλεγόμενος Ἠλίου, οὕτω πώς φησιν, «Ἠλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν». Ὁρᾷς ὅτι ἀπὸ τῆς τῶν

---

28. Ἰακὼβ 5, 17.

λέγει· ἐὰν δὲν ἔχωμεν ἐλπίδα δι' ἄλλην ζωήν, τί ἀθλιώτερον ἠμπορεῖ νὰ γίνῃ ἀπὸ ἐμᾶς;

9. Ὅθεν εἶναι φανερὸν ὅτι ἡ ζωή μας δὲν περιορίζεται μόνον εἰς τὸν παρόντα κόσμον· καὶ τοῦτο ἀποδεικνύεται ἀπὸ τοὺς πειρασμούς. Διότι οὐδέποτε θὰ ἀνεχόταν ὁ Θεὸς ἐκεῖνοι ποὺ ἔπαθαν τόσον μεγάλα καὶ πολλὰ κακὰ καὶ περνοῦν ὁλόκληρον τὴν ζωήν των μὲ πειρασμοὺς καὶ ἀναριθμήτους κινδύνους νὰ μὴ ἀνταμειφθοῦν μὲ πολὺ μεγαλυτέρας δωρεάς· ἐὰν δὲ ἤθελεν ἀνεχθῇ νὰ μὴ τοὺς ἀνταμείψῃ, εἶναι φανερὸν ὅτι καλυτέραν καὶ λαμπροτέραν ἄλλην ζωὴν ἠτοίμασε, κατὰ τὴν ὁποίαν μέλλει νὰ στεφανώνῃ καὶ νὰ ἀνακηρύττῃ ὡς νικητὰς τοὺς ἀθλητὰς τῆς εὐσεβείας, ἐνώπιον ὅλου τοῦ κόσμου. Ὥστε ὅταν ἰδῇς ἕνα δίκαιον ἄνθρωπον νὰ στενοχωρῆται, νὰ κακοπαθῇ, νὰ εὑρίσκεται ἐν ἀσθενείᾳ καὶ εἰς μεγάλην πτωχείαν, καὶ μὲ ἀναρίθμητα ἄλλα κακὰ νὰ τελειώνῃ τὴν παροῦσαν ζωήν, νὰ λέγῃς πρὸς τὸν ἑαυτόν σου, ὅτι ἂν δὲν ὑπῆρχεν ἀνάστασις καὶ κρίσις, δὲν θὰ ἐπέτρεπεν ὁ Θεὸς ἐκεῖνον ποὺ ὑπέφερε τόσα βάσανα δι' αὐτὸν νὰ φύγῃ ἀπὸ ἐδῶ χωρὶς νὰ ἀπολαύσῃ κανένα καλό· ἀπὸ αὐτὸ φαίνεται ὅτι ἔχει ἑτοιμάσει ἄλλην ζωὴν περισσότερον εὐχάριστον ἀπ' αὐτὴν καὶ πιὸ ἀνεκτήν. Διότι, ἂν δὲν ὑπῆρχεν ἄλλη ζωή, δὲν θὰ ἐπέτρεπε πολλοὺς ἀπὸ τοὺς πονηροὺς ἀνθρώπους νὰ ζοῦν εὐχάριστα κατὰ τὸν παρόντα βίον, πολλοὺς δὲ ἀπὸ τοὺς δικαίους πάλιν νὰ ζοῦν μὲ ἀναρίθμητα κακά· ἀλλὰ ἐπειδὴ ἔχει ἑτοιμασθῇ ἄλλη ζωή, εἰς τὴν ὁποίαν θὰ ἀποδώσῃ εἰς τὸν καθένα κατὰ τὴν ἀξίαν του, εἰς ἄλλον κατὰ τὴν πονηρίαν του, καὶ εἰς ἄλλον κατὰ τὴν ἀρετήν του, διὰ τοῦτο ἀνέχεται νὰ βλέπῃ τὸν μὲν δίκαιον νὰ κακοπαθῇ, τὸν δὲ ἄδικον νὰ ζῇ μέσα εἰς ἄφθονα πλούτη.

Καὶ τὴν ἄλλην αἰτίαν θὰ προσπαθήσω νὰ σᾶς τὴν ἀποδείξω ἀπὸ τὰς Γραφάς. Ποία εἶναι αὐτή; Τὸ νὰ μὴ ἰσχυριζώμεθα ὅταν μᾶς παρακινοῦν νὰ πράξωμεν τὴν ἰδίαν ἀρετήν, ὅτι δῆθεν ἐκεῖνοι εἶχαν ἄλλην φύσιν ἢ ὅτι δὲν ἦσαν ἄνθρωποι. Διὰ τοῦτο ὁμιλῶν κάποιος περὶ τοῦ μεγάλου προφήτου Ἠλία, λέγει τὰ ἑξῆς· «Ὁ Ἠλίας ἦταν ἄνθρωπος ποὺ ὑπέφερε παθήματα ὅπως ἡμεῖς»[28]. Βλέπεις λοιπὸν ὅτι ἀπο-

παθῶν κοινωνίας δείκνυσιν αὐτὸν ἄνθρωπον ὄντα καθ' ἡμᾶς; Καὶ πάλιν· «Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὁμοιοπαθὴς ὑμῖν»· καὶ τοῦτο τὴν κοινωνίαν ἐγγυᾶται τῆς φύσεως.

Ἵνα δὲ μάθῃς, ὅτι καὶ μακαρίζειν ἡμᾶς, οὓς χρὴ μακαρίζειν, τοῦτο παιδεύει, δῆλον ἐκεῖθεν. Ὅταν γὰρ ἀκούσῃς Παύλου λέγοντος, ὅτι «Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν, καὶ κοπιῶμεν»· καὶ ὅτι «Ὃν ἀγαπᾷ Κύριος, παιδεύει, μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται», εὔδηλον ὅτι οὐχὶ τοὺς ἀνέσεως ἀπολαύοντας, ἀλλὰ τοὺς στενοχωρουμένους διὰ τὸν Θεόν, τοὺς θλιβομένους, τούτους ἐπαινεσόμεθα, καὶ ζηλώσομεν τοὺς ἐν ἀρετῇ ζῶντας, τοὺς εὐσεβείας ἐπιμελουμένους. Οὕτω καὶ ὁ προφήτης φησίν· «Ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας, αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ. Τὰ ταμιεῖα αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο, τὰ πρόβατα αὐτῶν πολύτοκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν, οἱ βόες αὐτῶν παχεῖς. Οὐκ ἔστι κατάπτωμα φραγμοῦ, οὐδὲ διέξοδος, οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν. Ἐμακάρισαν τὸν λαόν, ᾧ ταῦτά ἐστιν». Σὺ δὲ τί φῄς, ὦ προφῆτα; «Μακάριος, φησίν, ὁ λαός, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ»· οὐ τὸν ἐν χρήμασι πλουτοῦντα, ἀλλὰ τὸν εὐσεβείᾳ κομῶντα, τοῦτον ἐγὼ μακαρίζω, φησί, κἂν μυρία πάσχῃ δεινά.

Εἰ δὲ χρὴ καὶ ἐνάτην αἰτίαν εἰπεῖν, ἐκεῖνο ἂν εἴποιμεν, ὅτι δοκιμωτέρους ποιεῖ τοὺς θλιβομένους ἡ θλῖψις· «ἡ γὰρ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ

29. Σοφ. Σολ. 7, 1.
30. Α΄ Κορ. 2, 11.
31. Ἑβρ. 12, 6.
32. Ψαλμ. 143, 11-15.
33. Ψαλμ. 143, 5.

δεικνύει ὅτι ἦταν ἄνθρωπος ὅπως ἐμεῖς, ἀπὸ τὸ ὅτι συμμετεῖχεν εἰς τὰς ἰδίας μὲ ἐμᾶς κακοπαθείας; Καὶ πάλιν· «Διότι καὶ ἐγὼ εἶμαι ἄνθρωπος ὅμοιος μὲ σᾶς»[29]. Καὶ τοῦτο ἐγγυᾶται ὅτι ἔχομεν τὴν ἰδίαν φύσιν.

Διὰ νὰ μάθῃς δὲ ὅτι ἡ κακοπάθεια τῶν ἐναρέτων μᾶς διδάσκει νὰ μακαρίζωμεν ἐκείνους ποὺ πρέπει εἶναι φανερὸν ἀπὸ τὰ ἑξῆς: Ὅταν δηλαδὴ ἀκούσῃς τὸν Παῦλον νὰ λέγῃ ὅτι «μέχρι τῆς ὥρας αὐτῆς καὶ πεινῶμεν καὶ διψῶμεν καὶ ἔχομεν ἀνεπαρκῆ ἐνδύματα καὶ ραπιζόμεθα καὶ περιφερόμεθα ἐδῶ καὶ ἐκεῖ καὶ κοπιάζομεν»[30] καὶ ὅτι «αὐτὸν ποὺ ἀγαπᾷ ὁ Κύριος τὸν παιδεύει μὲ τὰς θλίψεις, μαστιγώνει δὲ μὲ δοκιμασίας κάθε υἱόν, ποὺ τὸν θεωρεῖ ἰδικόν του»[31], εἶναι ὁλοφάνερον ὅτι ὄχι αὐτοὺς ποὺ εὑρίσκονται μέσα εἰς τὰς ἀνέσεις, ἀλλὰ αὐτοὺς ποὺ στενοχωροῦνται χάριν τοῦ Θεοῦ καὶ θλίβονται θὰ ἐπαινέσωμεν, καὶ θὰ ζηλεύσωμεν ὅσους ζοῦν μὲ τὴν ἀρετὴν καὶ φροντίζουν διὰ τὴν εὐσέβειαν. Ἔτσι λέγει καὶ ὁ προφήτης· «Τὸ δεξί των χέρι εἶναι χέρι ἀδικίας, αἱ θυγατέρες των εἶναι καλλωπισμέναι καὶ στολισμέναι ὅπως τὰ ἀγάλματα τῶν ναῶν. Αἱ ἀποθῆκαι των γεμᾶται καὶ τὸ περίσσευμα τοῦ ἑνὸς δοχείου μπαίνει εἰς τὸ ἄλλο, τὰ πρόβατα αὐτοῦ εἶναι πολύτοκα, καὶ πολλαπλασιάζονται εἰς ἀνοιχτοὺς χώρους ὅπου βόσκουν, τὰ βόδια των πολὺ παχειά. Δὲν ὑπάρχει κανένα ρῆγμα εἰς τοὺς φραγμοὺς καὶ εἰς τὰ τείχη των, οὔτε ἔξοδος τῶν πολιτῶν αὐτῶν πρὸς αἰχμαλωσίαν, οὔτε θρῆνοι δι' ἀτυχήματα ἐθνικὰ εἰς τὰς πλατείας αὐτῶν ἀκούονται. Οἱ ἀνόητοι ἄνθρωποι ἐμακάρισαν τὸν λαὸν εἰς τὸν ὁποῖον ὑπάρχουν αὐτὰ τὰ ἀγαθά»[32]. Σὺ ὅμως τί λέγεις, ὦ προφῆτα; «Μακάριος εἶναι ὁ λαὸς τοῦ ὁποίου Θεός του εἶναι ὁ Κύριος τοῦ παντός»[33]. Ἐγὼ μακαρίζω, λέγει, ὄχι ἐκεῖνον ποὺ ἔχει πολλὰ χρήματα, ἀλλὰ ἐκεῖνον ποὺ εἶναι στολισμένος μὲ πολλὴν εὐσέβειαν, ἔστω καὶ ἂν ὑποφέρῃ πολλὰ κακά.

Ἐὰν δὲ εἶναι ἀνάγκη νὰ ἀναφέρωμεν καὶ τὴν ἐνάτην αἰτίαν διὰ τὰς θλίψεις τῶν δικαίων, ἐκεῖνο θὰ εἴπωμεν, ὅτι δηλαδὴ ἡ θλῖψις κάνει καλυτέρους ἠθικῶς τοὺς θλιβομένους, «διότι ἡ θλῖψις παράγει ὡς μόνιμον καὶ τέλειον ἔργον

δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει». Ὁρᾷς ὅτι ἡ ἐκ τῆς θλίψεως δοκιμὴ τὴν περὶ τῶν μελλόντων ἡμῖν ἐλπίδα ἐντίθησι, καὶ τὸ μένειν ἐν πειρασμοῖς εὐέλπιδας ποιεῖ περὶ τῶν μελλόντων εἶναι; Ὥστε οὐ μάτην ἔλεγον, ὅτι αἱ θλίψεις αὗται τὰς περὶ τῆς ἀναστάσεως ἡμῖν ἐλπίδας ὑπογράφουσι, καὶ βελτίους ἐργάζονται τοὺς βασανιζομένους· «ὥσπερ γάρ», φησίν, «ἐν καμίνῳ δοκιμάζεται χρυσός, οὕτως ἄνθρωπος δεκτὸς ἐν καμίνῳ ταπεινώσεως». Ἔστι δὲ καὶ δεκάτην αἰτίαν εἰπεῖν. Ποίαν δὴ ταύτην; Ἣν καὶ πολλάκις εἶπον ἤδη πρότερον, ὅτι εἴ τινας κηλῖδας ἔχομεν, καὶ ταύτας ἐνταῦθα ἀποτιθέμεθα. Καὶ τοῦτο πρὸς τὸν πλούσιον ὁ πατριάρχης δηλῶν ἔλεγεν, ὅτι «Λάζαρος ἀπέλαβεν αὐτοῦ τὰ κακά, ὅθεν παρακαλεῖται». Καὶ πρὸς ταύτῃ πάλιν ἑτέραν εὑρήσομεν. Ποίαν δὴ ταύτην; Τὸ τοὺς στεφάνους ἡμῖν καὶ τὰ βραβεῖα πλεονάζειν· ὅσῳ γὰρ αἱ θλίψεις ἐπιτείνονται, τοσούτῳ καὶ αἱ ἀμοιβαὶ αὔξονται, μᾶλλον δὲ καὶ πολλῷ πλέον· «Οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ», φησί, «πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς».

Τοσαύτας τοίνυν αἰτίας ἔχοντες εἰπεῖν τῆς τῶν ἁγίων κακώσεως, μὴ δυσχεραίνωμεν ἐν τοῖς πειρασμοῖς, μηδὲ ἀπορῶμεν, μηδὲ θορυβώμεθα, ἀλλὰ καὶ αὐτοὶ τὰς ἑαυτῶν παιδαγωγῶμεν ψυχάς, καὶ ἑτέρους ταῦτα διδάσκωμεν· κἂν ἴδῃς ἄνθρωπον ἐν ἀρετῇ ζῶντα, φιλοσοφίας ἐπειλημμένον, ἀρέσκοντα Θεῷ, εἶτα μυρία πάσχοντα δεινά, μὴ σκανδαλι-

---

34. Ρωμ. 5, 3-5.
35. Σοφ. Σειρ. 2, 5.
36. Λουκᾶ 16, 25.
37. Ρωμ. 8, 18.

τὴν ὑπομονήν, ἡ δὲ ὑπομονὴ παράγει ἀρετὴν δοκιμασμένην καὶ τελείαν, ἡ δοκιμασμένη δὲ ἀρετὴ παράγει τὴν ἐλπίδα εἰς τὸν Θεόν, αὐτὴ δὲ ἡ ἐλπὶς δὲν ἐντροπιάζει καὶ διαψεύδει αὐτὸν ποὺ τὴν ἔχει»[34]. Βλέπεις ὅτι ἡ δοκιμασία ποὺ προέρχεται ἀπὸ τὰς θλίψεις ἐμβάλλει εἰς ἡμᾶς τὴν ἐλπίδα περὶ τῶν μελλόντων ἀγαθῶν καὶ τὸ νὰ ὑφιστάμεθα πειρασμοὺς μᾶς κάνει νὰ ἔχωμεν καλὰς ἐλπίδας περὶ αὐτῶν; Ὥστε δὲν σᾶς ἔλεγα χωρὶς λόγον, ὅτι αὐταὶ αἱ θλίψεις ζωγραφίζουν τὰς ἐλπίδας μας περὶ τῆς ἀναστάσεως καὶ κάνουν καλυτέρους τοὺς βασανιζομένους· «διότι ὅπως εἰς τὴν κάμινον δοκιμάζεται ἡ γνησιότης τοῦ χρυσοῦ, ἔτσι καὶ ὁ ἄνθρωπος γίνεται εὐπρόσδεκτος ὑπὸ τοῦ Θεοῦ, ὅταν εὑρίσκεται εἰς τὴν κάμινον τῆς ταπεινώσεως»[35]. Ἠμποροῦμεν καὶ δεκάτην αἰτίαν νὰ ἀναφέρωμεν. Ποία εἶναι αὐτή; Εἶναι ἐκείνη ποὺ πολλὲς φορὲς προηγουμένως ἀνέφερα ὅτι δηλαδὴ ἂν ἔχωμεν μερικὸς κηλῖδας ἠθικάς, καὶ αὐτὰς διὰ τῶν θλίψεων τὰς ἀποβάλλομεν εἰς τὸν κόσμον αὐτόν. Καὶ αὐτὸ φανερώνων πρὸς τὸν πλούσιον ὁ Πατριάρχης Ἀβραὰμ ἔλεγεν ὅτι «ὁ Λάζαρος ἀπήλαυσε τὰ κακὰ τῆς δυστυχίας του καὶ τῆς ἀσθενείας του, διὰ τοῦτο ἐδῶ παρηγορεῖται δι' αὐτὰ ποὺ ἄλλοτε ὑπέφερε συνεχῶς»[36]. Καὶ κοντὰ εἰς αὐτὴν θὰ εὕρωμεν καὶ ἄλλην αἰτίαν. Ποία εἶναι αὐτή; Τὸ ὅτι συντελεῖ νὰ πολλαπλασιάζωνται οἱ στέφανοι καὶ τὰ βραβεῖα· διότι ὅσον αἱ θλίψεις γίνονται ἐντονώτεραι τόσον αὐξάνονται καὶ αἱ ἀμοιβαί, μᾶλλον δὲ καὶ πολὺ περισσότερον. «Διότι δὲν εἶναι ἄξια τὰ ὅσα πάσχομεν καὶ ὑποφέρομεν κατὰ τὴν παροῦσαν ζωήν», λέγει, «ἐν συγκρίσει πρὸς τὴν δόξαν, ἡ ὁποία μέλλει νὰ ἀποκαλυφθῇ εἰς ἡμᾶς»[37].

Ἀφοῦ λοιπὸν ἔχωμεν νὰ ἀναφέρωμεν τόσας αἰτίας διὰ νὰ δικαιολογήσωμεν τὰς κακοπαθείας τῶν ἁγίων, ἂς μὴ δυσαναοχετοῦμεν ὅταν εὑρισκώμεθα εἰς πειρασμούς, οὔτε νὰ ἀποροῦμεν, οὔτε νὰ θορυβούμεθα, ἀλλὰ καὶ οἱ ἴδιοι νὰ παιδαγωγοῦμεν τὰς ψυχάς μας, καὶ μὲ αὐτὰ νὰ διδάσκωμεν καὶ τοὺς ἄλλους· καὶ ὅταν ἴδῃς ἄνθρωπον νὰ ζῇ ἐνάρετα, νὰ φιλοσοφῇ χριστιανικῶς, νὰ εἶναι ἀρεστὸς εἰς τὸν Θεὸν καὶ κατόπιν νὰ ὑφίσταται ἀναρίθμητα κακά, νὰ μὴ σκανδαλίζε-

σθῇς, ἀγαπητέ· κἂν ἴδῃς τινὰ πνευματικοῖς ἐπιτιθέμενον πράγμασι, καὶ μέλλοντά τι χρήσιμον ἀνύειν, εἶτα ὑποσκελιζόμενον, μὴ θορυβηθῇς. Καὶ γὰρ οἶδα πολλοὺς πολλάκις τοῦτο ζητοῦντας· Ὁ δεῖνα, φησίν, εἰς μαρτύριον ἀπεδήμησε πένησι χρήματα διακομίζων, καὶ ναυαγίῳ περιέπεσε, καὶ πάντα ἀπώλεσεν· ἕτερος πάλιν αὐτὸ τοῦτο ποιῶν λῃσταῖς περιέτυχε, καὶ μόλις τὴν ἑαυτοῦ ψυχὴν διέσωσε, γυμνὸς ἀναχωρήσας ἐκεῖθεν. Τί οὖν ἂν εἴποιμεν; Ὅτι ἐπ' οὐδενὶ τούτων ἀσχάλλειν χρή. Εἰ γὰρ καὶ ναυαγίῳ περιέπεσεν, ἀλλ' ἔχει τὸν καρπὸν τῆς δικαιοσύνης ἀπηρτισμένον· τὰ γὰρ ἑαυτοῦ πάντα ἐπλήρωσε, συνέλεξε τὰ χρήματα, ἀπέθετο, λαβὼν ἀπῄει, τῆς ἀποδημίας ἥψατο, τὸ δὲ ναυάγιον λοιπὸν οὐ τῆς αὐτοῦ γνώμης γέγονεν. Ἀλλὰ τίνος ἕνεκεν ὁ Θεὸς τοῦτο συνεχώρησεν; Ἵνα τοῦτον ἐργάσηται δόκιμον· ἀλλ' οἱ πένητες, φησίν, ἀπεστερήθησαν τῶν χρημάτων. Οὐχ οὕτω σὺ προνοεῖς τῶν πενήτων, ὡς ὁ ποιήσας αὐτοὺς Θεός· εἰ γὰρ καὶ τούτων ἀπεστερήθησαν, ἀλλ' ἑτέρωθεν δύναται πλείονα παρασχεῖν αὐτοῖς εὐπορίας ἀφορμήν.

10. Μὴ τοίνυν ἀπαιτῶμεν αὐτὸν εὐθύνας τῶν γινομένων, ἀλλὰ δοξάσωμεν ἐν ἅπασιν. Οὐ γὰρ ἁπλῶς, οὐδὲ εἰκῇ συγχωρεῖ τὰ τοιαῦτα γίνεσθαι πολλάκις, ἀλλὰ μετὰ τοῦ μὴ περιιδεῖν τοὺς μέλλοντας ἀπολαύειν τῆς ἐκ τῶν χρημάτων τούτων παραμυθίας, ἀλλ' ἑτέραν αὐτοῖς ἀντὶ τούτων παρασχεῖν ἀφορμὴν διατροφῆς, καὶ τὸν ὑπομείναντα τὸ ναυάγιον δοκιμώτερον ποιεῖ, καὶ πλείονα αὐτῷ προξενεῖ τὸν μισθόν· τοῦ γὰρ ἐλεημοσύνην δοῦναι τὸ τοιούτοις περιπεσόντα πράγμασιν εὐχαριστῆσαι τῷ Θεῷ, πολλῷ μεῖζόν ἐστιν· οὐ γὰρ ἅπερ ἂν δι' ἐλεημοσύνην δῶμεν, ἀλλὰ καὶ ἅπερ ἂν παρ' ἑτέρων ἀφαιρεθέντες ἐνέγκωμεν γενναίως, καὶ ταῦτα πολὺν ἡμῖν φέρει τὸν καρπόν. Καὶ ἵνα μάθῃς, ὅτι τοῦτο ἐκείνου μεῖζόν ἐστιν, ἀπὸ τῶν συμβεβηκότων τῷ Ἰὼβ τοῦτο ποιήσω

σαι, ἀγαπητέ· καὶ ἂν πάλιν ἰδῇς κάποιον νὰ ἀσχολῆται μὲ πνευματικὰ πράγματα καὶ νὰ ἐπιδιώκῃ νὰ κάμῃ κάτι ὠφέλιμον καὶ κατόπιν ἀποτυγχάνει εἰς τὰς προσπαθείας του νὰ μὴ θορυβηθῇς. Καθόσον γνωρίζω πολλοὺς ποὺ προβάλλουν αὐτὴν τὴν ἀπορίαν πολλάκις. Ὁ δεῖνα, λέγουν, ἀνεχώρησεν εἰς τὰ ξένα διὰ νὰ φέρῃ χρήματα διὰ τοὺς πτωχοὺς τῆς Ἐκκλησίας τοῦ Μαρτυρίου καὶ ναυαγήσας τὰ ἔχασεν ὅλα· ἄλλος πάλι κάνοντας τὸ ἴδιο ἔπεσεν εἰς τὰ χέρια τῶν ληστῶν καὶ μόλις ἔσωσε τὴν ζωήν του. Τί θὰ ἀπαντήσωμεν λοιπόν; Ὅτι διὰ κανένα ἀπὸ αὐτὰ δὲν πρέπει νὰ ἀποροῦμεν. Διότι ἂν καὶ ἐναυάγησεν, ὅμως ἔχει τέλειον τὸν καρπὸν τῆς δικαιοσύνης· διότι ἔκαμεν ὅλα ὅσα ἠμποροῦσε, δηλαδὴ συνεκέντρωσε τὰ χρήματα, τὰ ἔθεσεν εἰς ἀσφαλὲς μέρος, τὰ ἐπῆρεν, ὅταν ἀνεχώρησε καὶ ἤρχισε τὸ ταξίδι, τὸ δὲ ναυάγιον δὲν ἦτο ἀποτέλεσμα τῆς θελήσεώς του. Ἀλλὰ διατί ἐπέτρεψε τοῦτο ὁ Θεός; Διὰ νὰ τὸν κάμῃ τέλειον εἰς τὴν ἀρετήν· ναί, ἀλλὰ οἱ πτωχοὶ ἐστερήθησαν τὰ χρήματα. Δὲν φροντίζεις τόσον διὰ τοὺς πτωχοὺς ὅσον ὁ Θεὸς ποὺ τοὺς ἔκαμε· καὶ ἐὰν ἔχασαν αὐτὰ τὰ χρήματα εἶναι εἰς θέσιν νὰ τοὺς ἐξασφαλίσῃ ὁ Θεὸς δι' ἄλλου τρόπου περισσότερα μέσα πρὸς ἄνετον συντήρησιν.

10. Ἂς μὴ ζητοῦμεν λοιπὸν νὰ ἀποδώσωμεν εὐθύνας εἰς τὸν Θεὸν δι' αὐτὰ ποὺ γίνονται, ἀλλὰ ἂς τοὺς δοξάζωμεν δι' ὅλα. Διότι πολλάκις ὄχι χωρὶς λόγον ἐπιτρέπει νὰ γίνωνται αὐτά, εἰς τὴν προκειμένην δὲ περίπτωσιν, ἐνῷ δὲν παραβλέπει ἐκείνους ποὺ θὰ ἀνεκουφίζοντο ἐκ τῶν χρημάτων ἐκείνων, διότι δι' ἄλλου τρόπου τοὺς ἐξασφαλίζει τὴν διατροφήν, συγχρόνως καὶ ἐκεῖνον, ποὺ ἐναυάγησε, τὸν κάνει τελειότερον εἰς τὴν ἀρετὴν καὶ τοῦ δίδει περισσότερον μισθόν, ἐπειδὴ τὸ νὰ εὐχαριστήσῃ κανεὶς τὸν Θεόν, ἐνῷ ἔπεσεν εἰς τόσα δυσάρεστα πράγματα, εἶναι πολὺ ἀνώτερον ἀπὸ τὸ νὰ δώσῃ ἐλεημοσύνην. Διότι ὄχι μόνον ὅσα θὰ δώσωμεν δι' ἐλεημοσύνην, ἀλλὰ καὶ ὅσα μᾶς ἀφαιρέσουν οἱ ἄλλοι, καὶ ἂν ὑποφέρωμεν μὲ γενναιοψυχίαν τὴν ἀφαίρεσιν, καὶ αὐτὰ πολὺ μισθὸν ἀπὸ τὸν Θεὸν φέρουν. Καὶ διὰ νὰ μάθῃς ὅτι τοῦτο εἶναι ἀνώτερον ἐκείνου, ἀπὸ αὐτὰ ποὺ συνέ-

φανερόν. Ἐκεῖνος ἡνίκα τὰ χρήματα ἐκέκτητο, τὴν οἰκίαν ἠνέῳξε τοῖς πένησι, τὰ ὄντα πάντα ἐξεδίδου· ἀλλ' οὐκ ἦν οὕτω λαμπρός, ἡνίκα τὴν οἰκίαν ἠνέῳξε τὴν ἑαυτοῦ τοῖς πένησιν, ὡς ὅτε αὐτὴν ἀκούσας καταπεσοῦσαν, οὐκ ἀπεδυσπέτησεν· οὐκ ἦν οὕτω λαμπρός, ὅτε ἀπὸ τῆς κουρᾶς τῶν προβάτων τοὺς γυμνοὺς περιέβαλεν, ὡς ἦν λαπρὸς καὶ εὐδόκιμος, ὅτε ἀκούσας ὅτι πῦρ κατέπεσε, καὶ τὰ θρέμματα πάντα ἀνήλωσεν, εὐχαρίστησε. Τότε φιλάνθρωπος ἦν, νῦν ἐγένετο φιλόσοφος· τότε ἠλέει τοὺς πένητας, νῦν δὲ εὐχαρίστει τῷ Δεσπότῃ, καὶ οὐκ εἶπε πρὸς ἑαυτόν, τί ποτε τοῦτό ἐστι; Τὰ ποίμνια ἀνήλωται, ἀφ' ὧν ἐτρέφοντο μυρίοι πένητες· καὶ εἰ ἀνάξιος ἤμην ἀπολαύειν εὐπορίας ταύτης, διὰ γοῦν τοὺς μετέχοντας ἔδει φείσασθαι. Ἀλλ' οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησεν, ἀλλ' ᾔδει τὸν Θεὸν πρὸς τὸ συμφέρον ἅπαντα οἰκονομοῦντα.

Καὶ ἵνα μάθῃς, ὅτι μείζονα ὕστερον ἔδωκε τὴν πληγὴν τῷ διαβόλῳ, ὅτε ἀφαιρεθεὶς ηὐχαρίστησεν, ἢ ὅτε κεκτημένος ἠλέει, κατανόησον, ὅτι ὅτε ἐκέκτητο, κἂν ὑποψίαν τινὰ ἔσχεν εἰπεῖν ὁ διάβολος, εἰ καὶ ψευδῆ, ἀλλ' ὅμως ἔσχεν εἰπεῖν, ὅτι «μὴ δωρεὰν Ἰὼβ σέβεταί σε;». Ἐπειδὴ δὲ πάντα ἔλαβε, καὶ πάντων αὐτὸν ἐγύμνωσεν, ὁ δὲ τὴν αὐτὴν εὔνοιαν πρὸς τὸν Θεὸν διετήρησε, τότε λοιπὸν ἐνεφράγη τὸ ἀναίσχυντον στόμα, καὶ οὐδὲν οὐκέτι ἔσχεν εἰπεῖν· λαμπρότερος γὰρ ἀπὸ τῶν προτέρων ὁ δίκαιος ἦν. Τοῦ γὰρ ἐν πλούτῳ ζῶντα ποιεῖν ἐλεημοσύνην, τὸ πάντα ἀφαρπαγέντα γενναίως ἐνεγκεῖν καὶ μετ' εὐχαριστίας πολλῷ μεῖζόν ἐστιν, καθάπερ οὖν ἐπὶ τούτου δέδεικται τοῦ δικαίου· τότε πολλὴ ἡ φιλοφροσύνη πρὸς τοὺς συνδούλους ἦν, νῦν μέγα τὸ φίλτρον πρὸς τὸν Δεσπότην ἐδείκνυτο. Τοῦτον δὲ οὐχ ἁπλῶς ἐκτείνω τὸν λόγον, ἀλλ' ἐπειδὴ πολλοὶ πολλάκις ἐλεημοσύνας ποιοῦντες, χήρας

38. Ἰὼβ 1, 9.

βησαν εἰς τὸν 'Ιὼβ θὰ σοῦ τὸ ἀποδείξω. 'Εκεῖνος ὅταν ἦταν πλούσιος, τὸ σπίτι του τὸ εἶχεν ἀνοικτὸν εἰς τοὺς πτωχοὺς καὶ τοὺς ἔδιδεν ὅλα ὅσα εἶχεν· ὅμως δὲν ἦτο τόσον λαμπρὸς ὅταν εἶχεν ἀνοικτὴν τὴν οἰκίαν του εἰς τοὺς πτωχούς, ὅσον ἦτο, ὅταν κατέπεσε τὸ σπίτι του καὶ δὲν ἐδυσανασχέτησε· δὲν ἦτο τόσο λαμπρὸς ὅταν ἔντυνε τοὺς γυμνοὺς μὲ τὰ μαλλιὰ τῶν προβάτων του, ὅσον ἦτο λαμπρὸς καὶ ἔνδοξος ὅταν, ἐνῷ ἔμαθεν ὅτι ἔπεσε φωτιὰ ἀπὸ τὸν οὐρανὸν καὶ κατέστρεψεν ὅλα τὰ κοπάδια του, ἐδόξασε τὸν Θεόν. Τότε ποὺ εἶχεν ὅλα τὰ ἀγαθὰ ἦτο φιλάνθρωπος, τώρα ἔγινε φιλόσοφος· τότε ἐλεοῦσε τοὺς πτωχούς, τώρα εὐχαριστοῦσε τὸν Δεσπότην, καὶ δὲν εἶπε πρὸς τὸν ἑαυτόν του, διατί νὰ συμβαίνῃ αὐτό; Τὰ κοπάδια μου, ἀπὸ τὰ ὁποῖα ἐτρέφοντο ἀναρίθμητοι πτωχοί, κατεστράφησαν· καὶ ἐὰν ἐγὼ δὲν ἤμουν ἄξιος νὰ ἀπολαμβάνω τόσης εὐπορίας, τουλάχιστον δι' ἐκείνους ποὺ ὠφελοῦντο ἐξ αὐτῆς ἔπρεπεν ὁ Θεὸς νὰ μὲ λυπηθῇ. Ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν εἶπεν, οὔτε διενοήθη, ἀλλὰ ἐγνώριζεν ὅτι ὁ Θεὸς ὅλα τὰ οἰκονομεῖ πρὸς τὸ συμφέρον.

Καὶ διὰ νὰ μάθῃς ὅτι ἡ πληγὴ τὴν ὁποίαν ἔδωκεν εἰς τὸν διάβολον ἦτο μεγαλυτέρα, μὲ τὸ νὰ εὐχαριστήσῃ τὸν Θεὸν ὅταν ἔχασε τὴν περιουσίαν, παρὰ ὅταν ἐλεοῦσεν, ὅταν ἦτο πλούσιος, λάβε ὑπ' ὄψιν σου ὅτι ἠμπόρεσεν ὁ διάβολος νὰ εὕρῃ κάποιαν δικαιολογίαν, ἔστω καὶ ψευδῆ, ὅμως εἶχε νὰ εἰπῇ «μήπως δωρεὰν σὲ σέβεται ὁ 'Ιώβ;»[38]. Ὅταν ὅμως τοῦ τὰ ἐπῆρεν ὅλα καὶ ἀπὸ ὅλα τὸν ἐγύμνωσεν, αὐτὸς δὲ παρὰ ταῦτα διετήρησε τὴν ἰδίαν πρὸς τὸν Θεὸν ἀγάπην, τότε ἔκλεισε τὸ ἀδιάντροπον στόμα του, καὶ τίποτε πλέον δὲν ἠμποροῦσε νὰ εἰπῇ· διότι τώρα ἦτο πιὸ λαμπρὸς ἀπὸ πρῶτα ὁ δίκαιος. Τὸ νὰ ὑπομένῃ κανεὶς μὲ γενναιοψυχίαν τὴν καταστροφὴν ὅλης τῆς περιουσίας καὶ νὰ εὐχαριστῇ τὸν Θεόν, εἶναι πολὺ ἀνώτερον ἀπὸ τὸ νὰ ἔχῃ πλοῦτον καὶ νὰ ἐλεῇ, ὅπως ἐφάνη καὶ εἰς τὸ παράδειγμα τοῦ 'Ιώβ· ὅταν ἦτο πλούσιος ἔδειχνε μεγάλην ἀγάπην πρὸς τοὺς συνανθρώπους του, τώρα ποὺ ἔχασε τὴν περιουσίαν ἔδειχνε μεγάλην ἀγάπην πρὸς τὸν Δεσπότην. Δὲν παρατείνω τὴν ὁμιλίαν χωρὶς λόγον, ἀλλὰ ἐπειδὴ παρετηρήθη, πολλοί, πολλὲς φορές, ἐνῷ

διατρέφοντες, τὴν οὐσίαν διηρπάσθησαν, ἕτεροι γινομένου τινὸς ἐμπρησμοῦ πάντα ἀπώλεσαν, ἄλλοι ναυαγίοις περιέπεσον, ἄλλοι συκοφαντίαις καὶ τοιαύταις τισὶν ἐπηρείαις μετὰ πολλὰς ἐλεημοσύνας εἰς πενίαν κατηνέχθησαν ἐσχάτην, καὶ ἀρρωστίαν καὶ νόσον, καὶ παρ᾽ οὐδενὸς οὐδεμιᾶς ἀπήλαυσαν βοηθείας. Ἵνα οὖν μὴ λέγωμεν, ὃ πολλοὶ πολλάκις λέγουσιν, «οὐδεὶς οὐδὲν οἶδεν», ἱκανὰ τὰ εἰρημένα ἅπαντα τὸν τοιοῦτον θόρυβον ἐκβαλεῖν. Ὁ δεῖνα τοσαύτας ποιῶν ἐλεημοσύνας, φησί, πάντα ἀπώλεσε. Καὶ τί τοῦτο ὅτι πάντα ἀπώλεσεν; Ἄν γε ὑπὲρ τῆς ἀπωλείας εὐχαριστήσῃ ταύτης, πολλῷ μείζονα παρὰ Θεοῦ ἐπισπάσεται τὴν εὔνοιαν· καὶ οὐ διπλασίονα, καθάπερ ὁ Ἰώβ, ἀλλ᾽ ἑκατονταπλασίονα ἀπολήψεται μετὰ τὴν μέλλουσαν ζωήν. Εἰ δὲ ἐνταῦθα πάσχει κακῶς, αὐτὸ δὴ τοῦτο μείζονα αὐτῷ προξενεῖ θησαυρὸν τὸ φέρειν γενναίως ἅπαντα· ἐπὶ γὰρ πλείονα αὐτὸν καλῶν σκάμματα καὶ παλαίσματα μείζονα, ἀπὸ τῆς εὐπορίας εἰς πενίαν ἀφῆκεν ἐμπεσεῖν ὁ Θεός. Πῦρ ἐπελθὸν πολλάκις κατηνάλωσέ σου τὴν οἰκίαν, καὶ τὴν οὐσίαν ἐδαπάνησεν ἅπασαν; Ἀναμνήσθητι τῶν τῷ Ἰὼβ συμβεβηκότων, εὐχαρίστησον τῷ Δεσπότῃ τῷ δυναμένῳ κωλῦσαι, καὶ μὴ κωλύσαντι, καὶ τοσοῦτον λήψῃ μισθόν, ὅσον εἰ πάντα ἐκεῖνα εἰς τὰς τῶν πενήτων ἀπέθου χεῖρας. Ἀλλ᾽ ἐν πενίᾳ διάγεις καὶ λιμῷ, καὶ μυρίοις κινδύνοις; Ἀναμνήσθητι τοῦ Λαζάρου τοῦ καὶ νόσῳ καὶ πενίᾳ, καὶ ἐρημίᾳ, καὶ μυρίοις τοιούτοις ἑτέροις πυκτεύοντος, καὶ ταῦτα μετὰ ἀρετὴν τοσαύτην· ἀναμνήσθητι τῶν ἀποστόλων, οἳ ἐν λιμῷ, καὶ δίψῃ, καὶ γυμνότητι διῆγον, τῶν προφητῶν τῶν πατριαρχῶν, τῶν δικαίων, καὶ πάντας αὐτοὺς εὑρήσεις ἐκείνους οὐ τῶν πλουτούντων, οὐδὲ τῶν τρυφώντων, ἀλλὰ τῶν πενομένων, τῶν θλιβομένων, καὶ στενοχωρουμένων ὄντας.

39. Δηλαδὴ κανεὶς δὲν γνωρίζει γιατί τὰ κάνει αὐτὰ ὁ Θεός· δηλαδὴ νὰ μὴ εἴμεθα, ὅπως θὰ ἐλέγομεν σήμερον, σκεπτικισταί,

κάνουν ἐλεημοσύνας, διατρέφουν χήρας, νὰ τοὺς ἀφαιρέσουν ἄλλοι τὴν περιουσίαν, ἄλλοι πάλιν νὰ τὴν χάσουν λόγῳ πυρκαϊᾶς, ἄλλοι λόγῳ ναυαγίου, ἄλλοι λόγῳ συκοφαντιῶν καὶ συκοφαντικῶν ἐπιρροῶν καὶ ὕστερα ἀπὸ τόσας ἐλεημοσύνας ποὺ ἔκαναν κατήντησαν εἰς πολὺ μεγάλην πτωχείαν καὶ ἀδυναμίαν καὶ ἀσθένειαν καὶ κανεὶς δὲν τοὺς ἔδωσε τὴν παραμικρὰν βοήθειαν. Διὰ νὰ μὴ λέγωμεν λοιπὸν ἐκεῖνο ποὺ πολλὲς φορὲς πολλοὶ λέγουν «Κανεὶς δὲν γνωρίζει τίποτε»[39], εἶναι ἀρκετὰ ὅλα ὅσα εἴπομεν νὰ ἀπομακρύνουν τὸν θόρυβον τοῦτον. Ὁ δεῖνα, λέγει κάποιος, ἂν καὶ ἔκαμε τόσας ἐλεημοσύνας, τὰ ἔχασεν ὅλα. Καὶ τί σημαίνει τοῦτο ὅτι τὰ ἔχασεν ὅλα; Ἂν διὰ τὴν ἀπώλειαν αὐτὴν εὐχαριστήσῃ τὸν Θεόν, πολὺ μεγαλυτέραν τὴν εὔνοιαν τοῦ Θεοῦ θὰ προσελκύσῃ· καὶ ὄχι διπλασίαν, ὅπως ὁ Ἰώβ, ἀλλὰ ἑκατονταπλασίαν θὰ λάβῃ εἰς τὴν μέλλουσαν ζωήν. Ἂν δὲ ἐδῶ κακοπαθῇ κάποιος καὶ ἂν ὑπομένῃ μὲ γενναιοψυχίαν τὴν κακοπάθειαν αὐτήν, τοῦτο κάνει μεγαλυτέραν τὴν ἀμοιβήν του· διότι ἐπειδὴ ἐκάλεσεν αὐτὸν ὁ Θεὸς εἰς μεγαλύτερα καὶ περισσότερα ἀγωνίσματα τὸν ἄφησε νὰ πέσῃ ὁ Θεὸς ἀπὸ τὴν εὐπορίαν εἰς τὴν πτωχείαν. Ἔτυχε πολλὲς φορὲς νὰ γίνῃ πυρκαϊὰ καὶ νὰ σοῦ καύσῃ τὴν οἰκίαν καὶ νὰ σοῦ καταστρέψῃ ὅλην τὴν περιουσίαν; Θυμήσου αὐτὰ ποὺ συνέβησαν εἰς τὸν Ἰὼβ καὶ δόξασε τὸν Θεόν, ὁ ὁποῖος ἠμποροῦσε νὰ ἐμποδίσῃ τὴν πυρκαϊὰν καὶ δὲν τὸ ἔκαμε καὶ θὰ πάρῃς τόσον μεγάλον μισθὸν ὅσον θὰ ἔπαιρνες, ἂν ὅλα ἐκεῖνα τὰ ἔθετες εἰς τὰ χέρια τῶν φτωχῶν. Περνᾷς τὴν ζωήν σου μὲ πτωχείαν, πεῖναν καὶ ἀναριθμήτους κινδύνους; Θυμήσου τὸν Λάζαρον τῆς παραβολῆς ὁ ὁποῖος ἠγωνίζετο ἐναντίον τῆς ἀσθενείας καὶ τῆς πτωχείας καὶ τῆς ἐρημίας συγγενῶν καὶ ἀναριθμήτων ἄλλων τοιούτων κακῶν, καὶ μάλιστα μὲ τόσην ἀρετήν· θυμήσου τοὺς ἀποστόλους οἱ ὁποῖοι ἐπερνοῦσαν τὴν ζωήν τους μὲ πεῖναν, δίψαν καὶ γυμνότητα, τοὺς προφήτας, τοὺς πατριάρχας, τοὺς δικαίους καὶ θὰ ἰδῇς ὅτι ὅλοι αὐτοὶ δὲν ἦσαν πλούσιοι, οὔτε εἶχαν ἀνέσεις, ἀλλὰ ἀνῆκον εἰς τὴν τάξιν τῶν πτωχῶν τῶν θλιβομένων καὶ στενοχωρημένων ἀνθρώπων.

11. Ταῦτα παρὰ σεαυτῷ λέγων, εὐχαρίστησον τῷ Δεσπότῃ, ὅτι σε τῆς μοίρας ταύτης ἐποίησεν, οὐχὶ μισῶν, ἀλλὰ καὶ σφόδρα φιλῶν, ἐπεὶ κἀκείνους οὐκ ἠφίει τοσαῦτα πάσχειν δεινά, εἰ μὴ ἂν καὶ σφόδρα ἐφίλει, ὅτι λαμπροτέρους αὐτοὺς διὰ τῶν κακῶν τούτων εἰργάζετο. Οὐδὲν εὐχαριστίας ἴσον ἀγαθόν, ὥσπερ βλασφημίας χεῖρον οὐδέν· μὴ θαυμάσωμεν, ὅτι πνευματικοῖς ἐπιτιθέμενοι πράγμασι πολλὰ πάσχομεν δεινά. Ὥσπερ γὰρ οἱ λῃσταὶ οὐκ ἔνθα χόρτος καὶ ἄχυρα καὶ καλάμη, ἀλλ' ἔνθα χρυσίον καὶ ἀργύριον, ἐκεῖ διορύττουσι, καὶ συνεχῶς ἀγρυπνοῦσιν· οὕτω καὶ ὁ διάβολος τούτοις μάλιστα ἐπιτίθεται τοῖς πνευματικῶν ἁπτομένοις πραγμάτων. Ἐκεῖ πολλαὶ αἱ ἐπιβουλαί, ἔνθα ἀρετή· ἐκεῖ φθόνος, ἔνθα ἐλεημοσύνη. Ἀλλ' ἔστιν ἡμῖν ἓν ὅπλον μέγιστον ὃ πάσας ἱκανὸν τὰς τοιαύτας μηχανὰς ἀποκρούσασθαι, τὸ διὰ πάντων τούτων εὐχαριστεῖν τῷ Θεῷ. Ὁ Ἄβελ, εἰπέ μοι, οὐχὶ τῶν πρωτείων τῷ Θεῷ ἀπαρξάμενος, ὑπὸ ἀδελφικῆς ἔπεσε χειρός; Ἀλλ' ὅμως ὁ Θεὸς συνεχώρησεν, οὐχὶ μισῶν τὸν τιμήσαντα, ἀλλὰ καὶ σφόδρα φιλῶν, καὶ πρὸς τῷ τῆς καλλίστης ἐκείνης θυσίας στεφάνῳ καὶ ἕτερον αὐτῷ τὸν ἀπὸ τοῦ μαρτυρίου παρέχων στέφανον.

Ὁ Μωϋσῆς ἠθέλησεν ἀδικουμένῳ βοηθῆσαί τινι, καὶ περὶ τῶν ἐσχάτων ἐκινδύνευσε καὶ τῆς πατρίδος ἐξέπεσε· καὶ ὁ Θεὸς συνεχώρησεν, ἵνα μάθῃς τῶν ἁγίων τὴν ὑπομονήν. Εἰ γὰρ προειδότες ὡς οὐδὲν πεισόμεθα δεινόν, οὕτως ἡπτόμεθα τῶν πνευματικῶν πραγμάτων, οὐδὲν μέγα ἂν ἐδόξαμεν ποιεῖν, ἐνέχυρον τῆς ἀσφαλείας ἔχοντες τοιοῦτον· νυνὶ δὲ ἐντεῦθεν μάλιστα ἂν εἶεν θαυμαστοὶ οἱ τὰ τοιαῦτα πράττοντες, ὅτι καὶ κινδύνους, καὶ ζημίας, καὶ θανάτους, καὶ μυρία κακὰ προορώμενοι, ὅμως τῶν τοιούτων οὐκ ἀφί-

11. Αὐτὰ νὰ σκέπτεσαι καὶ νὰ εὐχαριστῇς τὸν Θεόν, διότι σὲ κατέταξεν εἰς αὐτὴν τὴν κατηγορίαν, ὄχι ἀπὸ μίσος, ἀλλὰ ἀπὸ μεγάλην ἀγάπην, διότι καὶ ἐκείνους (τοὺς ἁγίους) δὲν θὰ τοὺς ἄφηνε νὰ πάσχουν τόσα, ἂν δὲν τοὺς ἀγαποῦσε καὶ μάλιστα τόσον πολύ, διότι τοὺς ἔκαμε πιὸ ἐνδόξους μὲ τὰς δοκιμασίας αὐτάς. Κανὲν ἀγαθὸν δὲν εἶναι ἴσον μὲ τὴν εὐχαριστίαν ὅπως ἀκριβῶς καὶ τίποτε δὲν εἶναι χειρότερον ἀπὸ τὴν βλασφημίαν· ἂς μὴ ἀποροῦμεν, διότι, ἐνῷ ἀσχολούμεθα μὲ πνευματικὰ πράγματα, ὑποφέρομεν πολλὰ βάσανα. Διότι ὅπως οἱ λησταὶ δὲν τρυποῦν τοὺς τοίχους ἐκεῖ ποὺ εἶναι χόρτος καὶ ἄχυρα καὶ καλάμια, ἀλλὰ ἐκεῖ ποὺ εἶναι χρυσὸς καὶ ἄργυρος καὶ μένουν ἄγρυπνοι συνεχῶς· ἔτσι καὶ ὁ διάβολος ἐπιτίθεται ἐναντίον ἐκείνων ποὺ ἐργάζονται πνευματικά. Ὅπου εἶναι ἀρετή, ἐκεῖ εἶναι πολλαὶ συκοφαντίαι ὅπου ὑπάρχει ἐλεημοσύνη ἐκεῖ εἶναι φθόνος. Ὅμως ἔχομεν ἕνα ὅπλον πολὺ ἀποτελεσματικόν, τὸ ὁποῖον εἶναι ἱκανὸν νὰ ἐξουδετερώσῃ ὅλα τὰ μηχανεύματα τοῦ διαβόλου, καὶ εἶναι τὸ νὰ εὐχαριστοῦμε δι' ὅλα τὸν Θεόν. Ὁ Ἄβελ, εἰπέ μου, δὲν ἐφονεύθη ἀπὸ χέρια ἀδελφικὰ ἐπειδὴ προσέφερε θυσίαν εἰς τὸν Θεὸν τὰ πρωτότοκα τῶν προβάτων του; Ὅμως ἐπέτρεψε τοῦτο ὁ Θεός, ὄχι διότι ἐμισοῦσεν ἐκεῖνον ποὺ τὸν ἐτίμησε διὰ τῆς θυσίας, ἀλλὰ ἐπειδὴ τὸν ἀγαποῦσε πολύ, ἤθελε μαζὶ μὲ τὸν μισθὸν τῆς θυσίας ἐκείνης νὰ τοῦ δώσῃ καὶ τὸν στέφανον τοῦ μαρτυρίου.

Ὁ Μωϋσῆς ἠθέλησε νὰ βοηθήσῃ κάποιον ἀδικούμενον καὶ ἐκινδύνευσε τὸν ἔσχατον κίνδυνον καὶ ἐξεπατρίσθη· καὶ τὸ ἐπέτρεψεν αὐτὸ ὁ Θεὸς διὰ νὰ μάθῃς τὴν ὑπομονὴν τῶν ἁγίων. Διότι ἐὰν ἠσχολούμεθα μὲ τὰ πνευματικὰ πράγματα, γνωρίζοντες ἐκ τῶν προτέρων, ὅτι δὲν θὰ πάθωμεν κανένα κακόν, δὲν θὰ ἐφαινόμεθα ὅτι κάνομεν κάτι τὸ σπουδαῖον, ἐπειδὴ ἡ ἀσχολία μὲ τὰ πνευματικὰ θὰ ἦτο τότε σπουδαία ἐγγύησις τῆς ἀσφαλείας ἀπὸ κάθε κακόν· τώρα ὅμως ἀπὸ αὐτὸ εἶναι κυρίως ἀξιοθαύμαστοι οἱ ἄνθρωποι αὐτοί, διότι ἂν καὶ γνωρίζουν ἐκ τῶν προτέρων ὅτι θὰ ἀντιμετωπίσουν κινδύνους καὶ ζημίας καὶ θανάτους καὶ ἀναρίθμητα κακά, ἐν τούτοις δὲν ἀπομακρύνονται ἀπὸ αὐτὰ τὰ κατορθώματα, οὐ-

σταντο κατορθωμάτων, οὐδὲ ὀκνηρότεροι ἐγίνοντο ταῖς τῶν φόβων προσδοκίαις. Καθάπερ οὖν οἱ τρεῖς παῖδες ἔλεγον, «Ἔστι Θεὸς ἐν οὐρανῷ δυνατὸς ἐξελέσθαι ἡμᾶς· καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας οὐ προσκυνοῦμεν».

Καὶ σὺ τοίνυν, ὅταν μέλλῃς τι ἐργάζεσθαι τῶν κατὰ Θεόν, πολλοὺς προόρα κινδύνους, πολλὰς ζημίας, πολλοὺς θανάτους· καὶ μὴ ξενίζου, μηδὲ θορυβοῦ συμβαινόντων τούτων. «Τέκνον γάρ», φησίν, «εἰ προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν». Οὐδεὶς τοίνυν πυκτεύειν αἱρούμενος χωρὶς τραυμάτων προσδοκᾷ στέφανον ἀναδήσασθαι. Καὶ σὺ τοίνυν πρὸς τὸν διάβολον παγκρατιάζειν καταδεξάμενος, μὴ τὸν ἀκίνδυνον καὶ τρυφῆς γέμοντα δίωκε βίον· οὐ γὰρ ἐνταῦθά σοι τὰς ἀμοιβὰς καὶ τὰς ὑποσχέσεις, ἀλλ' εἰς τὸν μέλλοντα αἰῶνα ἅπαντα ὑπέσχετο ὁ Θεὸς τὰ λαμπρά. Ὅταν οὖν ἢ αὐτός τι ποιήσας ἀγαθόν, τὰ ἐναντία ἀπολάβῃς, ἢ ἕτερον τοῦτο πάσχοντα ἴδῃς, εὐφραίνου καὶ χαῖρε· μείζονος γὰρ ἀμοιβῆς ὑπόθεσις τὸ πρᾶγμα σοι γίνεται· οὐ μὴ καταπέσῃς, μηδὲ καταλύσῃς τὴν προθυμίαν, μηδὲ ὀκνηρότερος γένῃ, ἀλλὰ μᾶλλον ἐπιτίθεσο μετὰ πλείονος τῆς προθυμίας. Ἐπεὶ καὶ οἱ ἀπόστολοι ἡνίκα ἐκήρυττον, μαστιζόμενοι, λιθαζόμενοι, δεσμωτήρια συνεχῶς οἰκοῦντες, οὐ μόνον μετὰ τὴν τῶν κινδύνων ἀπαλλαγήν, ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς κινδύνοις μετὰ μείζονος τῆς προθυμίας τὸ τῆς ἀληθείας κατήγγελον κήρυγμα. Καὶ ἔστιν ἰδεῖν Παῦλον ἐν αὐτῷ τῷ δεσμωτηρίῳ, ἐν αὐταῖς ταῖς ἁλύσεσι κατηχοῦντα, μυσταγωγοῦντα, καὶ ἐν δικαστηρίῳ πάλιν τὸ αὐτὸ τοῦτο ποιοῦντα, καὶ ἐν ναυαγίῳ, καὶ ἐν χειμῶνι, καὶ ἐν μυρίοις κινδύνοις.

---

40. Δαν. 3, 17-18.
41. Ἐκκλ. 2, 1.
42. Τὸ παγκράτιο ἦτο ἀπὸ τὰ πλέον ἐπικίνδυνα ἀγωνίσματα εἰς τὸν ἀρχαῖον ἑλληνικὸν χῶρον· ἦτο ἀγὼν πάλης καὶ πυγμῆς. Μὲ τὸν δύσκολον αὐτὸν ἀγῶνα παρομοιάζει ὁ ἱερὸς πατὴρ τὸν ἀγῶνα τοῦ ἀνθρώπου μὲ τὸν διάβολον καὶ τὴν ἁμαρτίαν.

τε γίνονται ἀμελέστεροι εἰς αὐτὰ ἀπὸ προσδοκίας φοβερῶν πραγμάτων. Ἔτσι καὶ οἱ τρεῖς παῖδες ἔλεγον «ὑπάρχει εἰς τὸν οὐρανὸν Θεός, ὁ ὁποῖος ἠμπορεῖ νὰ μᾶς ἐλευθερώσῃ ἀπὸ τὴν κάμινον· καὶ ἂν δὲν τὸ κάμῃ, μάθε βασιλεῦ, ὅτι τοὺς Θεούς σου δὲν λατρεύομεν καὶ τὴν εἰκόνα ποὺ ἔστησες τὴν χρυσῆν δὲν προσκυνοῦμεν»[40].

Καὶ ἐσὺ λοιπὸν ὅταν πρόκειται νὰ κάνῃς κάτι ποὺ ἀρέσει εἰς τὸν Θεὸν ἔχε ὑπ' ὄψιν σου ὅτι θὰ συναντήσῃς πολλοὺς κινδύνους, πολλὰς ζημίας, πολλὰς ἀποπείρας θανάτου· καὶ νὰ μὴ παραξενεύεσαι, οὔτε νὰ θορυβῆσαι ὅταν θὰ συμβαίνουν αὐτά. Διότι λέγει ἡ Γραφὴ «παιδί μου, ἐὰν θέλῃς νὰ ὑπηρετῇς τὸν Κύριον ἑτοίμασε τὴν ψυχήν σου νὰ ὑπομείνῃ πειρασμόν»[41]. Κανεὶς λοιπὸν ποὺ θέλει νὰ κατέλθῃ εἰς ἀγῶνα πυγμῆς δὲν περιμένει νὰ λάβῃ βραβεῖον χωρὶς νὰ ὑποστῇ τραύματα. Καὶ σὺ λοιπὸν ἀφοῦ ἐδέχθης νὰ κατέλθῃς εἰς ἀγῶνα παγκρατίου[42] μὲ τὸν διάβολον, νὰ μὴ ἐπιδιώκῃς νὰ περνᾷς ἄνετον καὶ ἀκίνδυνον βίον· διότι ὁ Θεὸς δὲν ὑπεσχέθη νὰ σοῦ δώσῃ εἰς αὐτὴν τὴν ζωὴν τὰς ἀμοιβὰς τῶν ἀγώνων, ἀλλὰ εἰς τὸν ἄλλον κόσμον. Ὅταν λοιπόν, ἢ σὺ ὁ ἴδιος, ἀφοῦ κάμῃς κάποιο καλόν, ἀπολάβῃς τὸ ἀντίθετον, ἢ ἰδῇς ἄλλον νὰ ὑφίσταται τὸ ἴδιο, νὰ εὐχαριστῆσαι καὶ νὰ χαίρῃς, διότι τοῦτο θὰ σοῦ γίνῃ αἰτία μεγαλυτέρας ἀμοιβῆς ἀπὸ τὸν Θεόν. Διὰ τοῦτο νὰ μὴ χάσῃς τὴν προθυμίαν, οὔτε νὰ γίνῃς ὀκνηρότερος, ἀλλὰ μᾶλλον νὰ καταπιάνεσαι μὲ τὰ καλὰ ἔργα μὲ μεγαλυτέραν προθυμίαν. Διότι καὶ οἱ ἀπόστολοι οἱ ὁποῖοι, ὅταν ἐκήρυττον, ἐνῷ ἐμαστιγώνοντο, ἐκτυπῶντο μὲ λίθους, συνεχῶς ἐφυλακίζοντο, ὄχι μόνον μετὰ τὴν ἀπαλλαγὴν ἀπὸ τοὺς κινδύνους, ἀλλὰ καὶ ἐνῷ ἀκόμη εὑρίσκοντο μέσα εἰς αὐτούς, μὲ μεγαλυτέραν προθυμίαν ἐκήρυττον τὸν λόγον τῆς ἀληθείας. Καὶ ἦτο δυνατὸν νὰ ἰδῇ κανεὶς τὸν Παῦλον καὶ εἰς αὐτὴν ἀκόμη τὴν φυλακήν, μὲ τὰς ἁλυσίδας εἰς τὰ χέρια νὰ κατηχῇ, νὰ μεταδίδῃ τὰς θείας ἀληθείας, καὶ εὑρισκόμενος πάλιν εἰς τὸ δικαστήριον νὰ κάμῃ τὸ ἴδιον, καὶ εἰς ναυάγιον καὶ εἰς τρικυμίαν καὶ ἐν μέσῳ ἀναριθμήτων κινδύνων.

Καὶ σὺ τούτους ζήλωσον τοὺς ἁγίους, καὶ τῶν ἀγαθῶν ἔργων, ἕως ἂν δύναιο, μὴ ἐκπέσῃς· κἂν μυριάκις ἴδῃς διακόπτοντά σε τὸν διάβολον, μηδέποτε ἀποστῇς. Σὺ μὲν χρήματα διακομίζων, ἴσως ναυαγίῳ περιέπεσες· ὁ δὲ Παῦλος, ὃ πάντων χρημάτων τιμιώτερον ἦν, τὸν λόγον βαστάζων εἰς Ῥώμην ἀπῄει, καὶ ναυαγίῳ περιέπεσε, καὶ μυρία ὑπέστη δεινά. Καὶ τοῦτο αὐτὸς ἐδήλωσεν εἰπών, ὅτι «Πολλάκις ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐνέκοψεν ἡμᾶς ὁ σατανᾶς». Καὶ ὁ Θεὸς συνεχώρησεν, ἐκ περιουσίας τὴν ἑαυτοῦ δύναμιν δηλῶν καὶ δεικνὺς ὅτι καὶ μυρία ποιοῦντος τοῦ διαβόλου, καὶ κωλύοντος, οὐδὲν ταύτῃ τὰ τοῦ κηρύγματος ἠλαττοῦτο καὶ διεκόπτετο. Διὰ τοῦτο ἐν ἅπασιν ὁ Παῦλος ηὐχαρίστει τῷ Θεῷ, εἰδὼς ὅτι εὐδοκιμώτερον αὐτὸν διὰ τούτων εἰργάζετο, καὶ τῆς προθυμίας αὐτοῦ τὸ σφοδρὸν ἐν ἅπασιν ἐδείκνυεν οὐδενὶ τῶν κωλυμάτων ἐγκοπτόμενος. Ὁσάκις οὖν ἂν ἀποτύχωμεν, τοσαυτάκις ἁπτώμεθα τῶν πνευματικῶν ἔργων, καὶ μὴ λέγωμεν, τίνος ἕνεκεν συνεχώρησεν ὁ Θεὸς τὰ κωλύματα; Διὰ τοῦτο γὰρ συνεχώρησεν, ἵνα σοῦ τὴν προθυμίαν τοῖς πολλοῖς δείξῃ μᾶλλον, καὶ τὸ πολὺ φίλτρον· φιλοῦντος γὰρ μάλιστα τοῦτό ἐστι, τὸ μηδέποτε ἀφίστασθαι τῶν τῷ φιλουμένῳ δοκούντων. Ὁ μὲν γὰρ χαῦνος καὶ ῥάθυμος ἐκ πρώτης εὐθέως ἀναπεσεῖται τῆς προσβολῆς· ὁ δὲ σφοδρὸς καὶ διεγηγερμένος, κἂν μυριάκις ἐγκόπτηται, τοσούτῳ μειζόνως ἐπιθήσεται τοῖς κατὰ Θεὸν πράγμασι, τὰ παρ' ἑαυτοῦ πάντα πληρῶν, καὶ ἐν ἅπασιν εὐχαριστῶν. Τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν.

Μέγας θησαυρὸς ἡ εὐχαριστία, μέγας πλοῦτος, ἀνάλωτον ἀγαθόν, ὅπλον ἰσχυρόν· ὥσπερ οὖν ἡ βλασφημία τὴν οὖσαν ἐπιτείνει ζημίαν, καὶ ὧν ἀπωλέσαμεν πλείονα προσαπολέσαι ποιεῖ. Ἀπώλεσας χρήματα; Ἂν μὲν εὐχαριστήσῃς, ἐκέρδανας τὴν ψυχήν, καὶ μείζονα ἐκτήσω τὸν πλοῦτον, τοῦ

---

43. Α' Θεσ. 2, 8.

Καὶ σὺ νὰ μιμηθῇς τὸν ζῆλον αὐτὸν τῶν ἁγίων, καὶ νὰ μὴ ἀπομακρύνεσαι, ὅσον ἠμπορεῖς, ἀπὸ τὴν ἐκτέλεσιν τῶν ἀγαθῶν ἔργων· καὶ νὰ μὴ χάσῃς τὸ θάρρος σου ἔστω καὶ μυριάκις ἂν ἰδῇς τὸν διάβολον νὰ σοῦ παρεμβάλῃ ἐμπόδια. Σὺ μὲν μεταφέρων χρήματα, ἴσως νὰ περιέπεσες εἰς ναυάγιον· ὁ Παῦλος ὅμως ἐπήγαινεν εἰς τὴν Ρώμην μεταφέρων ὄχι χρήματα ἀλλὰ τὸν θεῖον λόγον ποὺ ἦτο πολυτιμότερον ὅλων τῶν χρημάτων καὶ ὑπέστη ναυάγιον καὶ ἀναρίθμητα κακά. Καὶ τοῦτο ὁ ἴδιος τὸ ἐφανέρωσε λέγων· «Πολλὰς φορὰς ἠθελήσαμεν νὰ ἔλθωμεν πρὸς ἐσᾶς καὶ μᾶς ἠμπόδισεν ὁ σατανᾶς»[43]. Καὶ ὅμως τὸ ἐπέτρεψεν ὁ Θεός, διὰ νὰ φανερώσῃ τὴν ὑπερβολικήν του δύναμιν καὶ διότι θὰ ἐφαίνετο ὅτι παρὰ τὰ ἀναρίθμητα τεχνάσματα καὶ ἐμπόδια τοῦ διαβόλου δὲν ἠλαττώνετο οὔτε διεκόπτετο τὸ κήρυγμα τοῦ Εὐαγγελίου. Διὰ τοῦτο δι' ὅλα ὁ Παῦλος εὐχαριστοῦσε τὸν Θεὸν γνωρίζων ὅτι δι' ὅλων αὐτῶν τὸν ἔκαμε περισσότερον δόκιμον ὁ Θεὸς καὶ ἀπεδείκνυε τὴν μεγάλην του προθυμίαν μὴ καμπτόμενος ἀπὸ κανένα ἐμπόδιον. Ὅσας λοιπὸν φορὰς ἀποτύχωμεν, ἄλλας τόσας φορὰς ἂς ἀρχίζωμεν πάλιν τὰ πνευματικὰ ἔργα, καὶ ἂς μὴ λέγωμεν, διατί ἐπέτρεψεν ὁ Θεὸς τὰ ἐμπόδια αὐτά; Τὰ ἐπέτρεψε διὰ νὰ φανῇ εἰς πολλοὺς ἀνθρώπους ἡ προθυμία σου καὶ ἡ στοργή σου πρὸς αὐτὸν ἐπειδὴ αὐτὸ εἶναι γνώρισμα τῆς ἀγάπης, τὸ νὰ μὴ ἀπομακρύνεσαι ἀπὸ ἐκεῖνα ποὺ ἀρέσουν εἰς τὸν ἀγαπώμενον. Διότι ἐκεῖνος ποὺ εἶναι ψυχικῶς κοιμισμένος καὶ τεμπέλης μὲ τὸ πρῶτον ἐμπόδιον θὰ ὑποχωρήσῃ ἀμέσως· ὁ δὲ ὁρμητικὸς καὶ δραστήριος, παρ' ὅλα τὰ ἀναρίθμητα ἐμπόδια, ἐπιμένει πάντοτε μὲ μεγαλυτέραν προθυμίαν εἰς τὰ θεῖα ἔργα, δίδων ὅλα ὅσα ἠμπορεῖ καὶ εὐχαριστῶν τὸν Θεὸν δι' ὅλα. Αὐτὸ λοιπὸν καὶ ἐμεῖς ἂς κάμωμεν.

Μέγας θησαυρὸς εἶναι ἡ Εὐχαριστία, μέγας πλοῦτος, ἀκατάβλητον ἀγαθόν, ἰσχυρὸν ὅπλον· ὅπως ἀκριβῶς ἡ βλασφημία ἡ ὁποία ἐπιτείνει τὴν ζημίαν καὶ μᾶς κάνει νὰ χάσωμεν περισσότερα τῶν ὅσων ἐχάσαμεν. Ἔχασες χρήματα; Ἂν μὲν εὐχαριστήσῃς τὸν Θεόν, ὠφέλησες τὴν ψυχήν σου καὶ ἀπέκτησες μεγαλύτερον πλοῦτον ἐπειδὴ προσείλκυσες τὴν ἀ-

Θεοῦ πλείω τὴν εὔνοιαν ἐπισπασάμενος· ἂν δὲ βλασφημήσῃς, προσαπώλεσας καὶ τὴν σωτηρίαν τὴν σαυτοῦ, καὶ οὐδὲ ἐκεῖνα ἀνεκτήσω, καὶ ἣν εἶχες ψυχήν, ταύτην κατέδυσας.

Ἀλλ' ἐπειδὴ περὶ βλασφημίας ἡμῖν ὁ λόγος ἐγένετο νῦν, μίαν ὑμᾶς ἅπαντας αἰτῆσαι βούλομαι χάριν ἀντὶ τῆς δημηγορίας ταύτης, καὶ τῆς διαλέξεως, ἵνα μοι τοὺς ἐν τῇ πόλει βλασφημοῦντας σωφρονίσητε. Κἂν ἀκούσῃς τινὸς ἐν ἀμφόδῳ, ἢ ἐν ἀγορᾷ μέσῃ βλασφημοῦντος τὸν Θεόν, πρόσελθε, ἐπιτίμησον, κἂν πληγὰς ἐπιθεῖναι δέῃ, μὴ παραιτήσῃ· ῥάπισον αὐτοῦ τὴν ὄψιν, σύντριψον τὸ στόμα, ἁγίασον σοῦ τὴν χεῖρα διὰ τῆς πληγῆς, κἂν ἐγκαλῶσί τινες, κἂν εἰς δικαστήριον ἕλκωσιν, ἀκολούθησον· κἂν ἐπὶ τοῦ βήματος εὐθύνας ὁ δικαστὴς ἀπαιτήσῃ, εἰπὲ μετὰ παρρησίας, ὅτι τὸν βασιλέα τῶν ἀγγέλων ἐβλασφήμησεν. Εἰ γὰρ τὸν ἐπὶ γῆς βασιλέα τοὺς βλασφημοῦντας κολάζεσθαι χρή, πολλῷ μᾶλλον τοὺς ἐκεῖνον ὑβρίζοντας.

Κοινόν ἐστι τὸ ἔγκλημα, δημόσιον τὸ ἀδίκημα, ἔξεστιν ἑκάστῳ τῶν βουλομένων κατηγορεῖν· μανθανέτωσαν καὶ Ἰουδαῖοι, καὶ Ἕλληνες, ὅτι σωτῆρές εἰσι τῆς πόλεως Χριστιανοί, καὶ κηδεμόνες, καὶ προστάται καὶ διδάσκαλοι καὶ μανθανέτωσαν αὐτὸ τοῦτο οἱ ἀκόλαστοι καὶ διεστραμένοι, ὅτι καὶ τοὺς τοῦ Θεοῦ δούλους φοβεῖσθαι αὐτοὺς χρή, ἵνα κἂν ἕλωνταί ποτε φθέγξασθαί τι τοιοῦτον, ἀλλήλους πανταχοῦ περιβλέπωνται, καὶ τὰς σκιὰς τρέμωσιν, ἀγωνιῶντες μήπου Χριστιανὸς ἀκούσας ἐπιπηδήσῃ, καὶ κολάσῃ σφοδρότερον. Οὐκ ἤκουσας τί Ἰωάννης ἐποίησε; Τύραννον εἶδεν ἄνθρωπον γάμων ἀνατρέποντα νόμους καὶ μετὰ παρρησίας ἐν μέσῳ τῆς ἀγορᾶς φησιν, «Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου». Ἐγὼ δέ σε οὐκ ἐπὶ τύραννον ἤγαγον, οὐδὲ δικαστήν, οὐδὲ ὑπὲρ γάμων παρανομουμένων, οὐδὲ ὑπὲρ συνδούλων ὑβριζομένων, ἀλλ' ὑπὲρ τῆς εἰς τὸν Δεσπότην παροινίας, τὸν ὁμότιμον ἀξιῶ σωφρο-

44. Ἐδῶ οἱ λόγοι αὐτοὶ δὲν πρέπει νὰ ἐκληφθοῦν κατὰ γράμμα καὶ δὲν πρέπει νὰ νομισθῇ ὅτι ὁ Χριστιανισμὸς ἐπιτρέπει τὴν αὐτοδικίαν καὶ χειροδικίαν.
45. Μάρκου 6, 18.

ἀγάπην τοῦ Θεοῦ· ἂν ὅμως βλασφημήσῃς ἐκτὸς ἀπὸ ἐκεῖνα ποὺ ἔχασες, ἔχεις χάσει καὶ τὴν ἰδικήν σου σωτηρίαν καὶ οὔτε ἐκεῖνα ἀνακτᾷς καὶ τὴν ψυχήν σου καταστρέφεις.

Ἐπειδὴ τώρα σᾶς ὡμίλησα περὶ βλασφημίας, θέλω νὰ ζητήσω ἀπὸ ὅλους σας μίαν χάριν ἀντὶ τῆς διαλέξεως καὶ τῆς ὁμιλίας ταύτης, καὶ αὐτὴ εἶναι νὰ σωφρονήσετε, πρὸς χάριν μου, τοὺς ἀνθρώπους ποὺ βλασφημοῦν εἰς τὴν πόλιν. Καὶ ἂν ἀκούσῃς κάποιον εἰς τὸν δρόμον ἢ εἰς τὸ μέσον τῆς ἀγορᾶς νὰ βλασφημῇ τὸν Θεόν, πλησίασε, ἐπίπληξέ τον, καὶ ἂν πρέπει νὰ τὸν δείρῃς, μὴ διστάσῃς· ράπισέ τον εἰς τὸ πρόσωπον, σύντριψέ του τὸ στόμα, καὶ ἁγίασε τὸ χέρι σου διὰ τῆς πληγῆς ποὺ θὰ τοῦ δώσῃς, καὶ ἂν σὲ καταγγείλουν μερικοὶ καὶ σὲ σύρουν εἰς τὸ δικαστήριον, νὰ τοὺς ἀκολουθήσῃς· καὶ ἂν ἀπὸ τὸ δικαστικὸν βῆμα σοῦ ζητήσῃ ὁ δικαστὴς εὐθύνας νὰ εἰπῇς μὲ θάρρος, ὅτι ἐβλασφήμησε τὸν βασιλέα τῶν ἀγγέλων. Διότι ἐὰν πρέπει νὰ τιμωροῦνται αὐτοὶ ποὺ βλασφημοῦν τὸν ἐπίγειον βασιλέα, πολὺ περισσότερον πρέπει νὰ τιμωροῦνται ἐκεῖνοι ποὺ βλασφημοῦν ἐκεῖνον.

Τὸ ἔγκλημα τοῦτο εἶναι κοινὸν καὶ τὸ ἀδίκημα δημόσιον καὶ δι' αὐτὸ εἶναι δικαίωμα καθενὸς ποὺ θέλει νὰ τοὺς τιμωρῇ[44]· ἂς μάθουν καὶ οἱ Ἰουδαῖοι καὶ οἱ εἰδωλολάτραι ὅτι οἱ Χριστιανοὶ εἶναι σωτῆρες τῆς πόλεως καὶ κηδεμόνες καὶ προστάται καὶ διδάσκαλοι αὐτῆς, ἂς μάθουν αὐτὸ καὶ οἱ ἀκόλαστοι καὶ διεφθαρμένοι, καὶ ὅτι πρέπει νὰ φοβοῦνται τοὺς δούλους τοῦ Θεοῦ, ὥστε ἂν κάποτε θελήσουν νὰ ἐκστομίσουν τέτοια λόγια, νὰ βλέπῃ ὁ ἕνας τὸν ἄλλον παντοῦ καὶ νὰ τρέμουν τὰς σκιάς, καὶ νὰ ἀγωνιοῦν μήπως ὁ Χριστιανὸς τοὺς ἀκούσῃ καὶ ὁρμήσῃ ἐναντίον τους καὶ τοὺς τιμωρήσῃ. Δὲν ἤκουσες τί ἔκαμεν ὁ Ἰωάννης; Εἶδεν ἄνθρωπον τύραννον νὰ ἀνατρέπῃ τοὺς περὶ γάμου νόμους, καὶ μὲ θάρρος εἰς τὸ μέσον τῆς ἀγορᾶς εἶπε· «δὲν σοῦ ἐπιτρέπεται νὰ ἔχῃς ὡς σύζυγον τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου Φιλίππου»[45]. Ἐγὼ ὅμως δὲν σὲ ὡδήγησα ἐνώπιον βασιλέως, οὔτε ἐνώπιον δικαστοῦ, οὔτε διὰ παρανόμους γάμους, οὔτε δι' ἐξύβρισιν τῶν συνανθρώπων σου, ἀλλὰ διὰ ὑβριστικὴν συμπεριφορὰν εἰς τὸν Δεσπότην· ἔχω τὴν ἀξίωσιν νὰ σωφρονίσῃς τὸν συνάνθρωπόν σου,

νίζειν. Ἆρά γε εἰ ἔλεγόν σοι τοὺς βασιλεῖς, ἢ τοὺς δικαστὰς παρανομοῦντας κόλαζε καὶ διόρθου, οὐκ ἄν με μαίνεσθαι ἔφης; Καίτοι γε Ἰωάννης τοῦτο ἐποίησεν· οὕτως οὐδὲ τοῦτο μεῖζον ἡμῶν. Νῦν δὲ κἂν τὸν ὁμόδουλον, κἂν τὸν ὁμότιμον διόρθωσον, κἂν ἀποθανεῖν δέῃ, σωφρονίζειν τὸν ἀδελφὸν μὴ ἀποκνήσῃς, μαρτύριόν σοι τοῦτό ἐστιν· ἐπεὶ καὶ Ἰωάννης μάρτυς ἦν. Καίτοι γε οὐ θῦσαι ἐκελεύθη, οὐδὲ προσκυνῆσαι εἴδωλον, ἀλλ' ὑπὲρ τῶν ἱερῶν νόμων ὑβριζομένων τὴν κεφαλὴν ἀπέθετο· καὶ σὺ τοίνυν ἀγώνισαι μέχρι θανάτου ὑπὲρ τῆς ἀληθείας, καὶ Κύριος πολεμήσει ὑπὲρ σοῦ.

Καὶ μή μοι λέγε τὸ ψυχρὸν τοῦτο ῥῆμα, τί δέ μοι μέλει; οὐδὲν κοινὸν ἔχω πρὸς αὐτόν. Πρὸς τὸν διάβολον οὐδὲν ἔχομεν κοινὸν μόνον, πρὸς δὲ τοὺς ἀνθρώπους ἅπαντας πολλὰ ἔχομεν κοινά. Τῆς γὰρ φύσεως ἡμῖν τῆς αὐτῆς μετέχουσι, τὴν αὐτὴν γῆν οἰκοῦσι, καὶ ταῖς αὐταῖς τρέφονται τροφαῖς, τὸν αὐτὸν ἔχουσι Δεσπότην, τοὺς αὐτοὺς ἐδέξαντο νόμους, ἐπὶ τὰ αὐτὰ ἡμῖν παρακαλοῦνται ἀγαθά. Μὴ τοίνυν λέγωμεν, ὡς οὐδὲν ἡμῖν κοινὸν πρὸς αὐτούς· σατανικὴ γὰρ αὕτη ἡ φωνή, διαβολικὴ ἡ ἀπανθρωπία· μὴ τοίνυν ταῦτα λέγωμεν, ἀλλὰ τὴν πρέπουσαν ἀδελφοῖς κηδεμονίαν ἐπιδειξώμεθα.

Ἐγὼ δὲ τοῦτο μετὰ ἁπάσης ὑπισχνοῦμαι ἀκριβείας, καὶ ἐγγυῶμαι πᾶσιν ἡμῖν, ὅτι εἰ ὑμεῖς βουληθείητε πάντες οἱ παρόντες ἐνταῦθα διανείμασθαι τὴν σωτηρίαν τῶν τὴν πόλιν οἰκούντων, ταχέως ἡμῖν ἅπασα διορθοῦται. Καίτοι γε τὸ ἐλάχιστον μέρος τῆς πόλεως ἐνταῦθά ἐστιν, ἐλάχιστον κατὰ τὸ πλῆθος, τὸ δὲ κεφάλαιον κατὰ τὴν εὐσέβειαν. Διανειμώμεθα τὴν τῶν ἀδελφῶν ἡμῶν σωτηρίαν· ἀρκεῖ εἷς ἄνθρωπος ζήλῳ πεπυρωμένος ὁλόκληρον διορθώσασθαι δῆμον. Ὅταν δὲ μὴ εἷς, μηδὲ δύο καὶ τρεῖς, ἀλλὰ τοσοῦτον ᾖ τὸ πλῆθος τὸ δυνάμενον τῆς τῶν ἠμελημένων ἐπιμελείας ἅψασθαι, οὐδαμόθεν ἑτέρωθεν, ἀλλὰ παρὰ τὴν ἡμετέραν ῥαθυμίαν, καὶ

῏Αρά γε ἐὰν σοῦ ἔλεγα νὰ τιμωρῇς καὶ νὰ διορθώνῃς τοὺς βασιλεῖς καὶ τοὺς δικαστὰς ὅταν παρανομοῦν, δὲν θὰ ἔλεγες ὅτι πάσχω ἀπὸ τρέλλαν; Καὶ ὅμως ὁ Ἰωάννης αὐτὸ ἔκαμε· καὶ ἔτσι ἐδείχθη ὅτι δὲν εἶναι ἔξω ἀπὸ τὰ καθήκοντά μας. Τώρα δὲ τουλάχιστον τὸν ὁμόδουλον καὶ ὁμότιμόν σου ἂν παραστῇ ἀνάγκη νὰ πεθάνῃς, σωφρονίζων τὸν ἀδελφόν σου, νὰ μὴ διστάσῃς νὰ τὸ κάμῃς, διότι ἔτσι θὰ γίνῃς μάρτυς τοῦ καθήκοντος· διότι καὶ ὁ Ἰωάννης ἔγινε μάρτυς. Ἂν καὶ δὲν ἐθυσιάσθη οὔτε διετάχθη νὰ προσκυνήσῃ εἴδωλον, ἀλλὰ χάριν τῶν ἱερῶν νόμων ποὺ ὑβρίζοντο ἀπετμήθη τὴν κεφαλήν· καὶ σὺ λοιπὸν νὰ ἀγωνισθῇς μέχρι θανάτου ὑπὲρ τῆς ἀληθείας καὶ ὁ Κύριος θὰ πολεμήσῃ δι' ἐσέ.

Καὶ μὴ μοῦ εἴπῃς τὸν ψυχρὸν τοῦτον λόγον, τί μὲ ἐνδιαφέρει; δὲν ἔχω καμμίαν σχέσιν μὲ αὐτόν. Μόνον μὲ τὸν διάβολον δὲν ἔχομεν καμμίαν σχέσιν, μὲ τοὺς ἀνθρώπους δὲ ὅλους ἔχομεν πολλὰ κοινά. Διότι ἔχουν τὴν ἰδίαν φύσιν μὲ ἐμᾶς, κατοικοῦν τὴν ἰδίαν γῆν, καὶ τρέφονται μὲ τὰς ἰδίας τροφάς, ἔχουν τὸν ἴδιον Δεσπότην, ἔλαβον τοὺς ἰδίους νόμους καὶ προορίζονται νὰ ἀπολαύσουν τὰ ἴδια ἀγαθὰ μὲ ἐμᾶς. Ἂς μὴ λέγωμεν λοιπὸν ὅτι δὲν ἔχομεν τίποτε κοινὸν πρὸς αὐτούς· διότι αὐτὴ εἶναι σατανικὴ φωνὴ καὶ δείχνει ἀπανθρωπίαν διαβολικήν· ἂς μὴ λέγωμεν λοιπὸν αὐτὰ καὶ ἂς δείξωμεν ἐνδιαφέρον ποὺ ἁρμόζει εἰς ἀδελφούς.

Σᾶς διαβεβαιῶ δὲ τοῦτο μὲ πᾶσαν ἀκρίβειαν, καὶ σᾶς ἐγγυῶμαι ὅτι ἐὰν ὅλοι ἐσεῖς ἐδῶ ἠθέλατε νὰ διαμοιράσετε τὴν πόλιν εἰς τομεῖς καὶ ἐνδιαφερθῆτε διὰ τὴν σωτηρίαν τῶν κατοίκων της, γρήγορα ὁλόκληρη ἡ πόλις θὰ διορθωθῇ. Καίτοι ἐδῶ ὑπάρχει τὸ ἐλάχιστον μέρος τῆς πόλεως κατὰ τὸ πλῆθος, τὸ σημαντικώτερον ὅμως ὡς πρὸς τὴν εὐσέβειαν. Ἂς διαμοιράσωμεν λοιπὸν τὴν σωτηρίαν τῶν ἀδελφῶν μας· εἶναι ἱκανὸς ἕνας ἄνθρωπος γεμᾶτος ἀπὸ ζῆλον νὰ διορθώσῃ ὁλόκληρον πόλιν. Ὅταν δὲ δὲν εἶναι ἕνας, οὔτε δύο καὶ τρεῖς, ἀλλὰ τόσον μεγάλο πλῆθος ποὺ ἠμπορεῖ νὰ ἀσχοληθῇ μὲ τὴν φροντίδα τῶν παραμελημένων πνευματικῶς, τότε ἀντιλαμβάνομαι ὅτι ὄχι ἀπὸ ἄλλην αἰτίαν, οὔτε ἀπὸ ἀδυναμίαν αὐτῶν, ἀλλὰ ἀπὸ τὴν ἰδικήν μας ἀδιαφορίαν οἱ περισ-

οὐ παρὰ τὴν ἀσθένειαν οἱ πλείους ἀπόλλυνται καὶ καταπίπτουσι. Πῶς γὰρ οὐκ ἄτοπον, εἰ μὲν μάχην ἴδοιμεν ἐπὶ τῆς ἀγορᾶς, προσιέναι, καὶ καταλλάττειν τοὺς μαχομένους· τί δὲ λέγω μάχην; Εἰ καταπεσόντα ἴδωμεν ὄνον, πάντες χεῖρα ὀρέγειν καὶ συνδιανιστᾶν σπεύδομεν· τῶν δὲ ἀδελφῶν ἀπολυομένων ἀμελεῖν;

Ὄνος ἐστὶν ὁ βλάσφημος, θυμοῦ φορτίον οὐκ ἐνεγκών, κατέπεσε· πρόσελθε, καὶ διανάστησον καὶ διὰ ῥημάτων, καὶ διὰ πραγμάτων, καὶ δι' ἐπιεικείας καὶ σφοδρότητος, ποικίλον ἔστω τὸ φάρμακον· κἂν οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, καὶ τῆς τῶν πλησίον ἀντιλαμβανώμεθα σωτηρίας, ταχέως κἀκείνοις αὐτοῖς τοῖς διορθώσεως ἀπολαύουσι ποθεινοὶ ἐσόμεθα καὶ ἐπέραστοι· καὶ ὃ πάντων ἐστὶ μεῖζον, τῶν ἀποκειμένων ἀπολαύσομεν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ, καὶ μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

σότεροι τῶν Χριστιανῶν καταβάλλονται καὶ καταστρέφονται πνευματικῶς. Διότι δὲν εἶναι ἄτοπον, ὅταν ἴδωμεν εἰς τὴν ἀγορὰν συμπλοκὴν ἀνθρώπων νὰ τρέχωμεν νὰ συμφιλιώνωμεν τοὺς διαπληκτιζομένους· καὶ διατί ἀναφέρω συμπλοκὴν ἀνθρώπων; Ἐὰν ἴδωμεν κάποιον ὄνον νὰ ἔχῃ πέσει, ὅλοι τρέχομεν νὰ τὸν βοηθήσωμεν νὰ σηκωθῇ· διὰ δὲ τοὺς ἀδελφούς μας ποὺ χάνονται θὰ ἀδιαφοροῦμεν;

Μὲ ὄνον ὁμοιάζει ὁ βλάσφημος, ποὺ ἔπεσε, διότι δὲν ἠμποροῦσε νὰ βαστάσῃ τὸ φορτίον τοῦ θυμοῦ του· πλησίασε καὶ σήκωσέ τον καὶ διὰ τῶν λόγων καὶ διὰ τῶν ἔργων, καὶ μὲ ἐπιείκειαν καὶ μὲ σφοδρότητα, ἂς εἶναι ποικίλον τὸ φάρμακον τῆς θεραπείας· καὶ ἂν ἔτσι τακτοποιῶμεν τὰ ζητήματά μας, καὶ φροντίζωμεν διὰ τὴν σωτηρίαν τῶν πλησίον, γρήγορα καὶ εἰς αὐτοὺς ἀκόμη ποὺ θὰ διορθώσουν τὸν ἑαυτόν τους διὰ τῶν ἐνεργειῶν μας θὰ εἴμεθα ποθητοὶ καὶ ἀξιαγάπητοι· καὶ τὸ σπουδαιότερον ὅλων θὰ ἀπολαύσωμεν τὰ ἀγαθὰ ποὺ μᾶς ἔχουν ἑτοιμασθῆ, τῶν ὁποίων εἴθε ὅλοι νὰ ἐπιτύχωμεν διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα συγχρόνως καὶ τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, κράτος, τιμή, καὶ τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

21

ΕΙΣ ΤΟΥΣ ΑΝΔΡΙΑΝΤΑΣ

ΟΜΙΛΙΑ ΔΕΥΤΕΡΑ

λεχθεῖσα ἐν Ἀντιοχείᾳ ἐν τῇ παλαιᾷ λεγομένῃ ἐκκλησίᾳ, ὄντος αὐτοῦ πρεσβυτέρου, περὶ τῆς συμβάσης συμφορᾶς ἐν τῇ πόλει, ἐπὶ τῇ ἀταξίᾳ τῆς καταστροφῆς τῶν ἀνδριάντων τοῦ Θεοδοσίου τοῦ εὐσεβοῦς βασιλέως τοῦ μεγάλου· καὶ εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου[1], «Τοῖς πλουσίοις παράγγελε ἐν τῷ νῦν αἰῶνι μὴ ὑψηλοφρονεῖν»· καὶ κατὰ πλεονεξίας.

1. Τί εἴπω καὶ τί λαλήσω; Δακρύων ὁ παρὼν καιρός, οὐχὶ ῥημάτων· θρήνων, οὐχὶ λόγων· εὐχῆς, οὐ δημηγορίας· τοιοῦτον τῶν τετολμημένων τὸ μέγεθος, οὕτως ἀνίατον τὸ ἕλκος, οὕτω μέγα τὸ τραῦμα, καὶ πάσης ἰατρείας μεῖζον, καὶ τῆς ἄνωθεν δεόμενον βοηθείας. Οὕτω μὲν ὁ Ἰὼβ ἅπαντα ἀποβαλών, ἐπὶ τῆς κοπρίας ἐκάθητο, καὶ ἀκούσαντες οἱ φίλοι παρεγένοντο, καὶ ἰδόντες αὐτὸν πόρρωθεν τὰ ἱμάτια διέρρηξαν, καὶ σποδὸν κατεπάσαντο, καὶ μέγα ἀνῴμωξαν.

Νῦν τοῦτο τὰς πόλεις ἁπάσας τὰς κύκλῳ ποιῆσαι χρῆν, καὶ πρὸς τὴν πόλιν τὴν ἡμετέραν ἐλθεῖν, καὶ θρηνῆσαι τὰ γεγενημένα μετὰ συμπαθείας ἁπάσης. Ἐκεῖνος ἐπὶ τῆς κοπρίας ἐκάθητο τότε, αὕτη ἐν μεγάλῃ παγίδι κάθηται νῦν. Καθάπερ γὰρ τότε ὁ διάβολος εἰς τὰ ποίμνια καὶ τὰ βουκόλια, καὶ πᾶσαν ὠρχήσατο τοῦ δικαίου τὴν οὐσίαν· οὕτω νῦν εἰς τὴν πόλιν ἅπασαν ἐβάκχευσεν. Ἀλλ' ὁ Θεὸς καὶ τότε καὶ νῦν συνεχώρησε· τότε μέν, ἵνα τὸν δίκαιον λαμπρότερον ποιήσῃ τῷ μεγέθει τῶν πειρασμῶν, νῦν δέ, ἵνα ἡμᾶς σωφρονεστέρους ἐργάσηται τῇ τῆς θλίψεως ταύτης ὑπερβολῇ.

---

1. Α' Τιμ. 6, 17.

21
ΕΙΣ ΤΟΥΣ ΑΝΔΡΙΑΝΤΑΣ
ΟΜΙΛΙΑ ΔΕΥΤΕΡΑ

Λεχθεῖσα εἰς Ἀντιόχειαν εἰς τὴν λεγομένην Παλαιὰν Ἐκκλησίαν, ὅταν ἦτο πρεσβύτερος, περὶ τῆς γενομένης συμφορᾶς εἰς τὴν πόλιν διὰ τὴν ἀταξίαν τῆς καταστροφῆς τῶν ἀνδριάντων τοῦ Θεοδοσίου τοῦ εὐσεβοῦς βασιλέως καὶ Μεγάλου· καὶ εἰς τὸ ῥητὸν τοῦ Ἀποστόλου «Εἰς τοὺς πλουσίους παράγγειλε νὰ μὴ ὑψηλοφρονοῦν εἰς τὴν παροῦσαν ζωήν»[1]· καὶ κατὰ τῆς πλεονεξίας

1. Τί νὰ εἰπῶ καὶ τί νὰ ὁμιλήσω; Εἶναι καιρὸς δακρύων καὶ ὄχι λόγων· καιρὸς θρήνων καὶ ὄχι ὁμιλιῶν· προσευχῆς καὶ ὄχι δημηγορίας· διότι τόσον μεγάλα εἶναι αὐτὰ ποὺ ἀπετολμήθησαν, τόσον ἀθεράπευτος ἡ πληγή, τόσον μεγάλο τὸ τραῦμα, ἀνώτερον πάσης θεραπείας καὶ ἔχει ἀνάγκην τῆς ἄνωθεν παρὰ Θεοῦ βοηθείας. Ἔτσι λοιπὸν καὶ ὁ Ἰώβ, ὅταν ἔχασεν ὅλην τὴν περιουσίαν του, ἐκάθητο ἐπὶ τῆς κοπριᾶς, καὶ ὅταν τὸ ἔμαθαν αὐτὸ οἱ φίλοι του ἦλθαν πρὸς αὐτὸν καὶ ἰδόντες αὐτὸν ἀπὸ μακρυὰ ἔσχισαν τὰ ἐνδύματά των, ἔρριψαν στάχτην εἰς τὴν κεφαλήν των καὶ ἐθρήνησαν δυνατά. Αὐτὸ ἔπρεπε νὰ κάμουν τώρα καὶ αἱ γύρω πόλεις, νὰ ἔλθουν εἰς τὴν πόλιν μας καὶ νὰ θρηνήσουν μὲ πολλὴν συμπάθειαν δι' ὅσα ἔγιναν. Ἐκεῖνος (ὁ Ἰὼβ) ἐκάθητο ἐπὶ τῆς κοπριᾶς τότε, αὐτὴ κάθεται τώρα ἐπάνω εἰς μεγάλην παγίδα. Διότι ὅπως τότε ὁ διάβολος ἐπήδησεν ἐπάνω εἰς τὰ κοπάδια τῶν προβάτων καὶ τῶν βοδιῶν καὶ κατέστρεψεν ὅλην τὴν περιουσίαν του, ἔτσι καὶ τώρα ὥρμησε μὲ μανίαν εἰς ὅλην τὴν πόλιν. Ἀλλὰ καὶ τότε καὶ τώρα ὁ Θεὸς τὸ ἐπέτρεψεν αὐτό· τότε μὲν διὰ νὰ κάμῃ τὸν δίκαιον, λόγῳ τῶν πολλῶν πειρασμῶν, λαμπρότερον, τώρα δέ, διὰ νὰ μᾶς κάμῃ σωφρονεστέρους ἐκ τῆς ὑπερβολικῆς θλίψεως. Ἐπιτρέψατέ μου νὰ

Δότε μοι θρηνῆσαι τὰ παρόντα. Ἐσιγήσαμεν ἡμέρας ἑπτά, καθάπερ οἱ φίλοι τοῦ Ἰώβ· δότε μοι στόμα διᾶραι σήμερον, καὶ τὴν κοινὴν ταύτην ὀδύρασθαι συμφοράν.

Τίς ἡμῖν ἐβάσκηνεν, ἀγαπητοί; Τίς ἡμῖν ἐφθόνησε; Πόθεν ἡ τοσαύτη γέγονε μεταβολή; Οὐδὲν τῆς πόλεως τῆς ἡμετέρας σεμνότερον ἦν· οὐδὲν γέγονε ἐλεεινότερον νῦν. Δῆμος εὔτακτος οὕτω καὶ ἥμερος, καὶ καθάπερ ἵππος χειροήθης καὶ τιθασσός, ἀεὶ ταῖς τῶν ἀρχόντων εἴκων χερσίν, ἐξαίφνης τοσοῦτον ἡμῖν ἀπεσκίρτησε νῦν, ὡς τοσαῦτα ἐργάσασθαι κακά, ἃ μηδὲ εἰπεῖν θέμις. Ὀδύρομαι καὶ θρηνῶ νῦν, οὐ διὰ τὴν ὑπερβολὴν τῆς γεγενημένης μανίας. Εἰ γὰρ μὴ παροξυνθείη βασιλεύς, μηδὲ ὀργισθείη, μηδὲ κολάσειε καὶ τιμωρήσαιτο, πῶς οἴσομεν, εἰπέ μοι, τὴν αἰσχύνην τὴν ἀπὸ τῶν γεγενημένων; Διακόπτεταί μοι τῆς διδασκαλίας ὁ λόγος τῷ θρήνῳ· μόλις ἰσχύω διᾶραι στόμα, καὶ ἀνοῖξαι χείλη, καὶ κινῆσαι γλῶτταν, καὶ ῥήματα προέσθαι· οὕτω καθάπερ χαλινὸς ὁ τῆς ἀθυμίας ὄγκος ἀποστρέφει μου τὴν γλῶτταν, καὶ τῶν ῥημάτων ἐπιλαμβάνεται. Οὐδὲν τῆς πόλεως τῆς ἡμετέρας πρότερον μακαριώτερον ἦν, οὐδὲν ἀτερπέστερον γέγονε νῦν. Καθάπερ μέλιτται κηρίον βομβοῦσαι, οὕτω τὴν ἀγορὰν περιίπταντο καθ' ἑκάστην ἡμέραν οἱ οἰκοῦντες, καὶ πάντες ἡμᾶς ἐπὶ τῷ πλήθει τούτῳ πρότερον ἐμακάριζον· ἀλλ' ἰδοὺ νῦν τὸ κηρίον τοῦτο γέγονεν ἔρημον. Καθάπερ γὰρ τὰς μελίττας ἐκείνας καπνός, οὕτω τὰς μελίττας ταύτας φόβος ἀπήλασε· καὶ ὃ περὶ τῆς Ἰερουσαλὴμ θρηνῶν ὁ προφήτης ἔλεγε, τοῦτο καὶ ἡμεῖς εἰς καιρὸν ἐροῦμεν νῦν· «Ἐγεννήθη ἡμῖν ἡ πόλις, ὡς τερέβινθος ἀποβεβληκυῖα τὰ φύλλα, καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων».

Καθάπερ γὰρ παράδεισος τῆς ἀρδείας ἐπιλιπούσης, ἔρημα τῶν φύλλων, καὶ γυμνὰ τῶν καρπῶν τὰ δένδρα δείκνυσιν, οὕτω δὴ καὶ ἡ πόλις ἡμῶν γέγονε νῦν· τῆς γὰρ ἄνωθεν βοη-

2. Ἠσ. 1, 30.

θρηνήσω τὰς παρούσας περιστάσεις. Ἐσιωπήσαμεν ἐπὶ ἑπτὰ ἡμέρας, ὅπως καὶ οἱ φίλοι τοῦ Ἰώβ· ἐπιτρέψατέ μου σήμερον νὰ ἀνοίξω τὸ στόμα μου καὶ νὰ κλαύσω τὴν κοινὴν αὐτὴν συμφοράν.

Ποῖος σᾶς ἐβάσκανεν, ἀγαπητοί μου; Ποῖος μᾶς ἐφθόνησεν; Ἀπὸ ποῦ προῆλθεν ἡ μεταβολὴ αὐτή; Καμμία πόλις δὲν ἦτο λαμπροτέρα ἀπὸ τὴν ἰδικήν μας· τώρα καμμία δὲν εἶναι πιὸ ἀξιολύπητος ἀπὸ αὐτήν. Λαὸς τόσον ἥσυχος καὶ νομοταγής, καὶ ὡς ἵππος πειθήνιος καὶ τιθασσευμένος, ὑπακούων πάντοτε εἰς τὰς διαταγὰς τῶν ἀρχόντων, ξαφνικὰ τόσον πολὺ ἀπεσκίρτησε τώρα, ὥστε ἔκαμε τόσα κακά, τὰ ὁποῖα δὲν ἐπιτρέπεται νὰ τὰ ἀναφέρῃ κανείς. Θρηνῶ καὶ ὀδύρομαι τώρα, ὄχι διὰ τὸ μέγεθος τῆς τιμωρίας, ἀλλὰ διὰ τὴν ὑπερβολικὴν μανίαν ποὺ μᾶς κατέλαβε. Διότι καὶ ἂν ἀκόμα δὲν ἐρεθισθῇ ὁ βασιλεύς, οὔτε ὀργισθῇ, καὶ οὔτε μᾶς τιμωρήσῃ, πῶς θὰ ὑποφέρωμεν, εἰπέ μου, τὴν εντροπὴν δι' ὅσα ἐκάμαμεν; Διακόπτει τὸν λόγον τῆς διδασκαλίας μου ὁ θρῆνος· μόλις ἠμπορῶ νὰ ἀνοίξω τὸ στόμα καὶ τὰ χείλη καὶ νὰ κινήσω τὴν γλῶσσαν καὶ νὰ προφέρω λόγια· ἔτσι ὡς χαλινὸς ἡ πολὺ λύπη στρέφει εἰς τὰ ὀπίσω τὴν γλῶσσαν μου καὶ μοῦ ἐμποδίζει τὸν λόγον. Τίποτε δὲν ἦταν πρωτύτερα εὐτυχέστερον ἀπὸ τὴν πόλιν μας, καὶ τώρα τίποτε δὲν εἶναι ἀποκρουστικώτερον. Ὅπως αἱ μέλισσαι βομβοῦν γύρω ἀπὸ τὸ κερί, ἔτσι περιήρχοντο κάθε ἡμέραν οἱ κάτοικοι τὴν ἀγορὰν καὶ ὅλοι πρωτύτερα μᾶς ἐμακάριζαν διὰ τὸ τόσον πλῆθος· ἀλλὰ ἰδοὺ τώρα τὸ κερὶ τοῦτο ἔγινεν ἔρημος. Διότι ὅπως τὰς μελίσσας ἐκείνας τὰς διασκορπίζει ὁ καπνός, ἔτσι καὶ τὰς μελίσσας αὐτὰς (ἐσᾶς) τὰς ἀπεμάκρυνεν ὁ φόβος· καὶ ἐκεῖνο ποὺ ὁ προφήτης θρηνῶν διὰ τὴν Ἱερουσαλὴμ ἔλεγε, τοῦτο καὶ ἐμεῖς εἰς τὴν κατάλληλον τώρα εὐκαιρίαν θὰ εἴπωμεν· «Ἡ πόλις μας ὡμοιάζει μὲ τερέβινθον ποὺ τῆς ἔπεσαν τὰ φύλλα, καὶ μὲ κῆπον ποὺ δὲν ἔχει νερό»[2].

Διότι ὅπως ὁ κῆπος, ὅταν σταματήσῃ τὸ πότισμά του ἐμφανίζει τὰ δένδρα χωρὶς φύλλα καὶ γυμνὰ ἀπὸ καρπούς, ἔτσι παρουσιάζεται καὶ ἡ πόλις μας τώρα· διότι ἀφοῦ τὴν

θείας ἐγκαταλιπούσης αὐτήν, ἕστηκεν ἔρημος, γυμνὴ τῶν οἰκητόρων γενομένη σχεδὸν ἁπάντων. Οὐδὲν πατρίδος γλυκύτερον, ἀλλ' οὐδὲν πικρότερον νῦν γέγονε· πάντες τὴν ἐνεγκοῦσαν ὥσπερ παγίδα φεύγουσιν, ὥσπερ βάραθρον ἐγκαταλιμπάνουσιν, ὥσπερ πυρᾶς ἀποπηδῶσι· καὶ καθάπερ οἰκίας απτομένης οὐχ οἱ τὴν οἰκίαν οἰκοῦντες μόνον, ἀλλὰ καὶ πάντες οἱ πλησίον μετὰ πολλῆς ἀποπηδῶσι τῆς σπουδῆς, γυμνὸν τὸ σῶμα διασῶσαι σπουδάζοντες· οὕτω δὴ καὶ νῦν τῆς βασιλικῆς ὀργῆς καθάπερ πυρᾶς τινος ἄνωθεν ἥξειν προσδοκωμένης, πρὶν ἐπ' αὐτοὺς ὁδῷ βαδίζον ἔλθῃ τὸ πῦρ, ἕκαστος ἐπείγεται προεξελθεῖν, καὶ γυμνὸν διασῶσαι τὸ σῶμα· καὶ γέγονεν ἡμῶν αἴνιγμα νῦν ἡ συμφορά. Χωρὶς πολεμίων φυγή, χωρὶς μάχης μετανάστασις, χωρὶς ἁλώσεως αἰχμαλωσία· οὐκ εἴδομεν βαρβαρικὸν πῦρ, οὐδὲ πολεμίων ὄψιν ἐθεασάμεθα, καὶ τὰ τῶν ἑαλωκότων πάσχομεν. Πάντες νῦν τὰς ἡμετέρας μανθάνουσι συμφοράς· τοὺς γὰρ ἡμετέρους ὑποδεχόμενοι φυγάδας παρ' ἐκείνων τὴν τῆς πόλεως μανθάνουσι πληγήν.

2. Ἀλλ' οὐκ αἰσχύνομαι ἐπὶ τούτῳ, οὐδὲ ἐρυθριῶ. Μανθανέτωσαν ἅπαντες τὰ τῆς πόλεως πάθη, ἵνα συναλγήσαντες τῇ μητέρι κοινὴν ἀπὸ τῆς γῆς ἁπάσης ἀνενέγκωσι τῷ Θεῷ φωνήν, καὶ ὁμοθυμαδὸν τὴν κοινὴν ἁπάντων μητέρα καὶ τροφὸν παρὰ τοῦ τῶν οὐρανῶν ἐξαιτήσωνται βασιλέως.

Ἐσείσθη πρῴην ἡ πόλις, ἀλλὰ νῦν αὐταὶ σαλεύονται τῶν οἰκητόρων αἱ ψυχαί· τότε ἐσείετο τὰ θεμέλια τῶν οἰκημάτων, νῦν αὐτὰ δονεῖται τὰ θεμέλια τῆς ἑκάστου καρδίας, καὶ καθ' ἑκάστην ἡμέραν πρὸ τῶν ὀφθαλμῶν τὸν θάνατον πάντες βλέπομεν, καὶ φόβῳ συζῶμεν διηνεκεῖ, καὶ τὴν τοῦ Κάιν ὑπομένομεν τιμωρίαν ἐλεεινότερον τῶν ποτὲ τὸ δεσμωτήριον οἰκούντων διακείμενοι, καὶ πολιορκίαν πολιορκούμενοι ξένην τινὰ καὶ καινήν, καὶ τῆς νενομισμένης δεινοτέραν. Οἱ μὲν γὰρ ὑπὸ τῶν πολεμίων τοῦτο πάσχοντες, ἔσω τειχῶν ἀποκλείονται μόνον, ἡμῖν δὲ καὶ ἡ ἀγορὰ ἄβατος γέγονε, καὶ τοῖς τοί-

ἐγκατέλιπεν ἡ ἄνωθεν βοήθεια, μένει ἔρημος καὶ γυμνὴ ἀπὸ ὅλους σχεδὸν τοὺς κατοίκους της. Τίποτε δὲν εἶναι γλυκύτερον ἀπὸ τὴν πατρίδα, ὅμως τίποτε δὲν ἔχει γίνει πικρότερον αὐτῆς τώρα· ὅλοι ἀποφεύγουν ὡς παγίδα τὸν τόπον ποὺ τοὺς ἐγέννησεν, ἐγκαταλείπουν ὡσὰν νὰ εἶναι βάραθρον, φεύγουν μακρυὰ ὡσὰν νὰ εἶναι φωτιά· καὶ ὅπως ὅταν ἐκραγῇ εἰς κάποιαν οἰκίαν πυρκαϊά, δὲν φεύγουν μόνον ὅσοι κατοικοῦν μέσα εἰς αὐτήν, ἀλλὰ καὶ οἱ γείτονες προσπαθοῦντες νὰ σώσουν γυμνὸν τὸ σῶμα· ἔτσι καὶ τώρα, ἐπειδὴ ἀναμένεται νὰ ἔλθῃ σὰν φωτιὰ ἐκ τῶν ἄνω, ἡ ὀργὴ τοῦ βασιλέως, προτοῦ νὰ ἔλθῃ αὐτὴ βαδίζουσα εἰς τὸν δρόμον, καθένας τρέχει νὰ προλάβῃ νὰ φύγῃ καὶ νὰ διασώσῃ γυμνὸν τὸ σῶμα· καὶ ἔγινε τώρα ἡ συμφορά μας αἴνιγμα. Χωρὶς νὰ ὑπάρχουν ἐχθροί, ὑπάρχει φυγή, χωρὶς μάχην, μετακόμισις, χωρὶς ἅλωσιν, αἰχμαλωσία· δὲν εἴδομεν βαρβαρικὸν πῦρ, οὔτε ἐχθρῶν ὄψιν καὶ πάσχομεν αὐτὰ ποὺ πάσχουν καὶ οἱ ὑποδουλωθέντες. Ὅλοι τώρα μαθαίνουν τὰς συμφοράς μας· διότι ὑποδέχονται τοὺς ἰδικούς μας φυγάδας καὶ ἀπὸ αὐτοὺς μαθαίνουν τὴν πληγὴν τῆς πόλεως.

2. Ἀλλὰ δὲν ἐντρέπομαι δι' αὐτό, οὔτε κοκκινίζω. Ἂς μάθουν ὅλοι τὰ παθήματα τῆς πόλεως διὰ νὰ λυπηθοῦν μαζὶ μὲ τὴν μητέρα, καὶ ὅλοι ἀπὸ ὅλην τὴν γῆν μὲ μίαν καρδίαν νὰ ἀπευθυνθοῦν πρὸς τὸν Θεὸν καὶ νὰ τὸν παρακαλέσουν ὑπὲρ τῆς σωτηρίας τῆς κοινῆς μας μητέρας καὶ τροφοῦ.

Ἐσείσθη προηγουμένως ἀπὸ σεισμὸν ἡ πόλις μας, τώρα ὅμως σείονται ἐκ φόβου αὐταὶ αἱ ψυχαὶ τῶν κατοίκων της· τότε ἐσείοντο τὰ θεμέλια τῶν οἰκημάτων, τώρα κλονίζονται τὰ θεμέλια τῆς καρδίας ἑκάστου, καὶ ὅλοι καθημερινῶς ἀντικρύζωμεν τὸν θάνατον καὶ ζῶμεν μὲ συνεχῆ φόβον, ὑφιστάμενοι τὴν τιμωρίαν τοῦ Κάϊν καὶ εὑρισκόμενοι εἰς χειροτέραν κατάστασιν ἀπὸ τοὺς φυλακισμένους καὶ εἰς πολιορκίαν νέαν καὶ πρωτοφανῆ, πολὺ χειροτέραν τῆς συνηθισμένης. Διότι οἱ πολιορκούμενοι ἀπὸ τοὺς ἐχθρούς, ἀποκλείονται μόνον μέσα εἰς τὰ τείχη των, εἰς ἡμᾶς ὅμως ἔχει γίνει καὶ ἡ ἀγορὰ ἄβατος καὶ κάθε ἕνας ἔχει ἀποκλεισθῆ μέσα εἰς τοὺς

χοις ἕκαστος τῆς οἰκίας ἐναποκέκλεισται τῆς ἑαυτοῦ. Καὶ καθάπερ τοὺς πολιορκουμένους οὐκ ἀσφαλὲς ὑπερβῆναι τὸ τεῖχος, τῶν πολεμίων ἔξω περικαθημένων· οὕτως οὐδὲ πολλοῖς τῶν τὴν πόλιν οἰκούντων ἀσφαλὲς ἐξελθεῖν, οὐδὲ ἐν τῷ μέσῳ φανῆναι, διὰ τοὺς πάντοθεν θηρεύοντας ἀναιτίους καὶ αἰτίους, καὶ ἐκ μέσης ἁρπάζοντας τῆς ἀγορᾶς, καὶ πρὸς τὸ δικαστήριον ἁπλῶς καὶ ὡς ἔτυχεν ἕλκοντας.

Διὰ τοῦτο ἐλεύθεροι μετὰ τῶν οἰκετῶν τῶν ἑαυτῶν ἔνδον συμπεποδισμένοι κάθηνται, τίς συνελήφθη, τίς ἀπήχθη, τίς ἐκολάσθη σήμερον; πῶς καὶ τίνι τρόπῳ; μεριμνῶντες καὶ περιεργαζόμενοι παρ' ὧν τὰ τοιαῦτα δυνατὸν μανθάνειν ἀσφαλῶς, καὶ θανάτου παντὸς ἐλεεινότερον ζῶσι βίον, τάς τε ἀλλοτρίας ὀδύρασθαι συμφορὰς ἀναγκαζόμενοι καθ' ἡμέραν, καὶ ὑπὲρ τῆς ἑαυτῶν τρέμοντες σωτηρίας, καὶ νεκρῶν οὐδὲν ἄμεινον διακείμενοι τῷ πάλαι τεθνάναι τῷ δέει. Εἰ δέ τις καὶ τοῦ φόβου τούτου καὶ τῆς ἀγωνίας ἐκτὸς ὢν ἐθελήσειεν εἰς ἀγορὰν ἐμβαλεῖν, ὑπὸ τῆς ὄψεως τῆς ἀτερποῦς εὐθέως εἰς τὴν οἰκίαν εἰσελαύνεται τὴν ἑαυτοῦ, ἕνα που καὶ δύο μόλις ὁρῶν συγκεκυφότας, καὶ μετὰ πολλῆς βαδίζοντας τῆς κατηφείας, ἔνθα πρὸ ὀλίγων ἡμερῶν ποταμῶν ῥεύματα τὸ πλῆθος ἀπέκρυπτεν, ἀλλὰ νῦν ἀπηλάθησαν ἡμῖν πάντες ἐκεῖνοι. Καὶ καθάπερ δρυμοῦ συμφύτου πολλῶν πανταχόθεν ἐκκοπέντων δένδρων, ἀτερπὴς ἡ ὄψις γίνεται, καθάπερ κεφαλῆς φαλακρώματα ἐχούσης πολλά, οὕτω δὴ καὶ τὸ τῆς πόλεως ἔδαφος τῶν ἀνθρώπων ἐλαττωθέντων καὶ ὀλίγων σποράδην φαινομένων ἀτερπὲς γέγονε νῦν, καὶ πολλὴν τῶν ὁρώντων καταχέει τῆς ἀθυμίας τὴν ἀχλύν. Οὐ τὸ ἔδαφος δὲ μόνον, ἀλλὰ καὶ αὐτὴ τοῦ ἀέρος ἡ φύσις, καὶ αὐτὸς τῶν ἡλιακῶν ἀκτίνων ὁ κύκλος στυγνάζειν μοι δοκεῖ νῦν, καὶ ἀμαυρότερος φαίνεσθαι, οὐ τῶν στοιχείων τὴν φύσιν μεταβαλλόντων, ἀλλὰ τῶν ἡμετέρων ὀφθαλμῶν τῷ τεθολῶσθαι τῆς ἀθυμίας τῷ νέφει, μὴ

τοίχους τῆς ἰδικῆς του οἰκίας. Καὶ ὅπως εἰς τοὺς πολιορκουμένους εἶναι ἐπικίνδυνον νὰ περάσουν τὰ τείχη, διότι ἔξω καὶ γύρω ἀπὸ αὐτὰ ὑπάρχουν οἱ ἐχθροί, ἔτσι καὶ εἰς πολλοὺς ποὺ κατοικοῦν εἰς τὴν πόλιν δὲν εἶναι ἀσφαλὲς νὰ ἐξέλθουν ἀπὸ τὴν οἰκίαν των, οὔτε νὰ ἐμφανισθοῦν εἰς τὸ μέσον τῆς πόλεως ἐξ αἰτίας τοῦ γεγονότος ὅτι παντοῦ καιροφυλακτοῦν νὰ εὕρουν ἀθώους καὶ ἐνόχους καὶ νὰ τοὺς συλλάβουν μέσα ἀπὸ τὴν ἀγορὰν καὶ νὰ τοὺς φέρουν ἁπλῶς καὶ ὡς ἔτυχεν εἰς τὸ δικαστήριον.

Διὰ τοῦτο ἐλεύθεροι πολῖται μαζὶ μὲ τοὺς ὑπηρέτας των κάθονται μέσα εἰς τὰς οἰκίας των καὶ φροντίζουν νὰ πληροφορηθοῦν ἀπὸ ἐκείνους ποὺ εἶναι εἰς θέσιν νὰ τοὺς πληροφορήσουν ποῖος συνελήφθη, ποῖος ἀπήχθη, ποῖος ἐτιμωρήθη σήμερον καὶ μὲ ποῖον τρόπον; Ἔτσι ζοῦν βίον χειρότερον παντὸς θανάτου διότι εἶναι ἀναγκασμένοι νὰ θρηνοῦν κάθε ἡμέραν διὰ τὰς ξένας συμφορὰς καὶ νὰ τρέμουν διὰ τὴν ἰδικήν των σωτηρίαν καὶ νὰ μὴ εἶναι εἰς καλυτέραν θέσιν ἀπὸ τοὺς νεκρούς, διότι πρὸ πολλοῦ ἔχουν ἀποθάνει ἀπὸ τὸν φόβον των. Καὶ ἐὰν κάποιος, παραβλέπων τὴν ἀγωνίαν καὶ τὸν φόβον τοῦτον, θελήσῃ νὰ ἐμφανισθῇ εἰς τὴν ἀγοράν, ἀπὸ τὴν ὄψιν της τὴν ἄχαριν, ἀναγκάζεται νὰ ἐπιστρέψῃ εἰς τὴν οἰκίαν του, διότι βλέπει κάπου ἕνα καὶ δύο μόνον ἀνθρώπους νὰ βαδίζουν σκυφτὰ καὶ μὲ πολλὴν κατήφειαν, ἐκεῖ ποὺ πρὸ ὀλίγων ἡμερῶν τὸ πολὺ πλῆθος ἔκαμε νὰ μὴ φαίνωνται τὰ ρεύματα τῶν ποταμῶν· ἀλλὰ τώρα ἀπεμακρύνθησαν ὅλοι ἐκεῖνοι. Καὶ ὅπως εἰς μέρος κατάφυτον ὅταν κοποῦν ἀπὸ παντοῦ τὰ δένδρα δὲν εἶναι εὐχάριστος ἡ ὄψις του, ὅπως ἡ κεφαλὴ ποὺ ἔχει πολλὰ φαλακρώματα, ἔτσι ἔχει γίνει δυσάρεστον τὸ ἔδαφος τῆς πόλεως ἐπειδὴ ἠλαττώθησαν οἱ ἄνθρωποι καὶ μόνον ὀλίγοι σποραδικῶς φαίνονται, καὶ κάνει αὐτοὺς ποὺ τὸ βλέπουν νὰ θλίβωνται πολύ. Καὶ ὄχι μόνον τὸ ἔδαφος ἀλλὰ καὶ αὐτὴ ἡ φύσις τοῦ ἀέρος καὶ αὐτὸς ὁ κύκλος τῶν ἀκτίνων τοῦ ἡλίου μοῦ φαίνεται ὅτι εἶναι τώρα σκυθρωπὸς καὶ περισσότερον σκοτεινός, ὄχι διότι ἤλλαξαν τὰ στοιχεῖα τῆς φύσεως, ἀλλὰ διότι τὰ μάτια μας ἐθόλωσαν ἀπὸ τὴν

δυναμένων καθαρῶς, μηδὲ μετὰ τῆς αὐτῆς διαθέσεως τὸ παρὰ τῶν ἀκτίνων δέχεσθαι φῶς.

Τοῦτό ἐστιν ὃ πάλαι ὁ προφήτης ἐθρήνει λέγων, «Δύσεται αὐτοῖς ὁ ἥλιος μεσημβρίας, καὶ συσκοτάσει ἡ ἡμέρα». Τοῦτο δὲ ἔλεγεν, οὐχ ὡς τοῦ ἄστρου κρυπτομένου, οὐδὲ ὡς τῆς ἡμέρας ἀφανιζομένης, ἀλλ' ὡς τῶν ἀθυμούντων οὐδὲ ἐν μεσημβρίᾳ δυναμένων ὁρᾶν τὸ φῶς διὰ τὸν ἀπὸ τῆς ὀδύνης ζόφον, ὃ δὴ καὶ νῦν γέγονε· καὶ ὅπου περ ἂν ἴδῃ τις κἂν εἰς τὸ ἔδαφος, κἂν εἰς τοὺς τοίχους, κἂν εἰς τοὺς κίονας τῆς πόλεως, κἂν εἰς τοὺς πλησίον, νύκτα ὁρᾶν δοκεῖ καὶ ζόφον βαθύν· οὕτω πάντα πολλῆς γέμει τῆς κατηφείας.

Σιγὴ πανταχοῦ φρίκης γέμουσα, καὶ ἐρημία, καὶ ὁ ποθεινὸς ἐκεῖνος τοῦ πλήθους ἔσβεσται θόρυβος, καὶ καθάπερ ἁπάντων εἰς τὴν γῆν καταδυόντων, οὕτως ἀφωνία τὴν πόλιν κατέχει νῦν, καὶ τοῖς λίθοις ἐοίκασιν ἅπαντες, καὶ ὥσπερ τινὶ γλωττοπέδῃ τῇ συμφορᾷ κατεχόμενοι βαρυτάτην κατέχουσιν ἡσυχίαν, καὶ τοσαύτην, ὅσηπερ ἂν εἰ πολεμίων ἐπελθόντων, καὶ πάντας ὁμοῦ πυρὶ καὶ σιδήρῳ δαπανησάντων ἐγένετο. Εὔκαιρον νῦν εἰπεῖν, «Ἀποστείλατε πρὸς τὰς θρηνούσας, καὶ ἐλθέτωσαν, καὶ πρὸς τὰς σοφὰς φθεγξάσθωσαν». Ρεέτωσαν οἱ ὀφθαλμοὶ ὑμῶν ὕδωρ, καὶ τὰ βλέφαρα ὑμῶν καταγέτω δάκρυα· οἱ βουνοὶ λάβετε κοπετόν, καὶ τὰ ὄρη θρῆνον. Καλέσωμεν τὴν κτίσιν ἅπασαν εἰς συμπάθειαν τῶν ἡμετέρων κακῶν. Πόλις οὕτω μεγάλη καὶ τῶν ὑπὸ τὴν ἕω κειμένων ἡ κεφαλὴ ἐκ μέσης ἀναρπασθῆναι κινδυνεύει τῆς οἰκουμένης· νῦν ἡ πολύπαις ἄπαις ἐξαίφνης γεγένηται, καὶ ὁ βοηθήσων οὐδείς. Οὐ γάρ ἐστιν ὁ ὑβρισθεὶς ὁμότιμόν τινα ἔχων ἐπὶ τῆς γῆς· βασιλεὺς γάρ ἐστιν, κορυφὴ καὶ κεφαλὴ τῶν ἐπὶ τῆς γῆς ἀνθρώπων ἁπάντων. Διὰ τοῦτο δὴ πρὸς τὸν ἄνω καταφεύγωμεν βασιλέα· ἐκεῖνον καλέσωμεν εἰς βοήθειαν· εἰ μὴ τῆς ἄνωθεν ἀπολαύσοιμεν εὐνοίας, οὐδεμία λείπεται τοῖς γεγενημένοις παραμυθία.

3. Ἀμὼς 8, 9.
4. Ἱερ. 9, 17.

πολλὴν λύπην καὶ δὲν ἠμποροῦν τώρα πλέον καθαρὰ οὔτε καὶ μὲ τὴν ἰδίαν διάθεσιν νὰ δεχθοῦν τὸ ἡλιακὸν φῶς.

Αὐτὸ σημαίνει καὶ ἐκεῖνο ποὺ ὁ προφήτης θρηνῶν ἔλεγε, «Θὰ δύσῃ δι' αὐτοὺς ὁ ἥλιος τὴν μεσημβρίαν καὶ θὰ γίνῃ σκοτεινὴ ἡ ἡμέρα»[3]. Μὲ αὐτὰ ἐννοοῦσεν ὅτι οὔτε ὁ ἥλιος κρύπτεται, οὔτε ἡ ἡμέρα ἐξαφανίζεται, ἀλλὰ ὅτι ὅσοι εὑρίσκονται εἰς λύπην οὔτε τὸ μεσημέρι δὲν βλέπουν τὸ φῶς, ἐξ αἰτίας τοῦ σκότους ποὺ τοὺς προκαλεῖ ἡ λύπη, πρᾶγμα ποὺ ἔγινε καὶ τώρα· καὶ ὅπου καὶ ἂν στρέψῃ κανεὶς τὸ βλέμμα του, εἴτε εἰς τὸ ἔδαφος, εἴτε εἰς τοὺς τοίχους, εἴτε εἰς τοὺς κίονας τῆς πόλεως, εἴτε εἰς τοὺς πλησίον, νομίζει ὅτι βλέπει νύκτα καὶ βαθὺ σκοτάδι.

Παντοῦ σιωπὴ βασιλεύει γεμάτη ἀπὸ φρίκην, καὶ ἐρημία, καὶ ὁ εὐχάριστος ἐκεῖνος θόρυβος τοῦ πλήθους ἔχει σβησθῆ, καὶ τέτοια ἀφωνία ἐπικρατεῖ τώρα εἰς τὴν πόλιν, ὡσὰν ἡ γῆ νὰ κατέπιεν ὅλους τοὺς κατοίκους της, καὶ ὁμοιάζουν ὅλοι μὲ λίθους καὶ ὡς γλωσσοδέτης ἡ συμφορὰ τοὺς πιέζει καὶ τοὺς ἐπιβάλλει τόσην ἡσυχίαν ὅσην θὰ ἔβλεπε κανεὶς ἐὰν ἐγίνετο ἐπιδρομὴ ἐχθρῶν καὶ καταστροφὴ πάντων διὰ πυρὸς καὶ σιδήρου. Εἶναι εὐκαιρία νὰ εἰποῦμεν «Εἰδοποιήσατε τὰς θρηνούσας νὰ ἔλθουν καὶ τὰς σοφὰς νὰ ὁμιλήσουν»[4]. Ἂς τρέχῃ ἀπὸ τὰ μάτια σας νερὸ καὶ δάκρυα νὰ κατεβαίνουν ἀπὸ τὰ βλέφαρά σας· οἱ λόφοι ἂς ἀρχίσουν κοπετὸν καὶ τὰ βουνὰ θρῆνον. Ἂς καλέσωμεν ὅλην τὴν κτίσιν νὰ δείξῃ συμπάθειαν εἰς τὰς θλίψεις μας. Πόλις τόσον μεγάλη καὶ ἡ κεφαλὴ τῶν πόλεων τῆς Ἀνατολῆς κινδυνεύει νὰ γίνῃ ἄφαντη ἀπὸ τὸ μέσον τῆς Οἰκουμένης· τώρα ἡ πολύτεκνος ἔχει γίνει ξαφνικὰ ἄφαντος καὶ κανεὶς δὲν ὑπάρχει νὰ τὴν βοηθήσῃ. Διότι ὁ ὑβρισθεὶς δὲν ἔχει ἄλλον τῆς αὐτῆς ἀξίας καὶ τιμῆς εἰς τὴν γῆν· διότι εἶναι βασιλεὺς κορυφὴ καὶ κεφαλὴ ὅλων τῶν ἀνθρώπων τῶν ἐπὶ τῆς γῆς. Διὰ τοῦτο λοιπὸν ἂς καταφεύγωμεν πρὸς τὸν οὐράνιον βασιλέα· ἐκεῖνον ἂς καλέσωμεν εἰς βοήθειαν· ἐὰν δὲν δείξῃ εὔνοιαν πρὸς ἡμᾶς ὁ οὐράνιος βασιλεύς, δὲν μᾶς ἀπομένει καμμία παρηγορία δι' ὅσα ἔχουν γίνει.

3. Ἐβουλόμην ἐνταῦθα καταλῦσαι τὸν λόγον· οὐ γὰρ ἐθέλουσι τῶν ὀδυνωμένων αἱ ψυχαὶ μακροὺς ἀποτείνειν λόγους· ἀλλ' ὥσπερ νεφέλη τις πυκνὴ γενομένη, καὶ τὴν ἡλιακὴν ἀκτῖνα ὑπεκδραμοῦσα, ἀποστρέφει τὴν αὐγὴν πᾶσαν εἰς τοὐπίσω· οὕτω δὴ καὶ ἀθυμίας νέφος, ἐπειδὰν στῇ πρὸ τῆς ψυχῆς τῆς ἡμετέρας, οὐκ ἀφίησιν εὔκολον γίνεσθαι τὴν τοῦ λόγου διάβασιν, ἀλλ' ἀποπνίγει, καὶ συνέχει μετὰ πολλῆς τῆς ἀνάγκης ἔνδον αὐτόν. Καὶ τοῦτο οὐκ ἐπὶ τῶν λεγόντων, ἀλλὰ καὶ ἐπὶ τῶν ἀκουόντων γίνεται. Ὥσπερ γὰρ ἀπὸ τῆς τοῦ λέγοντος ψυχῆς οὐκ ἀφίησιν αὐτὸν ἐκπηδῆσαι μετ' εὐκολίας, οὕτως οὐδὲ εἰς τὴν τῶν ἀκουόντων διάνοιαν ἐμπεσεῖν συγχωρεῖ μετὰ τῆς οἰκείας δυνάμεως. Διὰ τοῦτο καὶ Ἰουδαῖοι ποτὲ τῷ πηλῷ καὶ τῇ πλινθείᾳ δουλεύοντες, τοῦ Μωϋσέως πολλάκις μεγάλα περὶ τῆς αὐτῶν λέγοντος σωτηρίας ἀκούειν οὐκ ἠνείχετο, τῆς ἀθυμίας ἄβατον ποιούσης τῷ λόγῳ τὴν διάνοιαν, καὶ τὴν ἀκοὴν ἐμφραττούσης.

Ἠβουλόμην μὲν οὖν καὶ αὐτὸς ἐνταῦθα καταλῦσαι τὰ εἰρημένα· ἀλλ' ἐννοήσας ὅτι οὐκ ἀντιφράττει μόνον νεφέλης φύσις τὴν εἰς τὸ πρόσω φορὰν τῆς ἀκτῖνος, ἀλλὰ καὶ τοὐναντίον αὐτὴ πάσχει πολλάκις· ἐπειδὰν γὰρ ὁ ἥλιος θερμότερος προσπεσὼν διηνεκῶς τρίβῃ τὸ νέφος, μέσον τε αὐτὸ διέρρηξε πολλάκις, καὶ ἀθρόον ἐκλάμψας φαιδρὸς ταῖς τῶν ὁρώντων προσέπεσεν ὄψεσι· τοῦτο καὶ αὐτὸς προσδοκῶ ποιήσειν σήμερον, καὶ τοῦ λόγου συνεχῶς ὁμιλοῦντος ὑμῶν ταῖς ψυχαῖς, καὶ ἐπὶ πλεῖον ἐνδιατρίβοντος, ῥαγήσεσθαι ἐλπίζω τῆς ἀθυμίας τὸ νέφος, καὶ καταλάμψειν ὑμῶν τὴν διάνοιαν τῇ εἰωθυίᾳ πάλιν διδασκαλίᾳ.

Ἀλλ' ἐπίδοτέ μοι τὴν ψυχὴν τὴν ὑμετέραν, ἐπίδοτέ μοι τὴν ἀκοὴν μικρόν· ἀποτινάξασθε τὴν ἀθυμίαν· ἐπὶ τὸ πρότερον ἔθος ἐπανέλθωμεν, καὶ ὥσπερ εἰώθαμεν ἀεὶ μετ' εὐθυμίας ἐνταῦθα παραγίνεσθαι, οὕτω καὶ νῦν ποιῶμεν, τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίψαντες. Τοῦτο καὶ πρὸς αὐτὴν ἡμῖν τῆς συμφορᾶς συμβαλεῖται τὴν λύσιν. Ἂν γὰρ ἴδῃ μετὰ ἀκρι-

3. Ἤθελα ἐδῶ νὰ τελειώσω τὴν ὁμιλίαν· διότι δὲν ἀρέσκονται νὰ ἀκούουν μεγάλους λόγους αἱ ψυχαὶ τῶν εὑρισκομένων εἰς μεγάλην θλῖψιν· καὶ ὅπως ὅταν ἕνα μεγάλο σύννεφον εὑρεθῇ ἐμπρὸς εἰς τὰς ἡλιακὰς ἀκτῖνας συντελεῖ ὥστε νὰ γυρίσουν ὀπίσω ὅλαι, ἔτσι καὶ τὸ σύννεφον τῆς λύπης, ὅταν σταθῇ ἐμπρὸς εἰς τὴν ψυχὴν τὴν ἰδικήν μας, δὲν ἀφήνει εὔκολα νὰ περάσῃ ὁ λόγος, ἀλλὰ τὸν πνίγει καὶ τὸν κρατεῖ μέσα του μὲ πολλὴν βίαν. Καὶ τοῦτο δὲν παρατηρεῖται μόνον εἰς τοὺς ὁμιλοῦντας, ἀλλὰ καὶ εἰς τοὺς ἀκούοντας. Διότι ὅπως δὲν ἀφήνει τὸν λόγον νὰ ἐξέλθῃ εὔκολα ἀπὸ τὴν ψυχὴν τοῦ ὁμιλητοῦ, ἔτσι δὲν ἐπιτρέπει, μὲ τὴν δύναμιν ποὺ ἔχει, νὰ εἰσέλθῃ εἰς τὴν διάνοιαν τῶν ἀκροατῶν. Διὰ τοῦτο καὶ οἱ Ἰουδαῖοι ὅταν ἠργάζοντο εἰς τὴν λάσπην καὶ κατεσκεύαζον πλιθιά, δὲν ἐδέχοντο νὰ ἀκούσουν τὸν Μωϋσῆν ὅταν τοὺς ἔλεγε μεγάλα πράγματα διὰ τὴν σωτηρίαν των ἀπὸ τοὺς Αἰγυπτίους, διότι ἡ πολλὴ λύπη ἠμπόδιζε τὸν λόγον νὰ φθάσῃ εἰς τὴν διάνοιάν των καὶ τοὺς ἔφραζε τὴν ἀκοήν.

Ἤθελα λοιπὸν καὶ ἐγὼ κατόπιν τούτου νὰ σταματήσω ἐδῶ τὸν λόγον· ἀλλ' ἔχων ὑπ' ὄψιν ὅτι τὸ σύννεφον δὲν ἐμποδίζει πάντοτε τὴν διάβασιν τῶν ἡλιακῶν ἀκτίνων, ἀλλὰ συμβαίνει πολλὲς φορὲς καὶ τὸ ἀντίθετον· ὅταν ὁ ἥλιος ἔχῃ περισσοτέραν τῆς συνήθους θερμότητος καὶ πέφτει συνεχῶς ἐπάνω εἰς αὐτό, ἀραιώνει τὸ νέφος καὶ τὸ σπάζει πολλάκις εἰς τὸ μέσον καὶ ἀφοῦ χύσῃ ἄφθονον φῶς γίνεται πολὺ εὐχάριστος εἰς ἐκείνους ποὺ τὸν βλέπουν· αὐτὸ καὶ ἐγὼ αναμένω νὰ συμβῇ μὲ σᾶς, ὅταν ὁ λόγος θὰ ὁμιλῇ συνεχῶς εἰς τὰς ψυχάς σας, καὶ θὰ ἐπιμείνῃ περισσότερον ἐλπίζω νὰ σπάσῃ τὸ σύννεφον τῆς λύπης καὶ νὰ φωτισθῇ ἡ διάνοιά σας μὲ τὴν συνηθισμένην διδασκαλίαν.

Ἀλλὰ διὰ νὰ γίνῃ αὐτὸ δώσατέ μου τὴν ψυχήν σας, τὴν ἀκοήν σας ἐπ' ὀλίγον· ἀπομακρύνατε τὴν λύπην· ἂς ἐπανέλθωμεν εἰς τὴν προηγουμένην μας συνήθειαν καὶ ὅπως ἕως τώρα μὲ εὐχαρίστησιν ἐδῶ ἐρχόμεθα, ἔτσι καὶ τώρα ἂς κάμωμεν, ἀναθέτοντες ὅλα εἰς τὸν Θεόν. Αὐτὸ θὰ συντελέσῃ ὥστε ἡ συμφορὰ νὰ μὴ ἔχῃ κακὸν ἀποτέλεσμα. Διότι ἂν μᾶς

θείας ἀκροωμένους τῶν αὐτοῦ λόγων, καὶ τὴν φιλοσοφίαν ἡμῖν οὐκ ἐλεγχομένην τῇ τοῦ καιροῦ δυσκολίᾳ, ταχέως ἀντιλήψεται, καὶ ποιήσει τὴν γαλήνην καὶ μεταβολὴν ἀγαθὴν ἀπὸ τοῦ παρόντος χειμῶνος.

Τὸν γὰρ Χριστιανὸν καὶ ἐν τούτῳ τῶν ἀπίστων διαφέρειν χρή, ἐν τῷ φέρειν γενναίως ἅπαντα καὶ τῇ τῶν μελλόντων ἐλπίδι πτερούμενον ἀνώτερον εἶναι τῆς τῶν ἀνθρωπίνων κακῶν προσβολῆς. Ἐπὶ τῆς πέτρας ἕστηκεν ὁ πιστός, διὰ τοῦτο ταῖς τῶν κυμάτων ἀχείρωτός ἐστι προσβολαῖς. Ἂν γὰρ ἐπαρθῇ τὰ κύματα τῶν πειρασμῶν, οὐκ ἐφικνεῖται τῶν ἐκείνου ποδῶν· οὗτος ὑψηλότερος ἁπάσης τοιαύτης ἕστηκεν ἐπιβουλῆς.

Μὴ τοίνυν καταπέσωμεν, ἀγαπητοί. Οὐχ οὕτως ἡμεῖς φροντίζομεν τῆς ἡμετέρας σωτηρίας, ὡς ὁ ποιήσας ἡμᾶς Θεός· οὐχ οὕτως ἡμῖν μέλει τοῦ μηδὲν παθεῖν δεινόν, ὡς τῷ ψυχὴν ἡμῖν χαρισαμένῳ, καὶ τοσαῦτα δόντι μετὰ ταῦτα ἀγαθά. Ταύταις ἑαυτοὺς πτερώσωμεν ταῖς ἐλπίσι, καὶ τῶν μελλόντων ῥηθήσεσθαι μετὰ τῆς εἰωθυίας ἀκούσωμεν προθυμίας.

Μικρὰν πρῴην ἀπέτεινα πρὸς τὴν ὑμετέραν ἀγάπην δημηγορίαν, καὶ πάντας εἶδον παρακολουθοῦντας, καὶ οὐδένα ἐκ μέσης ὑποστρέψαντα τῆς ὁδοῦ. Χάριν ὑμῖν ἀντὶ τῆς προθυμίας ἔχω ἐκείνης, καὶ τῶν πόνων τὸν μισθὸν ἀπείληφα· ἀλλὰ καὶ ἕτερον μετ' ἐκεῖνον μισθὸν ὑμᾶς ᾔτησα τότε· τάχα ἴστε καὶ μέμνησθε. Τίς δὲ ἦν ὁ μισθός; Τοὺς βλασφήμους τοὺς κατὰ τὴν πόλιν κολάζειν καὶ σωφρονίζειν, τοὺς εἰς τὸν Θεὸν ὑβρίζοντας καὶ παροινοῦντας κατέχειν, οὐκ οἶμαι ταῦτα ἀπ' ἑαυτοῦ εἰρηκέναι, ἀλλὰ τοῦ Θεοῦ τὰ μέλλοντα προειδότος εἰς τὴν διάνοιαν τὴν ἡμετέραν ἐμβεβληκέναι τὰ ῥήματα· εἰ γὰρ τοὺς τὰ τοιαῦτα τολμῶντας ἐκολάζομεν, οὐκ ἂν ταῦτα

5. Ἐννοεῖ τὴν προηγουμένην, τὴν πρὸ τῶν γεγονότων.

ἰδῇ ὁ Θεὸς μὲ προσοχὴν νὰ ἀκούωμεν τοὺς λόγους του καὶ αἱ δύσκολαι αὐταὶ περιστάσεις νὰ μὴ φανοῦν ἀνώτεραι ἀπὸ τὴν χριστιανικήν μας ζωήν, γρήγορα θὰ μᾶς βοηθήσῃ, καὶ τὴν παροῦσαν ἄσχημον κατάστασιν θὰ κάμῃ νὰ γίνῃ γαλήνη καὶ εὐχάριστος μεταβολή.

Διότι ὁ Χριστιανὸς πρέπει νὰ διαφέρῃ ἀπὸ τοὺς ἀπίστους καὶ εἰς αὐτό, εἰς τὸ νὰ ὑπομένῃ ὅλα τὰ κακὰ μὲ γενναιότητα, καὶ λαμβάνων, τρόπον τινά, φτερὰ ἀπὸ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν, νὰ εἶναι ἀκατάβλητος ἀπὸ τὰς προσβολὰς τῶν ἀνθρωπίνων κακῶν. Ἐπάνω εἰς τὴν πέτραν στέκεται ὁ πιστός, διὰ τοῦτο εἶναι ἀκατάβλητος ἀπὸ τὰς προσβολὰς τῶν κυμάτων, δὲν φθάνουν οὔτε εἰς τὰ πόδια του, διότι αὐτὸς στέκεται ὑψηλότερα ἀπὸ ὅλην αὐτὴν τὴν προσβολήν.

Ἂς μὴ καταπέσωμεν λοιπόν, ἀγαπητοί. Δὲν φροντίζομεν ἐμεῖς τόσον διὰ τὴν σωτηρίαν μας, ὅσον φροντίζει ὁ Θεὸς ποὺ μᾶς ἐδημιούργησε· δὲν ἐνδιαφερόμεθα ἐμεῖς τόσον, διὰ νὰ μὴ πάθωμεν κανένα κακόν, ὅσον ἐκεῖνος ποὺ μᾶς ἐχάρισε τὴν ψυχὴν καὶ μᾶς ἔδωσε κατόπιν τόσα ἀγαθά. Μὲ αὐτὰς τὰς ἐλπίδας ἂς ἀναπτερώσωμεν τὸ φρόνημά μας, καὶ αὐτὰ ποὺ πρόκειται νὰ λεχθοῦν ἂς τὰ ἀκούσωμεν μετὰ συνηθισμένης προσοχῆς.

Ἐξεκίνησα μεγάλην ὁμιλίαν προηγουμένως πρὸς τὴν ἀγάπην σας[5], καὶ παρετήρησα ὅτι ὅλοι τὴν παρηκολουθήσατε καὶ δὲν εἶδα κανένα νὰ ἀποχωρήσῃ προτοῦ τελειώσῃ. Σᾶς εὐγνωμονῶ διὰ τὴν προθυμίαν σας ἐκείνην ἡ ὁποία ὑπῆρξε καὶ ἡ ἀμοιβὴ τῶν κόπων μου· ἀλλὰ μαζὶ μὲ αὐτὴν σᾶς ἐζήτησα τότε καὶ ἕνα ἄλλο μισθόν· ἴσως νὰ γνωρίζετε καὶ νὰ ἐνθυμῆσθε τοῦτο. Ποῖος δὲ ἦτο ὁ μισθὸς ἐκεῖνος; Τοὺς ἀνὰ τὴν πόλιν βλασφήμους νὰ τιμωρῆτε καὶ νὰ σωφρονίζετε, τοὺς ὑβρίζοντας τὸν Θεὸν καὶ ἐμφανιζομένους πρὸς αὐτόν, ὡς νὰ εἶναι μεθυσμένοι, νὰ ἐμποδίζετε νὰ κάνουν τοῦτο. Δὲν νομίζω ὅτι αὐτὰ τότε τὰ εἶπα ἐξ ἰδικῆς μου ἐμπνεύσεως, ἀλλὰ ὁ Θεὸς ποὺ προγνωρίζει τὰ μέλλοντα, ἔβαλεν εἰς τὴν διάνοιάν μου τοὺς λόγους τούτους, διὰ νὰ μᾶς προστατεύσῃ· διότι ἐὰν ἐτιμωρούσαμεν ἐκείνους ποὺ τολμοῦν νὰ κάνουν τοιαῦτα ἔρ-

ἐξέβη νῦν, ἅπερ ἐξέβη. Πόσῳ βέλτιον ἦν, εἰ καὶ κινδυνεύειν ἔδει, σωφρονίζοντα αὐτοὺς καὶ παιδεύοντα παθεῖν τι, ὃ καὶ μαρτυρίου στέφανον ἡμῖν ἐκόμιζεν, ἢ νῦν δεδοικέναι, καὶ τρέμειν, καὶ θάνατον προσδοκᾶν ἐκ τῆς ἐκείνων ἀταξίας; Ἰδοὺ τὸ ἁμάρτημα γέγονεν ὀλίγων, καὶ τὸ ἔγκλημα γίνεται κοινόν· ἰδοὺ δι' ἐκείνους ἅπαντες δεδοίκαμεν νῦν, καὶ τῶν ἐκείνοις τετολμημένων αὐτοὶ τὰς τιμωρίας ὑπομένομεν. Εἰ δὲ προλαβόντες αὐτοὺς ἐξεβάλομεν τῆς πόλεως, καὶ ἐσωφρονίσαμεν, καὶ τὸ νενοσηκὸς διωρθώσαμεν μέλος, οὐκ ἂν τὸν παρόντα ἐφοβούμεθα φόβον. Οἶδα ὅτι τῆς πόλεως τὸ ἦθος ἄνωθεν ἐλεύθερον, ξένοι δέ τινες καὶ μιγάδες ἄνθρωποι, μιαροὶ καὶ ὀλέθριοι, καὶ τῆς ἑαυτῶν ἀπεγνωκότες σωτηρίας ἐτόλμησαν, ἅπερ ἐτόλμησαν. Διὰ ταῦτα βοῶν ἀεὶ καὶ διαμαρτυρόμενος οὐ διέλειπον· Κολάσωμεν τῶν βλασφημούντων τὴν μανίαν, σωφρονίσωμεν αὐτῶν τὴν διάνοιαν, προνοήσωμεν αὐτῶν τῆς σωτηρίας· κἂν ἀποθανεῖν δέῃ τοῦτο ποιοῦντας, μέγα ἡμῖν οἴσει τὸ πρᾶγμα κέρδος· μὴ παρίδωμεν τὸν κοινὸν ὑβριζόμενον δεσπότην. Μέγα τι τέξεται τῇ πόλει κακὸν τὸ τὰ τοιαῦτα παρορᾶν.

4. Ταῦτα προύλεγον, ταῦτα ἐξέβη νῦν, καὶ τῆς ῥαθυμίας ἐκείνης τίνομεν δίκας. Τὸν Θεὸν ὑβριζόμενον περιεῖδες· ἰδοὺ συνεχώρησεν ὑβρισθῆναι βασιλέα· καὶ τὸν περὶ τῶν ἐσχάτων ἐπικρεμασθῆναι πᾶσι κίνδυνον, ἵνα ἐν τῷ φόβῳ τούτῳ τῆς ῥαθυμίας ἐκείνης δῶμεν δίκην. Ἆρα μὴ μάτην, μηδὲ εἰκῇ ταῦτα προύλεγον, καὶ συνεχῶς ἠνώχλουν τῇ ὑμετέρᾳ ἀγάπῃ; Ἀλλ' ὅμως οὐδὲν γέγονε πλέον, ἀλλὰ γενέσθω νῦν, καὶ ἀπὸ τῆς παρούσης σωφρονισθέντες συμφορᾶς, ἐπι-

γα, δὲν θὰ συνέβαινον εἰς τὴν πόλιν μας ὅσα συνέβησαν. Πόσον προτιμότερον θὰ ἦτο, σωφρονίζοντες καὶ τιμωροῦντες αὐτούς, νὰ πάθωμεν κάτι κακόν, ἐὰν τὸ ἐπέβαλλεν ἡ ἀνάγκη, πρᾶγμα ποὺ θὰ μᾶς ἐξασφάλιζε καὶ μαρτυρικὸν στέφανον, παρὰ νὰ φοβούμεθα τώρα, καὶ νὰ τρέμωμεν καὶ νὰ περιμένωμεν τὸν θάνατον ἕνεκα τῆς ἁμαρτίας ἐκείνων; Ἰδοὺ τὸ ἁμάρτημα ἔγινεν ἀπὸ ὀλίγους, καὶ τὸ ἔγκλημα τώρα γίνεται κοινόν· ἰδοὺ ἐξ αἰτίας ἐκείνων ὅλοι τώρα φοβούμεθα καὶ ὑφιστάμεθα ἐμεῖς τὰς τιμωρίας δι' ὅσα ἐκεῖνοι ἀπετόλμησαν. Ἐὰν δὲ τοὺς προελαμβάνομεν καὶ τοὺς ἐξεδιώκομεν ἀπὸ τὴν πόλιν, καὶ τοὺς ἐσωφρονίζομεν, καὶ ἐθεραπεύαμεν τὸ ἄρρωστον μέλος, δὲν θὰ ἐδοκιμάζομεν τώρα τὸν φόβον αὐτόν. Γνωρίζω ὅτι τὸ ἦθος τῆς πόλεως ἀπὸ ἀρχαιοτάτων χρόνων εἶναι ἐκεῖνο ποὺ ἁρμόζει εἰς ἐλευθέρους ἀνθρώπους, καὶ ὅτι μερικοὶ ξένοι καὶ ὄχι ξεδιαλεγμένοι ἄνθρωποι, ἀχρεῖοι καὶ κακοποιοί, ποὺ ἔχουν ἀπελπισθῆ διὰ τὴν σωτηρίαν των ἐτόλμησαν νὰ κάμουν αὐτὰ ποὺ ἔκαμαν. Διὰ τοῦτο δὲν ἔπαυσα πάντοτε νὰ φωνάζω καὶ νὰ διαμαρτύρωμαι λέγων· ἂς τιμωρήσωμεν τὴν μανίαν τῶν βλασφημούντων, ἂς σωφρονίσωμεν τὴν διάνοιάν των, καὶ ἂς φροντίσωμεν διὰ τὴν σωτηρίαν των· καὶ ἂν χρειασθῇ νὰ ἀποθάνωμεν διὰ τὴν πρᾶξιν μας αὐτήν, θὰ μᾶς ἀποφέρῃ μεγάλο κέρδος ἡ πρᾶξις μας αὐτή· ἂς μὴ ἀδιαφοροῦμεν ὅταν βλέπωμεν νὰ ὑβρίζεται ὁ κοινὸς Δεσπότης. Ἡ ἀδιαφορία αὐτὴ θὰ φέρῃ μεγάλο κακὸν εἰς τὴν πόλιν.

4. Ὅπως σᾶς τὰ προέλεγα, ἔτσι καὶ ἔγιναν καὶ τιμωρούμεθα τώρα διὰ τὴν ἀμέλειάν μας ἐκείνην. Ὅταν ἔβλεπες νὰ ὑβρίζεται ὁ Θεὸς ἀμελοῦσες· ἰδοὺ τώρα ἐπέτρεψε νὰ ὑβρισθῇ ὁ βασιλεὺς καὶ νὰ εὑρισκώμεθα ὅλοι εἰς ἔσχατον κίνδυνον, ὥστε διὰ τοῦ φόβου τούτου ποὺ αἰσθανόμεθα, νὰ τιμωρούμεθα διὰ τὴν ἀμέλειάν μας ἐκείνην. Ἆρά γε μάταια καὶ χωρὶς λόγον προέλεγα ἐκεῖνα καὶ συνεχῶς ἐνοχλοῦσα τὴν ἀγάπην σας; Καὶ ὅμως καμμία ὠφέλεια δὲν προῆλθεν ἀπ' ὅσα εἶπα, ἂς προέλθῃ ὅμως τώρα, καὶ ἀφοῦ σωφρονισθῶμεν ἀπὸ τὴν παροῦσαν συμφοράν, ἂς σταματήσωμεν τὴν ἀ-

σχῶμεν τὴν ἄτακτον ἐκείνων μανίαν. Ἐμφράξωμεν αὐτῶν τὰ στόματα, καθάπερ πηγὰς θανατηφόρους ἀποκλείσωμεν, καὶ πρὸς τὸ ἐναντίον μεταβάλωμεν, καὶ πάντως στήσεται τὰ κατειληφότα τὴν πόλιν κακά.

Οὐκ ἔστι θέατρον ἡ ἐκκλησία, ἵνα πρὸς τέρψιν ἀκούωμεν· ὠφεληθέντας ἐντεῦθεν ἀπιέναι χρή, κερδάναντάς τι πλέον καὶ μέγα, οὕτως ἀναχωρεῖν δεῖ. Ἐπεὶ μάτην καὶ εἰκῇ παραγινόμεθα, εἰ πρὸς καιρὸν ψυχαγωγηθέντες οὕτως ἀναχωροίημεν ἔρημοι καὶ κενοὶ τῆς ἀπὸ τῶν λεγομένων ὠφελείας γενόμενοι. Τί μοι τῶν κρότων ὄφελος τούτων; τί δὲ τῶν ἐπαίνων καὶ τῶν θορύβων; Ἔπαινος ἐμὸς τὸ διὰ τῶν ἔργων ὑμᾶς ἐπιδεῖξαι τὰ λεγόμενα ἅπαντα. Τότε ἐγὼ ζηλωτὸς καὶ μακάριος, οὐχ ὅταν ἀποδέχησθε, ἀλλ' ὅταν ποιῆτε μετὰ προθυμίας ἁπάσης, ἅπερ ἂν ἀκούσητε παρ' ἡμῶν.

Ἕκαστος τὸν πλησίον διορθούσθω· «Οἰκοδομεῖτε γὰρ εἷς τὸν ἕνα», φησίν· ἂν γὰρ μὴ τοῦτο ποιῶμεν, ἡ παρ' ἑκάστου γινομένη πλημμέλεια κοινήν τινα καὶ ἀφόρητον οἴσει τὴν βλάβην τῇ πόλει. Ἰδού, μηδὲν συνειδότες τοῖς γεγενημένοις τῶν τετολμηκότων οὐκ ἔλαττον δεδοίκαμεν, καὶ φρίττομεν, μὴ πάντας ὁ τοῦ βασιλέως θυμὸς καταλάβῃ· καὶ οὐκ ἀρκεῖ εἰς ἀπολογίαν ἡμῖν τὸ λέγειν, οὐ παρήμην, οὐ συνῄδειν, οὐκ ἐκοινώνησα τῶν γεγενημένων. Δι' αὐτὸ μὲν οὖν τοῦτο κολάζου, φησί, καὶ δίδου δίκην τὴν ἐσχάτην, ὅτι μὴ παρῆς, μηδὲ ἐκώλυες, μηδὲ τοὺς ἀκοσμοῦντας κατεῖχες, μηδὲ ἐκινδύνευσας ὑπὲρ τῆς εἰς τὸν βασιλέα τιμῆς. Οὐ μετέσχες τῶν τετολμημένων; Ἐπαινῶ τοῦτο καὶ ἀποδέχομαι· ἀλλ' οὐδὲ ἐπέσχες τὰ γινόμενα· τοῦτο κατηγορίας ἄξιον.

Ταῦτα καὶ παρὰ τοῦ Θεοῦ τὰ ῥήματα ἀκουσόμεθα, ὅταν σιγῇ φέρωμεν τὰς εἰς αὐτὸν ὕβρεις καὶ παροινίας γινομένας. Ἐπεὶ καὶ ὁ τὸ τάλαντον ἐκεῖνο καταχώσας οὐχ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἐνεκαλεῖτο τότε (ὁλόκληρον γὰρ τὴν παρακαταθήκην ἀπέδωκεν), ἀλλ' ὅτι αὐτὴν οὐκ ἐπλεόνασεν, ὅτι ἑτέ-

---

6. Εἰς τὸ σημεῖον αὐτὸ οἱ ἀκροαταὶ ἐξέσπασαν εἰς θορυβώδεις ἐπιδοκιμασίας.
7. Α΄ Θεσ. 5, 11.
8. Ματθ. 25, 18 ἑ.

ιακτον μανίαν ἐκείνην. Ἂς φράξωμεν τὰ στόματά των, ἂς τὰ κλείσωμεν ὡς νὰ εἶναι πηγαὶ θανατηφόροι, ἂς τὰ μεταβάλωμεν εἰς τὸ ἀντίθετον, καὶ ὁπωσδήποτε θὰ σταματήσουν τὰ κακὰ ποὺ κατέλαβαν τὴν πόλιν[6].

Δὲν εἶναι ἡ ἐκκλησία θέατρον διὰ νὰ ἀκούωμεν ὅσα λέγονται ἐκεῖ πρὸς εὐχαρίστησιν· πρέπει νὰ φεύγωμεν ἀπὸ ἐδῶ ὠφελημένοι μὲ κάποιο μεγάλο καὶ πολὺ κέρδος. Διότι ἐὰν ἐρχώμεθα διὰ νὰ ψυχαγωγηθῶμεν ἐπ' ὀλίγον καὶ φεύγομεν χωρὶς νὰ ἀποκομίσωμεν ὠφέλειαν ἀπὸ ὅσα ἐλέχθησαν, ἄδικα ἐρχόμεθα. Τί μὲ ὠφελοῦν τὰ χειροκροτήματά σας αὐτά; Τί αἱ θορυβώδεις ἐπιδοκιμασίαι σας καὶ οἱ ἔπαινοι; Ἰδικός μου ἔπαινος εἶναι νὰ δείξετε μὲ τὰ ἔργα σας ὅτι ἐφαρμόζετε τοὺς λόγους μου. Τότε ἐγὼ θὰ εἶμαι εὐτυχής, ὄχι ὅταν ἐπιδοκιμάζετε τὰ λόγια μου, ἀλλὰ ὅταν τὰ ἐφαρμόζετε μὲ προθυμίαν.

Κάθε ἕνας ἂς διορθώνῃ τὸν πλησίον του· διότι λέγει ἡ Γραφὴ «νὰ οἰκοδομῇ εἰς τὴν ἀρετὴν ὁ καθένας σας τὸν ἄλλον»[7]· διότι ἂν δὲν κάμνωμεν αὐτό, ἡ ἰδιαιτέρα ἑκάστου ἁμαρτία θὰ φέρῃ κοινὴν καὶ ἀφόρητον βλάβην εἰς τὴν πόλιν. Νά, ἂν καὶ καθόλου δὲν ἤμεθα ἔνοχοι εἰς ὅσα ἔγιναν, ἐν τούτοις δὲν φοβούμεθα ὀλιγώτερον, καὶ φρίττομεν μήπως ὁ θυμὸς τοῦ βασιλέως μᾶς συμπεριλάβῃ ὅλους· καὶ δὲν εἶναι ἀρκετὸν ὡς ἀπολογία τὸ νὰ λέγωμεν, δὲν ἤμουν παρών, δὲν ἐγνώριζα, δὲν ἔλαβα μέρος εἰς ὅσα ἔγιναν. Ἀκριβῶς δι' αὐτὸ τοῦτο νὰ τιμωρηθῇς, διὰ τὸ ὅτι δὲν ἦσουν παρών, διὰ τὸ ὅτι δὲν ἠμπόδισες, οὔτε συνεκράτησες τοὺς δράστας τῆς κακοηθείας, οὔτε ἐκινδύνευσες διὰ τὴν πρὸς τὸν βασιλέα ὀφειλομένην τιμήν. Δὲν ἔλαβες μέρος εἰς ὅσα ἀπετολμήθησαν; Τὸ ἐπαινῶ καὶ τὸ παραδέχομαι· ὅμως δὲν ἔφερες ἐμπόδια καὶ εἰς τοὺς δράστας· καὶ αὐτὸ εἶναι ἄξιον κατηγορίας.

Αὐτοὺς τοὺς λόγους θὰ ἀκούσωμεν καὶ ἀπὸ τὸν Θεόν, ὅταν μὲ σιωπὴν ἀνεχώμεθα τὰς ὕβρεις καὶ προσβολὰς ποὺ γίνονται εἰς αὐτόν. Καθ' ὅσον καὶ ἐκεῖνος ποὺ ἔκρυψεν εἰς τὴν γῆν τὸ τάλαντον[8] δὲν κατηγορεῖτο διὰ ἰδικόν του παράπτωμα τότε, (διότι ὁλόκληρον τὴν παρακαταθήκην ἐπέστρε-

ρους οὐκ ἐπαίδευσεν, ὅτι τὸ ἀργύριον τοῖς τραπεζίταις οὐ κατέβαλε, τουτέστιν, οὐ παρήνεσεν, οὐ συνεβούλευσεν, οὐκ ἐπετίμησεν, οὐ διώρθωσε τοὺς πλησίον ἀκοσμοῦντας τῶν πονηρῶν· διὰ τοῦτο χωρὶς συγγνώμης ἁπάσης εἰς τὰς ἀφορήτους ἐπέμπετο κολάσεις ἐκείνας.

Ἀλλ' ὅτι μέν, εἰ καὶ μὴ πρότερον, νῦν γοῦν ταύτην ἐργάσεσθε τὴν διόρθωσιν, καὶ τὸν Θεὸν ὑβριζόμενον οὐ περιόψεσθε, σφόδρα πεπίστευκα. Ἱκανὰ γὰρ τὰ συμβεβηκότα, εἰ καὶ μηδεὶς ὁ παραινῶν ἦν, καὶ τοὺς σφόδρα ἀναισθήτως διακειμένους πεῖσαι λοιπὸν τῆς οἰκείας ἐπιλαβέσθαι σωτηρίας.

Ἡμῖν δὲ ὥρα λοιπὸν τὴν εἰωθυῖαν ὑμῖν ἀπὸ τοῦ Παύλου παραθεῖναι τράπεζαν, τὴν σήμερον ἀναγνωσθεῖσαν ῥῆσιν προχειρισαμένους, καὶ εἰς μέσον καταθεμένους ἅπασι. Τί ποτ' οὖν ἐστι τὸ σήμερον ἀναγνωσθέν; «Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν». Εἰπών, «Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι», ἔδειξε ἑτέρους ὄντας πλουσίους τοὺς τοῦ μέλλοντος αἰῶνος· οἷος ἐκεῖνος ὁ Λάζαρος ἦν, κατὰ μὲν τὸν παρόντα βίον πένης, κατὰ δὲ τὸν μέλλοντα πλούσιος, οὐ χρυσοῦ καὶ ἀργύρου, καὶ τοιαύτῃ τινὶ φθαρτῇ καὶ ἐπικήρῳ πλουτῶν ὕλῃ, ἀλλὰ τοῖς ἀπορρήτοις ἐκείνοις ἀγαθοῖς, «ἃ μήτε ὀφθαλμὸς εἶδε μήτε οὖς ἤκουσε μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη». Τοῦτο γὰρ ἀληθῶς πλοῦτος καὶ εὐπορία, ὅταν καὶ ἀκήρατα ᾖ τὰ καλά, καὶ μηδεμίαν δέχηται μεταβολήν. Ἀλλ' οὐχ ὁ παριδὼν αὐτὸν πλούσιος τοιοῦτος, ἀλλὰ πάντων πενέστερος ἐγένετο. Μετὰ ταῦτα γοῦν σταγόνος ἀξιώσας ἐπιτυχεῖν, οὔτε αὐτῆς ἐγένετο κύριος· οὕτω πρὸς ἐσχάτην ἐληλάκει πενίαν. Διὰ τοῦτο πλουσίους τοῦ παρόντος αἰῶνος ἐκάλεσεν, ἵνα μάθῃς ὅτι μετὰ τῆς παρούσης ζωῆς

9. Α' Τιμ. 5, 17.
10. Α' Κορ. 2, 9.

ψεν), ἀλλὰ διότι δὲν τὴν αὔξησε, διότι δὲν ὠφέλησεν ἄλλους, διότι τὰ χρήματα δὲν τὰ ἔβαλεν εἰς τὴν Τράπεζαν, δηλαδὴ δὲν παρεκίνησεν εἰς καλόν, δὲν συνεβούλευσε, δὲν ἐτιμώρησε, δὲν διώρθωσεν ὅσους ἐκ τῶν πλησίον του ἔκαναν κακὰς πράξεις· διὰ τοῦτο χωρὶς τὴν παραμικρὰν ἐπιείκειαν ἐστέλλετο εἰς τὰς ἀφορήτους ἐκείνας τιμωρίας.

Ἀλλ' ὅτι μὲν αὐτὸ ποὺ δὲν ἐκάματε πρωτύτερα, θὰ τὸ κάμετε τώρα, καὶ δὲν θὰ ἀνέχεσθε νὰ ὑβρίζεται ὁ Θεός, ἔχω ἀκράδαντον πεποίθησιν. Διότι εἶναι ἱκανὰ τὰ γεγονότα, ἔστω καὶ ἂν δὲν ὑπῆρχε κανεὶς ποὺ νὰ προτρέπῃ, νὰ πείσουν νὰ καταπιαστοῦν μὲ τὴν σωτηρία των, ἀκόμη καὶ ἐκείνους ποὺ εἶναι πολὺ ἀναίσθητοι πνευματικά.

Εἰς ἐμᾶς λοιπὸν εἶναι τώρα ὥρα νὰ σᾶς παραθέσω τὴν συνηθισμένην τράπεζαν ἀπὸ τὰ λόγια τοῦ Παύλου, ἀφοῦ λάβωμεν εἰς τὰ χέρια καὶ παρουσιάσωμεν εἰς τὸ μέσον ὅλων τὸ ρητὸν ποὺ ἀνεγνώσθη σήμερον. Ποῖον εἶναι λοιπὸν αὐτὸ τὸ ρητὸν ποὺ ἀνεγνώσθη σήμερον; «Εἰς τοὺς πλουσίους παράγγελλε εἰς τὴν παροῦσαν ζωὴν νὰ μὴ εἶναι ὑπερήφανοι»[9]. Μὲ τὸ νὰ εἴπῃ «τοὺς πλουσίους εἰς τὴν παροῦσαν ζωὴν» ἐφανέρωσεν ὅτι ὑπάρχουν καὶ ἄλλοι πλούσιοι, εἰς τὴν μέλλουσαν ζωὴν ὅμως· ὅπως ἦτο ὁ Λάζαρος ἐκεῖνος, εἰς μὲν τὸν παρόντα βίον πτωχός, εἰς δὲ τὸν μέλλοντα πλούσιος, καὶ ὁ πλοῦτος του ἐκεῖνος ἀπετελεῖτο ὄχι ἀπὸ χρυσὸν καὶ ἄργυρον καὶ ἄλλην ὕλην ὁμοίαν μὲ αὐτά, φθαρτὴν καὶ πρόσκαιρον, ἀλλὰ ἀπὸ τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθὰ «τὰ ὁποῖα οὔτε μάτι εἶδεν, οὔτε αὐτὶ ἤκουσεν, οὔτε ἀνθρώπινος νοῦς ἐφαντάσθη»[10]. Διότι τοῦτο εἶναι πραγματικὰ πλοῦτος καὶ εὐπορία, ὅταν καὶ αἰώνια εἶναι τὰ ἀγαθά, καὶ δὲν ἐπιδέχωνται καμμίαν μεταβολήν, ὅμως δὲν ἦτο τέτοιος πλούσιος ἐκεῖνος ποὺ περιεφρόνησε τὸν Λάζαρον εἰς τὴν παροῦσαν ζωήν, καὶ διὰ τοῦτο ἔγινε πτωχότατος πάντων εἰς τὴν ἄλλην ζωήν. Διότι μετὰ τὸν θάνατον δὲν ἠμπόρεσε νὰ ἐπιτύχῃ νὰ ἀπολαύσῃ οὔτε μίαν σταγόνα νεροῦ· εἰς τόσον μεγάλην πτωχείαν εἶχε καταντήσει. Διὰ τοῦτο τοὺς ὠνόμασε πλουσίους τῆς παρούσης ζωῆς, διὰ νὰ μάθῃς ὅτι μαζὶ μὲ αὐτὴν τὴν ζωὴν

καὶ ἡ εὐπορία συγκαταλύεται· οὐ πρόεισι περαιτέρω, οὐδὲ συμμεθίσταται ἀποδημοῦσι τοῖς ἔχουσιν, ἀλλὰ πολλάκις αὐτοὺς καὶ πρὸ τῆς τελευτῆς ἀφίησιν· ὅπερ οὖν καὶ αὐτὸ δηλῶν ἔλεγε, «Μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι».

Οὐδὲν γὰρ οὕτως ἄπιστον, ὡς ὁ πλοῦτος, ὃ πολλάκις εἶπον, καὶ λέγων οὐ παύσομαι, ὅτι δραπέτης ἐστὶν ἀγνώμων, οἰκέτης πίστιν οὐκ ἔχων, κἂν μυρίας αὐτῷ περιβάλῃς πέδας, οὗτος καὶ τὰς πέδας αὐτὰς ἐπισυρόμενος ἄπεισι. Πολλάκις γοῦν μοχλοῖς καὶ θύραις ἀπέκλεισαν αὐτὸν οἱ κεκτημένοι, οἰκέτας περιστήσαντες φύλακας· ὁ δὲ τοὺς οἰκέτας αὐτοὺς ἀναπείσας μετ' αὐτῶν ἀπέδρα τῶν φυλαττόντων, καθάπερ ἅλυσιν τοὺς τηροῦντας ἐπισυρόμενος, καὶ πλέον οὐδὲν ἀπὸ τῆς φυλακῆς ἐγένετο ταύτης. Τί τούτου γένοιτ' ἂν ἀπιστότερον; Τί δὲ τῶν περὶ αὐτὸν ἐσπουδακότων ἐλεεινότερον; Ὅταν πρᾶγμα οὕτω σαθρὸν καὶ εὐμετάπτωτον πάσῃ σπουδῇ συλλέγειν ἐπιχειρῶσι, καὶ μὴ ἀκούωσι τοῦ προφήτου λέγοντος· «Οὐαὶ οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι». Εἰπέ, τίνος ἕνεκεν οὐαί; «Θησαυρίζει», φησί, «καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά». Ὅτι ὁ μὲν πόνος δῆλος, ἡ δὲ ἀπόλαυσις ἄδηλος. Πολλάκις ἐχθροῖς κάμνεις, καὶ ταλαιπωρεῖς· πολλάκις μετὰ τὴν σὴν τελευτὴν εἰς τοὺς ἠδικηκότας καὶ μυρία σοι ἐπιβουλεύσαντας ὁ κλῆρος ἐλθών, σοὶ μὲν τὰ ἁμαρτήματα, τὴν δὲ ἀπόλαυσιν παρέσχεν ἑτέροις.

5. Ἀλλ' ἄξιον ἐκεῖνο ἐξετάσαι, τίνος ἕνεκεν οὐκ εἶπε, Τοῖς δὲ πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ πλουτεῖν,

---

11. Α΄ Τιμ. 6, 17.
12. Ψαλμ. 48, 7.
13. Ψαλμ. 38, 7.

χάνεται καὶ ἡ εὐπορία των· δὲν προχωρεῖ περαιτέρω, οὔτε πηγαίνει μαζὶ μὲ ἐκείνους ποὺ τὴν ἔχουν ὅταν πεθάνουν, ἀλλὰ πολλὲς φορὲς μάλιστα τοὺς ἐγκαταλείπει καὶ προτοῦ ἀναχωρήσουν ἐκ τοῦ κόσμου τούτου· πρᾶγμα ποὺ ὑπονοοῦσεν ὅταν ἔλεγεν· «οὔτε νὰ στηρίζουν τὰς ἐλπίδας των εἰς τὴν ἀβεβαιότητα τοῦ πλούτου»[11].

Διότι τίποτε δὲν εἶναι τόσον ἄπιστον πρᾶγμα ὅσον ὁ πλοῦτος, ἐκεῖνο ποὺ πολλάκις σᾶς εἶπα καὶ δὲν θὰ παύσω νὰ λέγω, ὅτι δηλαδὴ εἶναι δραπέτης ἀγνώμων, ἄπιστος ὑπηρέτης, καὶ ἂν ἀκόμη τοῦ δέσῃς τὰ πόδια μὲ ἀναρίθμητα δεσμά, αὐτὸς ἀναχωρεῖ σύρων μαζὶ καὶ τὰ δεσμά. Πολλάκις αὐτοὶ ποὺ τὸν ἔχουν τὸν ἀπέκλεισαν μὲ μοχλοὺς καὶ μὲ θύρας καὶ ἀνέθεσαν εἰς ὑπηρέτας νὰ τὸν φυλάσσουν· αὐτὸς ὅμως ἐξαπατήσας τοὺς ὑπηρέτας ἐδραπέτευσε μαζὶ μὲ τοὺς φρουροὺς σύρων αὐτοὺς μαζί του, ὡσὰν νὰ τοὺς εἶχε δέσει μὲ ἁλυσίδας καὶ τίποτε δὲν κατώρθωσαν μὲ τόσα προφυλακτικὰ μέτρα. Τί ἠμπορεῖ νὰ γίνῃ ἀπιστότερον ἀπὸ αὐτόν; Τί δὲ πιὸ ἐλεεινότερον ἀπὸ αὐτοὺς ποὺ ἀσχολοῦνται πολὺ μὲ αὐτό; Ὅταν τέτοιο πρᾶγμα, τόσο σαθρὸν καὶ εὐκολομετάβλητον ἐπιχειροῦν νὰ μαζεύουν μὲ τόσην μεγάλην ἐπιμέλειαν καὶ δὲν ἀκούουν τὸν προφήτην ποὺ λέγει· «ἀλλοίμονον εἰς αὐτοὺς ποὺ ἔχουν πεποίθησιν εἰς τὴν κοινωνικήν των δύναμιν καὶ καυχῶνται διὰ τὸν ὄγκον τοῦ πλούτου των»[12]. Εἰπέ μου, διατί ἀλλοίμονον; Διότι «θησαυρίζει καὶ δὲν γνωρίζει διὰ ποῖον μαζεύει τοὺς θησαυρούς»[13]. Διότι ὁ μὲν κόπος ποὺ καταβάλλει εἶναι φανερός, ἡ δὲ ἀπόλαυσις τῶν ἀγαθῶν ἄδηλος. Πολλὲς φορὲς κοπιάζεις καὶ ταλαιπωρεῖσαι διὰ τοὺς ἐχθρούς σου· πολλάκις μετὰ τὸν θάνατόν σου ἔρχεται ἡ κληρονομία τῶν ἀγαθῶν σου εἰς αὐτοὺς ποὺ σὲ ἠδίκησαν καὶ σοῦ ἔκαμαν ἀναριθμήτους ἐπιβουλὰς καὶ ἔτσι εἰς ἐσὲ μὲν παραμένουν τὰ ἁμαρτήματα ποὺ ἔκαμες μαζεύων τὸν πλοῦτον, ἡ δὲ ἀπόλαυσίς του πηγαίνει εἰς τοὺς ἄλλους.

5. Ἀλλὰ ἀξίζει νὰ ἐξετάσωμεν καὶ ἐκεῖνο, διὰ ποῖον λόγον δὲν εἶπεν· εἰς τοὺς πλουσίους παράγγειλε εἰς τὸν

ἀλλὰ «Παράγγελλε μὴ ὑψηλοφρονεῖν»; Οἶδεν ὅτι τοῦ πλούτου ρίζα καὶ ὑπόθεσίς ἐστιν ἡ ἀπόνοια, κἂν εἰδῇ τις μετριάζειν, οὐ πολλὴν περὶ τὸ πρᾶγμα ποιήσεται σπουδήν. Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, τοὺς πολλοὺς οἰκέτας περιάγεις τοὺς παρασίτους, τοὺς κόλακας, τὴν ἄλλην ἅπασαν φαντασίαν; Οὐ χρείας ἕνεκεν, ἀλλ' ἀπονοίας μόνης, ἵνα ἀπὸ τούτων σεμνότερος τῶν ἄλλων ἀνθρώπων εἶναι δοκῇς. Ἄλλως δὲ οἶδεν οὐ κεκωλυμένον τὸν πλοῦτον, ἐάν τις αὐτῷ εἰς δέον κεχρημένος ᾖ.

Ὥσπερ γὰρ εἶπον, οὐ κακὸν ὁ οἶνος, ἀλλὰ κακὸν ἡ μέθη· οὕτως οὐ κακὸν ὁ πλοῦτος, ἀλλὰ κακὸν ἡ πλεονεξία, κακὸν ἡ φιλαργυρία. Ἕτερον φιλάργυρος, καὶ ἕτερον πλούσιος· ὁ φιλάργυρος οὐκ ἔστι πλούσιος, ὁ φιλάργυρος πολλῶν δεῖται· ὁ δὲ πολλῶν δεόμενος οὐκ ἂν εὐπορήσειέ ποτε. Ὁ φιλάργυρος φύλαξ, οὐ δεσπότης ἐστὶ τῶν χρημάτων, δοῦλος, οὐ κύριος· εὐκολώτερον γὰρ τῶν αὐτοῦ σαρκῶν μεταδοίη τινὶ ἢ τοῦ κατωρυγμένου χρυσίου. Καὶ καθάπερ τινὸς ἐπιτάττοντος καὶ κελεύοντος μηδενὸς ἅψασθαι τῶν ἀποκειμένων· οὕτω μετὰ πάσης ἀκριβείας αὐτὰ τηρεῖ καὶ κατέχει καθάπερ ἀλλοτρίων ἀπεχόμενος τῶν οἰκείων. Καὶ γάρ ἐστιν ὄντως ἀλλότρια· ἃ γὰρ εἰς ἑτέρους ἐκβάλλειν οὐκ ἂν ἕλοιτο, οὐδὲ τοῖς δεομένοις διανεῖμαι, κἂν μυρίας ὑποσταίη τιμωρίας, πῶς ἂν δύναιτο ταῦτα ἴδια νομίζειν εἶναι; Πῶς δὲ ἔχει τὴν κτῆσιν, ὧν τὴν χρῆσιν οὐκ ἔχει μετὰ ἀδείας, οὐδὲ τὴν ἀπόλαυσιν;

Πρὸς δὲ τούτοις οὐ πᾶσι πάντα ἐπιτάττειν ὁ Παῦλος εἴωθεν, ἀλλὰ καὶ τῇ τῶν ἀκουόντων ἀσθενείᾳ συγκαταβαίνει, καθάπερ οὖν καὶ ὁ Χριστὸς ἐποίησε. Καὶ γὰρ ἐκείνῳ τῷ

παρόντα βίον νὰ μὴ πλουτοῦν, νὰ γίνουν πτωχοί, νὰ ἀπογυμνωθοῦν ἀπὸ τὰ ὑπάρχοντά τους, ἀλλὰ εἶπε «παράγγειλε νὰ μὴ ὑπερηφανεύωνται»; Εἶπε τοῦτο ἐπειδὴ ἐγνώριζεν ὅτι ρίζα καὶ βάσις τοῦ πλούτου εἶναι ἡ ὑπερηφάνεια, καὶ ὅτι ὅταν μάθῃ κάποιος νὰ ταπεινοφρονῇ, δὲν θὰ φροντίσῃ πολὺ διὰ τὸ πρᾶγμα αὐτὸ (τὸν πλοῦτον). Διότι, εἰπέ μου, διὰ ποῖον λόγον περιφέρεις τοὺς πολλοὺς ὑπηρέτας ὡς παράσιτα, τοὺς κόλακας, ὅλην τὴν ἄλλην ἐπίδειξιν; Ὄχι ἐπειδὴ εἶναι ἀνάγκη, ἀλλὰ μόνον ἀπὸ ὑπερηφάνειαν, διὰ νὰ φανῇς ἀπὸ ὅλα αὐτὰ ὅτι εἶσαι ἀνώτερος τῶν ἄλλων ἀνθρώπων. Ἄλλωστε γνωρίζει ὅτι δὲν εἶναι κακὸν νὰ ἔχῃ κάποιος πλοῦτον, ἂν τὸν μεταχειρίζεται ὅπου πρέπει.

Διότι ὅπως σᾶς εἶπα, δὲν εἶναι κακὸν πρᾶγμα ὁ οἶνος, ἀλλὰ ἡ μέθη· ἔτσι καὶ ὁ πλοῦτος δὲν εἶναι κακός, ἀλλὰ ἡ πλεονεξία καὶ ἡ φιλαργυρία εἶναι κακὸν πρᾶγμα. Ἄλλο φιλάργυρος καὶ ἄλλο πλούσιος· ὁ φιλάργυρος δὲν εἶναι πλούσιος, ὁ φιλάργυρος ἔχει ἀνάγκην ἀπὸ πολλά· αὐτὸς δὲ ποὺ ἔχει ἀνάγκην ἀπὸ πολλά, δὲν εἶναι δυνατὸν ποτὲ νὰ γίνῃ εὔπορος. Ὁ φιλάργυρος εἶναι φύλακας, ὄχι ἐξουσιαστὴς τῶν χρημάτων, εἶναι δοῦλος καὶ ὄχι κύριος αὐτῶν· διότι εὐκολώτερα ἠμπορεῖ νὰ δώσῃ ἕνα κομμάτι ἀπὸ τὰς σάρκας του, παρὰ μέρος τῶν χρημάτων ποὺ ἔχει κρύψει μέσα εἰς μίαν τρύπαν τῆς γῆς. Καὶ ὡσὰν νὰ τὸν ἔχῃ κανεὶς διατάξει νὰ μὴ ἀκουμπήσῃ ἐπάνω εἰς αὐτὰ ποὺ φυλάσσονται, ἔτσι τὰ φυλάσσει μὲ μεγάλην προσοχὴν καὶ τὰ διατηρεῖ καὶ τὰ κατέχει μένων μακρυὰ ἀπὸ τὰ ἰδικά του, ὡσὰν νὰ εἶναι ξένα. Καὶ πράγματι εἶναι ξένα· ἀφοῦ δὲν θὰ ἐδέχετο νὰ πάρῃ ἀπ' αὐτὰ καὶ νὰ δώσῃ εἰς ἄλλους, οὔτε εἰς ἐκείνους ποὺ ἔχουν ἀνάγκην, ἔστω καὶ ἂν ὑποστῇ ἀναριθμήτους τιμωρίας, πῶς θὰ ἠμποροῦσε νὰ νομίζῃ ὅτι αὐτὰ εἶναι ἰδικά του; Πῶς δὲ ἠμπορεῖ νὰ ἔχῃ τὴν κυριότητα ἐπ' αὐτῶν, ἀφοῦ δὲν ἔχει τὴν ἄφοβον χρῆσιν, οὔτε τὴν ἀπόλαυσιν αὐτῶν;

Ἐπὶ πλέον δὲ δὲν συνηθίζει ὁ Παῦλος νὰ ἀπαιτῇ τὴν ἀκριβῆ συμμόρφωσιν πρὸς τὰς ἐντολάς του, ἀλλὰ εἶναι συγκαταβατικὸς εἰς τὰς ἀδυναμίας τῶν ἀκροατῶν του, ὅπως ἀ-

πλουσίῳ προσελθόντι, καὶ περὶ τῆς ζωῆς αὐτῷ διαλεγομένῳ οὐκ εἶπεν, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, ἀλλ' ἀφεὶς τοῦτο περὶ ἑτέρων αὐτῷ ἐντολῶν διελέγετο· εἶτα ἐπειδὴ ἐκεῖνος αὐτὸν προεκαλέσατο, καί φησιν· «Τί ἔτι μοι λείπει;» οὐδὲ τότε ἁπλῶς εἶπε, πώλησόν σου τὰ ὑπάρχοντα, ἀλλ' «Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα»· ἐπὶ τῇ σῇ τίθημι γνώμῃ, σὲ κύριον ποιῶ τῆς προαιρέσεως, οὐκ εἰς ἀνάγκην ἄγω. Διὰ τοῦτο καὶ Παῦλος οὐδὲν περὶ πενίας τοῖς πλουτοῦσι διελέγετο, ἀλλὰ περὶ ταπεινοφροσύνης, διά τε τὴν ἀσθένειαν τῶν ἀκουόντων, καὶ τὸ σφόδρα εἰδέναι, ὅτι τὸ μετριάζειν, καὶ ἀπονοίας ἀπηλλάχθαι ποιήσει ταχέως αὐτοὺς καὶ τῆς περὶ τοῦ πλουτεῖν ἀπαλλαγῆναι σπουδῆς. Εἶτα παραινέσας μὴ ὑψηλοφρονεῖν ἐδίδαξε καὶ τὸν τρόπον, καθ' ὃν δυνήσονται μὴ ὑψηλοφρονεῖν. Τίς δὲ οὗτός ἐστιν; Εἰ τοῦ πλούτου τὴν φύσιν καταμάθοιεν, ὡς ἄδηλός τίς ἐστι καὶ ἄπιστος, διὰ τοῦτο ἐπήγαγε, «Μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι».

Πλούσιός ἐστιν οὐχ ὁ πολλὰ κεκτημένος, ἀλλ' ὁ πολλὰ διδούς· πλούσιος ἦν ὁ Ἀβραάμ, ἀλλ' οὐ φιλάργυρος· οὐ γὰρ περιεσκόπει τὴν τοῦ δεῖνος οἰκίαν, οὐδὲ περιεργάζετο τὴν τοῦ δεῖνος οὐσίαν· ἀλλ' ἐξιὼν περιεσκόπει μή που ξένος, μή που πένης, ὥστε διορθῶσαι τὴν πενίαν, ὥστε ὑποδέξασθαι τὸν ὁδίτην. Οὐ χρυσῷ τὸν ὄροφον ἤλειφεν, ἀλλὰ παρὰ τὴν δρῦν ἐκείνην τὴν καλύβην πηξάμενος, τῇ τῶν φύλλων ἠρκεῖτο σκιᾷ· καὶ οὕτω λαμπρὸν ἦν αὐτῷ τὸ καταγώγιον, ὡς μὴ ἀγγέλους ἐπαισχυνθῆναι τὴν παρ' ἐκείνῳ μονήν· οὐ γὰρ λαμπρότητα οἰκίας ἐπεζήτουν, ἀλλὰ ψυχῆς ἀρετήν. Τοῦτον δὴ καὶ ἡμεῖς μιμησώμεθα, ἀγαπητοί, καὶ τὰ ὄντα εἰς

---

14. Ματθ. 19, 21.
15. Α' Τιμ. 6, 17.

κριβῶς ἔκαμε καὶ ὁ Χριστός. Διότι ὅταν ὁ πλούσιος ἐκεῖνος τὸν ἐπλησίασε καὶ συζήτησε μαζί του περὶ τῆς αἰωνίου ζωῆς, δὲν τοῦ εἶπε πήγαινε καὶ πώλησε τὴν περιουσίαν σου, ἀλλὰ παρέλειψεν αὐτὸ καὶ συζητοῦσε μαζί του δι' ἄλλην ἐντολήν. Κατόπιν ἐπειδὴ ἐκεῖνος τὸν προκάλεσε διὰ τῆς ἐρωτήσεως καὶ εἶπε, «Τί μοῦ λείπει ἀκόμη;», οὔτε τότε δὲν εἶπε πώλησε τὴν περιουσίαν σου, ἀλλὰ «ἐὰν θέλῃς νὰ εἶσαι τέλειος πήγαινε πώλησε τὴν περιουσίαν σου»[14]· τὸ ἀφήνω εἰς τὴν κρίσιν σου καὶ σὲ κάνω κύριον τῆς θελήσεώς σου, δὲν σοῦ τὸ ἐπιβάλλω ἀναγκαστικῶς. Διὰ τοῦτο καὶ ὁ Παῦλος δὲν ἔκαμε καθόλου λόγον περὶ πενίας εἰς τοὺς πλουσίους, ἀλλὰ περὶ ταπεινοφροσύνης, διὰ τὴν ἀδυναμίαν τῶν ἀκροατῶν καὶ διότι ἐγνώριζε καλῶς ὅτι ἡ ταπεινοφροσύνη θὰ τοὺς κάμῃ γρήγορα νὰ ἀπαλλαγοῦν καὶ ἀπὸ τὴν ὑπερηφάνειαν καὶ ἀπὸ τὴν ὁρμὴν πρὸς τὸν πλοῦτον. Ἔπειτα ἀφοῦ συνεβούλευσε νὰ μὴ ὑψηλοφρονοῦν ἐδίδαξε καὶ τὸν τρόπον μὲ τὸν ὁποῖον θὰ ἐπιτύχουν νὰ μὴ ὑψηλοφρονοῦν. Ποῖος δὲ εἶναι αὐτός; ἐὰν ἤθελον μάθει ὅτι ἡ φύσις τοῦ πλούτου εἶναι ἀβεβαία καὶ ἄπιστος, διὰ τοῦτο προσέθεσε, «μήτε νὰ ἐλπίζουν εἰς τὴν ἀβεβαιότητα τοῦ πλούτου»[15].

Πλούσιος εἶναι ὄχι ἐκεῖνος ποὺ ἔχει πολλά, ἀλλὰ ἐκεῖνος ποὺ δίδει πολλά. Πλούσιος ἦτο ὁ Ἀβραὰμ ὄχι ὅμως φιλάργυρος· διότι δὲν παρατηροῦσε τὴν οἰκίαν τοῦ τάδε, οὔτε ἐνδιεφέρετο νὰ ἐξετάσῃ καὶ νὰ μάθῃ τὴν περιουσίαν τοῦ ἄλλου· ἀλλὰ ἐξερχόμενος τῆς οἰκίας του ἔψαχνε μετὰ προσοχῆς νὰ εὕρῃ μήπως ὑπάρχει κάπου ξένος ἢ φτωχός, διὰ νὰ ἐξαλείψῃ τὴν πτωχείαν καὶ νὰ ὑποδεχθῇ τὸν ὁδοιπόρον. Δὲν ἤλειψε μὲ χρυσὸν τὴν ὀροφὴν τῆς κατοικίας του, ἀλλὰ ἀφοῦ ἔστησε τὴν καλύβην του κοντὰ εἰς τὴν δρῦν ἐκείνην, ἠρκεῖτο εἰς τὴν σκιὰν τῶν φύλλων· καὶ τόσον λαμπρὰ ἦτο ἡ κατοικία του αὐτὴ ὥστε οὔτε ἄγγελοι δὲν ἐντράπηκαν νὰ παραμείνουν εἰς αὐτήν· διότι δὲν ἐζητοῦσαν τὴν λαμπρότητα τῆς οἰκίας, ἀλλὰ τὴν ἀρετὴν τῆς ψυχῆς. Αὐτὸν λοιπὸν καὶ ἐμεῖς ἂς μιμηθοῦμεν, ἀγαπητοί, καὶ τὰ ὑπάρχοντά μας ἂς ἐξοδεύωμεν εἰς τοὺς ἔχοντας ἀνάγκην. Ἦτο ταπεινὸν τὸ

τοὺς δεομένους ἀναλίσκωμεν. Ἐσχεδιασμένον ἦν ἐκεῖνο τὸ καταγώγιον, ἀλλὰ τῶν βασιλικῶν αὐλῶν λαμπρότερον ἦν.

Βασιλεὺς οὐδεὶς οὐδέποτε ἀγγέλους ὑπεδέξατο, ὁ δὲ ὑπὸ τὴν δρῦν καθήμενος ἐκείνην, καὶ καλύβην πηξάμενος ἠξιώθη τῆς τιμῆς ταύτης, οὐ διὰ τὴν εὐτέλειαν τῆς οἰκίας τιμηθείς, ἀλλὰ διὰ τὴν πολυτέλειαν τῆς ψυχῆς, καὶ τὸν ἐναποκείμενον πλοῦτον αὐτῇ ταύτης ἀπολαύσας τῆς δωρεᾶς. Καὶ ἡμεῖς τοίνυν, μὴ τὰς οἰκίας καλλωπίζωμεν, ἀλλὰ πρὸ τῆς οἰκίας τὴν ψυχὴν τὴν ἡμετέραν· πῶς γὰρ οὐκ αἰσχρὸν μαρμάροις μὲν περιβάλλειν τοὺς τοίχους εἰκῇ καὶ μάτην, τὸν δὲ Χριστὸν γυμνὸν περιερχόμενον περιορᾶν.

Τί σοι τῆς οἰκίας ὄφελος, ἄνθρωπε; Μὴ γὰρ λαβὼν αὐτὴν ἀπελεύσῃ; Τὴν δὲ ψυχὴν ἀπελεύσῃ πάντως λαβών. Ἰδοὺ τοιοῦτος κίνδυνος κατέλαβε νῦν· παραστήτωσαν ἡμῖν αἱ οἰκίαι, λυσάτωσαν ἡμῖν τὸν ἐπηρτημένον κίνδυνον· ἀλλ' οὐ δυνήσονται. Καὶ μάρτυρες ὑμεῖς οἱ καταλιμπάνοντες αὐτὰς ἐρήμους, καὶ πρὸς τὴν ἐρημίαν ἀποπηδῶντες, καθάπερ παγίδας καὶ δίκτυα δεδοικότες. Βοηθείτω τὰ χρήματα νῦν· ἀλλ' οὐκ ἔχει καιρόν. Εἰ δὲ ἔνθα ἀνθρώπου ὀργή, χρημάτων ἐλέγχεται δύναμις, πολλῷ μᾶλλον ἐπὶ τοῦ θείου καὶ ἀδεκάστου δικαστηρίου τοῦτο γενήσεται. Εἰ ἄνθρωπός ἐστιν ὁ παροξυνόμενος καὶ ἀγανακτῶν, καὶ οὐδὲν ἡμᾶς τὸ χρυσίον ὠφελεῖ νῦν, πολλῷ μᾶλλον ὀργιζομένου τοῦ Θεοῦ τοῦ μὴ δεομένου χρημάτων, ἀσθενήσει πάντως τοῦ χρυσίου ἡ δύναμις.

Οἰκίας οἰκοδομούμεθα, ἵνα οἰκῶμεν, οὐχ ἵνα φιλοτιμώμεθα. Τὸ μεῖζον τῆς χρείας, περιττὸν τῆς χρείας ἐστὶ καὶ ἄχρηστον. Ὑπόδησαι ὑπόδημα τοῦ ποδὸς μεῖζον· ἀλλ' οὐκ ἀνέξῃ· ἐμποδίζει γάρ σοι πρὸς τὴν βάδισιν. Οὕτω καὶ οἰκία μείζων τῆς χρείας ἐμποδίζει πρὸς τὴν εἰς οὐρανοὺς ἀποδημίαν.

κατάλυμα ἐκεῖνο τοῦ Ἀβραάμ, ὅμως ἦτο λαμπρότερον ἀπὸ βασιλικὰ ἀνάκτορα.

Κανεὶς βασιλεὺς δὲν ὑπεδέχθη ποτὲ ἀγγέλους, αὐτὸς ὅμως ποὺ ἐκάθητο κάτω ἀπὸ τὴν δρῦν ἐκείνην καὶ ἔστησε ἐκεῖ τὴν καλύβην του, ἠξιώθη αὐτῆς τῆς τιμῆς, ὄχι διότι ἐτιμήθη διὰ τὴν πενιχρότητα τῆς οἰκίας του, ἀλλὰ διὰ τὴν πολυτέλειαν τῆς ψυχῆς του καὶ διὰ τὸν πλοῦτον τῶν ἀρετῶν ποὺ εἶχε μέσα της. Καὶ ἐμεῖς λοιπόν, ἂς μὴ καλλωπίζωμεν τὰς οἰκίας μας, ἀλλὰ περισσότερον ἀπὸ αὐτὰς τὴν ψυχήν μας· διότι πῶς δὲν εἶναι ἄσχημον πρᾶγμα νὰ ἐνδύωμεν μὲ μάρμαρα τοὺς τοίχους τῶν οἰκεῶν μας, χωρὶς νὰ ὑπάρχῃ λόγος, τὸν Χριστὸν δὲ νὰ βλέπωμεν νὰ περιέρχεται γυμνός;

Τί σὲ ὠφελεῖ ἡ οἰκία ἄνθρωπε; Μήπως θὰ τὴν πάρῃς μαζί σου ὅταν ἀποθάνῃς; Τήν ψυχήν σου ὁπωσδήποτε θὰ τὴν πάρῃς ὅταν ἀποθάνῃς. Ἰδοὺ πόσον μεγάλον κίνδυνον διατρέχομεν τώρα· ἂς μᾶς βοηθήσουν τὰ σπίτια, ἂς μᾶς ἀπαλλάξουν ἀπὸ τὸν κίνδυνον τοῦτον, ποὺ κρέμαται ἐπὶ τῶν κεφαλῶν μας· ὅμως τίποτε δὲν ἠμποροῦν νὰ κάμουν. Ἀπόδειξις τούτου εἶσθε σεῖς ποὺ τὰ ἀφήνετε ἔρημα καὶ τρέχετε εἰς τὰς ἐρήμους· διότι τὰ φοβεῖσθε ὅπως τὰς παγίδας καὶ τὰ δίκτυα. Ἂς βοηθήσουν τώρα τὰ χρήματα· ἀλλὰ δὲν εἶναι εἰς θέσιν. Ἐὰν δέ, προκειμένου περὶ ἀνθρωπίνης ὀργῆς, εἶναι ἀνίσχυρα καὶ παράσχουν βοήθειαν, πολὺ περισσότερον τοῦτο θὰ γίνῃ εἰς τὸ θεῖον καὶ ἀδέκαστον δικαστήριον. Ἐὰν εἶναι ἄνθρωπος ὁ ἐρεθιζόμενος καὶ ἐπειδὴ ἀγανακτεῖ, καθόλου δὲν μᾶς ὠφελοῦν εἰς αὐτὴν τὴν περίστασιν τὰ χρήματα, πολὺ περισσότερον ὅταν ὀργίζεται ὁ Θεὸς ποὺ δὲν ἔχει ἀνάγκην χρημάτων, δὲν θὰ μᾶς βοηθήσουν καθόλου τὰ χρήματα.

Κτίζομεν οἰκίας διὰ νὰ κατοικοῦμεν εἰς αὐτὰς καὶ ὄχι διὰ νὰ ἐπιδεικνυώμεθα. Ὅ,τι εἶναι μεγαλύτερον ἀπὸ τὴν ἱκανοποίησιν τῶν ἀναγκῶν μας, εἶναι περιττὸν καὶ ἄχρηστον. Φόρεσε ὑποδήματα μεγαλύτερα ἀπὸ τὰ πόδια σου· ὅμως δὲν θὰ τὰ ἀνεχθῇς· διότι σὲ ἐμποδίζουν εἰς τὸ βάδισμα. Ἔτσι καὶ ἡ οἰκία ποὺ εἶναι μεγαλυτέρα ἀπὸ ὅ,τι σοῦ χρειάζεται, ἐμποδίζει τὸ βάδισμα πρὸς τὸν οὐρανόν.

Βούλει λαμπρὰς καὶ μεγάλας οἰκοδομεῖν οἰκίας· οὐ κωλύω, ἀλλὰ μὴ ἐπὶ γῆς· οἰκοδόμησον σκηνὰς ἐν οὐρανοῖς, ἵνα καὶ ἑτέρους ὑποδέξασθαι δυνηθῇς, σκηνὰς οὐδέποτε καταλυομένας. Τί μέμηνας περὶ τὰ φεύγοντα, καὶ τὰ ἐνθάδε μένοντα; Οὐδὲν σφαλερώτερον πλούτου, σήμερον μετὰ σοῦ, καὶ αὔριον κατὰ σοῦ, τοὺς τῶν βασκάνων ὀφθαλμοὺς ὁπλίζει πάντοθεν· πολέμιός ἐστιν ὁμόσκηνος, ἐχθρὸς σύνοικος· καὶ μάρτυρες ὑμεῖς οἱ κεκτημένοι, οἱ παντὶ τρόπῳ κατορύττοντες αὐτὸν καὶ ἀποκρύπτοντες· ἐπεὶ καὶ νῦν τὸν κίνδυνον ἀφορητότερον ἡμῖν ὁ πλοῦτος ποιεῖ. Ὁρᾷς γοῦν τοὺς μὲν πένητας εὐζώνους καὶ ἀπολελυμένους, καὶ πρὸς ἅπαντα παρεσκευασμένους· τοὺς δὲ πλουσίους πολλὴν ἔχοντας δυσκολίαν, καὶ περιιόντας, καὶ ζητοῦντας ποῦ τὸ χρυσίον κατορύξωσι, ζητοῦντας τίνι κατάθοιντο. Τί ζητεῖς, ἄνθρωπε, τοὺς ὁμοδούλους; Ἕστηκεν ὁ Χριστὸς ἕτοιμος ὑποδέξασθαι, καὶ τηρῆσαί σοι τὰς παρακαταθήκας, οὐχὶ τηρῆσαι δὲ μόνον, ἀλλὰ καὶ πλεονάσαι, καὶ μετὰ πολλῆς ἀποδοῦναι τῆς προσθήκης· ἐκ τῆς ἐκείνου χειρὸς οὐδεὶς ἁρπάζει. Οὐ τηρεῖ δὲ μόνον τὰς παρακαταθήκας, ἀλλὰ καὶ ὑπὲρ αὐτοῦ τούτου λύει σοι τοὺς κινδύνους. Ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων οἱ δεξάμενοι τὰς παρακαταθήκας χάριν ἡμῖν δεδωκέναι νομίζουσι, φυλάττοντες ἅπερ ἔλαβον· ἐπὶ δὲ τοῦ Χριστοῦ τοὐναντίον· οὐ γὰρ δεδωκέναι χάριν, ἀλλ' εἰληφέναι χάριν, ὅταν δέξηταί σου τὰς παρακαταθήκας, φησίν, καὶ ὑπὲρ τῆς φυλακῆς αὐτῆς, ἣν περὶ τὰ χρήματα ἐπιδείκνυται τὰ σά, οὐκ ἀπαιτεῖ σε μισθόν, ἀλλὰ δίδωσί σοι μισθόν.

6. Ἆρα τίνος ἂν εἴημεν ἀπολογίας ἄξιοι; Τίνος δὲ συγγνώμης, ὅταν παρατρέχοντες τὸν καὶ φυλάξαι δυνάμενον, καὶ χάριν ὑπὲρ τῆς φυλακῆς εἰδότα, καὶ μισθοὺς ἀπορρήτους καὶ μεγάλους ἀποδιδόντα ἀντὶ τῆς φυλακῆς ταύτης, τοῖς κατὰ τὴν

Θέλεις νὰ οἰκοδομῇς μεγάλας καὶ λαμπρὰς οἰκίας· δὲν σὲ ἐμποδίζω, ἀλλὰ ὄχι εἰς τὴν γῆν· κτίσε οἰκίας εἰς τοὺς οὐρανούς, διὰ νὰ ἠμπορέσῃς νὰ ὑποδεχθῇς καὶ ἄλλους εἰς αὐτάς, οἰκίας ποὺ δὲν καταστρέφονται. Διατί ἔχεις τὴν μανίαν νὰ ἐπιδιώκῃς ὅσα φεύγουν καὶ μένουν ἐδῶ; Τίποτε δὲν εἶναι περισσότερον σφαλερὸν ἀπὸ τὸν πλοῦτον, σήμερον εἶναι μαζί σου, καὶ αὔριον ἐναντίον σου, καὶ συντελεῖ ὥστε τὰ φθονερὰ μάτια νὰ εἶναι παντοῦ ἐναντίον σου· εἶναι ἐχθρὸς ποὺ κατοικεῖ πάντοτε μαζί σου καὶ σὲ συντροφεύει παντοῦ· καὶ μάρτυρες εἶσθε σεῖς ποὺ τὸν ἔχετε, καὶ ποὺ μὲ κάθε τρόπον τὸν κρύπτετε καὶ τὸν χώνετε εἰς τὴν γῆν· διότι καὶ τώρα τὸν κίνδυνον ποὺ ἔχομεν, τὸν κάμει πιὸ ἀφόρητον ὁ πλοῦτος. Βλέπεις λοιπὸν ὅτι οἱ μὲν πτωχοὶ εἶναι ἐλεύθεροι ὡς εὔζωνοι, καὶ προητοιμασμένοι δι' ὅλα· οἱ δὲ πλούσιοι νὰ εἶναι εἰς μεγάλην δυσκολίαν, νὰ γυρίζουν ἐδῶ καὶ ἐκεῖ, καὶ νὰ ζητοῦν ποῦ νὰ χώσουν τὰ χρήματα, ἢ ἄνθρωπον διὰ νὰ τὰ καταθέσουν πρὸς φύλαξιν. Διατί ζητᾷς ἄνθρωπε, νὰ εὕρῃς ἄνθρωπον ὅπως εἶσαι ἐσύ; Ὁ Χριστὸς εἶναι ἕτοιμος νὰ σὲ ὑποδεχθῇ, καὶ νὰ σοῦ φυλάξῃ ὅ,τι θὰ τοῦ ἐμπιστευθῇς, καὶ ὄχι μόνον νὰ φυλάξῃ, ἀλλὰ καὶ νὰ τὰ πολλαπλασιάσῃ καὶ νὰ σοῦ ἐπιστρέψῃ περισσότερα ἀπ' ὅσα ἔλαβεν· ἀπὸ τὰ χέρια τοῦ Χριστοῦ κανεὶς δὲν ἁρπάζει. Ἐπὶ πλέον δὲ μὲ τὴν φύλαξιν σὲ ἀπαλλάσσει καὶ ἀπὸ τοὺς κινδύνους. Διότι οἱ μὲν ἄνθρωποι, αὐτοὶ ποὺ ἔλαβον τὰς παρακαταθήκας, νομίζουν ὅτι μᾶς προσφέρουν ὑπηρεσίαν, φυλάσσοντες ἐκεῖνα ποὺ ἔλαβον· εἰς δὲ τὸν Χριστὸν συμβαίνει τὸ ἀντίθετον· ὅταν δέχεται τὰς παρακαταθήκας σου, δὲν σοῦ προσφέρει, λέγει, ὑπηρεσίαν, ἀλλὰ τοῦ προσφέρεις, καὶ διὰ τὴν φύλαξιν δὲν σοῦ ζητεῖ μισθόν, ὅπως οἱ ἄνθρωποι, ἀλλὰ σοῦ δίδει μισθόν.

6. Ποίας λοιπὸν ἀπολογίας θὰ εἴμεθα ἄξιοι; Ποίας συγγνώμης, ὅταν παραβλέποντες ἐκεῖνον ποὺ ἠμπορεῖ καὶ νὰ τὰ φυλάξῃ καλά, καὶ νὰ μᾶς ἀναγνωρίσῃ διὰ τὴν φύλαξιν χάριν, καὶ μισθοὺς μεγάλους καὶ ἀκατανοήτους νὰ μᾶς δώσῃ, εἰς τοὺς ἀνθρώπους, ποὺ εἶναι ἀνίσχυροι πρὸς φύλαξιν

φυλακὴν ἀσθενοῦσιν ἀνθρώποις, καὶ χάριν ἡμῖν διδόναι νομίζουσι, καὶ μόνα αὐτὰ τὰ διδόμενα ἀποδιδόασιν ὕστερον, ἐκείνοις τὰ ἡμέτερα ἐγχειρίζωμεν; Ξένος εἶ καὶ παρεπίδημος τῶν ἐνταῦθα· πατρίδα ἔχεις ἐν οὐρανοῖς· πάντα ἐκεῖ μετάθες, ἵνα καὶ πρὸ τῆς ἀπολαύσεως ἐνταῦθα ἀπολαύσῃς τῆς ἀμοιβῆς. Ὁ γὰρ χρησταῖς συντρεφόμενος ἐλπίσι, καὶ περὶ τῶν μελλόντων θαρρῶν, ἐντεῦθεν ἤδη τῆς βασιλείας ἐγεύσατο. Οὐδὲν γὰρ οὕτω ψυχὴν εἴωθεν ἀνακτᾶσθαι καὶ ἀμείνω ποιεῖν, ὡς ἡ χρηστὴ τῶν μελλόντων ἐλπίς, ἐὰν ἐκεῖ μεταθῇς τὸν πλοῦτον, καὶ τῆς ψυχῆς ἐπιμελήσῃ τῆς σεαυτοῦ μετὰ σχολῆς τῆς προσηκούσης. Οἱ μὲν γὰρ ἅπασαν τὴν σπουδὴν εἰς τὸν καλλωπισμὸν κενοῦντες τῆς ἑαυτῶν οἰκίας ἐν τοῖς ἔξω πλουτοῦντες, ἀμελοῦσι τῶν ἔνδον, ἔρημον καὶ αὐχμῶσαν, καὶ ἀραχνίων γέμουσαν περιορῶντες τὴν ἑαυτῶν ψυχήν. Ἂν δὲ τῶν ἔξωθεν ἀμελήσαντες εἰς τὴν ἑαυτῶν διάνοιαν τὴν προθυμίαν καταναλώσωσιν ἅπασαν, πανταχόθεν αὐτὴν καλλωπίζοντες, καταγώγιον ἔσται τῷ Χριστῷ τῶν τοιούτων ἀνθρώπων ἡ ψυχή. Τοῦ δὲ τὸν Χριστὸν ἔχοντος ἔνοικον, τί γένοιτ' ἂν μακαριώτερον πώποτε;

Βούλει πλουτεῖν; Ἔχε φίλον τὸν Θεόν, καὶ πάντων εὐπορώτερος ἔσῃ. Βούλει πλουτεῖν; Μὴ μέγα φρόνει· τοῦτο οὐ πρὸς τὰ μέλλοντα, ἀλλὰ καὶ πρὸς τὰ παρόντα ἐπιτήδειον· οὐδὲν γὰρ οὕτως ἐπίφθονον, ὡς ἄνθρωπος πλουτῶν. Ὅταν δὲ καὶ ἀπόνοια προσῇ, διπλοῦς ὁ κρημνὸς γίνεται, χαλεπώτερος παρὰ πάντων ὁ πόλεμος. Ἂν δὲ μετριάζειν εἰδῇς, ὑποτέμνεις τῇ ταπεινοφροσύνῃ τῆς βασκανίας τὴν τυραννίδα, καὶ μετὰ ἀσφαλείας ἔχεις ἅπερ ἂν ἔχῃς. Τοιαύτη γὰρ τῆς ἀρετῆς ἡ φύσις, οὐ πρὸς τὰ μέλλοντα ἡμᾶς ὠφελεῖ μόνον, ἀλλὰ καὶ ἐντεῦθεν ἤδη δίδωσι τὰς ἀμοιβάς. Μὴ τοίνυν μέγα φρονῶμεν ἐπὶ τῷ

καὶ νομίζουν ὅτι μᾶς προσφέρουν ἐκδούλευσιν, καὶ ἐπιστρέφουν μόνον ὅσα ἔλαβον, νὰ ἀναθέτωμεν τὴν φύλαξιν τῶν ὑπαρχόντων μας; Εἶσαι ξένος καὶ προσωρινὸς ἐδῶ· πατρίδα ἔχεις εἰς τοὺς οὐρανούς· μετάφερε ὅλα ἐκεῖ διὰ νὰ ἀμειφθῇς καὶ ἐδῶ, προτοῦ ἀπολαύσῃς αὐτήν. Διότι ἐκεῖνος ποὺ τρέφεται μὲ καλὰς ἐλπίδας καὶ ἔχει πεποίθησιν διὰ τὰ μέλλοντα ἀγαθά, ἤδη ἀπὸ ἐδῶ ἔχει ἀπολαύσει τὴν βασιλείαν τῶν οὐρανῶν. Διότι τίποτε δὲν συντελεῖ τόσον εἰς τὸ νὰ διορθώνῃ καὶ ὠφελῇ τὴν ψυχήν, ὅσον τὸ νὰ ἔχῃ κανεὶς καλὰς ἐλπίδας διὰ τὴν μέλλουσαν ζωήν, καὶ θὰ ἔχῃ, ἐὰν μεταθέσῃ ἐκεῖ τὸν πλοῦτον καὶ φροντίσῃ διὰ τὴν ψυχήν του μὲ τὴν ἁρμόζουσαν ἡσυχίαν καὶ ἄνεσιν. Διότι αὐτοὶ ποὺ ἐξοδεύουν ὅλην τὴν φροντίδα καὶ δραστηριότητα εἰς τὸν καλλωπισμὸν τῆς οἰκίας των, ἐπειδὴ ἀσχολοῦνται μὲ τὸν ἐξωτερικὸν πλοῦτον, παραμελοῦν τὸν ἐσωτερικὸν καὶ ἀφήνουν τὴν ψυχήν των νὰ εἶναι ὡς τόπος ἔρημος καὶ ξηρὸς καὶ σπίτι γεμᾶτον ἀράχνας. Ὅταν ὅμως, παραμελήσαντες τὸν ἐξωτερικὸν πλοῦτον, ἀφιερωθοῦν μὲ ὅλην τὴν ὄρεξίν των εἰς τὸν ἐσωτερικὸν πλοῦτον, καλλωπίζοντες τὴν ψυχήν των, τότε θὰ γίνῃ κατοικία τοῦ Χριστοῦ ἡ ψυχὴ τῶν τοιούτων ἀνθρώπων. Ὅταν δὲ κανεὶς ἔχῃ ἐντός του τὸν Χριστόν, τί ἠμπορεῖ νὰ γίνῃ ποτὲ μακαριώτερον τούτου;

Θέλεις νὰ γίνῃς πλούσιος; Ἔχε φίλον τὸν Θεὸν καὶ θὰ εἶσαι πλουσιώτερος ὅλων. Θέλεις νὰ γίνῃς πλούσιος; Μὴ ὑψηλοφρονῇς· τοῦτο (ἡ ταπεινοφροσύνη) ὄχι μόνον διὰ τὴν μέλλουσαν ζωήν, ἀλλὰ καὶ διὰ τὴν παροῦσαν εἶναι ὠφέλιμον· διότι τίποτε δὲν προσελκύει τόσον τὸν φθόνον τῶν ἀνθρώπων, ὅσον ὁ πλούσιος ἄνθρωπος. Ὅταν δὲ αὐτὸς εἶναι καὶ ὑπερήφανος, τότε εὑρίσκεται εἰς διπλοῦν κρημνὸν καὶ εἰς φοβερώτερον πόλεμον. Ἂν ὅμως γνωρίζῃς νὰ ταπεινοφρονῇς, ἐξαφανίζεις διὰ τῆς ταπεινοφροσύνης τὴν δύναμιν τοῦ φθόνου καὶ ἔχεις μὲ ἀσφάλειαν αὐτὰ ποὺ ἔχεις. Διότι τέτοια εἶναι ἡ φύσις τῆς ἀρετῆς, δὲν μᾶς ὠφελεῖ μόνον διὰ τὴν μέλλουσαν ζωήν, ἀλλὰ καὶ ἀπὸ ἐδῶ ἀκόμη δίδει τὰς ἀμοιβάς. Ἂς μὴ ὑπερηφανευώμεθα διὰ τὸν πλοῦτον, οὔτε

πλούτῳ, ἀλλὰ μηδὲ ἐφ' ἑτέρῳ μηδενί. Εἰ γὰρ ἐπὶ τοῖς πνευματικοῖς ὁ μέγα φρονῶν οἴχεται καὶ ἀπόλωλε, πολλῷ μᾶλλον ἐπὶ τοῖς σαρκικοῖς. Ἐννοήσωμεν ἡμῶν τὴν φύσιν, ἀναλογισώμεθα ἡμῶν τὰ ἁμαρτήματα, μάθωμεν τίνες ἐσμέν, καὶ ἀρκεῖ τοῦτο εἰς πάσης ταπεινοφροσύνης ἡμῖν ὑπόθεσιν. Μή μοι λέγε, ὅτι τόσων καὶ τόσων ἐτῶν προσόδους ἀποκειμένας ἔχω χρυσίου τάλαντα μυρία κέρδη καθ' ἑκάστην προσγινόμενα τὴν ἡμέραν· ὅσα ἂν εἴπῃς, πάντα εἰκῇ καὶ μάτην ἐρεῖς. Πολλάκις ἐν ὥρᾳ μιᾷ, καὶ βραχείᾳ καιροῦ ῥοπῇ, καθάπερ ἀνέμου προσπεσόντος ἄνωθεν κόνις εὐρίπιστος, οὕτω ταῦτα πάντα ἐκφυσᾶται τῆς οἰκίας. Καὶ τούτων πλήρης μὲν ὁ βίος ἡμῖν τῶν παραδειγμάτων, πλήρεις δὲ αἱ Γραφαὶ τῶν διδαγμάτων. Ὁ σήμερον πλούσιος αὔριον πένης. Διὸ καὶ πολλάκις ἐγέλασα διαθήκας ἀναγινώσκων λεγούσας, ὁ δεῖνα μὲν ἐχέτω τὴν δεσποτείαν τῶν ἀγρῶν, ἢ τῆς οἰκίας, τὴν δὲ χρῆσιν ἄλλος· πάντες γὰρ τὴν χρῆσιν ἔχομεν, δεσποτείαν δὲ οὐδείς. Κἂν γὰρ παρὰ πᾶσαν ἡμῖν τὴν ζωὴν παραμένῃ μηδεμίαν μεταβολὴν ὁ πλοῦτος δεχόμενος, καὶ ἑκόντες καὶ ἄκοντες ἐν τῇ τελευτῇ παραχωρήσομεν ἑτέροις, τὴν χρῆσιν αὐτοῦ καρπωσάμενοι μόνον, τῆς δεσποτείας δὲ γυμνοὶ καὶ ἔρημοι πρὸς ἐκείνην ἀποδημοῦντες τὴν ζωήν. Ὅθεν δῆλον, ὅτι ἐκεῖνοι μόνοι τὴν δεσποτείαν ἔχουσιν, οἱ καὶ τῆς χρήσεως αὐτοῦ καταφρονήσαντες, καὶ τῆς ἀπολαύσεως καταγελάσαντες.

Ὁ γὰρ τὰ ὄντα ῥίψας, καὶ τοῖς πένησιν αὐτὰ διδούς, ἐχρήσατό τε εἰς δέον τοῖς οὖσι, καὶ τὴν δεσποτείαν αὐτῶν ἔχων ἀπῆλθεν, οὐδὲ ἐν αὐτῷ τῷ θανάτῳ τῆς κτήσεως ἐκπίπτων ἐκείνης, ἀλλ' ἐν ἐκείνῳ πάντα ἀπολαμβάνων τῷ καιρῷ, καὶ πολλῷ πλείονα ἐκείνων, ὅταν αὐτῶν μάλιστα δέηται τῆς προστασίας ἐν τῇ τῆς κρίσεως ἡμέρᾳ, καὶ ὅταν τῶν πεπραγμένων τὰς εὐθύνας ἀπαιτώμεθα πάντες· ὥστε εἴ τις

καὶ διὰ τίποτε ἄλλο. Διότι, ἂν ἐκεῖνος ποὺ ὑπερηφανεύεται διὰ τὴν πρόοδόν του εἰς τὰ πνευματικά, γίνεται ἄφαντος καὶ καταστρέφεται, πολὺ περισσότερον καταστρέφεται ὅποιος ὑπερηφανεύεται διὰ τὰ ὑλικὰ πράγματα. Ἂς μάθωμεν καλὰ τὴν φύσιν μας, ἂς ἀναλογισθοῦμεν τὰ ἁμαρτήματά μας, ἂς μάθωμεν ποῖοι εἴμεθα καὶ εἶναι ἀρκετὸν τοῦτο, διὰ νὰ μᾶς κάμῃ τελείους εἰς τὴν ταπεινοφροσύνην. Μὴ μοῦ λέγῃς ὅτι τόσων καὶ τόσων ἐτῶν εἰσοδήματα ἔχω εἰς τὰς ἀποθήκας μου, ὅτι κατέχω ἀναρίθμητα τάλαντα χρυσοῦ καὶ κέρδη ποὺ μοῦ ἔρχονται κάθε ἡμέραν· ὅσα καὶ ἂν εἴπῃς, ὅλα τὰ λέγεις ματαίως. Πολλὲς φορὲς εἰς μίαν ὥραν καὶ εἰς σύντομον μεταβολὴν τῶν περιστάσεων, ὅπως ἡ εὐκολοκίνητος σκόνη τὴν ὁποίαν παίρνει ὁ ἄνεμος ὅταν φυσᾷ, ἔτσι καὶ ὅλα αὐτὰ ἐξαφανίζονται ἀπὸ τὸ σπίτι. Καὶ τέτοια παραδείγματα εἶναι γεμᾶτος ὁ βίος μας, καὶ αἱ Γραφαὶ εἶναι γεμᾶτοι ἀπὸ αὐτὰ τὰ διδάγματα. Ὁ πλούσιος σήμερα εἶναι πτωχὸς αὔριον. Δι' αὐτὸ πολλὰς φορὰς ἐγέλασα, ὅταν ἐδιάβαζα διαθήκας ποὺ ἔλεγαν, ὁ δεῖνα νὰ ἔχῃ τὴν κυριότητα τῶν ἀγρῶν ἢ τῆς οἰκίας, τὴν δὲ χρῆσιν ἄλλος· διότι ὅλοι ἔχομεν τὴν ἐπικαρπίαν τὴν δὲ κυριότητα κανείς. Διότι καὶ ἂν ἀκόμη ὑποθέσωμεν ὅτι ὁ πλοῦτος θὰ εἶναι μαζί μας ἀμείωτος, καθ' ὅλην τὴν ζωήν μας, εἴτε θέλοντες εἴτε μὴ θέλοντες κατὰ τὸν θάνατόν μας, θὰ τὸν παραχωρήσωμεν εἰς ἄλλους ἔχοντες ὡς κέρδος μόνον τὴν ἐπικαρπίαν καὶ φεύγοντες ἀπὸ τὸν κόσμον γυμνοὶ καὶ ἔρημοι ἀπὸ τὴν κυριότητα αὐτοῦ. Εἶναι φανερὸν ἐκ τούτου, ὅτι ἐκεῖνοι μόνον ἔχουν τὴν κυριότητα οἱ ὁποῖοι περιεφρόνησαν τὴν χρῆσιν καὶ ἀπόλαυσιν αὐτοῦ.

Διότι ἐκεῖνος ποὺ ἐχωρίσθη ἀπὸ τὰ ὑπάρχοντά του, καὶ τὰ ἔδωκεν εἰς τοὺς πτωχούς, ἔκαμε καλὴν χρῆσιν αὐτῶν καὶ ἔφυγε εἰς τὴν ἄλλην ζωὴν ἔχων τὴν κυριότητα αὐτῶν καὶ μετὰ τὸν θάνατον εἰς τὴν ἄλλην ζωήν, ἐκεῖ θὰ λάβῃ πίσω ὅλα ὅσα ἔδωκεν ἐδῶ καὶ περισσότερα ἀκόμη, διότι θὰ ἔχῃ ἀνάγκην τῆς προστασίας αὐτῶν κατὰ τὴν ἡμέραν τῆς κρίσεως, κατὰ τὴν ὁποίαν θὰ ζητοῦνται ἀπὸ ὅλους μας εὐθῦναι διὰ τὰ ἔργα μας· ὥστε ἂν κανεὶς θέλῃ νὰ ἔχῃ καὶ τὴν κτῆ-

ἂν θέλοι καὶ τὴν κτῆσιν αὐτῶν καὶ τὴν χρῆσιν ἔχειν καὶ τὴν δεσποτείαν, ἀπαλλαττέσθω τῶν ὄντων ἁπάντων· ὡς ὅ γε μὴ τοῦτο ποιῶν, τῇ τελευτῇ μὲν αὐτῶν ἀποστήσεται πάντως, πολλάκις δὲ καὶ πρὸ τῆς τελευτῆς μετὰ κινδύνων καὶ μυρίων αὐτὰ ἀποβάλλει κακῶν.

Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ὅτι μεταβολὴ γίνεται ἀθρόως, ἀλλ' ὅτι καὶ ἀμελέτητος πρὸς τὴν τῆς πενίας ὑπομονὴν ὁ πλούσιος ἔρχεται· ἀλλ' οὐχ ὁ πένης τοιοῦτος· οὐ γὰρ χρυσίῳ καὶ ἀργυρίῳ τεθάρρηκεν ἀψύχοις ὕλαις, ἀλλὰ τῷ Θεῷ τῷ παρέχοντι πάντα πλουσίως· ὥστε ὁ πλούσιος ἐν ἀδήλῳ μᾶλλον ἕστηκεν ἢ ὁ πένης, πυκνὰς καὶ ἐπαλλήλους δεχόμενος τὰς μεταβολάς. Τί δέ ἐστι «τῷ παρέχοντι ἡμῖν τὰ πάντα πλουσίως εἰς ἀπόλαυσιν»;

Πάντα μετὰ δαψιλείας δίδωσιν ὁ Θεός, τὰ πολλῷ τῶν χρημάτων ἀναγκαιότερα, οἷον τὸν ἀέρα, τὸ ὕδωρ, τὸ πῦρ, τὸν ἥλιον, ἅπαντα τὰ τοιαῦτα. Οὐκ ἔστιν εἰπεῖν ὅτι πλείονος ἀπολαύει τῆς ἀκτῖνος ὁ πλούσιος, ἐλάττονος δὲ ὁ πένης· οὐκ ἔστιν εἰπεῖν, ὅτι δαψιλέστερον ἀέρα ἀναπνέει τοῦ πένητος ὁ πλουτῶν· ἀλλὰ πάντα ἴσα καὶ κοινὰ πρόκειται.

Τίνος οὖν ἕνεκεν τὰ μὲν μείζονα, καὶ ἀναγκαιότερα, καὶ τὴν ζωὴν ἡμῶν συνέχοντα, κοινὰ πεποίηκεν ὁ Θεός, τὰ δὲ ἐλάττονα καὶ εὐτελέστερα οὐκ ἔστι κοινά, τὰ χρήματα λέγω; τίνος ἕνεκεν; Ἵνα συγκροτῆται ἡμῶν ἡ ζωή, καὶ ἀρετῆς ἔχωμεν σκάμματα. Εἰ μὲν γὰρ μὴ ἦν τὰ ἀναγκαῖα ταῦτα κοινά, ἴσως ἂν οἱ πλουτοῦντες τῇ εἰωθυίᾳ κεχρημένοι πλεονεξίᾳ τοὺς πενομένους ἀπέπνιξαν ἄν. Εἰ γὰρ ἐπὶ τῶν χρημάτων τοῦτο ποιοῦσι, πολλῷ μᾶλλον ἐπ' ἐκείνων τοῦτο ἂν ἐποίησαν· πάλιν εἰ καὶ τὰ χρήματα ἦν κοινά, καὶ πᾶσιν ὁμοίως προύκειτο, ἐλεημοσύνης ἀνῄρητο πρόφασις, καὶ φιλοφροσύνης ἀφορμή.

7. Ἵνα οὖν ἀδεῶς ζῶμεν, κοινὰ γέγονεν ἡμῖν τὰ τῆς ζω-

16. Α' Τιμ. 6, 17.

σιν καὶ τὴν χρῆσιν καὶ τὴν κυριότητα τῶν ὑπαρχόντων αὐτοῦ, ἃς ἀπαλλάσσεται τώρα ἀπὸ ὅλα αὐτά· διότι ἂν δὲν κάμῃ αὐτό, κατὰ τὸν θάνατόν του θὰ ἀποχωρισθῇ ὁπωσδήποτε ἀπ' αὐτά, πολλάκις δὲ καὶ πρὸ τοῦ θανάτου χάνει αὐτὰ μὲ πολλοὺς κινδύνους καὶ ἀναρίθμητα κακά.

Καὶ δὲν εἶναι μόνον αὐτὸ τὸ κακόν, ὅτι δηλαδὴ γίνεται ἀπροσδόκητος μεταβολὴ ἀμέσως, ἀλλὰ καὶ ὅτι εἶναι ἀπροετοίμαστος νὰ ὑπομείνῃ τὴν πτωχείαν ὁ πλούσιος· αὐτὸ δὲν συμβαίνει εἰς τὸν πτωχόν· διότι δὲν στηρίζει τὰς ἐλπίδας του εἰς τὸν χρυσὸν καὶ τὸν ἄργυρον, ποὺ εἶναι ἄψυχα ὑλικά, ἀλλὰ εἰς τὸν Θεὸν ὁ ὁποῖος παρέχει ὅλα πλούσια· ὥστε ὁ πλούσιος εἶναι περισσότερον ἀβέβαιος διὰ τὸ μέλλον παρὰ ὁ πτωχός, διότι ἐκεῖνος δέχεται πυκνὰς καὶ ἀλληλοδιαδόχους μεταβολάς. Τί σημαίνει τὸ «ὁ ὁποῖος μᾶς παρέχει πλούσια καὶ ἄφθονα ὅλα διὰ νὰ τὰ ἀπολαμβάνωμεν»;[16]

Ὅλα μὲ ἀφθονίαν τὰ δίδει ὁ Θεὸς ὅσα εἶναι ἀναγκαιότερα ἀπὸ τὰ χρήματα, ὅπως τὸν ἀέρα, τὸ νερό, τὴ φωτιάν, τὸν ἥλιον, καὶ ὅλα τὰ τοιαῦτα. Δὲν εἶναι δυνατὸν νὰ εἰπῇ κανεὶς ὅτι ὁ πλούσιος ἀπολαμβάνει περισσότερον φῶς, ὀλιγώτερον δὲ ὁ πτωχός· δὲν ἠμπορεῖ νὰ εἰπῇ κανεὶς ὅτι περισσότερον ἀέρα ἀπὸ τὸν πτωχὸν ἀναπνέει ὁ πλούσιος, ἀλλὰ ὅλα ἴσα καὶ κοινὰ εἶναι εἰς τὴν διάθεσιν ὅλων.

Διὰ ποῖον λοιπὸν λόγον αὐτὰ ποὺ εἶναι σπουδαιότερα καὶ περισσότερον ἀπαραίτητα διὰ τὴν ζωὴν τὰ ἔκαμε κοινὰ ὁ Θεός, τὰ δὲ ὄχι τόσον σπουδαῖα καὶ μικρᾶς ἀξίας δὲν τὰ ἔκαμε κοινά, δηλαδὴ τὰ χρήματα; Διὰ νὰ ἠμποροῦμεν νὰ ζήσωμεν καὶ νὰ ἔχωμεν στάδιον ἀρετῆς. Διότι ἂν τὰ ἀναγκαῖα διὰ τὴν ζωὴν δὲν ἦσαν κοινά, ἴσως οἱ πλούσιοι, συνηθισμένοι ὅπως εἶναι εἰς τὴν πλεονεξίαν νὰ ἔπνιγαν τοὺς πτωχοὺς δι' αὐτά. Ἐὰν τοῦτο τὸ κάνουν διὰ τὰ χρήματα, πολὺ περισσότερον θὰ ἔκαμαν αὐτὸ δι' ἐκεῖνα· ἐὰν πάλιν καὶ τὰ χρήματα ἦσαν κοινὰ καὶ δι' ὅλους τὸ ἴδιον, δὲν θὰ ὑπῆρχε λόγος ἐλεημοσύνης καὶ ἀφορμὴ ἐκδηλώσεως φιλικῶν αἰσθημάτων.

7. Διὰ νὰ ζῶμεν λοιπὸν χωρὶς φόβον ἔχουν γίνει κοινὰ

ἧς αἴτια· πάλιν ἵνα ἔχωμεν στεφάνων καὶ εὐδοκιμήσεων ἀφορμήν, οὐ κοινὰ γέγονε τὰ χρήματα, ἵνα πλεονεξίαν μισοῦντες, καὶ δικαιοσύνην διώκοντες, τὰ ὄντα τοῖς δεομένοις προϊέμενοι, παραμυθίαν τινὰ διὰ τῆς μεθόδου ταύτης τῶν οἰκείων λαμβάνωμεν ἁμαρτημάτων. Πλούσιόν σε ἐποίησεν ὁ Θεός, τί σαυτὸν ποιεῖς πένητα; Πλούσιόν σε ἐποίησεν, ἵνα τοῖς δεομένοις βοηθῇς, ἵνα τὰ ἁμαρτήματα λύσῃς τὰ σαυτοῦ διὰ τῆς εἰς ἑτέρους δαψιλείας· δέδωκέ σοι χρήματα, οὐχ ἵνα κατακλείσῃς ἐπ᾽ ὀλέθρῳ τῷ σῷ, ἀλλ᾽ ἵνα ἐκχέῃς ἐπὶ σωτηρίᾳ τῇ σῇ. Διὰ τοῦτο καὶ τὴν κτῆσιν αὐτῶν ἄδηλον ἐποίησε καὶ οὐ μόνιμον, ἵνα καὶ ἐν τούτῳ τῆς περὶ αὐτὰ μανίας καταλύσῃ τὸν τόνον. Εἰ γὰρ νῦν οὐκ ἔχοντες θαρρεῖν οἱ κεκτημένοι περὶ αὐτῶν, ἀλλὰ καὶ πολλὰς ὁρῶντες ἐκ τοῦ πράγματος τικτομένας ἐπιβουλάς, οὕτως ἐκκαίονται περὶ τὸν ἐκείνων πόθον, εἰ καὶ τοῦτο προσῆν τῷ πλούτῳ τὸ βέβαιον καὶ ἀδιάπτωτον, τίνος ἂν ἐφείσατο; τίνος ἂν ἀπέσχοντο; ποίας χήρας, ποίων ὀρφανῶν, ποίων πενήτων;

Μὴ τοίνυν μέγα νομίζωμεν ἀγαθὸν εἶναι πλοῦτον· μέγα γὰρ ἀγαθόν, οὐ τὸ κεκτῆσθαι χρήματα, ἀλλὰ τὸ κεκτῆσθαι φόβον Θεοῦ καὶ εὐλάβειαν. Ἰδοὺ νῦν εἴ τις δίκαιος ἦν καὶ παρρησίαν πολλὴν ἔχων πρὸς τὸν Θεόν, κἂν εἰ πάντων ἀνθρώπων πενέστερος ἦν, ἤρκει λῦσαι τὰ παρόντα δεινά· ἤρκει γὰρ μόνον τὰς χεῖρας ἐκτεῖναι εἰς τὸν οὐρανόν, καὶ καλέσαι τὸν Θεόν, καὶ τὸ νέφος τοῦτο παρῆλθεν ἄν. Χρυσίον δὲ τοσοῦτον ἀπόκειται, καὶ πηλοῦ παντός ἐστιν ἀχρηστότερον πρὸς τὴν λύσιν τῶν ἐπικειμένων κακῶν. Οὐκ ἐν τούτῳ δὲ τῷ κινδύνῳ μόνον, ἀλλὰ κἂν νόσος καταλάβῃ, κἂν θάνατος, κἂν ἄλλο τι τῶν τοιούτων, ἐλέγχεται τῶν χρημά-

τὰ ἀπαραίτητα διὰ τὴν ζωήν· διὰ νὰ ἔχωμεν πάλιν ἀφορμὴν ἀμοιβῶν καὶ πνευματικῶν εὐδοκιμήσεων δὲν ἔγιναν κοινὰ τὰ χρήματα, διὰ νὰ μισοῦμεν τὴν πλεονεξίαν καὶ νὰ ἐπιδιώκωμεν τὴν δικαιοσύνην καὶ νὰ βοηθοῦμεν αὐτοὺς ποὺ ἔχουν ἀνάγκην καὶ διὰ τοῦ τρόπου αὐτοῦ νὰ εὑρίσκωμεν κάποιαν παρηγορίαν διὰ τὰ ἁμαρτήματά μας. Σὲ ἔκαμε πλούσιον ὁ Θεός, ἐσὺ διατί κάμεις τὸν ἑαυτόν σου πτωχόν; Σὲ ἔκαμε πλούσιον διὰ νὰ βοηθᾷς ὅσους ἔχουν ἀνάγκην, διὰ νὰ ἐξαλείψῃς τὰ ἁμαρτήματά σου διὰ τῆς πλουσίας παροχῆς εἰς τοὺς ἄλλους· σοῦ ἔχει δώσει χρήματα ὄχι διὰ νὰ τὰ κλειδώσῃς διὰ καταστροφήν σου, ἀλλὰ διὰ νὰ τὰ σκορπίσῃς πρὸς σωτηρίαν σου. Διὰ τοῦτο καὶ τὴν κυριότητά των τὴν ἔκαμεν ἀβεβαίαν καὶ ὄχι μόνιμον, ὥστε ἕνεκα τούτου νὰ παύσῃ ἡ ἔντονος μανία δι' αὐτά. Διότι ἂν τώρα, ὅσοι ἔχουν τὰ χρήματα, καίτοι δὲν εἶναι βέβαιοι ὅτι θὰ εἶναι διὰ παντὸς κύριοι αὐτῶν, διότι βλέπουν ὅτι ἀπ' αὐτὰ προέρχονται πολλαὶ ἐπιβουλαί, ἐν τούτοις κατακαίονται ἀπὸ τὸν πόθον αὐτῶν, τί μέσα δὲν θὰ μετεχειρίζοντο διὰ νὰ τὰ ἀποκτήσουν, ἐὰν εἶχον τὸ γνώρισμα τῆς μονιμότητος καὶ σταθερότητος; Ἀπὸ τί δὲν θὰ ἀπεμακρύνοντο; ἀπὸ ποίαν χήραν, ἀπὸ ποῖα ὀρφανά, ἀπὸ ποίους πτωχούς;

Ἂς μὴ θεωροῦμεν λοιπὸν ὅτι ὁ πλοῦτος εἶναι μεγάλο ἀγαθόν· μεγάλο ἀγαθὸν εἶναι πράγματι ὄχι τὸ νὰ ἔχῃ κανεὶς χρήματα, ἀλλὰ τὸ νὰ ἔχῃ φόβον καὶ εὐλάβειαν Θεοῦ. Νὰ τώρα ἐὰν ἦτο κάποιος δίκαιος καὶ εἶχε παρρησίαν πρὸς τὸν Θεόν, ἀκόμη καὶ ἂν ἦτο πτωχότερος ὅλων τῶν ἀνθρώπων, θὰ ἠμποροῦσε νὰ μᾶς ἀπαλλάξῃ ἀπὸ τὰς παρούσας συμφοράς· διότι ἦτο ἀρκετὸν νὰ ὑψώσῃ τὰ χέρια εἰς τὸν οὐρανὸν καὶ νὰ παρακαλέσῃ τὸν Θεὸν καὶ νὰ περάσῃ αὐτὸ τὸ σύννεφον τοῦ κακοῦ. Χρυσὸς ὑπάρχει πολὺς εἰς τὰ ταμεῖα, ἐν τούτοις εἶναι πιὸ ἄχρηστος ἀπὸ κάθε λάσπην καὶ ἀνίσχυρος νὰ μᾶς ἀπαλλάξῃ ἀπὸ τὰ ἐπικείμενα κακά. Καὶ δὲν συμβαίνει μόνον εἰς αὐτὸν τὸν κίνδυνον τοῦτο, ἀλλὰ εἴτε ἀσθένεια μᾶς καταλάβῃ, εἴτε θάνατος, εἴτε ἄλλο ἀπὸ αὐτά, ἀποδεικνύεται ἡ δύναμις τῶν χρημάτων ἀνίσχυρος καὶ δὲν ἠμπορεῖ νὰ δείξῃ

των ἡ δύναμις ἀπορουμένη, καὶ μηδεμίαν ἔχουσα παραμυθίαν τοῖς συμβαίνουσιν οἴκοθεν ἐπιδείξασθαι. Ἕν ἐστιν ὃ δοκεῖ τῆς πενίας πλεονεκτεῖν ὁ πλοῦτος, τὸ τρυφᾶν καθ' ἡμέραν, καὶ πολλῆς ἐμφορεῖσθαι ἐν τοῖς συμποσίοις τῆς ἡδονῆς. Τοῦτο μέν τοι καὶ ἐπὶ τῆς τῶν πενήτων τραπέζης συμβαῖνόν ἐστιν ἰδεῖν, καὶ μείζονος τούτους ἀπολαύοντας ἡδονῆς τῶν πλουτούντων ἁπάντων. Καὶ μὴ θαυμάσητε, μηδὲ παράδοξον εἶναι νομίσητε τὸ λεγόμενον· ἐγὼ γὰρ ἐξ αὐτῆς ὑμῖν τοῦτο τῆς τῶν πραγμάτων ἀποδείξεως ποιήσω δῆλον.

Ἴστε γὰρ δήπου τοῦτο καὶ συνομολογεῖτε πάντες, ὅτι τὴν ἡδονὴν ἐν ταῖς ἑστιάσεσιν οὐχ ἡ φύσις τῶν ἐδεσμάτων, ἀλλ' ἡ διάθεσις τῶν ἑστιωμένων ποιεῖν εἴωθεν· οἷόν τι λέγω· μετὰ τοῦ πεινῆν τις ἁπτόμενος τραπέζης, παντὸς ὄψου καὶ ἡδύσματος καὶ μυρίων καρυκευμάτων ἥδιον ἅψεται τῆς τροφῆς, κἂν ἁπάντων εὐτελεστέρα ᾖ. Ὁ δὲ μὴ τὴν χρείαν ἀναμένων, μηδὲ ὑπομένων πεινῆσαι πρῶτον, ὅπερ οἱ πλουτοῦντες ποιοῦσι, καὶ τότε ἐπὶ τὴν τράπεζαν ἐλθεῖν, κἂν πλακοῦντας εὕρῃ κειμένους, οὐκ αἰσθήσεται τῆς ἡδονῆς, τῆς ὀρέξεως αὐτῷ μὴ διεγηγερμένης. Καὶ ἵνα μάθῃς, ὅτι τοῦτο τοῦτον ἔχει τὸν τρόπον, μάρτυρες μὲν καὶ ὑμεῖς πάντες· ἀκούσωμεν δὲ καὶ τῆς Γραφῆς αὐτὸ τοῦτο λεγούσης· «Ψυχὴ γὰρ ἐμπεπλησμένη», φησί, «κηρίοις ἐμπαίζει, ψυχῇ δὲ ἐνδεεῖ καὶ τὰ πικρὰ γλυκύτερα φαίνεται». Καίτοι τί κηρίου καὶ μέλιτος γλυκύτερον γένοιτ' ἄν; Ἀλλ' οὐκ ἔστιν ἡδὺ τῷ μὴ πεινῶντι, φησί. Τί δὲ τῶν πικρῶν ἀηδέστερον; Ἀλλ' ἔστι γλυκεῖα τοῖς ἐν ἐνδείᾳ καθεστηκόσιν. Ὅτι δὲ οἱ πένητες μετὰ τῆς χρείας καὶ τοῦ πεινῆν ἐπὶ τὸ πρᾶγμα ἔρχονται, οἱ δὲ πλουτοῦντες οὐκ ἀναμένουσι τοῦτο, παντί που δῆλόν ἐστιν. Ὅθεν οὐδὲ γνησίαν καὶ εἰλικρινῆ καρποῦνται τὴν ἡδονήν.

Οὐκ ἐπὶ τῶν ἐδεσμάτων δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ποτῶν τοῦτο αὐτὸ συμβαῖνον ἴδοι τις ἄν. Καὶ ὥσπερ ἐκεῖ τὸ πεινῆν πρὸ τῆς τῶν ἐδεσμάτων φύσεως ἡδονὴν ἐργάζεται·

17. Παροιμ. 27, 7.

καμμίαν παρηγορίαν ἀπὸ τὸν ἑαυτόν της δι᾽ ὅσα γίνονται. Εἰς ἕνα σημεῖον ὑπερτερεῖ ὁ πλοῦτος τῆς πτωχείας, καὶ τοῦτο εἶναι ἡ καθημερινὴ καλοπέρασις καὶ ἡ εὐχαρίστησις ποὺ αἰσθάνεται κανεὶς ἀπὸ τὰ δεῖπνα. Αὐτὸ ἠμπορεῖς νὰ τὸ ἴδῃς ὅτι συμβαίνει καὶ εἰς τὰ τραπέζια τῶν πτωχῶν, καὶ ὅτι αὐτοὶ ἀπολαμβάνουν μεγαλυτέραν εὐχαρίστησιν ἀπὸ ὅλους τοὺς πλουσίους. Καὶ μὴ θαυμάσετε οὔτε νὰ θεωρήσετε αὐτὸ ποὺ εἶπα ὡς παράξενον· διότι θὰ σᾶς τὸ ἀποδείξω ἀπὸ αὐτὰ τὰ ἴδια τὰ πράγματα.

Γνωρίζετε βέβαια ὅλοι καὶ συμφωνεῖτε μαζί μου, ὅτι τὴν εὐχαρίστησιν εἰς τὰ τραπέζια δὲν τὴν δίδει συνήθως ἡ φύσις τῶν φαγητῶν, ἀλλὰ ἡ ὄρεξις τῶν συνδαιτυμόνων· αὐτὸ θέλω νὰ εἰπῶ· ὅταν κανεὶς καθήσῃ εἰς τὸ τραπέζι μὲ πεινασμένους, θὰ τοῦ φανῇ νοστιμότερον ἀπὸ κάθε προσφάγι καὶ γλύκισμα καὶ ἀναρίθμητα ὀρεκτικά, ἔστω καὶ ἂν τὸ φαγητὸν εἶναι τὸ πιὸ λιτόν, ἐκεῖνος ὅμως ποὺ δὲν ἀναμένει νὰ αἰσθανθῇ τὴν ἀνάγκην τοῦ φαγητοῦ, καὶ δὲν περιμένει νὰ πεινάσῃ πρῶτα, ὅπως κάνουν οἱ πλούσιοι, καὶ μετὰ νὰ καθίσῃ εἰς τὸ τραπέζι νὰ φάῃ, αὐτὸς ἔστω καὶ ἂν τοῦ ἔχουν ἕτοιμα τὰ καλύτερα φαγητά, δὲν θὰ αἰσθανθῇ καμμίαν εὐχαρίστησιν, διότι δὲν ἔχει ὄρεξιν. Καὶ διὰ νὰ μάθῃς ὅτι αὐτὸ ἔτσι εἶναι καὶ ὅτι ὅλοι σεῖς τὸ γνωρίζετε ἂς ἀκούσουμεν νὰ λέγῃ τοῦτο καὶ ἡ Γραφὴ διὰ τῶν ἑξῆς: «ἡ ψυχὴ ποὺ εἶναι χορτασμένη περιφρονεῖ τὸ μέλι, εἰς τὴν πεινασμένην δὲ ψυχὴν καὶ τὰ πικρὰ φαίνονται γλυκά»[17]. Καὶ ὅμως τί ἠμπορεῖ νὰ γίνῃ γλυκύτερον ἀπὸ τὸ μέλι; Ἐν τούτοις ὅμως δὲν φαίνεται γλυκό, λέγει, εἰς ἐκεῖνον ποὺ δὲν πεινάει. Τί εἶναι ἀηδέστερον ἀπὸ τὰ πικρά; καὶ ὅμως φαίνονται γλυκὰ εἰς τοὺς εὑρισκομένους εἰς ἔνδειαν. Ὅτι δὲ οἱ πτωχοὶ τρώγουν ὅταν τοὺς ἀναγκάσῃ ἡ πεῖνα, οἱ δὲ πλούσιοι δὲν ἀναμένουν αὐτὴν εἰς κάθε ἕναν εἶναι γνωστόν. Ὡς ἐκ τούτου δὲν ἀπολαμβάνουν καὶ καθαρὰν εὐχαρίστησιν ἀπὸ τὰ φαγητά.

Δὲν συμβαίνει αὐτὸ μόνον εἰς τὰ φαγητὰ ἀλλὰ καὶ εἰς τὰ ποτὰ ἠμπορεῖ νὰ τὸ ἰδῇ κανείς. Καὶ ὅπως εἰς τὰ φαγητὰ ἡ πεῖνα, καὶ ὄχι τὰ φαγητά, προξενεῖ τὴν εὐχαρίστησιν, ἔτσι

οὕτω καὶ ἐνταῦθα τὸ διψῆν ἥδιστον ποιεῖν εἴωθε τὸ ποτόν, κἂν ὕδωρ ᾖ τὸ πινόμενον μόνον. Καὶ τοῦτο αὐτὸ ὁ προφήτης ἐμφαίνων ἔλεγεν, «Ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς». Καίτοι τοῦτ᾽ οὐδαμοῦ τῆς Γραφῆς ἀνέγνωμεν, ὅτι μέλι ἐκ πέτρας ἐξήγαγεν ὁ Μωσῆς, ἀλλὰ πανταχοῦ ποταμούς, καὶ ὕδατα, καὶ ψυχρὰ νάματα. Τί ποτ᾽ οὖν τὸ λεγόμενον; οὐδὲ γὰρ ψεύδεται ἡ Γραφή· ἐπειδὴ γὰρ διψῶντες καὶ καταπονούμενοι τῇ ἐνδείᾳ ψυχροτέροις προσέπιπτον τοῖς νάμασι, τὴν ἡδονὴν τὴν ἐκ τοῦ ποτοῦ παραστῆσαι βουλόμενος, μέλι τὸ ὕδωρ ἐκάλεσεν, οὐχ ὡς τῆς φύσεως μεταβληθείσης εἰς μέλι, ἀλλ᾽ ὡς τῆς διαθέσεως μέλιτος ἡδίω ποιούσης ἐκεῖνα τὰ νάματα. Ἔμαθες πῶς καὶ ποτὸν ἡδὺ ποιεῖν εἴωθεν ἡ τῶν διψώντων διάθεσις; Πολλοὶ γοῦν πολλάκις πένητες κάμνοντες καὶ ταλαιπωρηθέντες καὶ τῷ δίψει καταφλεγέντες μετὰ τῆς εἰρημένης ἡδονῆς τῶν τοιούτων μετέσχον ναμάτων· οἱ δὲ πλουτοῦντες οἶνον ἡδύν, καὶ ἀνθοσμίαν, καὶ πᾶσαν ἀρετὴν ἔχοντα τὴν ἐν οἴνῳ λαμβάνοντες, οὐκ ᾔσθοντο τῆς αὐτῆς εὐφροσύνης.

8. Τοῦτο καὶ ἐπὶ τοῦ ὕπνου γινόμενον ἴδοι τις ἄν. Οὐ γὰρ ἁπαλὴ στρωμνή, οὐδὲ ἀργυρένδετος κλίνη, οὐδὲ ἡσυχία κατὰ τὸ δωμάτιον γινομένη, οὐδὲ ἄλλο τῶν τοιούτων οὐδὲν τὸν ὕπνον γλυκὺν καὶ προσηνῆ ποιεῖν εἴωθεν, ὡς τὸ πονεῖσθαι καὶ κάμνειν καὶ δεομένους ὕπνου σφόδρα καὶ νυστάζοντας κατακλίνεσθαι· καὶ τοῦτο αὐτὸ μαρτυρεῖ μὲν καὶ ἡ τῶν πραγμάτων πεῖρα, μαρτυρεῖ δὲ καὶ πρὸ τῆς τῶν πραγμάτων πείρας καὶ ἡ τῶν Γραφῶν ἀπόφασις. Ὁ γὰρ τῇ τρυφῇ συναναστραφεὶς Σολομὼν αὐτὸ τοῦτο δηλῶσαι βουλόμενος ἔλεγεν, «Ἡδὺς ὕπνος τῷ δούλῳ, ἄν τε ὀλίγον, ἄν τε πολὺ φάγῃ». Τίνος ἕνεκεν προσέθηκεν, «ἄν τε ὀλίγον, ἄν τε πολὺ φάγῃ»; Ἀμφότερα ταῦτα ἀγρυπνίαν ἐμποιεῖν εἴωθεν, ἔνδεια καὶ ἀδηφαγία· ἡ μὲν τὸ πνεῦμα ξηραίνουσα, καὶ κερατοποιοῦσα τὰ βλέφαρα, καὶ οὐκ ἀφιεῖσα καταστέλλεσθαι· ἡ δὲ τὸ πνεῦμα στενοχωροῦσα, καὶ ἀποθλίβουσα, καὶ πολλὰς παρέχουσα

18. Ψαλμ. 80, 17.
19. Ἐκκλ. 5, 11.

καὶ ἐδῶ ἡ δίψα συνήθως κάνει πολὺ εὐχάριστον τὸ ποτόν, ἀκόμα καὶ ἂν αὐτὸ ποὺ πίνεται εἶναι νερό. Καὶ αὐτὸ τὸ ἴδιο θέλων νὰ δείξῃ ὁ προφήτης ἔλεγεν· «ἐχόρτασεν αὐτοὺς μὲ μέλι ποὺ ἐξῆλθεν ἀπὸ βράχον»[18]. Καίτοι πουθενὰ εἰς τὴν Γραφὴν δὲν ἀνεγνώσαμεν ὅτι ὁ Μωυσῆς ἔβγαλε μέλι ἀπὸ τὸν βράχον, ἀλλὰ παντοῦ ποταμοὺς καὶ κρύα νερά. Τί σημαίνουν λοιπὸν αὐτὰ ποὺ ἐλέχθησαν; Διότι βέβαια δὲν ψεύδεται ἡ Γραφή· ἐπειδὴ οἱ Ἰσραηλῖται διψασμένοι καὶ βασανισμένοι ἀπὸ τὰς στερήσεις, ἔπεσαν μὲ ὁρμὴν νὰ πιοῦν νερὸ κρύο, θέλων νὰ παραστήσῃ τὴν εὐχαρίστησιν ποὺ ᾐσθάνοντο ἀπὸ τὸ γεγονὸς αὐτό, ὠνόμασε τὸ νερὸ μέλι, ὄχι ἐπειδὴ ἡ φύσις τοῦ νεροῦ μετεβλήθη εἰς μέλι, ἀλλὰ διότι ἡ ὄρεξις αὐτῶν τὸ ἔκανε γλυκύτερον ἀπὸ τὸ μέλι. Ἀντελήφθης πῶς ἡ διάθεσις τῶν διψασμένων συνηθίζει νὰ κάμῃ εὐχάριστον τὸ ποτόν; Πολλὲς φορὲς πολλοὶ πτωχοὶ εὑρισκόμενοι εἰς ἀσθενείας καὶ ταλαιπωρίας καὶ φλεγόμενοι ἀπὸ τὴν δίψαν, μὲ τὴν εὐχαρίστησιν ποὺ εἴπομεν, πίνουν τὸ νερό· οἱ δὲ πλούσιοι ἂν καὶ πίνουν κρασὶ γλυκὸ καὶ μυρωδάτον, δὲν αἰσθάνονται τὴν ἰδίαν μὲ ἐκείνους εὐχαρίστησιν.

8. Αὐτὸ καὶ ἐπὶ τοῦ ὕπνου ἠμπορεῖ νὰ τὸ ἰδῇ κανεὶς νὰ συμβαίνῃ. Διότι δὲν κάμνει τὸν ὕπνον τόσον γλυκὸν καὶ εὐχάριστον τὸ μαλακὸν στρῶμα, οὔτε τὸ στολισμένον μὲ ἀσημένια κοσμήματα κρεββάτι, οὔτε ἡ ἡσυχία τοῦ δωματίου, οὔτε τίποτε ἄλλο ἀπὸ αὐτά, ὅσον ἡ κούρασις, ὁ κόπος, τὸ νὰ αἰσθανώμεθα τὴν ἀνάγκην τοῦ ὕπνου καὶ ὅταν νυστάζωμεν νὰ κατακλινώμεθα· καὶ αὐτὸ τὸ φανερώνει ἡ πεῖρα τῶν πραγμάτων, καὶ πρὶν ἀπὸ τὴν πεῖραν τὸ μαρτυρεῖ καὶ ἡ βεβαίωσις τῶν Γραφῶν. Ὁ Σολομὼν ποὺ ἔζησε μὲ πολυτέλειαν, θέλων νὰ βεβαιώσῃ τοῦτο ἔλεγεν· «Εἶναι γλυκὺς ὁ ὕπνος τοῦ δούλου εἴτε φάγῃ ὀλίγον, εἴτε πολύ»[19]. Διατί προσέθεσεν εἴτε φάγῃ ὀλίγον, εἴτε πολύ; Καὶ τὰ δύο αὐτὰ προκαλοῦν ἀϋπνίαν συνήθως, ἡ ἀνεπαρκὴς τροφὴ δηλαδὴ καὶ ἡ πολυφαγία· διότι ἡ μὲν πρώτη ξηραίνει τὸ σῶμα καὶ σκληρύνει τὰ βλέφαρα καὶ δὲν τὰ ἀφήνει νὰ κλείσουν· ἡ δὲ δευτέρα διότι φέρει στενοχωρίαν καὶ δύσπνοιαν καὶ πολλὰ κακά. Ὁ-

τὰς ὀδύνας. Ἀλλ' ὅμως τοσαύτη ἐστὶν ἡ τῶν πόνων παραμυθία ὡς εἰ καὶ τὰ ἀμφότερα προσγένοιτο, δύνασθαι τὸν οἰκέτην καθεύδειν. Ἐπειδὴ γὰρ κατὰ τὴν ἡμέραν ἅπασαν πανταχοῦ περιτρέχουσι διακονούμενοι τοῖς αὐτῶν δεσπόταις, κοπιόμενοι, ταλαιπωρούμενοι, καὶ οὐδὲ μικρὸν ἀναπνέοντες, τῶν καμάτων ἐκείνων καὶ τῶν πόνων ἱκανὴν ἀπολαμβάνουσιν ἀμοιβὴν τὴν ἐν τῷ καθεύδειν ἡδονήν. Καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἔργον ἐγένετο, τῷ μὴ χρυσῷ καὶ ἀργύρῳ ὠνητὰς εἶναι τὰς ἡδονάς, ἀλλὰ πόνῳ, καὶ μόχθῳ, καὶ χρείᾳ, καὶ φιλοσοφίᾳ πάσῃ. Ἀλλ' οὐχ οἱ πλουτοῦντες οὕτως· ἀλλ' ἐπὶ τῶν στρωμάτων κείμενοι πολλάκις δι' ὅλης νυκτὸς ἀγρυπνοῦσι, καὶ πολλὰ μηχανώμενοι τοιαύτης οὐκ ἀπολαύουσιν ἡδονῆς. Ὁ δὲ πένης ἐκ τῶν καθημερινῶν ἀναστὰς πόνων κεκμηκότα ἔχων τὰ μέλη, πρὶν ἢ καταπεσεῖν ἀθρόον καὶ ἡδύν, καὶ γνήσιον τὸν ὕπνον ἐδέξατο, οὐ μικρὸν καὶ τοῦτο τῶν δικαίων πόνων λαμβάνων μισθόν.

Ὅταν οὖν μετὰ πλείονος ἡδονῆς ὁ πένης καθεύδῃ, καὶ πίνῃ, καὶ ἐσθίῃ, τίνος ἔσται λοιπὸν ὁ πλοῦτος ἄξιος, ὃ δοκεῖ κατὰ τῆς πενίας προτέρημα ἔχειν, καὶ τοῦτο ἀφῃρημένος; Διὰ τοῦτο καὶ ἐξ ἀρχῆς ὁ Θεὸς πόνον τῷ ἀνθρώπῳ συνέζευξεν, οὐχὶ τιμωρούμενος αὐτόν, οὐδὲ κολάζων, ἀλλὰ σωφρονίζων καὶ παιδεύων. Ὅτε ἄπονον βίον ἔζη ὁ Ἀδάμ, ἐξέπεσε τοῦ παραδείσου· ὅτε δὲ ἐπίπονον καὶ ἐπίμοχθον ὁ ἀπόστολος, καὶ ἔλεγεν, «Ἐν κόπῳ, καὶ μόχθῳ» «νύκτα καὶ ἡμέραν ἐργαζόμενος», τότε ἀπῆλθεν εἰς τὸν παράδεισον, καὶ εἰς τρίτον ἀνῆλθεν οὐρανόν.

Μὴ τοίνυν κακίζωμεν πόνον, μηδὲ κακίζωμεν ἐργασίαν· καὶ γὰρ πρὸ τῆς βασιλείας τῶν οὐρανῶν ἐντεῦθεν μεγίστην λαμβάνομεν ἀμοιβήν, τὴν ἐκ τοῦ πράγματος ἡδονὴν καρπούμενοι· οὐχ ἡδονὴν δὲ μόνον, ἀλλὰ καί, ὃ πολλῷ μεῖζόν

---

20. Β′ Κορ. 11, 27.
21. Α′ Θεσσ. 6, 9.

μως τόσην ἀνακούφισιν αἰσθάνεται ὁ δοῦλος ἀπὸ τοὺς κόπους ὅταν πέφτῃ νὰ κοιμηθῇ, ὥστε καὶ τὰ δύο αὐτὰ ἂν ὑπάρχουν, νὰ ἠμπορῇ νὰ κοιμηθῇ. Ἐπειδὴ ὅλην τὴν ἡμέραν τρέχουν ἐδῶ καὶ ἐκεῖ ὑπηρετοῦντες τοὺς κυρίους των, κουράζονται καὶ ταλαιπωροῦνται, ὥστε νὰ μὴ ἠμποροῦν νὰ ἀναπνεύσουν, καὶ διὰ τοὺς τόσους κόπους των ἀποζημιώνονται μὲ τὴν εὐχαρίστησιν καὶ ἀνακούφισιν ποὺ αἰσθάνονται εἰς τὸν ὕπνον. Καὶ αὐτὸ εἶναι ἔργον τῆς φιλανθρωπίας τοῦ Θεοῦ, διὰ νὰ μὴ ἀγοράζωνται αἱ εὐχαριστήσεις μὲ χρήματα, ἀλλὰ νὰ ἀποκτῶνται μὲ κόπους, μὲ μόχθον, μὲ ἀνάγκην, καὶ μὲ τὸν χριστιανικὸν τρόπον ζωῆς. Ἀλλὰ οἱ πλούσιοι δὲν ἔχουν αὐτὸ τὸ καλόν, διότι πολλὲς φορὲς ὅλην τὴν νύκτα μένουν ἄγρυπνοι εἰς τὸ κρεββάτι καὶ ἂν καὶ ἐπινοοῦν διάφορα μέσα διὰ νὰ κοιμηθοῦν δὲν κατορθώνουν νὰ ἀπολαύσουν τὴν γλυκύτητα ποὺ δίδει ὁ ὕπνος, ὁ πτωχὸς ὅμως μόλις τελειώσῃ τὴν καθημερινήν του ἐργασίαν ἐπειδὴ ἔχει κουρασμένα τὰ μέλη τοῦ σώματός του, προτοῦ ἀκόμη νὰ πέσῃ εἰς τὸ κρεββάτι μὲ μιᾶς πίπτει εἰς εὐχάριστον καὶ βαθὺν ὕπνον, καὶ παίρνει τοῦτο ὡς ἀμοιβὴν διὰ τοὺς δικαίους κόπους του.

Ὅταν λοιπὸν ὁ φτωχὸς πιὸ εὐχάριστα κοιμᾶται, πίνῃ καὶ τρώῃ, τί ἀξίζουν πλέον τὰ πλούτη, ἀφοῦ δὲν ἔχουν καὶ αὐτὸ ἀκόμη τὸ προσόν, κατὰ τὸ ὁποῖον φαίνονται ὅτι ὑπερέχουν τῆς πτωχείας; Διὰ τοῦτο ἀπὸ τὴν ἀρχὴν συνέδεσεν ὁ Θεὸς τὸν ἄνθρωπον μὲ τὸν κόπον, ὄχι διὰ νὰ τὸν τιμωρήσῃ καὶ νὰ τὸν βασανίσῃ, ἀλλὰ διὰ νὰ τὸν παιδαγωγῇ καὶ σωφρονίζῃ. Ὅταν ἐζοῦσε ζωὴν χωρὶς κόπους ὁ Ἀδάμ, ἔχασε τὸν παράδεισον· ὅταν δὲ ὁ ἀπόστολος ἐζοῦσε ζωὴν γεμάτην ἀπὸ κόπους καὶ ταλαιπωρίας καὶ ἔλεγε «περνῶ μὲ κόπον καὶ μόχθον»[20], «ἐργαζόμενος νύκτα καὶ ἡμέραν»[21], τότε ἐπῆγεν εἰς τὸν παράδεισον καὶ ἀνέβη εἰς τὸν τρίτον οὐρανόν.

Ἂς μὴ θεωροῦμεν λοιπὸν ὡς κακὸν πρᾶγμα τὸν κόπον καὶ οὔτε νὰ κακίζωμεν τὴν ἐργασίαν· καθόσον πρὶν ἀκόμη ἀπολαύσωμεν τὴν οὐράνιον βασιλείαν λαμβάνομεν ἀπὸ ἐδῶ ἐξ αἰτίας αὐτῆς μεγίστης ἀμοιβὴν καὶ εὐχαρίστησιν· καὶ ὄχι

ἐστιν ἡδονῆς, ὑγείαν καθαρωτάτην. Τοῖς μὲν γὰρ πλουτοῦσι μετὰ τῆς ἀηδίας πολλὰ καὶ τὰ νοσήματα ἐπιρρεῖ· οἱ δὲ πένητες τῶν ἰατρικῶν εἰσιν ἀπηλλαγμένοι χειρῶν· εἰ δέ που καὶ περιπέσοιεν ἀρρωστήματι, ταχέως ἑαυτοὺς ἀνεκτήσαντο, βλακείας ἁπάσης ἀπηλλαγμένοι, καὶ τὰ σώματα εὔρωστα ἔχοντες. Μέγα κτῆμα πενία τοῖς φιλοσόφως αὐτὴν φέρουσι, θησαυρὸς ἄσυλος, βακτηρία ἰσχυροτάτη, κτῆσις ἀνεπηρέαστος, καταγώγιον ἀνεπιβούλευτον. Ἀλλὰ πλεονεκτεῖται, φησίν, ὁ πένης· ἀλλ' ἐπιβουλεύεται μειζόνως ὁ πλούσιος· καταφρονεῖται ὁ πένης καὶ ὑβρίζεται· ἀλλὰ φρονεῖται ὁ εὔπορος.

Οὐχ οὕτως ἐστὶν εὐκαταγώνιστος ὁ πένης, ὡς ἔστιν εὐκαταγώνιστος ὁ πλούσιος, μυρίας πάντοθεν καὶ τῷ διαβόλῳ, καὶ τοῖς ἐπιβούλοις παρέχων λαβάς, καὶ πάντων ὢν δοῦλος διὰ τὴν πολλὴν τῶν πραγμάτων περιβολήν· ὁ πολλῶν ἐν χρείᾳ καθεστὼς πολλοὺς ἀναγκάζεται κολακεύειν, καὶ μετὰ πολλῆς θεραπεύειν δουλοπρεπείας· ὁ δὲ πένης ἂν εἰδῇ φιλοσοφεῖν, οὐδὲ ὑπ' αὐτοῦ τοῦ διαβόλου καταγωνισθῆναι δύναται. Ὁ οὖν Ἰὼβ ἰσχυρὸς ὢν καὶ πρὸ τούτου, ἡνίκα τὰ πάντα ἀπέβαλε, τότε γέγονεν ἰσχυρότερος, καὶ λαμπρὰν ἤρατο κατὰ τοῦ διαβόλου τὴν νίκην. Ἄλλως δὲ οὐδὲ ὑβρίζεσθαι δύναται ὁ πένης, ἂν εἰδῇ φιλοσοφεῖν. Ὅπερ γὰρ ἔφην περὶ τῆς ἡδονῆς, ὅτι ἡ ἡδονὴ οὐκ ἐν τῇ πολυτελείᾳ τῶν σιτίων, ἀλλ' ἐν τῇ διαθέσει τῶν ἑστιωμένων κεῖται, τοῦτο καὶ περὶ τῆς ὕβρεως λέγω· ὅτι ἡ ὕβρις οὐκ ἀπὸ τῆς γνώμης τῶν ὑβριζόντων, ἀλλ' ἀπὸ τῆς διαθέσεως τῶν πασχόντων ἢ συνίσταται ἢ ἀπόλλυται· οἷόν τι λέγω· ὕβρισέ τις πολλὰ ῥητὰ καὶ ἄρρητα; Ἂν καταγελάσῃς τῶν ὕβρεων, ἂν μὴ παραδέξῃ τὰ ῥήματα, καὶ ἀνώτερος γένῃ τῆς πληγῆς, οὐχ ὑβρίσθης. Καὶ καθάπερ εἰ σῶμα ἀδαμάντινον εἴχομεν, εἰ καὶ

μόνον εὐχαρίστησιν, ἀλλὰ καὶ κάτι ποὺ εἶναι πολὺ μεγαλύτερον ἀπὸ τὴν εὐχαρίστησιν, ὑγείαν ἀκλόνητον. Διότι εἰς μὲν τοὺς πλουσίους, ἐκτὸς τῆς ἀηδίας, ποὺ αἰσθάνονται, τρέχουν πολλαὶ μαζὶ ἀσθένειαι, οἱ δὲ πτωχοὶ εἶναι μακρὰν τῶν ἰατρῶν· ἂν δὲ κάποτε ἀρρωστήσουν, γρήγορα θεραπεύονται, ἐπειδὴ εἶναι ἀπηλλαγμένοι ἀπὸ τὴν μαλθακότητα καὶ ἔχουν σώματα εὔρωστα. Εἶναι μεγάλο ἀπόκτημα ἡ πτωχεία εἰς ἐκείνους ποὺ τὴν ὑπομένουν μὲ χριστιανικὸν τρόπον ζωῆς, θησαυρὸς ἀναφαίρετος, στήριγμα ἰσχυρότατον, περιουσία ἄθικτος, καταφύγιον ποὺ δὲν ἐπιβουλεύεται. Ἀλλά, λέγει κάποιος, καταπιέζεται καὶ βασανίζεται ὁ πτωχός· ὅμως ὁ πλούσιος ἐπιβουλεύεται περισσότερον ἀπὸ τὸν πτωχόν· περιφρονεῖται καὶ ὑβρίζεται ὁ πτωχός, ἀλλὰ φθονεῖται ὁ πλούσιος.

Δὲν καταβάλλεται τόσον εὔκολα ὁ πτωχός, ὅσον ὁ πλούσιος διότι ἀπὸ παντοῦ παρέχει εἰς τὸν διάβολον καὶ τοὺς ἐπιβούλους ἀνθρώπους ἀναριθμήτους ἀφορμάς, καὶ ἐπειδὴ εἶναι δοῦλος ὅλων, διότι περιβάλλεται ἀπὸ πολλὰ πράγματα· ἐκεῖνος ποὺ ἔχει ἀνάγκην πολλῶν πραγμάτων ἀναγκάζεται νὰ κολακεύῃ πολλοὺς ἀνθρώπους καὶ νὰ τοὺς περιποιῆται μὲ πολλὴν δουλοπρέπειαν· ὁ πτωχὸς ὅμως ἂν εἶναι εἰς θέσιν νὰ φιλοσοφῇ χριστιανικῶς, δὲν ἠμπορεῖ νὰ νικηθῇ οὔτε ἀπὸ αὐτὸν τὸν ἴδιον τὸν διάβολον. Ὁ Ἰὼβ ὁ ὁποῖος καὶ πρωτύτερα ἦτο ἰσχυρός, ὅταν τὰ ἔχασεν ὅλα τότε ἔγινεν ἰσχυρότερος καὶ κατήγαγε λαμπρὰν νίκην κατὰ τοῦ διαβόλου. Ἐκτὸς τούτου δὲν ἠμπορεῖ οὔτε νὰ ὑβρίζεται ὁ πτωχός, ἂν γνωρίζῃ νὰ ζῇ χριστιανικῶς. Ἐκεῖνο ποὺ εἶπα περὶ τῆς ἡδονῆς, ὅτι δηλαδὴ αὐτὴ δὲν προέρχεται ἀπὸ τὴν πολυτέλειαν τῶν φαγητῶν, ἀλλὰ ἀπὸ τὴν ὄρεξιν καὶ τὴν διάθεσιν τῶν συνδαιτυμόνων, αὐτὸ τώρα καὶ διὰ τὰς ὕβρεις λέγω· ὅτι δηλαδὴ ἡ ὕβρις ὑφίσταται ἢ ἐξαλείφεται ὄχι ἀπὸ τὴν διάθεσιν τοῦ ὑβρίζοντος, ἀλλὰ ἀπὸ τὴν διάθεσιν τῶν ὑβριζομένων· τοῦτο ἐννοῶ· σὲ ὕβρισε κάποιος πολὺ ἄσχημα λέγων ὅσα λέγονται καὶ δὲν λέγονται; Ἂς γελάσῃς μὲ ὅσα λέγει, ἂν δὲν δώσῃς προσοχὴν εἰς αὐτά, καὶ φανῇς ἀνώτερος τῆς ἐπιθέσεως, δὲν ὑβρίσθης. Καὶ ὡς ἐὰν εἴχομεν σῶμα ἀδαμάντινον,

μυρίοις πανταχόθεν ἐβαλλόμεθα βέλεσιν, οὐκ ἂν ἐδεξάμεθα τὰς πληγὰς (οὐ γὰρ ἀπὸ τῆς ἀφιείσης τὰ βέλη χειρός, ἀλλ' ἀπὸ τῶν πασχόντων σωμάτων τὰ τραύματα γίνεται), οὕτω δὴ καὶ ἐνταῦθα οὐκ ἀπὸ τῆς μανίας τῶν ὑβριζόντων, ἀλλ' ἀπὸ τῆς ἀσθενείας τῶν ὑβριζομένων αἱ ὕβρεις, καὶ αἱ τῶν ὕβρεων ἀτιμίαι συνίστανται. Ἂν γὰρ εἰδῶμεν φιλοσοφεῖν, οὐδὲ ὑβρίζεσθαι δυνάμεθα, οὐδὲ πάσχειν τι τῶν δεινῶν. Ὕβρισεν ὁ δεῖνα, ἀλλ' οὐκ ᾐσθάνθης, οὐκ ἤλγησας; Οὐχ ὑβρίσθης, ἀλλὰ καὶ μᾶλλον ἔπληξας ἢ ἐπλήγης. Ὅταν γὰρ ὁ ὑβρίσας ἴδῃ, μὴ καθικνουμένην αὐτοῦ τὴν πληγὴν τῆς τῶν λοιδορηθέντων ψυχῆς, αὐτὸς δάκνεται μειζόνως, καὶ τῶν ὑβριζομένων σιγώντων, αὐτόματος ἡ πληγὴ τῶν ὕβρεων κατὰ τοῦ πέμψαντος ὑποστρέψασα φέρεται.

Φιλοσοφῶμεν τοίνυν ἐν ἅπασιν, ἀγαπητοί, καὶ οὐδὲν ἡμᾶς πενία παραβλάψαι δυνήσεται, ἀλλὰ καὶ ὠφελήσει τὰ μέγιστα, καὶ λαμπροτέρους ἐργάσεται, καὶ πάντων τῶν πλουτούντων εὐπορωτέρους. Τί γάρ, εἰπέ μοι, τοῦ Ἠλία πενέστερον ἦν; Ἀλλὰ διὰ τοῦτο πάντας ἐνίκα τοὺς πλουτοῦντας, ἐπειδὴ οὕτω πένης ἦν, καὶ αὐτὴν δὲ τὴν πενίαν ἀπὸ πλουσίας εἵλετο διανοίας· Ἐπειδὴ γὰρ ἅπαντα τῶν χρημάτων τὸν πλοῦτον ἐλάττονα τῆς ἑαυτοῦ μεγαλοψυχίας ἐνόμιζεν εἶναι, καὶ οὐκ ἄξιον αὐτοῦ τῆς φιλοσοφίας, διὰ τοῦτο πενίαν τοσαύτην ἠσπάσατο· ὡς εἰ μεγάλα τὰ παρόντα ἐνόμιζεν εἶναι, οὐκ ἂν μηλωτὴν ἐκτήσατο μόνον, ἀλλ' οὕτω κατέγνω τῆς παρούσης ματαιότητος ἁπάσης, καὶ ὡς πηλὸν ἐρριμμένον τὸ χρυσίον ἅπαν ἑώρα, ὡς τῆς περιβολῆς ἐκείνης μηδὲν κτήσασθαι πλέον. Διὰ τοῦτο ὁ βασιλεὺς τοῦ πένητος ἐδεῖτο, καὶ πρὸς τὸ στόμα ἐκεχήνει τοῦ μηδὲν πλέον μηλωτῆς ἔχοντος, ὁ τοσοῦτον χρυσίον ἔχων· οὕτω λαμπροτέρα τῆς πορφυρίδος

---

22. Δέρμα προβάτου, προβειά.

καὶ ἂν ἀπὸ παντοῦ μᾶς ἐκτυποῦσαν μὲ ἀναρίθμητα βέλη δὲν θὰ μᾶς ἔκαμαν καμμίαν πληγὴν (διότι δὲν γίνονται τὰ τραύματα ἀπὸ τὰ χέρια ποὺ ἀφήνουν τὰ βέλη, ἀλλὰ ἀπὸ τὰ σώματα ποὺ κτυπῶνται) ἔτσι καὶ ἐδῶ, ὄχι ἀπὸ τὴν μανίαν τῶν ὑβριστῶν, ἀλλ' ἀπὸ τὴν ἀδυναμίαν τῶν ὑβριζομένων αἱ ὕβρεις καὶ αἱ ἐξ αὐτῶν προερχόμεναι ἀτιμίαι λαμβάνουν ὕπαρξιν. Ἂν γνωρίζωμεν νὰ φιλοσοφοῦμεν, οὔτε ἠμποροῦμεν νὰ ὑβριζώμεθα, οὔτε νὰ πάθωμεν κανένα κακόν. Σὲ ὕβρισεν ὁ τάδε καὶ σὺ δὲν ᾐσθάνθης τὴν ὕβριν, δὲν ἐστενοχωρήθης; Τότε δὲν ἔχεις ὑβρισθῆ, ἀλλὰ μᾶλλον τὸν ἐκτύπησες παρὰ ἐκτυπήθης. Διότι ὅταν αὐτὸς ποὺ ὑβρίζει ἰδῇ ὅτι ἡ πληγὴ δὲν φθάνει εἰς τὴν ψυχὴν τῶν ὑβριζομένων, πληγώνεται αὐτὸς περισσότερον καὶ διὰ τῆς σιωπῆς τῶν ὑβριζομένων αὐτομάτως ἡ πληγὴ τῶν ὕβρεων ἐπιστρέφει ἐναντίον ἐκείνου ποὺ τὸν ἔστειλεν.

Ἂς ζῶμεν χριστιανικὰ εἰς ὅλα, ἀγαπητοί, καὶ δὲν θὰ ἠμπορέσῃ νὰ μᾶς βλάψῃ καθόλου ἡ πτωχεία, ἀλλὰ καὶ θὰ μᾶς ὠφελήσῃ τὰ μέγιστα, θὰ μᾶς κάνῃ λαμπροτέρους καὶ πλουσιωτέρους ἀπὸ ὅλους τοὺς πλουσίους. Διότι, εἰπέ μου σὲ παρακαλῶ, ποῖος ὑπῆρξεν πτωχότερος ἀπὸ τὸν προφήτην Ἠλίαν; Καὶ ὅμως ἐνικοῦσεν ὅλους τοὺς πλουσίους, ἐπειδὴ ἦτο τόσον πτωχός, εἰς τὴν ἐκλογὴν δὲ τῆς πτωχείας αὐτῆς ὡδηγήθη ἀπὸ τὴν ἐξαιρετικήν του διάνοιαν. Ἐπειδὴ ὅλον τὸν πλοῦτον τῶν χρημάτων ἐθεώρει κατώτερον τῆς μεγαλοψυχίας του καὶ ἀνάξιον τῆς φιλοσοφίας του, ἐπροτίμησε νὰ ἔχῃ τόσην πτωχείαν· διότι ἐὰν ἐθεωροῦσεν ὅτι τὰ πράγματα τοῦ κόσμου ἔχουν μεγάλην ἀξίαν, δὲν θὰ εἶχεν ὡς μοναδικὴν περιουσίαν τὴν μηλωτήν[22], ὅμως τόσον περιεφρονοῦσε τὴν ματαιότητα τοῦ κόσμου τούτου, καὶ ἔβλεπε τὸν χρυσὸν ὡς λάσπην πεταμένην, ὥστε νὰ μὴ φροντίσῃ νὰ ἀποκτήσῃ τίποτε περισσότερον ἀπὸ τὸ ἔνδυμά του ἐκεῖνο. Δι' αὐτὸ ὁ βασιλεὺς εἶχεν ἀνάγκην τοῦ πτωχοῦ ἐκείνου, καὶ ἔχασκεν ἐμπρὸς εἰς τοὺς λόγους ἐκείνου ποὺ δὲν εἶχε τίποτε περισσότερον ἀπὸ τὴν μηλωτήν, αὐτὸς ποὺ εἶχε τόσα πολλὰ χρήματα· τόσον λαμπροτέρα ἦτο ἡ μηλωτὴ ἀπὸ τὴν βασιλικὴν πορφύραν

ἡ μηλωτὴ ἦν, καὶ τῶν βασιλικῶν αὐλῶν τὸ σπήλαιον τοῦ δικαίου. Διὰ τοῦτο καὶ εἰς τὸν οὐρανὸν ἀνιών, οὐδὲν ἕτερον, ἀλλ' ἢ τὴν μηλωτὴν τῷ μαθητῇ κατέλιπε.

Μετὰ ταύτης, φησί, τῷ διαβόλῳ ἐπάλαισα, ταύτην καὶ σὺ λαβὼν ὁπλίζου κατ' ἐκείνου· ἰσχυρὸν γὰρ ὅπλον ἀκτημοσύνη, καὶ ἀκαταγώνιστον καταγώγιον, καὶ πύργος ἀσάλευτος. Ἐδέξατο καθάπερ μεγίστην κληρονομίαν τὴν μηλωτὴν ὁ Ἐλισσαῖος· καὶ γὰρ ἦν ἀληθῶς μεγίστη κληρονομία, παντὸς χρυσίου τιμιωτέρα. Καὶ ἦν διπλοῦς Ἠλίας ἐκεῖνος, καὶ ἦν ἄνω Ἠλίας, καὶ κάτω Ἠλίας. Οἶδα ὅτι μακαρίζετε τὸν δίκαιον ἐκεῖνον καὶ ἐβούλεσθε αὐτὸς ἕκαστος ἐκεῖνος εἶναι. Τί οὖν ἂν ὑμῖν ὑποδείξω, ὅτι ἕτερόν τι πολλῷ μεῖζον ἐκείνου πάντες ἐλάβομεν οἱ μεμυσταγωγημένοι;

Ὁ μὲν γὰρ Ἠλίας μηλωτὴν ἀφῆκε τῷ μαθητῇ· ὁ δὲ Υἱὸς τοῦ Θεοῦ ἀναβαίνων τὴν σάρκα ἡμῖν κατέλιπε τὴν ἑαυτοῦ· ἀλλ' ὁ μὲν Ἠλίας ἀποδυσάμενος, ὁ δὲ Χριστὸς καὶ ἡμῖν κατέλιπε, καὶ ἔχων αὐτὴν ἀνῆλθε. Μὴ τοίνυν καταπίπτωμεν, μηδὲ ὀδυρώμεθα, μηδὲ δυσκολίαν φοβώμεθα καιρῶν· ὁ γὰρ τὸ αἷμα αὐτοῦ μὴ παραιτησάμενος ὑπὲρ ἁπάντων ἐκχέαι, καὶ τῆς σαρκὸς ἡμῖν μεταδοὺς καὶ αὐτοῦ τοῦ αἵματος πάλιν, τί παραιτήσεται ποιῆσαι τῆς ἡμετέρας ἕνεκεν σωτηρίας;

Ταύταις τοίνυν θαρροῦντες ταῖς ἐλπίσι παρακαλῶμεν αὐτὸν διηνεκῶς, καὶ εὐχαῖς καὶ ἱκετηρίαις προσανέχωμεν, καὶ τῆς λοιπῆς ἀρετῆς ἐπιμελώμεθα μετὰ ἀκριβείας ἁπάσης, ἵνα καὶ τὸν ἐπικείμενον διαφύγωμεν κίνδυνον, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

καὶ ἀπὸ τὴν βασιλικὴν αὐλὴν τὸ σπήλαιον τοῦ δικαίου. Διὰ τοῦτο ἀνερχόμενος εἰς τὸν οὐρανόν, δὲν ἄφησε τίποτε ἄλλο εἰς τὸν μαθητήν του παρὰ τὴν μηλωτήν.

Μὲ αὐτήν, λέγει, ἐπάλαιψα ἐναντίον τοῦ διαβόλου, αὐτὴν καὶ σὺ λάβε ὡς ὅπλον κατὰ τοῦ διαβόλου· διότι ἡ ἀκτημοσύνη, εἶναι ὅπλον ἰσχυρὸν καὶ ἀκατανίκητον καταφύγιον καὶ ἀσάλευτος πύργος. Ἐδέχθη ὡς πολύτιμον ἀγαθὸν ὁ Ἐλισσαῖος τὴν μηλωτήν· καὶ πράγματι ἦτο ἀληθινὴ κληρονομία πολυτιμοτέρα ἀπὸ κάθε χρυσόν. Καὶ ἦτο ἀπὸ τότε ἐκεῖνος διπλοῦς Ἠλίας, καὶ ὑπῆρχε καὶ εἰς τὸν οὐρανὸν Ἠλίας καὶ εἰς τὴν γῆν κάτω Ἠλίας, ὁ Ἐλλισσαῖος. Γνωρίζω ὅτι μακαρίζετε τὸν δίκαιον ἐκεῖνον καὶ θὰ ἠθέλατε κάθε ἕνας ἀπὸ ἐσᾶς νὰ εἶναι ὅπως ἐκεῖνος. Τί λοιπὸν θὰ εἰπῆτε ἂν σᾶς ἀποδείξω ὅτι κάτι ἄλλο πολὺ μεγαλύτερον ἀπὸ ἐκεῖνο ἔχομεν λάβει ὅλοι ἐμεῖς οἱ Χριστιανοί;

Διότι ὁ μὲν Ἠλίας ἄφησεν εἰς τὸν μαθητήν του μηλωτήν· ὁ δὲ Υἱὸς τοῦ Θεοῦ ἀναβαίνων εἰς τοὺς οὐρανοὺς μᾶς ἄφησε τὴν ἰδικήν του σάρκα· καὶ ὁ μὲν Ἠλίας τὴν ἄφησεν ἀφοῦ τὴν ἐξεδύθη, ὁ δὲ Χριστὸς καὶ εἰς ἡμᾶς τὴν ἄφησε καὶ φέρων αὐτὴν ἀνῆλθεν εἰς τοὺς οὐρανούς. Ἂς μὴ χάνωμεν λοιπὸν τὸ θάρρος μας, οὔτε νὰ ὀδυρώμεθα, οὔτε νὰ φοβούμεθα τὰς δυσκόλους περιστάσεις· διότι ἐκεῖνος ποὺ δὲν παρέλειψε νὰ χύσῃ τὸ αἷμα του δι' ὅλους μας καὶ νὰ μᾶς μεταδώσῃ τὴν σάρκα του καὶ τὸ αἷμα του, τί θὰ παραλείψῃ νὰ κάμῃ χάριν τῆς ἰδικῆς μας σωτηρίας;

Ἐνισχυόμενοι λοιπὸν ἀπὸ αὐτὰς τὰς ἐλπίδας ἂς τὸν παρακαλοῦμεν συνεχῶς, ἂς ἀφοσιούμεθα εἰς προσευχὰς καὶ ἱκεσίας καὶ ἂς φροντίζωμεν μὲ κάθε ἐπιμέλειαν καὶ διὰ τὰς ἄλλας ἀρετάς, διὰ νὰ ἀποφύγωμεν καὶ τὸν ἐπικείμενον κίνδυνον καὶ νὰ ἐπιτύχωμεν τῶν μελλόντων ἀγαθῶν τῶν ὁποίων εἴθε ὅλοι νὰ ἀξιωθῶμεν, διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα ἂς εἶναι ἡ δόξα μαζὶ μὲ τὸ ἅγιον Πνεῦμα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΡΕΤΗΡΙΑ

1. Εὑρετήριον χωρίων τῆς Γραφῆς

Ματθαῖος

Μᾶρκος

Οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰν εἰς τὸ κεφάλαιον, τὸν στίχον καὶ τὴν σελίδα.

2. Εὑρετήριον ὀνομάτων καὶ πραγμάτων

Α

Β

Γ

Δ

Ε

Ζ

Η

Θ

I

Κ

Λ

Μ

N

O

Ρ

Σ

Τ

ΠΙΝΑΞ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

ΕΚΔΟΘΕΝΤΑ ΕΡΓΑ

Α΄ ΑΠΑΝΤΑ Μ. ΒΑΣΙΛΕΙΟΥ

Τόμος 1ος Ἐπιστολαὶ
» 2ος Ἐπιστολαὶ
» 3ος Ἐπιστολαὶ
» 4ος Ὁμιλίαι εἰς Ἑξαήμερον
» 5ος Ὁμιλίαι εἰς Ψαλμοὺς
» 6ος Ὁμιλίαι ἠθικαὶ καὶ πρακτικαὶ
» 7ος Ὁμιλίαι δογματικαὶ - περιστατικαὶ - ἐγκωμιαστικαὶ - παιδαγωγικαὶ
» 8ος Ἀσκητικὰ (Ὅροι κατὰ πλάτος)
» 9ος Ἀσκητικὰ (Ὅροι κατ' ἐπιτομὴν)
» 10ος Δογματικὰ ἔργα

Β΄ ΑΠΑΝΤΑ Μ. ΑΘΑΝΑΣΙΟΥ

Τόμος 1ος Ἀπολογητικὰ (Κατὰ εἰδώλων, Περὶ ἐνανθρωπήσεως)
» 2ος Δογματικὰ Α΄ (Λόγοι κατὰ Ἀρειανῶν Α-Β)
» 3ος Δογματικὰ Β΄ (Λόγοι κατὰ Ἀρειανῶν Γ-Δ).
» 4ος Δογματικὰ Γ΄
» 5ος Ἑρμηνευτικὰ Α΄
» 6ος Ἑρμηνευτικὰ Β΄ (Ἐξηγήσεις εἰς τοὺς Ψαλμούς).
» 7ος Ἑρμηνευτικὰ Γ΄ (Ἐξηγήσεις εἰς τοὺς Ψαλμοὺς)
» 8ος Ἱστορικοδογματικὰ Α΄
» 9ος Ἱστορικοδογματικὰ Β΄
» 10ος Ἱστορικοδογματικὰ Γ΄
» 11ος Ἀσκητικὰ
» 12ος Διάφορα ἀμφιβαλλόμενα

Γ΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ

Τόμος 1ος Προσωπικαὶ Σχέσεις καὶ Ἐκκλησιαστικὴ Διακονία Α΄
» 2ος Προσωπικαὶ Σχέσεις καὶ Ἐκκλησιαστικὴ Διακονία Β΄ (ὑπὸ ἔκδοσιν)
Τόμος 3ος Ἀπολογητικὰ ἔργα
» 4ος Δογματικὰ
» 5ος Ἑορταστικοὶ - Ἠθικολογικοὶ Λόγοι
» 6ος Ἐγκωμιαστικοὶ καὶ Ἐπιτάφιοι Λόγοι (ὑπὸ ἔκδοσιν)
» 7ος Ἐπιστολαὶ (ὑπὸ ἔκδοσιν)
» 8ος Ἔπη Δογματικὰ
» 9ος Ἔπη Ἠθικὰ (ὑπὸ ἔκδοσιν)
» 10ος Ἔπη εἰς Ἑαυτὸν (ὑπὸ ἔκδοσιν)
» 11ος Ἔπη εἰς Ἑτέρους (ὑπὸ ἔκδοσιν)

Δ' ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΔΑΜΑΣΚΗΝΟΥ
Τόμος 1ος Δογματικὰ Α' (Ἔκδοσις ἀκριβὴς τῆς Ὀρθ. πίστεως)

Ε' ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
Τόμος 9ος Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Α' (Ὁμιλίαι Α'-Κ').
» 10ος Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Β' (Ὁμιλία ΚΑ'-ΜΗ')
» 11ος Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Γ' (Ὁμιλίαι ΜΘ'-ΟΕ')
» 12ος α) Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον Δ'
» (Ὁμιλίαι ΟΣΤ'- ϞΑ')
» β) Ὑπόνημα εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον (Ὁμιλίαι Α'-ΙΘ')
» 13ος Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον (Ὁμιλίαι Κ'-ΝΔ')
» 14ος Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον (Ὁμιλίαι ΝΕ' ΠΗ')
» 18ος Ὑπόμνημα εἰς τὴν πρὸς Κορινθίους Α', ὁμιλίαι Α'-ΚΒ'
» 20ος Ὑπόμνημα εἰς τὴν πρὸς Κορινθίους Β', ὁμιλίαι ΚΕ'-Λ'. εἰς τὴν πρὸς Γαλάτας καὶ εἰς τὴν πρὸς Ἐφεσίους ὁμιλίαι Α'-ΙΑ'.
» 28ος Ποιμαντικὰ καὶ Ἀσκητικὰ Α'
» 31ος Κατηχητικαὶ καὶ ἠθικὰ Β' - Περιστατικὰ Α'

ΣΤ' ΦΙΛΟΚΑΛΙΑ
Τόμος 1ος Ἀποφθέγματα Γερόντων
» 22ος Νικ. Καβάσιλα, Ἑρμηνεία εἰς τὴν Θ. Λειτουργίαν - Περὶ τῆς ἐν Χριστῷ ζωῆς.

Ζ' ΑΠΑΝΤΑ ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ
Τόμος 1ος Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Α'-Γ')
» 2ος Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Δ'-ΣΤ')
» 3ος Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Ζ'-Ι')